7 χεῖρα ὑπτίαν] *Hipp. III 422, 12—14 L.* 8 πτέρνης] *Hipp. III 454, 4 sqq.* 9 κλειδὸς] *Hipp. IV 120, 15 sqq.* μεθ' ἕλκους κατάγματα] *Hipp. III 496, 11—15* 11 κατ' ὦμον ἄρθρον] *IV 104, 22 sqq.* 12 περὶ ῥάχεως] *Hipp. IV 182, 13—184, 4 L.* 15 Περὶ διαίτης ὀξέων] *Hipp. II 278, 8—11 L.* 22 ἐφεξῆς] *cf. infra p. 19, 13—15.*

1 ηὕρισκεν R 2 *post* στοιχεῖον *add.* δὲ R: *del.* R^2 3 ἀναλεξαμένοις LR^2: ἀναδεξαμένοις VR ἱστορούμενοι *primo, deinde ipse mut. in* ἱστορουμένοις R: *corr.* R^2 4 τινα LR^2: *om.* VR 7 ὁ ἀξιῶν ἦν L ἐκτεταμένην L ἐπιδεῖξαι V 10 ἐπιδὼν *utroque loco* L: ἐπιδῶν *primo, sed ipse mut. in* ἐπιδὼν R ἑκατέρωθι VR; *sed eo quem Gal. in animo habet loco* ἔνθεν καὶ ἔνθεν *Hipp. III 496, 12 L.* 11 ἐτίθει LR^2: ἐπίθει VR; *suspectum erat (nam punctorum triangulum supr. scr.) scribae* R 12 ῥάχεων VR; *sed numero singulari utitur eo quem Gal. significat loco Hipp. IV 182, 13 L.* 13 κατὰ τὸ (*propter* τε) *addidi* 16 πολλοὺς ἰατροὺς LR^2: πολλοῖς οἷά τε VR ἰατροὺς L 17 πνέοντας V 18 καὶ *ante* τρεῖς *add.* VR 19 *post* προσφέρειν *om.* καὶ L 22 κατὰ τοῦτο αὐτὸ VR 24 μὲν οὖν *om.* L ἦν *om.* VR 27 διαδεξομένους L 28 ἐξέδοσαν LR^2: ἐδίδαξαν VR 30 κατεφρονήθη LR^2: κατεφρονήθησαν VR ἀμεληθῆναι LR^2: ἀκολουθῆναι VR

τελέως ἀπολέσθαι. καὶ μέντοι καὶ φθονεροί τινες ἤτοι κατακρύπτουσιν ἢ καὶ τελέως ἀφανίζουσι τὰ τῶν πρεσβυτέρων βιβλία, τινὲς δ' ὑπὲρ τοῦ λέγειν ὡς ἴδια τὰ ἐν αὐτοῖς γεγραμμένα πράττουσι ταὐτόν· καὶ τί θαυμαστὸν ἀπολέσθαι τὰ βιβλία τῶν ἀλλοκότους δόξας γραψάντων, ὅπου γε καὶ παρὰ τοῖς Ἀθηναίοις εὑρίσκονταί τινες εὐδοκίμως ἠγωνισμένοι κωμικοί τε καὶ τραγικοὶ ποιηταὶ δράμασιν οὐκέτι διασῳζομένοις; ἵνα γὰρ παραλείπω τὰς ἄλλας ἁπάσας αἰτίας, δυοῖν δὲ μόνων τῶν ἔναγχος ἐν Ῥώμῃ γενομένων μνημονεύσω, πολλάκις μὲν ἐμπρησθέντες σηκοί, πολλάκις δὲ ἐν σεισμοῖς καταπεσόντες ἢ κατ' ἄλλην αἰτίαν οὐκ ὀλίγων βιβλίων ἀπωλείας αἴτιοι γεγονέναι φαίνονται.

κακῶς μὲν οὖν καὶ ὁ Καπίτων ἐτόλμησε μεταγράψαι τὴν παλαιὰν ῥῆσιν, οὔκουν οὐδὲ τοῦτο προσθείς, ὡς ἐνεδέχετο τὸν πρῶτον βιβλιογράφον ἁμαρτεῖν ἀντ' ἄλλου | γράψαντ' ἄλλο, κακῶς δὲ καὶ τῶν ἐξηγητῶν 25 ἔνιοι κατεψεύσαντο Ξενοφάνους, ὥσπερ καὶ Σαβῖνος, ὧδί πως γράψας αὐτοῖς ὀνόμασιν· „οὔτε γὰρ τὸ πάμπαν ἀέρα λέγω τὸν ἄνθρωπον, ὥσπερ Ἀναξιμένης, ⟨οὔτε πῦρ, ὡς Ἡράκλειτος⟩, οὔτε ὕδωρ, ὡς Θαλῆς, οὔτε γῆν, ὥς ἔν τινι Ξενοφάνης." οὐδαμόθι γὰρ εὑρίσκεται Ξενοφάνης ἀποφηνάμενος οὕτως. ἀλλὰ καὶ ὁ Σαβῖνος αὐτὸς εὔδηλός ἐστιν ἐκ τῶν αὐτοῦ καταψευδόμενος, οὐχ ὑπ' ἀγνοίας ἐσφαλμένος· ἢ πάντως ἂν ὀνομαστὶ προσέγραψε τὸ βιβλίον, ἐν ᾧ ταῦτα ἀπεφήνατο· νῦν δ' οὕτως ἔγραψεν· „οὔτε γῆν, ὥς ἔν τινι Ξενοφάνης." καὶ Θεόφραστος δ' ἂν ἐν ταῖς τῶν Φυσικῶν δοξῶν ἐπιτομαῖς τὴν Ξενοφάνους δόξαν, εἴπερ οὕτως εἶχεν, ἐγεγράφει. καί σοι πάρεστιν, εἰ χαίροις τῇ περὶ τούτων ἱστορίᾳ, τὰς τοῦ Θεοφράστου βίβλους ἀναγνῶναι, καθ' ἃς τὴν ἐπιτομὴν ἐποιήσατο τῶν φυσικῶν δοξῶν, ὥσπερ γε πάλιν, εἰ τὰς τῶν παλαιῶν ἰατρῶν δόξας ἐθέλοις ἱστορῆσαι, πάρεστί σοι τὰς τῆς Ἰατρικῆς συναγωγῆς ἀναγνῶναι βίβλους ἐπιγεγραμμένας μὲν Ἀριστοτέλους, | ὁμολογουμένας δὲ ὑπὸ Μένωνος, ὃς ἦν μαθητὴς 26 αὐτοῦ, γεγράφθαι, διὸ καὶ Μενώνεια προσαγορεύουσιν ἔνιοι ταυτὶ τὰ βιβλία. δῆλον δὲ ὅτι καὶ ὁ Μένων ἐκεῖνος, ἀναζητήσας ἐπιμελῶς

1 *sq. schol.* V²: οἷόν τι καὶ πλήθωνι συνέβη; *cf. Fritz Schultze, Georgios Gemistos Plethon. Diss. Ien. 1871 p. 71 sqq.; attende Marcianum fuisse Bessarionis, Plethonis discipuli* 22 Θεόφραστος] *H. Diels, Doxogr. Graeci, Berlin 1879, p. 481 fr. 5a* 28 Μένωνος] *Anonymus Londinens. ed. H. Diels (Suppl. Aristot. III 1, 1893) p. 77 fr. 1*

1 τελέως] τελέ *in ras.* V¹ ἀπολεσθῆναι L ἤτοι LR²: ἢ VR 2 ἢ *om.* VR: *pro* καὶ *scr.* ἢ R² πρεσβυτῶν V: πρεσβύτων R 3 ταὐτό· ἢ *codd.*: *corr. Schoene* 4 τὰ βιβλία *om.* VR ἀλοκότους VR 5 γε LR²: *om.* VR 7 πάσας L μόνων τῶν *paulo obscurius* R: νων τῶν *rep.* R² 8 γιγνομένων VR ἐμπρισθέντες VR 10 φαίνονται LR²: φανοῦντες VR 11 μὲν *om.* L καὶ *om.* L 12 οὔκουν οὐδὲ] *Gal. XI 2 ex. K. confert Schoene* ἐνδέχετο R: *corr.* R² βιβλιογράφων V 15 τὸ *om.* VR ἠέρα L; *at* παραφράζει *Sabinus* 16 οὔτε ... Ἡράκλειτος *addidi* 17 οὐδαμόθεν VR 18 ὁ Ξενοφάνης R² 19 ἐκ τῶν αὐτοῦ] *„ex ipsius verbis" convinci potest* 20 ἐν *in ras.* V¹ 24 χαίρεις V τούτων LR²: τούτου VR τοῦ *om.* L 26 πάλαι VR ἐθέλοις LR²: ἐθέλεις VR 28 Ἀριστοτέλει *codd.*: *corr. Cobet Mnemos. N. S. 13 (1885), 229* τοῦ Μένωνος VR 29 ταῦτα L

τὰ διαcῳζόμενα κατ᾽ αὐτὸν ἔτι τῶν παλαιῶν ἰατρῶν βιβλία, τὰc δόξαc αὐτῶν ἐκεῖθεν ἀνελέξατο· τῶν δ᾽ ἤδη διεφθαρμένων παντάπαcιν ἢ cῳζομένων μέν, οὐ θεωρηθέντων δ᾽ αὐτῷ τὰc γνώμαc οὐκ ἠδύνατο γράψαι. κατὰ ταῦτ᾽ οὖν τὰ βιβλία χολὴν ξανθὴν ἢ μέλαιναν ἢ φλέγμα cτοιχεῖον ἀνθρώπου φύcεωc οὐκ ἂν εὕροιc οὐδ᾽ ὑφ᾽ ἑνὸc εἰρημένον, αἷμα δὲ καὶ τῶν μεθ᾽ Ἱπποκράτην φαίνονται πολλοὶ μόνον εἶναι νομίζοντεc ἐν ἡμῖν, ὥcτε καὶ τὴν πρώτην γένεcιν ἡμῶν ἐξ αὐτοῦ γίνεcθαι καὶ τὴν μετὰ ταῦτα κατὰ τὴν μήτραν αὔξηcιν καὶ ἀποκυηθέντων τελείωcιν. ἀλλ᾽ ὅ γε Ἱπποκράτηc ὀλίγον ὕcτερον ἔγραψεν ὡc ὄντων τινων, οἳ καὶ φλέγμα καὶ χολὴν ἐνόμιζον εἶναι τὸν ἄνθρωπον, οὐκ ἂν οὕτω γράψαc, εἰ μή τινεc ἦcαν ἤτοι κατ᾽ αὐτὸν ἢ πρὸ αὐτοῦ δοξάζοντεc οὕτωc. |

27 **I 3** [1. VI 32, 7—34, 7 L.] Δοκέουcι δέ μοι οὐκ ὀρθῶc γινώcκειν οἱ τὰ τοιαῦτα λέγοντεc. γνώμῃ μὲν γὰρ τῇ αὐτῇ πάντεc χρέονται, λέγουcι δὲ οὐ τὰ αὐτά· ἀλλὰ τῆc μὲν γνώμηc τὸν ἐπίλογον τὸν αὐτὸν ποιέονται. φαcὶ γὰρ ἕν τε εἶναι, ὅ τι ἐcτί, καὶ τοῦτ᾽ εἶναι τὸ ἕν τε καὶ τὸ πᾶν, κατὰ δὲ τὰ ὀνόματα οὐχ ὁμολογέουcι. λέγει γὰρ αὐτῶν ὁ μέν τιc ἀέρα τοῦτο εἶναι τὸ ἕν τε καὶ τὸ πᾶν, ὁ δὲ πῦρ, ὁ δὲ ὕδωρ, ὁ δὲ γῆν. καὶ ἐπιλέγει ἕκαcτοc τῷ ἑωυτοῦ λόγῳ μαρτύριά τε καὶ τεκμήρια, ἅ ἐcτιν οὐδέν. ὅτι γὰρ τῇ μὲν γνώμῃ τῇ αὐτῇ πάντεc χρέονται, λέγουcι δὲ οὐ τὰ αὐτά, δῆλον ὅτι οὐδὲ γινώcκουcι. γνοίη δ᾽ ἂν ὧδέ τιc μάλιcτα παραγενόμενοc αὐτοῖc ἀντιλέγουcι· πρὸc γὰρ ἀλλήλουc ἀντιλέγοντεc οἱ αὐτοὶ ἄνδρεc τῶν αὐτῶν ἐναντίον ἀκροατῶν οὐδέποτε τρὶc ἐφεξῆc ὁ αὐτὸc περιγίνεται ἐν τῷ λόγῳ, ἀλλὰ τοτὲ μὲν οὗτοc ἐπικρατεῖ, τοτὲ δὲ οὗτοc, ὅτέῳ ἂν τύχῃ μάλιcτα ἡ γλῶccα ῥυεῖcα πρὸc τὸν ὄχλον. καίτοι
28 δίκαιόν ἐcτι | τὸν φάντα ὀρθῶc γινώcκειν ἀμφὶ τῶν πρηγμάτων παρέχειν ἀεὶ ἐπικρατέοντα τὸν λόγον τὸν ἑωυτοῦ,

9 ὀλίγον ὕcτερον] *cf. p. 19, 13—15 sqq.* 13 *sq. cf. Gal. I 445 K.* 14 *sq. cf. Gal. I 445 K.* 15 *sqq. cf. Gal. I 439 K.* 18 *sqq. cf. Gal. I 446 K.* 20—21 *cf. Gal. I 446 K.* 27 *schol. ad* φάντα *in mg.* L: τινὲc οὐ „τὸν" (*cod.* αὐτὸν *pro* οὐ τὸν, *correxi*) φάντα", ⟨ἀλλὰ „τὸν⟩ (*addidi*) πάντα" γράφουcιν, εἰc δὲ cυμπλήρωcιν τῆc ἐννοίαc γράφουcι καὶ τὸ „ἐπαγγελλόμενον"· ὥcτε οὕτωc ἀναγινώcκουcι. „τὸν πάντα ὀρθῶc γινώcκειν ἀμφὶ τῶν πρηγμάτων ἐπαγγελλόμενον" 25 *sq. cf. Gal. I 446 K.*

1 βιβλία *om.* L τὰc δόξαc ... βιβλία *(p. 16, 3)* LR²: *om.* VR 4 ξανθὴν χολὴν L 5 εὕροιc *primo, sed ipse mut. in* εὕρῃc R: *genuinum restituit* R² 6 τῶν LR²: τὸν VR ὑποκράτην, *sed ipse corr.* R νομίζοντεc ἐν ἡμῖν LR²: ἐν ἡμῖν νομίζοντεc VR 9 ὅ γε LR²: ὅ τε VR 12 δὲ *ipse supr. scr.* R 13 γνώμῃ ... ἀξυνεcίηc *(p. 17, 3) non exar.* R 13 γνώμῃ γὰρ πάντεc τῇ αὐτῇ V 17 τοῦτο *om.* L 19 ἑωυτῷ V 20 ὅτι] *sic et hic et Gal. I 446 K. codd.*: ὅτε *recte codd. Hipp.* ὅτι μὲν γὰρ τῇ γνώμῃ τῇ αὐτῇ V 21 δηλονότι L 22 παραγιγνόμενοc V 23 ἐναντίων V 25 ποτὲ *utroque loco* V ἐπικρατέει V οὗτοc *(alt.)* V *et Hipp.*: ἐκεῖνοc L ὁτὲ δὲ ᾧ V 26 τύχοι L 27 φάντα L: πάντα V; *cf. schol. cod.* L πραγμάτων V 28 *post* πρηγμάτων *add.* ἐπαγγελλόμενον V; *cf. schol. cod.* L ἑωυτὸν V

εἴπερ ὄντα γινώσκει καὶ ὀρθῶς ἀποφαίνει. ἀλλ᾽ ἐμοί γε δοκέουσιν οὗτοι οἱ ἄνθρωποι αὐτοὶ σφᾶς αὐτοὺς καταβάλλειν ἐν τοῖσιν ὀνόμασι τῶν λόγων αὐτῶν ὑπ᾽ ἀξυνεσίης, τὸν δὲ Μελίσσου λόγον ἐπανορθοῦν.

Ὡς πρὸς εἰδότας, ἃ λέγουσιν οἱ στοιχεῖον ἓν ὑποτιθέμενοι, ποιεῖται
τὸν λόγον. οἵ τε γὰρ τὸ πῦρ εἶναι στοιχεῖον λέγοντες ἐκ τούτου βούλονται τὰ ἄλλα γεννᾶσθαι πυκνουμένου τε καὶ συναγομένου καὶ πιλουμένου, τῆς μὲν ὀλίγης αὐτοῦ πιλήσεως ἀέρα γεννώσης, τῆς πλείονος δὲ ὕδωρ, τῆς τελεωτάτης δὲ καὶ πλείστης γῆν, οἵ τε τὸ ὕδωρ οἵ τε τὸν ἀέρα κατὰ τὸν αὐτὸν λόγον ἐκ τοῦ πιλεῖσθαι καὶ χεῖσθαι τἄλλα γεννᾶσθαι λέγουσι· πιληθὲν μὲν γὰρ τὸ ὕδωρ γῆν γεννᾶν φασι, χυθὲν δ᾽ ἀέρα, καθάπερ γε καὶ τὸν ἀέρα πιληθέντα μὲν ὕδωρ, χυθέντα δὲ
πῦρ, ὥστ᾽ ἐκ | τῆς εἰς ἄλληλα μεταβολῆς τῶν τεσσάρων ὁ λόγος ὁρ- 29
μᾶται τῶν ἓν ὁτιοῦν ὑποτιθεμένων εἶναι τὸ στοιχεῖον. καὶ διὰ τοῦτο γνώμῃ μὲν τῇ αὐτῇ φησιν αὐτοὺς χρῆσθαι, λέγειν δ᾽ οὐ τὰ αὐτά.

φανερῶς οὖν ἐν τούτῳ τῷ λόγῳ παντὶ τοῖς ἕν τι μόνον τῶν τεσσάρων στοιχείων ἡγουμένοις εἶναι τὸν ἄνθρωπον ἀντιλέγει καί φησιν αὐτοὺς ἁμαρτάνειν· ⟨οὐχ⟩ ὅτι γὰρ μηδὲν ἀποδεικνύουσιν, ἐσχάτως ἀπίθανος ἦν ὁ λόγος αὐτῶν· ἓν μὲν γάρ τι τῶν τεσσάρων εἶναι τὸν ἄνθρωπον οὐ κατασκευάζουσι, τὸν δὲ Μελίσσου λόγον ὀρθοῦσιν ἡγουμένου μὲν ἓν εἶναι καὶ αὐτοῦ τοῦτο, οὐ μὴν ἐκ τῶν τεσσάρων γ᾽ ἕν τι τούτων, ἀέρος καὶ γῆς ὕδατός τε καὶ πυρός. ἔοικε δὲ ὁ ἀνὴρ οὗτος ἐννοῆσαι μὲν εἶναί τινα οὐσίαν κοινήν, ὑποβεβλημένην τοῖς τέσσαρσι στοιχείοις, ἀγέννητόν τε καὶ ἄφθαρτον, ἣν οἱ μετ᾽ αὐτὸν ʽὕλην᾽ ἐκάλεσαν, οὐ μὴν διηρθρωμένως γε δυνηθῆναι τοῦτο δηλῶσαι· ταύτην δ᾽ οὖν αὐτὴν τὴν οὐσίαν ὀνομάζει τὸ ἕν τε καὶ τὸ πᾶν. ἀληθὴς δὲ οὐδ᾽ οὗτος ὁ λόγος ἐστίν. οὐ γὰρ ἕν τι μόνον ἐστὶν ἐκεῖνο, τῶν ἐν γενέσει
καὶ φθορᾷ σωμάτων ἀρχή, καθάπερ | ὑπέλαβεν ὁ Μέλισσος, ἀλλὰ πρὸς 30
αὐτῷ ποιότητες τέσσαρες, ψυχρότης ἄκρα καὶ ξηρότης καὶ θερμότης καὶ ὑγρότης. οὐ μὴν στοιχεῖά γε ταῦτ᾽ ἔστιν οὔτε τῶν ἄλλων οὔτ᾽ ἀνθρώπου φύσεως, ἀλλὰ ἀρχαί. συνεκέχυτο δ᾽ ἔτι τοῦτο παρὰ τοῖς ἀρχαίοις

1—4 *cf. Gal. I 447 K.* 5 *sqq. cf. Gal. I 442 sqq. K.* 16 *sqq. cf. infra p. 18, 22 sqq.* 20 *sqq. cf. Gal. I 447 sq. K.*

1 ὄντα L: ὄντως V 3 τοῖς V αὐτῶν *om.* L 3. 4 τὸν . . . ἐπανορθοῦν *om.* L 4 ἐπανορθοῦντα VR: *corr. e cod. Hippocratico Aldina* *post* ἐπανορθοῦν *add.* περὶ μὲν οὖν τουτέων ἀρκέει μοι τὰ εἰρημένα *codd. Hippocratis*: *consulto om. Gal.* 5 πρὸς εἰδότας LR²: προειδὼς V: προειδότας, *sed in mg.* Γρ. προειδὼς R 8 πλήσεως, *sed ipse corr.* R τὸν ἀέρα L γεννώσεις R: *corr.* R² 9 δὲ *(alt.)* L: τε VR 11 γεννᾶν L: γεννᾶσθαι VR 13 εἰς *om.* L 14 τὸ L: *om.* VR 15 φασιν VR 16 παντὶ *om.* L 17 φασιν VR 18 οὐχ *add. Diels* 19 τι L: *om.* VR 21 καὶ αὐτοῦ ἓν εἶναι L ἐκ τῶν . . . τε καὶ *(22)* LR²: *om.* VR γ᾽ *post* μὴν *transp.* L 22 ἀνὴρ] ἀὴρ, *sed ipse corr.* R 23 κοινὴν *om.* L ὑποβεβλημένος V 26 τε L: *om.* VR οὐδ᾽ LR²: *om.* VR 29 θερμότης ἄκρα καὶ ψυχρότης, ὑγρότης τε καὶ ξηρότης L 31 δέ τι τοῦτο VR: δὲ τοῦτ᾽ ἔτι L: *utrimque genuinum restitui*

οὐδ᾽ εἰϲ ἔννοιαν ἀφιγμένοιϲ τῆϲ διαφορᾶϲ ἀρχῆϲ τε καὶ ϲτοιχείου διὰ τὸ δύναϲθαι χρῆϲθαι τῇ τοῦ ϲτοιχείου προϲηγορίᾳ κἀπὶ τῶν ἀρχῶν. ἄλλα δὲ δύο πράγματά ἐϲτι φανερῶϲ ἀλλήλων διαφέροντα, τὸ μὲν ἕτερον ἐλάχιϲτον μόριον τοῦ ὅλου, τὸ δὲ ἕτερον εἰϲ ὃ διαλλάττεται κατ᾽ ἐπίνοιαν αὐτὸ τοῦτο τὸ ἐλάχιϲτον. αὐτὸ μὲν γὰρ τὸ πῦρ οὐχ οἷόν τε διελεῖν εἰϲ δύο ϲώματα καὶ δεῖξαι κεκραμένον ἐξ ἐκείνων, ὥϲπερ οὐδὲ τὴν γῆν ἢ τὸ ὕδωρ ἢ τὸν ἀέρα. νοῆϲαι μέντοι δυνατὸν ἑτέραν μὲν εἶναι τοῦ μεταβάλλοντοϲ τὴν οὐϲίαν, ἑτέραν δὲ τὴν μεταβολὴν αὐτοῦ. οὐ γὰρ ταὐτόν ἐϲτι τὸ μεταβάλλον ϲῶμα τῇ κατ᾽ αὐτὸ μεταβολῇ. τὸ μὲν γὰρ μεταβάλλον ἐϲτὶ τὸ ὑποκείμενον, ἡ μεταβολὴ δὲ αὐτοῦ κατὰ τὴν τῶν ποιοτήτων ἀμοιβὴν γίνεται, θερμότητοϲ μὲν ἄκραϲ ἐγγινομένηϲ
31 αὐτῷ πυρὸϲ ἀποτελου|μένου, καθάπερ γε καὶ ἀέροϲ, ὅταν ἄκραν ὑγρότητα δέξηται, κατὰ ταὐτὰ δὲ γῆϲ μὲν γινομένηϲ, ἐπειδὰν ἐκεῖνο τὸ ὑποκείμενον ἅπαϲι κατὰ τὴν ἑαυτοῦ φύϲιν ἄποιον ὑπάρχον εἰϲ ἑαυτὸ δέξηται ξηρότητα χωρὶϲ θερμότητοϲ, ὕδατοϲ δ᾽ ὅταν ψυχρότητα. περὶ μὲν γὰρ τοῦ πρώτου ψυχροῦ ζήτηϲιϲ οὐ ϲμικρὰ γέγονεν, ἧϲ οὔκ ἐϲτι χρεία 〈πρὸϲ τὸ παρόν, ἅτε〉 εἰϲ τὰ τῆϲ ἰατρικῆϲ τέχνηϲ ἔργα μηδὲν ϲυντελούϲηϲ. τὸ γάρ τοι χρήϲιμόν ἐϲτιν ἐν τῷ ζητῆϲαι, πότερον ἓν ἁπλοῦν ἐϲτι τὸ ϲῶμα τῶν ἀνθρώπων ἢ ϲύνθετον ἐξ ἁπλῶν τεττάρων, ὡϲ ἥ τε τοῦ Πλάτωνοϲ ἐδίδαξε ῥῆϲιϲ ἡμεῖϲ τε κατὰ τὴν Θεραπευτικὴν μέθοδον ἐδιδάξαμεν εὐθὺϲ ἐν τοῖϲ πρώτοιϲ αὐτῆϲ.

ἀλλὰ περὶ μὲν τούτου καὶ αὖθιϲ εἰρήϲεται· νυνὶ δὲ ἀναμνήϲωμεν, ὡϲ ἐν τῇ προκειμένῃ ῥήϲει τὴν ἀντιλογίαν ἐποιήϲατο πρὸϲ τοὺϲ ἕν τι τῶν τεττάρων εἶναι λέγονταϲ τὸν ἄνθρωπον, οὐ πρὸϲ τοὺϲ τέτταρα. βελτίων οὖν ἀνάγνωϲιϲ εἰκότωϲ ἐλέγετο κατὰ τὴν πρώτην ῥῆϲιν ἡ δαϲύνουϲα κατὰ τὴν ἐκφώνηϲιν τὴν πρώτην ϲυλλαβὴν τοῦ ἓν ἐόν.
32 ὅτι γὰρ οὐχ ἕν ἐϲτιν, ἀλλὰ πλείω τὰ ϲυντιθέντα τὴν | τοῦ ἀνθρώπου φύϲιν, ἐπιδείκνυϲιν ὁ Ἱπποκράτηϲ, οὐ μὴν ὅτι γε μηδέν ἐϲτι τῶν τεττάρων ϲτοιχείων εἰλικρινὲϲ ἐν τῷ ϲώματι. τὴν ἀρχὴν γὰρ οὐδὲ λέγουϲιν οἱ τῆϲ δόξηϲ ταύτηϲ ἡγεμόνεϲ τοῦτο. ἓν δή τι παρὰ τὰ τέτταρα,

11 *sqq. cf. infra p. 28, 21 sqq. et Gal. I 468 K.* 15. 16 περὶ τοῦ πρώτου ψυχροῦ] *cf. Plutarchi De primo frigido libellum, Mor. 945 F sqq.* 20 Πλάτωνοϲ ἐδίδαξε ῥῆϲιϲ] *supra p. 4, 21 sqq. et p. 9, 1 sqq.* Θεραπευτικὴν μέθοδον] *Gal. X 1 sqq. K.* 25 ἐλέγετο] *cf. supra p. 12, 29 sqq.*

1 ἀφιγμένοιϲ LR^2: ἀφιγμένηϲ VR 4 διαλλάττεται LVR: διέλῃ τιϲ R^2: Γρ. εἰϲ ὃ διέλῃ τιϲ κατ᾽ ἐπίνοιαν *in mg.* L 5 τὸ *(prius) om.* VR 10 δὲ *om.* V 11 *post* μὲν *add.* γὰρ R^2 ἐγγενομένηϲ V: ἐνγενομένηϲ R 12 ἀέροϲ] ὕδατοϲ *codd.: corr. Basileensis* 13 ταὐτὰ L: ταῦτα VR 14 ἅπαϲι L *et primo* R: αν *supr. scr.* R: ἅπαϲαν R^2V 15 ψυχρότητα L: ὑγρότητα VR; *at cf. p. 28, 22* 16 μικρὰ L 17 πρὸϲ ... ἅτε *ob hiatum et ob sententiae formam supplevi: 'und wir haben kein Bedürfnis, sie zu dieser unserer Zeit zu erwähnen, da darin kein Nutzen ist' eqs.* H: *'quae tamen ad hoc institutum nihil pertinet, cum ad medicae artis opera non conducat' iam Rasarius* τέχνηϲ ἔργα *e corr.* L^1 18. 19 ϲυντελούϲηϲ μηδέν L 19 ἁπλοῦν] ἀτελοῦν V 20 τοῦ LR^2: *om.* VR ἐδίδαϲκε L 22 ἀναμνήϲομαι VR 23 τὴν *om.* L 24 λέγοντα V 27 ϲυντιθέντα L: ϲυνθέντα VR: ϲυντεθέντα R^2 28 φύϲιν LR^2: *om.* VR ἐϲτι L: ἢ VR: ᾖ R^2 τῶν *in ras* V^1

τὸ ἐξ αὐτῶν ϲυγκείμενον, ἀποφαίνονται, ὥϲ γε τὴν τετραφάρμακον δύναμιν οὔτε κηρὸν οὔτε πίτταν οὔτε ῥητίνην οὔτε ϲτέαρ, ἀλλά τι παρὰ ταῦτα ἓν ἄλλο, ὃ ἐξ ἁπάντων κραθέντων γέγονεν, οὔϲηϲ πάλιν καὶ αὐτῆϲ ⟨ταύτηϲ⟩ τῆϲ δόξηϲ διττῆϲ· ἔνιοι μὲν γὰρ τὰϲ τέτταραϲ ποιότηταϲ μόναϲ κεράννυϲθαι δι᾽ ὅλων ἀλλήλαιϲ λέγουϲιν, ἔνιοι δὲ τὰϲ οὐϲίαϲ ἀπεφήναντο, Περιπατητικοὶ μὲν τῆϲ προτέραϲ δόξηϲ προϲτάντεϲ, Cτωικοὶ δὲ τῆϲ δευτέραϲ· ἔτι τε τούτων ἔμπροϲθεν Ἐμπεδοκλῆϲ ἐξ ἀμεταβλήτων τῶν τεϲϲάρων ϲτοιχείων ἡγεῖτο γίνεϲθαι τὴν τῶν ϲυνθέτων ϲωμάτων φύϲιν, οὕτωϲ ἀναμεμιγμένων ἀλλήλοιϲ τῶν πρώτων, ὡϲεί τιϲ λειώϲαϲ ἀκριβῶϲ καὶ χνοώδη ποιήϲαϲ ἰὸν καὶ χαλκίτην καὶ καδμείαν καὶ μίϲυ μίξειεν, ὡϲ μηδὲν ἐξ αὐτῶν δύναϲθαι μεταχειρίϲαϲθαι χωρὶϲ ἑτέρου. |

I 4 [2. VI 34, 8—10 L.] Τῶν δὲ ἰητρῶν οἱ μέν τινεϲ λέγου- 33
ϲιν, ὡϲ ὁ ἄνθρωποϲ αἷμά ἐϲτιν, οἱ δὲ αὐτῶν χολήν φαϲιν εἶναι τὸν ἄνθρωπον, ἔνιοι δέ τινεϲ φλέγμα.

Ἀντειπὼν ἐν τῷ πρὸ τούτου λόγῳ τοῖϲ φιλοϲόφοιϲ, ὅϲοι ἢ πῦρ μόνον ἢ ὕδωρ ἢ γῆν ἢ ἀέρα τὴν φύϲιν εἶναι νομίζουϲι τοῦ ϲώματοϲ ἡμῶν, καὶ ἐπὶ τοὺϲ ἰατροὺϲ μετέβη κατὰ τὴν προκειμένην ῥῆϲιν ἐπιδεικνὺϲ καὶ τούτουϲ ὁμοίωϲ ἁμαρτάνειν ἐκείνοιϲ, ὅϲοι νομίζουϲιν ἢ αἷμα μόνον εἶναι τὸν ἄνθρωπον ἢ χολὴν ἢ φλέγμα. προφανῶϲ οὖν ἤδη διώριϲται τὸ κατὰ τὴν πρώτην ἁπαϲῶν ῥῆϲιν ἀμφίβολον εἶναι δόξαν· οὐ γὰρ τοῖϲ τὰ τέϲϲαρα ϲτοιχεῖα τιθεμένοιϲ, ἀλλὰ τοῖϲ ἕν τι μόνον ἐξ αὐτῶν ἀντιλέγων ἀεὶ φαίνεται. παραλείπεται δ᾽ ἐνταῦθα δόξα τιϲ ἰατρῶν ἀνάλογον ἔχουϲα τῇ τοῦ Μελίϲϲου τῶν λεγόντων ἓν εἶναι τὸν ἄνθρωπον, ὃ μεταβάλλον ἕκαϲτον τῶν εἰρημένων γίνεται. |

I 5 [2. VI 34, 10—16 L.] Ἐπίλογον δὲ ποιέονται καὶ οὗτοι 34
πάντεϲ τὸν αὐτόν· ἓν γὰρ εἶναί φαϲιν, ὅ τι ἕκαϲτοϲ βούλεται ὀνομάϲαϲ, καὶ τοῦτο ἓν ἐὸν μεταλλάϲϲειν τὴν ἰδέην καὶ τὴν

1 τετραφάρμακον] *cf. p. 11, 26 sqq. et Gal. I 452 K.* 10 *cf. Gal. I 452 K.* 13—15 *cf. Gal. I 439 K.* 23 παραλείπεται . . . δόξα] *cf. infra p. 20, 10 sq.*

2 ῥυτίνην L 3 *post* οὔϲηϲ *add.* δὲ VR 4 ταύτηϲ *addidi*: '*haec ipsa opinio*' *similiter Rasarius* τέτταραϲ *om.* L 5 λέγουϲιν L: *om.* VR 7 ϲτωικοὶ L: ϲτοϊκοὶ *(sic)* R: ϲτατικοὶ V 8 ἡγεῖτο LR²: ἡγεῖται VR 9 ϲυνθέτων] έ *in ras.* V¹ ἀλλήλοιϲ ἀναμεμιγμένων L 10 ὡϲεί *scripsi*: ὡϲ εἴ *codd.* 11 χαλκίτην καὶ καδμίαν R²: καδμείαν καὶ χαλκίτην L: χαλκὸν καὶ καθμίαν *(sic)* VR: *correxi*; χαλκῖτιϲ, χαλκίτεωϲ *scribitur Gal. XIII 375 sqq. K.; sed I 452 codex Marcianus (cf. Helmreichii edit. anni 1878) contra ceteros* (χαλκοῦ) *recte prodit* χαλκίτου 14. 15 φαϲιν εἶναι VR *et Hipp.*: εἶναί φαϲι L 15 τινεϲ *om.* L 16 ὅϲοι] οἱ *codd.*: *correxi; cf. v. 19 et p. 20, 4* ἢ *om.* L 21 δόξαν] *hoc loco partic. aoristi* 22 τὰ *om.* L ἀλλὰ] ἀ *in ras.* V¹ 24 τῇ LR²: *om.* VR 25 μεταβάλλον LR²: μεταβάλλων VR 26 δὲ L: *om.* VR 27 ἓν γὰρ . . . παντοῖον *(p. 20, 2) non exar.* R

δύναμιν ἀναγκαζόμενον ὑπό τε τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ καὶ γίνεϲθαι γλυκὺ καὶ πικρὸν καὶ λευκὸν καὶ μέλαν καὶ παντοῖον. ἐμοὶ δὲ οὐδὲ ταῦτα δοκέει οὕτωϲ ἔχειν.

Καὶ τοὺϲ ἰατρούϲ φηϲιν, ὅϲοι χυμὸν ἕνα μόνον ἔφαϲαν εἶναι κατὰ φύϲιν, ἐπίλογον ποιεῖϲθαι τὸν αὐτὸν ἀλλήλοιϲ τε καὶ τοῖϲ φιλοϲόφοιϲ, ἐπιδεικνύνταϲ τὸν ἕνα τοῦτον χυμόν, ὃν ἂν ἕκαϲτοϲ αὐτῶν ὑποθῆται, μεταβάλλειν εἰϲ τοὺϲ ἄλλουϲ. ἃ δὲ καταϲκευάζων ἕκαϲτοϲ τὴν ἑαυτοῦ δόξαν ἔλαβεν, οὐδ' ἕνα τῶν τεϲϲάρων χυμῶν ἀποδείκνυϲιν εἶναι κατὰ φύϲιν, ἕτερον δ' ἀντ' αὐτῶν τινα πρότερον, ἐξ οὗ μεταβάλλοντοϲ οὗτοι
35 γίνονται, (δόγματόϲ τινοϲ τοιοῦδε πέμπτου δυνα|μένου ϲυϲτῆναι κατὰ τὴν ἰατρικὴν θεωρίαν ἀνάλογον τῷ τοῦ Μελίϲϲου κατὰ τὴν φυϲικήν)· ἐν οἷϲ γοῦν φαϲι τὸ ἓν τοῦτο μεταβάλλειν ἀναγκαζόμενον ὑπὸ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ καὶ γίνεϲθαι γλυκὺ καὶ πικρὸν καὶ λευκὸν καὶ μέλαν, οὐδὲν ἐκ τούτων τῶν τεϲϲάρων εἰπεῖν ἐοίκαϲιν ἐκεῖνοι, πρὸϲ οὓϲ ἀντιλέγων οὐ τὸ κατὰ φύϲιν ἓν εἶναι φάϲκει, ἀλλ' ἕτερόν τι μεταβάλλον εἰϲ ταῦτα· γλυκὺ μὲν γὰρ τὸ αἷμα, πικρὰν δὲ τὴν ξανθὴν χολήν, καὶ λευκὸν μὲν τὸ φλέγμα, μέλαν δὲ τὴν μέλαιναν εὔλογον εἰρῆϲθαι νῦν, εἰϲ ἃ τὸ ἓν ἐκεῖνο μεταβάλλειν φαϲὶν ἀναγκαζόμενον ὑπό τε τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ.

τὸ δὲ ἐπὶ τῇ τελευτῇ τοῦ λόγου προϲκείμενον τὸ καὶ παντοῖον τοὺϲ ἐν ταῖϲ χαλεπαῖϲ οὔϲαιϲ νόϲοιϲ γεννωμένουϲ ἰχῶραϲ ἐνδείκνυται. φαίνεται γοῦν καὶ ἰώδηϲ καὶ φαιὰ χολή, (καλοῦϲι δ' αὐτὴν ἰϲατώδη), καί τιϲ ἐρυθρὰ καὶ πραϲοειδὴϲ ἄλλαι τέ τινεϲ ἀνώνυμοι καὶ μάλιϲθ' ὅταν ᾖ ϲηπεδονῶδεϲ τὸ νόϲημα.

I 6 [2. VI 34, 17—36, 1 L.] Ἐγὼ δέ φημι· εἰ ἓν ἦν ὁ ἄνθρω-
36 ποϲ, οὐδέποτ' ἂν ἤλγεεν· | οὐδὲ γὰρ ἂν ἦν, ὑφ' ὅτου ἀλγήϲειεν ἓν ἐόν· εἰ δ' οὖν καὶ ἀλγήϲει, ἀνάγκη καὶ τὸ ἰώμενον ἓν εἶναι.

10 δόγματοϲ] *cf. supra p. 19, 23 sqq.* 22 *schol. ad* ἰϲατώδη *in mg.* L: ὁμοίαν ἰϲάτιδι βοτάνῃ· ἔϲτι δὲ ἴϲατιϲ ἡ λεγομένη παρὰ τῶν ἰδιωτῶν χυμένη
25 *sqq. cf. Gal. I 415 sqq. K.*

2 γίγνεται V πικρὸν καὶ γλυκὺ V 3 ταῦτα] πάντα R *post* ἔχειν *add.* οἱ μὲν οὖν πλεῖϲτοι τοιαῦτά τινα καὶ ἔτι ἐγγύτατα τουτέων ἀποφαίνονται *codd. Hippocratis*: *Gal. consulto omisit* 6 ἕνα LR^2: *om.* VR ἂν LR^2: *om.* VR ἕκατοϲ *in textu*, ἕκαϲτοϲ *in mg.* R: *rurs. in textu corr.* R^2 ὑπέθετο V: ὑπο$^{\theta\tau\prime}$ R: ὑποτίθεται R^2 7 *post* μεταβάλλειν *iterav.* τε *(5)* ... χυμὸν *(6)* V: *del.* V^1 ἕκατοϲ, *sed* ϲ *supr. scr.* R 8 οὐδένα *codd.*: *distinxi* χυμῶν LR^2: *om.* VR ἀποδεικνύουϲιν L; *at subiecti loco est* ταῦτα *supplendum ad* ἃ 10 πέμπτου] μὴ LVR: *corr. vertens 'und diese Ansicht ist eine fünfte, die in der Medizin sein kann, gleich der Ansicht des Melissos in der Naturwissenschaft'* H; *cf. p. 19, 23 sqq.* 11 τῷ L: τῇ VR 15 οὐ τὸ ... ταῦτα *(16)*] *latine „non id, quod natura consistat, sed aliud quoddam, quod* εἰϲ ταῦτα *scil.* τὰ κατὰ φύϲιν ὄντα *commutetur, unum esse dicit"* ἓν L: *om.* VR φάϲκει LR^2: φάϲκειν VR 16 μεταβάλλον LR^2: μεταβάλλων VR 17 καὶ *om.* L εὔλογον *in ras.* L: εὐλόγωϲ VR 18 φηϲιν VR 19 τε L: *om.* VR 20 καὶ *om.* L 21 τοὺϲ R^2: τὴν L: τὸ VR γιγνομένουϲ VR: ου *rurs.* R^2 23 πραϲοειδὴϲ LR^2: πραϲώδηϲ V: προϲώδηϲ R 26 ἤλγεον, *sed ipse corr.* R

Ἔμπροσθεν μὲν αὐτοὺς τοὺς λόγους διέβαλλεν, οὓς ἔλεγον οἱ ἓν εἶναι τὸν ἄνθρωπον ὑπολαβόντες, ἀποδείξας οὐ μόνον ἀναποδείκτους, ἀλλὰ καὶ ἀπιθάνους· τὰ νῦν δὲ τὴν δόξαν αὐτῶν ἀνατρέπει τῶν ἓν οἰομένων εἶναι τὸν ἄνθρωπον. ἔστι δὲ οὐ ταὐτὸν ἢ λόγον προτεινόμενον ἐλέγχειν ἢ δόξαν ὡς οὐκ ἀληθῆ διαβάλλειν· ἐνδέχεται γὰρ ἀληθῆ μὲν εἶναι τὴν δόξαν, οὐκ ὀρθῶς δὲ ὑπό τινων συνηγορεῖσθαι καὶ διὰ τοῦτο μὴ τῆς δόξης τὸν ἔλεγχον, ἀλλὰ τῶν συνηγορησάντων αὐτῇ γεγονέναι. νῦν οὖν ἐάσας τοὺς λόγους αὐτῶν ἐλέγχει τὴν δόξαν αὐτὴν μόνην ἐφ᾽ ἑαυτῆς οὐ μόνον ἰσχυροτάτῳ χρησάμενος, ἀλλὰ καὶ βραχυτάτῳ λόγῳ· εἶπε γάρ· εἰ ἓν ἦν ὁ ἄνθρωπος, οὐδέποτ᾽ ἂν ἤλγεεν. ὅντινα λόγον ἔφην ἐξελέγχειν καὶ τοὺς ἄτομα καὶ ἄναρμα καὶ ἐλάχιστα στοιχεῖα τιθεμένους. ἓν γὰρ τῷ εἴδει καὶ κατὰ τούτους | ἐστὶ τὸ ὄντως ὄν. οὕτω δὲ καὶ ὠνόμασται τὸ πρῶτον σῶμα τὸ ἀγέν- 37
νητόν τε καὶ ἄφθαρτον, ἐπειδὴ τἆλλα πάντα τὴν γένεσιν ἐκ τῆς ἐκείνου συνθέσεως λαμβάνει· γενήσεται γὰρ ἡ ἐκ τούτων δόξα τὴν γένεσιν ἡμῶν ἐν ποιᾷ συνθέσει τῶν ἀιδίων ἐκείνων σωμάτων τιθεμένη, καθάπερ ἡ Ἱπποκράτους ἐν τῇ κράσει τῶν τεσσάρων στοιχείων, ἣν Ἀριστοτέλης τε καὶ οἱ Στωϊκοὶ προσήκαντο. ὅτι δέ, εἴπερ ἓν ἦν ἁπλοῦν στοιχεῖον, οὐκ ἂν ἤλγησε τὸ συγκείμενον ἐκ τοῦ τοιούτου στοιχείου σῶμα, τεκμήριον εἶναί φησι τὸ μηδὲν ἕτερον ὑπάρχειν δεύτερον εἰς αὐτὸ δρᾶσαι δυνάμενον. οὐ γὰρ δὴ αὐτό γε ὑφ᾽ ἑαυτοῦ πάσχειν ἐγχωρεῖ τὸ ἓν ἐκεῖνο σῶμα πρὸς τῷ καί, εἰ συγχωρήσειέ τις ἀλγεῖν αὐτὸ πάσχον ἐξ ἑαυτοῦ, τὴν ἴασιν ἁπλῆν ἔσεσθαι· οὐκ ὄντων γὰρ πολλῶν παρ᾽ αὐτῷ πολλοὺς τρόπους ἰάσεως ἀδύνατον γενέσθαι· νῦν δὲ πολλοί.

I 7 [2. VI 36, 1—5 L.] Πολλὰ γάρ ἐστιν ἐν τῷ σώματι ἐνεόντα, ἃ | ὅταν παρ᾽ ἀλλήλων παρὰ φύσιν θερμαίνηται καὶ ψύ- 38
χηται καὶ ξηραίνηται καὶ ὑγραίνηται, νόσους τίκτει· ὥστε πολλαὶ μὲν ἰδέαι τῶν ἀλγημάτων, πολλὴ δὲ ἡ ἴησίς ἐστιν.

Ἐν μὲν τῇ πρὸ ταύτης ῥήσει τοὺς ἕν τι λέγοντας εἶναι τὸν ἄνθρωπον, ὅπερ ταὐτόν ἐστι τῷ φάναι τὸ συνθετικὸν αὐτοῦ στοιχεῖον ἓν

10 βραχυτάτῳ λόγῳ] *cf. Gal. I 415 ex. K.* 11 ἔφην] *cf. supra p. 19, 4 sqq.* ἄτομα καὶ ἄναρμα κτέ] *cf. Gal. I 416 K* 17 Ἀριστοτέλης τε καὶ οἱ Στωικοί] *cf. p. 19, 6 sq.*

1 λέγουσιν L 2 ὑπολαμβάνοντες L 9 ἀφ᾽ VR 10 εἶπε γὰρ L: εἴπερ VR εἰ L: *om.* VR οὐδέποτ᾽ L: οὐκ VR 11 ἤλγεεν L *et in ras.* R²: ἤλγησεν VR ἐξελέγχει V ἄναρμα καὶ ἄτομα L 12 τούτους LV *et in ras.* R²: τοσούτους R 13 καὶ L: *om.* VR ὀνόμασται R 14 ἄφαρθον *(sic)* R 15 γεννήσεται L 17 ἡ V *et supr. scr.* R: ὁ L ἱπποκράτης L τεσσάρων] δ̄ V 18 οἱ *om.* V 19 ἤλγε VR: γ *in ras.* V¹ 20 φασι V μηδὲν LR²: μηδὲ V: μηδ᾽ R 21 ὑφ᾽] παρ᾽ R: *in ras. corr.* R² 22 ἐκείνῳ R: *in ras. corr.* R² καὶ εἰ] εἰ καὶ L 23 αὐτῷ LR²: αὐτὸ VR 24 νῦν δὲ πολλοὶ *del., deinde* νυνὶ δὲ πολλὰ *scr. et lemmati seq. praepos. e cod. Hipp. Aldina* 26 ἃ ὅταν ... ἀλγημάτων *(28) non exar.* R 27 ὥστε V *et Hipp.*: ὡς L 28 νοσημάτων V 29 πρὸς V 30 ἐστὶ ταὐτὸν VR τῷ] τὸ L

εἶναι, διήλεγξεν ἐκ τῶν ἀκολουθούντων ἀτόπων τῇ δόξῃ· οὐ γὰρ ἠλγήσαμεν ⟨ἄν⟩ ποτε μηδενὸς ὄντος δευτέρου τοῦ διαθεῖναι τὸ ἓν ἐκεῖνο δυναμένου· εἶτ᾽, εἰ καὶ τοῦτο συγχωρήσαιμεν, ἡ ἴασις ἂν γένοιτο μονοειδής, οὐ πολυειδής. ἐν δὲ ταύτῃ τῇ νῦν ἡμῖν προκειμένῃ ῥήσει διῆλθεν, ὅσα μέλλει δείξειν ὄντα πρώτως, ὑφ᾽ ὧν τἄλλα πάντα γίνεται· ταῦτα δέ ἐστι θερμὸν καὶ ψυχρὸν ξηρόν τε καὶ ὑγρόν· ἃ ὅταν μὲν ἀλλήλοις κραθῇ συμμέτρως, ὑγιαίνει τὸ ζῷον, ὅταν δ᾽ ἄλληλα θερμαίνῃ καὶ ψύχῃ καὶ ξηραίνῃ καὶ ὑγραίνῃ, τὰς ὀδύνας γεννᾶν πέφυκεν οὐχ
39 ἑνὶ τρόπῳ θεραπευομένας· ἔνιαι μὲν γὰρ | αὐτῶν θερμαινομένων τῶν ὀδυνωμένων μορίων, ἔνιαι δὲ ψυχομένων ἢ ξηραινομένων ἢ ὑγραινομένων παύονται. δέδεικται δὲ περὶ τούτων ἐπὶ πλεῖστον ἐν τοῖς Περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως κἀν τοῖς τῆς Θεραπευτικῆς μεθόδου. χεῖρον δ᾽ οὐδὲν εἰπεῖν τι καὶ νῦν βραχὺ πρόδηλον ἔχοντα τὴν ἔνδειξιν τοῦ διὰ τὸ θερμόν τε καὶ ψυχρὸν ὑγρόν τε καὶ ξηρὸν ἀλγεῖν τε ἡμᾶς καὶ θεραπεύεσθαι. τίς γὰρ οὐκ οἶδε τὴν γινομένην ὀδύνην, ὅταν ἐν χειμῶνί τις ἰσχυρῷ προελθεῖν ἔξω τῆς οἰκίας ἐπιχειρήσῃ, τίς δ᾽, ὅταν ἐν καύματι σφοδρῷ; τίς δὲ οὐκ ὀδυνᾶται διψῶν ἢ τίς πληρωθεὶς ποτοῦ, τοῦ μὲν διψῆν ξηραινομένων ἡμῶν γινομένου, τοῦ δ᾽ ὑπερεμπεπλῆσθαι τὴν ἐναντίαν διάθεσιν ἐργαζομένου; καὶ αἱ φλεγμοναὶ δὲ καὶ πάντες οἱ ὀδυνηροὶ καὶ παρὰ φύσιν ὄγκοι ποτὲ μὲν ὑπὸ περιττῆς ὑγρότητος εἰς τὸ μόριον ἐπιρρυείσης γίνονται, ποτὲ δὲ τῷ τοὺς χυμοὺς ἤτοι θερμοὺς παρὰ φύσιν ἢ ψυχροὺς εἶναι. καὶ μέντοι καὶ αἱ ἰάσεις τῷ μὲν ὑγρότητος ὑπερπληρωθέντι σώματι διὰ κενώσεως
40 γίνονται, τῷ δὲ παρὰ φύσιν | ξηραινομένῳ δι᾽ ὑγροῦ προσφορᾶς, ὥσπερ γε καὶ τῷ μὲν διὰ κρύος ὀδυνωμένῳ θερμανθέντι, τῷ δὲ διὰ θάλπος ἄμετρον ψυχθέντι. δέδεικται δὲ καὶ τὰ φάρμακα πάντα διὰ τοῦ θερμαίνειν ἢ ψύχειν ἢ ξηραίνειν ἢ ὑγραίνειν ἐνεργοῦντα. πρῶται γὰρ αὗται αἱ ποιότητές εἰσι δραστικαί τε καὶ ἀλλοιωτικαὶ τῶν σωμάτων, ὡς ἐπεδείξαμεν ἐν τῷ Περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων. ἕπονται δὲ αὐταῖς αἵ τε κατὰ γεῦσιν ποιότητες, ὧν ὀνόματα στύψις καὶ αὐστηρό-

11 Περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως] *Gal. XI 379 sqq. K.* 12 Θεραπευτικῆς μεθόδου] *Gal. X 1 sqq. K.* 29 Περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων] *Gal. I 474 sqq. K.*

1 εἶναι *om.* L ἀτόπων *om.* L 2 ἂν *addidi* ὄντος *om., sed ipse supr. scr.* R 3 τοῦτο LR²: *om.* VR συγχωρήσομεν L μονοειδὴς LR²: *om.* VR 4 οὐ] τοῦ R: *corr.* R² ἡμῖν LR²: *om.* VR 5 δεῖξαι L 6 θερμὸν καὶ ψυχρὸν LR²: ψυχρὸν καὶ θερμὸν VR ξηρόν τε] καὶ ξηρὸν L 9 θεραπευομένας] θεραπείας ἰωμένας VR: θεραπείας ἰωμένων L: *correxi; cf. v. 15* 10 ὀδυνομένων R: *corr.* R² 11 τοῖς] ταῖς *codd.*: *corr. Aldina* 13 *post* μεθόδου *add.* γράμμασι *Aldina; haud necessarium* 14. 15 ξηρόν τε καὶ ὑγρὸν L 16 προσελθεῖν L 17 ἐπιχειρήσει R: *corr.* R² δὲ L: *om.* VR 18 πότου L διψεῖν R 19 ὑπερεκπεπλῆσθαι V 20 οἱ παρὰ φύσιν ὀδυνηροὶ ὄγκοι L 21 ἐπιρρυήσεις R 23 τῷ L: τῶν VR ὑπερπληρωθέντων VR σώματι *om.* L: σωμάτων VR: *correxi* 24 τῷ L: τῶν VR ξηραινομένων VR ὑγρῶν VR 25 γε L: *om.* VR κρύους VR ὀδυνομένῳ *(sic)* R: ὀδυνωμένους V θάλπους ἀμέτρου VR 29 ἱπποκράτην R²: ἱπποκράτη L: ἱπποκράτους VR δὲ LR²: γὰρ VR 30 τε *om.* L

της καὶ στρυφνότης καὶ πικρότης ἁλυκότης τε καὶ δριμύτης ὀξύτης τε καὶ γλυκύτης καὶ λιπαρότης, αἵ τε κατὰ χροιὰν ἐν λευκότητι καὶ μελανότητι καὶ ἐρυθρότητι καὶ ταῖς ὁμογενέσιν, αἵ τε κατὰ ἁφὴν ἐν σκληρότητι καὶ μαλακότητι καὶ κραυρότητι καὶ γλισχρότητι. ταῖς γευσταῖς δ᾿ ἰσάριθμοί πώς εἰσιν αἱ κατὰ τὴν ὄσφρησιν, ἀλλ᾿ οὐκ ἔστιν αὐτῶν ὀνόματα κατ᾿ εἶδος· ἡ γὰρ κατ᾿ εὐωδίαν τε καὶ δυσωδίαν διαφορὰ τῶν ὀσμῶν αὐτὸ δὴ τοῦτο διαφορὰ προσηκόντως ἂν νομίζοιτο καὶ λέγοιτο πολλοῖς εἴδεσιν ἑπομένη.

τὰ μὲν δὴ κεφάλαια τοῦ λόγου ταῦτα. δέδεικται | δέ τινα μὲν αὐτῶν **41**
ἐν τῷ Περὶ τῶν καθ᾿ Ἱπποκράτην στοιχείων, τινὰ δὲ ἐν τῇ Περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ. οἱ πολλοὶ δὲ τὰς μὲν ἀποδείξεις ὀκνοῦσι μανθάνειν, ἀντιλέγουσι δὲ οἷς οὐκ ἴσασιν ἑτοίμως, οὗ τοὐναντίον οἱ φιλομαθεῖς τε καὶ ἀληθείας ἐρασταὶ πράττουσι φιλοπόνως μὲν ἐκμανθάνοντες τὰς ἀποδείξεις, ὀκνηρῶς δὲ ἀντιλέγοντες.

I 8 [2. VI 36, 5—12 L.] Ἀξιῶ δ᾿ ἔγωγε τὸν φάσκοντα αἷμα μόνον εἶναι τὸν ἄνθρωπον καὶ ἄλλο μηδὲν δεικνύναι αὐτὸν μὴ μεταλλάσσοντα τὴν ἰδέην μηδὲ γίνεσθαι παντοῖον, ἀλλ᾿ ἢ ὥρην τινὰ τοῦ ἐνιαυτοῦ ἢ τῆς ἡλικίης τῆς τοῦ ἀνθρώπου, ἐν ᾗ αἷμα ἐὼν φαίνεται μοῦνον ὁ ἄνθρωπος. εἰκὸς γάρ ἐστιν εἶναι μίαν γέ τινα ὥρην, ἐν ᾗ φαίνεται αὐτὸ ἐφ᾿ ἑωυτοῦ ἓν ἐόν. τὰ αὐτὰ δὲ λέγω καὶ περὶ τοῦ φάσκοντος φλέγμα εἶναι τὸν ἄνθρωπον καὶ περὶ τοῦ χολὴν φάσκοντος. |

Ἔτι καὶ νῦν ἀντιλέγει πρὸς τοὺς ἓν εἶναι φάσκοντας τὸν ἄνθρω- **42**
πον, ὅπερ ἐξ ἀρχῆς ἔφην αὐτῷ προκεῖσθαι. καὶ πρώτως γε ἐλέγχει τοὺς αἷμα φάσκοντας αὐτὸν εἶναι. μάλιστα μὲν γὰρ ἐχρῆν, φησί, τοὺς ὑγιαίνοντας ἀνθρώπους αἷμα μόνον ἔχειν ἐν τῷ σώματι χωρὶς χολῶν τε καὶ φλέγματος, εἴπερ ἡ φύσις αἷμα μόνον ἐστὶν ἐν τῷ σώματι, ἔπειτα δέ, εἰ καὶ συγχωρηθείη ποτὲ ἐπικτᾶσθαι χολὴν καὶ φλέγμα, καὶ ἡλικίαν μίαν τινὰ ἢ ὥραν τοῦ ἔτους εὑρίσκεσθαι, καθ᾿ ἣν αἷμα μόνον ἐστὶν ἐν τῷ σώματι χωρὶς τῶν ἄλλων χυμῶν. ὡσαύτως δὲ ἐλέγχει καὶ τοὺς ἤτοι

10 Περὶ τῶν καθ᾿ Ἱππ. στοιχείων] *cf. Gal. I 429 sqq. K.* Περὶ τῶν ἁπλῶν φαρμάκων] *Gal. XI 383 sq. 390 sq. et saepius* 15 *sqq. cf. Gal. I 439 sq K.* 17 *sqq. cf. Gal. I 501 K.*

1 ἁλοκότης R: *corr.* R² 2 χρείαν R: *corr.* R² 3 *post* κατὰ *add.* τὴν VR 5 *post* εἰσιν *add.* καὶ VR 6 τὰ ὀνόματα R² 9 ταῦτα] τοσαῦτα R: *corr.* R² 10 ἱπποκράτην R²V: ἱπποκράτη L: ἱπποκράτους R 13 ἀληθείας LR²: ἀληθεῖς VR μὲν L: *om.* VR 16 καὶ ἄλλο ... ἄνθρωπον *(22) non exar.* R 17 ἰδέαν L ἀλλ᾿ ἢ L: ἄλλην V 18 ἡλικίας L 19 ἐὼν L: ἐὸν V εἰκὸς L: εἰ V 20 γέ L: τέ V ἑωυτῷ V 21 τὰ L: ὅτι ἐστὶ· τὰ V 22 τοῦ L: τοὺς VR φάσκοντος] φάσκοντας *hic, recte v. 21* VR: *om.* L 23 εἶναι LR²: *om.* VR 24 προσκεῖσθαι VR πρώτους VR γε LR²: τε VR 26 χολῶν LR²: χολῆς VR 27 ἐν τῷ σώματι *om.* L 29 αἷμα LR²: *om.* VR 30 ἐλέγχων VR

χολὴν ἢ φλέγμα φάσκοντας εἶναι τὸν ἄνθρωπον, ὅπερ ἔστι τὸ κατὰ φύσιν εἶναι ⟨τοῦτο⟩ αὐτὸ μόνον, ἡγουμένους δὲ αὐτῷ καὶ τὴν πρώτην γένεσιν ἐκ τούτου τοῦ χυμοῦ γεγονέναι.

I 9 [3. VI 36, 12—16 L.] Ἐγὼ μὲν γὰρ ἀποδείξω, ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι, καὶ κατὰ τὸν νόμον καὶ κατὰ τὴν φύσιν ἀεὶ τὰ αὐτὰ ἐόντα ὁμοίως καὶ νέου ἐόντος καὶ γέροντος καὶ
43 τῆς ὥρης ψυ|χρᾶς ἐούσης καὶ θερμῆς καὶ τεκμήρια παρέξω καὶ ἀνάγκας ἀποφανέω, δι᾽ ἃς ἂν ἕκαστον αὔξηταί τε καὶ φθίνῃ ἐν τῷ σώματι.

Δείξειν ἐπαγγέλλεται διὰ παντὸς μὲν ἐν τῷ σώματι περιεχόμενα τὰ πρὸς αὐτοῦ τιθέμενα στοιχεῖα, κατὰ ⟨δὲ⟩ τὰς ἡλικίας καὶ κατὰ τὰς ὥρας αὔξησίν τε καὶ φθίσιν, ὅπερ ἔστι μείωσιν, ἴσχοντα. κατὰ τὸν νόμον μὲν οὖν ἐστι τὸ πρὸς τῶν ἀνθρώπων νομιζόμενόν τε καὶ δοξαζόμενον, οὕτως εἰωθότων ὀνομάζειν τῶν παλαιῶν, κατὰ φύσιν δὲ τὸ κατ᾽ αὐτὴν τῶν πραγμάτων τὴν ἀλήθειαν.

I 10 [3. VI 36, 17—18 L.] Πρῶτον μὲν οὖν ἀνάγκη τὴν γένεσιν γενέσθαι μὴ ἀφ᾽ ἑνός. πῶς γὰρ ἂν ἓν ἐόν τι γεννήσειεν ἄλλο, εἰ μή τινι μιχθείη;

44 Ὁ μὲν οὖν Ἱπποκράτης ἀεὶ τοῖς ἐναργῶς φαινομένοις | ἀκολουθεῖ· διὰ τοῦτο καὶ νῦν ἔφη μηδὲν ἀφ᾽ ἑνὸς γεννᾶσθαι χωρὶς τοῦ δεηθῆναί τινος ἔξωθεν ἑτέρου καὶ τούτου συμμέτρως ἔχοντος τῆς πρὸς αὐτὸ κράσεως. ἔνιοι δὲ τῶν φυσικῶν ὀνομασθέντων φιλοσόφων οὐκ οἶδ᾽ ὅπως ἐτόλμησαν ἀποφήνασθαι δόξαν ἀλλόκοτον ἅπασαν ἀνατρέπουσαν τὴν φυσικὴν θεωρίαν. ὁ ἓν γὰρ εἶναι τὸ ὂν εἰπὼν ἀναιρεῖ τῷ λόγῳ γένεσιν ἅπασαν. εἴπερ γὰρ ἓν τὸ γενόμενον, οὐκ ἦν ἔμπροσθεν, ὥσπερ οὐδὲ ἔσται μικρὸν ὕστερον. οὔτε γὰρ ὁ Θαλῆς οὔθ᾽ ὁ Μέλισσος οὐδ᾽ ὁ Ἡράκλειτος ἔμπροσθεν ἦσαν, εἰ νῦν εἰσιν· ἆρ᾽ οὖν ἀληθῶς ἄν τις εἴποι

16 *sqq. cf. Gal. I 440 K.*

1 φλέγμα L: φλεγμονὴν VR: μονὴν *del. et supr. scr.* μα, *deinde totum del. et in mg. scr.* φλέγμα μόνον, *denique rursus* μόνον *del.* R² ὅπερ ἔστι τὸ, *sed paulo obscurius* R: *in mg. rep.* R² 2 τοῦτο *addidi* ἡγουμένως R: *corr.* R² *post* δὲ *add.* ἐν LR² αὐτῷ] *i. e. homini*: τούτῳ *codd.*: *correxi* 5 καὶ κατὰ τὸν νόμον … ἀποφανέω (8) *non exar.* R 6 τὰ αὐτὰ L: ταὐτὰ V 7 ὥρης V *et Hipp.*: ὥρας L 11 καὶ *ante* κατὰ *(prius) add.* L δὲ *addidi* κατὰ *ante* τὰς ὥρας *om.* VR 12 φθίσιν] μείωσιν L μείωσιν] φθίσιν L τὸν LR²: *om.* VR 13 οὖν *in ras.* V¹ πρὸς] πρὸ R: *corr.* R² τῶν *om.* L 14 παλαῖων] παχιῶν R: *corr.* R² 15 τὴν *ante* τῶν *transpos.* L 17 γίνεσθαι R τῶς V ἂν *om.* L ἓν *om.* VR 18 ἄλλῳ R 19 οὖν *om.* L 20 καὶ διὰ τοῦτ᾽ *colloc.* L νῦν *om.* L 22 δὲ LR²: *om.* VR ὀνομασθέντων φυσικῶν L 23 ἀλόκοτον VR πᾶσαν R: *mut.* R² 24 ἓν γὰρ] γὰρ ἓν R² ὂν LR²: πᾶν VR 25 τὴν γένεσιν L γὰρ] γε L ἓν *om.* L 26 ἔσται L: ἔσεται R²: ἐσεῖται VR θαλλῆς L εἰ] ἢ *codd.*: *corr. Diels*

μὴ γεγονέναι τούτους τοὺς ἄνδρας; ἢ ἐγένοντο μὲν καὶ ἔζησαν ἔτεσιν οὐκ ὀλίγοις ἕκαστος, οὐκ ἦσαν δὲ καθ᾽ ὃν ἔζων χρόνον; ἢ τὸ μὲν εἶναι κατ᾽ ἐκεῖνον τὸν χρόνον αὐτοὺς συγχωρήσομεν, ὄντας δὲ οὐκ εἶναι φήσομεν, ἡνίκα ἦσαν; καὶ μὴν εἴπερ ὄντας τις αὐτοὺς ὁμολογήσει, ὁμολογήσει καὶ γεγονέναι. πῶς δέ; πλάτανος καὶ λίθος καὶ λέων οὐκ ἦσαν πάλαι, γένεσιν ἔχοντα καὶ φθοράν; εἴπερ δὲ ἔστι γένεσις τοῦ πρότερον οὐκ ὄντος, ἀναγκαῖον αὐτὴν ἔκ τινος | ὑποκειμένης 45 οὐσίας γενέσθαι. ταύτην δ᾽ ὁρῶμεν οὐ δυναμένην αὐτὴν καθ᾽ αὑτὴν μόνην ὁτιοῦν γεννῆσαι. τὰ γοῦν τῶν φυτῶν σπέρματα καὶ ὑγρότητος καὶ θερμασίας συμμέτρου τῆς ἔξωθεν δεῖται πρὸς τὸ γεννῆσαί τι. μόνον γὰρ εἴπερ ἐπεφύκει γεννᾶν τὸ σπέρμα μηδενὸς ἄλλου προσδεόμενον ἔξωθεν, οὐκ ἂν διέμεινεν οὐδὲ ἐν ἐλαχίστῳ χρόνῳ χωρὶς τοῦ γεννᾶν, ἀλλ᾽ εὐθὺς ἂν ἐφύετο. φαίνεται δὲ διαμένοντα πολλάκις οὐ μῆνας μόνον, ἀλλὰ καὶ ἐνιαυτοὺς οὐκ ὀλίγα τῶν σπερμάτων· οὐ γὰρ ἐξ ἑαυτῶν μόνον ἔχει τὸ γεννᾶν, ἀλλὰ δεῖταί τινος ἔξωθεν ἐπικουρίας καὶ ταύτης οὐ κατὰ θίξιν ἁπλῆν γινομένης, ἀλλὰ κατά τινα τοῦ ψαύοντος δύναμιν εἴσω διαδιδομένην εἰς ὅλον τὸ ψαυόμενον, εἴ γε δι᾽ ὅλου φαίνεται τὴν ἀλλοίωσιν ἴσχον ἐν ταῖς γενέσεσι τὸ σπέρμα κατά τε τὰ δένδρα καὶ τὰς πόας καὶ ὅλως τὰ φυτά, πολὺ δὲ μᾶλλον ἐπὶ τῶν ζῴων ἐναργῶς φαίνεται μήτ᾽ ἐξ ἄρρενος μόνου μήτ᾽ ἐκ θήλεος ἄνευ τοῦ μιχθῆναι δυνάμενόν τι γενέσθαι.

I 11 [3. VI 36, 18—38, 2 L.] Ἔπειτα οὐδ᾽, ἂν μὴ ὁμόφυλα 46 ἐόντα μίσγηται καὶ τὴν αὐτὴν ἔχοντα δύναμιν, γεννᾷ οὐδ᾽ ἂν τὰ αὐτὰ ἡμῖν ξυντελοῖντο.

Οὐ μόνον ἐξ ἑνὸς ἀδύνατον εἶναι γεννηθῆναί τί φησιν, ἀλλ᾽ οὐδ᾽ ἐκ δυοῖν, εἰ μὴ ὁμόφυλα ἐόντα μίσγοιτο, τουτέστιν οἰκειότητα τῆς οὐσίας ἔχοντα. φαίνεται δὲ καὶ ταῦτα σαφῶς ἐπὶ τῇ τῶν ἑτερογενῶν ζῴων γενέσει γινόμενα, καθάπερ ἐφ᾽ ἵππων ἔχει καὶ ὄνων ἀλωπέκων τε καὶ κυνῶν· ἐκ γὰρ τῆς τούτων ἐπιμιξίας γεννᾶταί τι ζῷον οἷον μικτὸν ἐξ ἀμφοῖν, ὅσα δ᾽ ἐπὶ πολὺ διεστῶσαν ἀλλήλων ἔχει τὴν φύσιν, οὐδ᾽, ἂν μιχθῇ ποτε, δύναται γεννῆσαί τι.

τὸ δ᾽ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως προσκείμενον οὐδ᾽ ἂν τὰ αὐτὰ

1 ἐγένετο, *sed ipse corr.* R: *rurs. planius corr.* R^2 5 ὁμολογήσει *utrumque* LR^2: *alt. om.* VR πλάτωνος, *sed ipse corr.* R: *rurs. corr.* R^2 6 πάλαι *et supr. scr.* ιν L 7 προτέρου V 9 μόνην VR: μόνον L ὁτιοῦν LR^2: ὁτιοῦν μόνον VR: μόνον *fortasse varia lectio fuit ad* μόνην *pertinens; cf.* L γεννῆσαι L: γεννῆσθαι VR: γεγενῆσθαι V^1 10 γεννῆσαί L: γεννῆσθαί VR: γεγενῆσθαί V^1 12 ἔξωθεν LR^2: *om.* VR οὐδὲ *om.* L χρόνῳ *om.* V 13 ἐφύετο LR^2: ἐφαίνετο VR μόνον μῆνας L 15 ἔχει μόνον L ἐπικουρίας ἔξωθεν L 16 θίξιν] μίξιν V 17 ψαυόμενον LR^2: ψαῦον VR 19 ὅλως τὰ L: τὰ ὅλα VR δὲ] δὴ R^2 20 θήλεος LR^2: θήλυος VR 23 ὄντα L μίγνυται VR 26 ἐόντα] ἔχοντα R μίσγηται L: μίγοιτο *(sic)* V: μίγνοιτο R: *correxi* 27 τῇ] τῆς L 28 γενέσει R^2: γενέσεως L: *om.* VR γιγνόμενα R: μιγνόμενα *(sic)* V 29 τι L: τὸ VR 30 ἔχει τὴν φύσιν ἀλλήλων L

ἡμῖν ξυντελοῖντο παρέρχονται μὲν ὡς caφὲς οἱ ἐξηγηcάμενοι τὸ βιβλίον, ἀcαφὲς δέ ἐcτιν ἢ μὴ καλῶς ἡρμηνευμένον ὑπὸ τοῦ γράψαντος ἢ διὰ τοὺς μεταγραψαμένους ἡμαρτημένον. ὃ δ' οὖν μοι δοκεῖ
47 βούλεcθαι δηλοῦν, | ἔcτι τοιόνδε· κἂν μὴ ὁμοειδὲς ᾖ τὸ μιγνύμενον ζῷον ἕτερον ἑτέρῳ, κοινωνίαν δεῖ τινα τῆς φύcεως, φηcίν, εἶναι ἢ οὐκ ἂν τὰ αὐτὰ ἡμῖν ξυντελοῖντο, τουτέcτιν οὐκ ἂν γέννηcις ἐκ τῆς cυνόδου γένοιτο ζῴου τοῖς γεννήcαcιν ὁμοίου. τάχα δὲ καί ἡ ῥῆcις οὐχ οὕτως εἶχεν· οὐδ' ἂν τὰ αὐτὰ ἡμῖν ξυντελοῖντο.

I 12 [3. VI 38, 2—5 L.] Εἰ γὰρ μὴ τὸ θερμὸν τῷ ψυχρῷ καὶ τὸ ξηρὸν τῷ ὑγρῷ μετρίως πρὸς ἄλληλα ἕξει καὶ ἴcως, ἀλλὰ τὸ ἕτερον τοῦ ἑτέρου πολὺ προέξει καὶ τὸ ἰcχυρότερον τοῦ ἀcθενεcτέρου, ἡ γένεcις οὐκ ἂν γένοιτο.

Ἔμπροcθεν μὲν ἔφη μὴ δύναcθαι γόνιμον γένεcιν ἀποτελεcθῆναι μηδενός, εἰ μὴ ὁμόφυλα εἴη τὰ cυνιόντα· ⟨νυνὶ δὲ προcτίθηcιν, ὅτι⟩ καὶ αὐτῶν δὲ τῶν ὁμοφύλων ἡ cύνοδος οὐκ ἐξ ἀνάγκης γεννᾷ. λέλεκται δὲ ἐν τοῖς Ἀφοριcμοῖς ὁ λόγος οὗτος αὐτῷ τέλειος, ἔνθα
48 φηcίν· „ὁκόcαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχου|cιν, οὐ κυΐcκονται. καὶ ὁκόcαι καθύγρους ἔχουcι τὰς μήτρας, οὐ κυΐcκονται· ἀποcβέννυται γὰρ ὁ γόνος. καὶ ὁκόcαι ξηρὰς μᾶλλον καὶ περικαέας· ἐνδείῃ γὰρ τροφῆς φθείρεται τὸ cπέρμα. ὁκόcαι δ' ἐξ ἀμφοτέρων τῇ κράcει ἔχουcι

9 *sqq. cf. Gal. I 478 sq. K.* 16 Ἀφοριcμοῖς] *V 62 (IV 554, 12—556, 2 L.)*

4 τοιόνδε ἐcτὶ L 5 δεῖ L: δὴ VR φηcίν *om.* L 5. 6 ἢ οὐκ ἂν L: οὐ γὰρ ἂν (οὐ *in ras.* V¹) VR 6 ξυντελοῖτο L: cυντελοῖντο VR: cυντελέοιντο *Aldina: secundum p. 25, 24 et 26, 1 correxi* γένεcις VR 8 ξυντελοῖτο L: cυντελοῖντο V: cυντελοῖτο R: cυντελέοιτο *Aldina: correxi* 9 γὰρ μὴ] μὴ γὰρ L 10 μετρίως . . . προέξει *(11) non exar.* R 12 γένεcις V *et Hipp.*: γέννηcις L 13 ἔφην V γένεcιν *om.* L 14 μηδενὸς] μηδὲν *codd.*: *correxi* νυνὶ δὲ προcτίθηcιν ὅτι *addidi; plane simili more* ἔμπροcθεν μὲν εἴρηκεν . . . νυνὶ δὲ προέθετο *(sic ibi recte) Gal. XVI 564 in. K.; cf. etiam supra p. 21, 1 sqq.* 16 ἐν] κἀν L 18. 19 ἀποcβέννυται γὰρ ὁ γόνος *non hoc loco, sed post prius* κυΐcκονται *(17) hab.* L 19 περικαέcας R: *corr.* R² τῆς τροφῆς R²

---

stemma γενέcεως
a Galeno secundum Hippocratem hoc commentario constitutum

ὕλη — ποιότητες (ἀρχαί)
|
ἀήρ, πῦρ, γῆ, ὕδωρ (cτοιχεῖα)
|
αἷμα, χολὴ διττή, φλέγμα (χυμοί)
|
ἴς, ὑμήν, cάρξ, πιμελή, ὀcτοῦν, χόνδρος, cύνδεcμος, νεῦρον, μυελός κτέ. (ὁμοιομερῆ, αἰcθητὰ cτοιχεῖα)
|
ἀρτηρίαι, φλέβες, μύες, νεῦρα, cπλάγχνα, μήτρα, κύcτις, νεφροί, cπλήν, ἧπαρ, πνεύμων, καρδία, ὀφθαλμοί, γλῶττα, χείρ κτέ. (ὄργανα)
|
ἄνθρωπος

συμμέτρως, ἐπίτεκνοι γίνονται.“ ἐν τούτῳ τῷ λόγῳ διδάσκει μὲν καὶ διὰ τίνας αἰτίας ἄγονοι γίνονται γυναῖκες, ἐνδείκνυται δὲ καὶ τὸ τούτῳ συνεπόμενον, ὑπὲρ οὗ καὶ ἡ μ ε ῖ ς ἑτέρωθι καὶ ἄ λ λ ο ι π ο λ λ ο ὶ πρὸ ἡμῶν ἔγραψαν. ἐδήλωσε δὲ καὶ Π λ ά τ ω ν οὐ σμικρὰν τέχνην εἰπὼν εἶναι, καθ' ἣν ἐπίσταταί τις ζευγνύναι τοὺς ὁμόλογον κρᾶσιν ἔχοντας εἰς γέννησιν ἄνδρας τε καὶ γυναῖκας. ἃ γὰρ ἐπὶ τῶν κράσεων τῆς μήτρας εἶπε, ταῦτα καὶ ἐπὶ τῆς τοῦ σπέρματος κράσεως ἐννοῆσαι χρή· καὶ γὰρ καὶ τοῦτο ποτὲ μὲν ὑγρότερόν ἐστι τοῦ δέοντος ἢ ψυχρότερον, ἔστι δ' ὅτε ξηρότερον ἢ διακαέστερον. οἰκεῖον δέ ἐστι τῇ μὲν ξηροτέρᾳ μήτρᾳ τὸ ὑγρότερον σπέρμα, τῇ δὲ ὑγροτέρᾳ τὸ ξηρότερον, ὥσπερ γε καὶ τῇ μὲν θερμοτέρᾳ τὸ ψυχρότερον, τῇ δὲ ψυχροτέρᾳ τὸ θερμότερον. ὑπὲρ ὧν | ἐπὶ πλέον ἔν γε τῷ περὶ τεκνογονίας λόγῳ διερχόμεθα· νυνὶ δ' ἀρκεῖ 49 γινώσκειν, ὅτι μήτε δυνατόν ἐστιν ἐξ ἑνός τι γενέσθαι μήθ', ὅταν ἐκ δυοῖν ἢ καὶ πλειόνων συνιόντων γίνηται, χωρὶς οἰκειότητος τῆς πρὸς ἄλληλα καὶ συμμετρίας τινὸς κράσεως τῆς ἐκ τῶν συνιόντων ἀποτελουμένης οἷόν τέ ἐστι γεννηθῆναι τοῦτο.

I 13 [3. VI 38, 5—7 L.] Ὥ σ τ ε π ῶ ς ε ἰ κ ὸ ς ἀ π ὸ ἑ ν ό ς τ ι γ ε ν ν η θ ῆ ν α ι, ὅ π ο υ γ ε ο ὐ δ ὲ ἀ π ὸ τ ῶ ν π λ ε ι ό ν ω ν γ ί ν ε τ α ι, ε ἰ μ ὴ τ ύ χ ο ι κ α λ ῶ ς ἔ χ ο ν τ α τ ῆ ς π ρ ὸ ς ἄ λ λ η λ α κ ρ ή σ ι ο ς;

Τὰ μὲν ἄλλα τῆς ῥήσεως ἐκ τῶν προειρημένων ἐστὶ δῆλα, μεμνῆσθαι δὲ χρὴ τοῦ κατ' αὐτὴν ὀνόματος εἰρημένου τοῦ τῆς κράσεως, ὅπερ διὰ τοῦ κ ρ ή σ ι ο ς εἶπεν, ὅτι πρῶτος ὧν ἴσμεν Ἱ π π ο κ ρ ά τ η ς ἀπεφήνατο κεράννυσθαι τὰ στοιχεῖα, καθάπερ καὶ μικρὸν ἔμπροσθεν ἐδείχθη, καὶ ταύτῃ διήνεγκεν Ἐ μ π ε δ ο κ λ έ ο υ ς· κἀκεῖνος γὰρ ἐκ μὲν τῶν αὐτῶν | στοιχείων, ὧν καὶ Ἱ π π ο κ ρ ά τ η ς, γεγονέναι φησὶν ἡμᾶς τε καὶ τὰ ἄλλα 50 σώματα πάντα τὰ περὶ τὴν γῆν, οὐ μὴν κεκραμένων γε δι' ἀλλήλων, ἀλλὰ κατὰ σμικρὰ μόρια παρακειμένων τε καὶ ψαυόντων. ὅτι δὲ καὶ ἥδε ἡ δόξα τοὺς αὐτοὺς ἐλέγχους ἔχει ταῖς ἐξ ἀναισθήτων καὶ ἀπαθῶν τῶν πρώτων σωμάτων τὸ αἰσθητικὸν σῶμα γεννώσαις δόξαις, ἐπιδέδεικται διὰ τοῦ Περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ὑπομνήματος, ἔνθα

3 ἡμεῖς] Περὶ σπέρματος *IV 512 sqq. K.* 4 Πλάτων] *Theaet. 149 D—E* 12 περὶ τεκνογονίας] *librum certum non spectat* 17—19 *cf. Gal. I 440 K.* 23 ἔμπροσθεν] *cf. supra p. 18, 22—19, 12* 30 Περὶ τῶν καθ' Ἱππ. στοιχείων] *Gal. I 484 sq. K.*

2 διά τινας VR 3 συνεπόμενον LR^2: ἑπόμενον VR πολλοὶ *om.* L 4 μικρὰν L εἶναι LR^2: *om.* VR 5 εἰς γέννησιν] εἰς γένεσιν VR: *om.* L: *correxi* 7 ἐπὶ L: περὶ VR 9 ἢ LR^2: τε καὶ VR 10 γε *om.* L 12 γε LR^2: *om.* VR περὶ *om.* L τεκνολογίας, *deinde* λ *in* γ, *sed* γ *non mut.* R: τεκνοποιίας L 13 γίγνεσθαι VR 16 τέ LR^2: *om.* VR 17 ἀπὸ ἑνὸς *om.* L 18 γίνεται (*vel* γεννᾶται) *codd. Hipp.*: γίνονται L: γίγνονται VR τύχῃ VR 19 τῆς κράσεως τῆς πρὸς ἄλληλα VR 20 τῆς ῥήσεως LR^2: τῶν ῥήσεων VR ἐστὶ] εἰσὶ L 21 αὐτὴν LR^2: αὐτὰς VR 24 ἐμπεδοκλέους LR^2: διοκλέους VR κἀκεῖνο V μὲν *ante* γὰρ *transp.* L 25 ὁ ἱπποκράτης L τε] γε VR: *om.* L: *correxi* 27 κατὰ *bis* L μικρὰ VR 28 καὶ ἀπαθῶν *om.* L 29 γεννώσεις, *sed ipse supr. scr.* αι R 30 τῶν L: τὸν VR ἱπποκράτη L

καὶ πασῶν σχεδὸν τῶν φυσικῶν δοξῶν ἐμνημονεύσαμεν, ὅσαι περὶ τῶν πρώτων ἀρχῶν ἢ στοιχείων γεγόνασιν.

I 14 [3. VI 38, 7—10 L.] Ἀνάγκη τοίνυν, τῆς φύσιος τοιαύτης ὑπαρχούσης καὶ τῶν ἄλλων ἁπάντων καὶ τῆς τοῦ ἀνθρώπου, μὴ ἓν εἶναι τὸν ἄνθρωπον, ἀλλ᾿ ἕκαστον τῶν ξυμβαλλομένων εἰς τὴν γένεσιν ἔχειν τινὰ δύναμιν ἐν τῷ σώματι, οἵηνπερ ξυνεβάλλετο. |

51 Προειρηκὼς ὁ Ἱπποκράτης, εἰ μὴ τὸ θερμὸν τῷ ψυχρῷ καὶ τὸ ξηρὸν τῷ ὑγρῷ μετρίως κραθείη, τὰς γενέσεις τῶν γεννητῶν δηλονότι σωμάτων ἀδύνατον εἶναι γενέσθαι, νῦν δὴ σαφῶς οὐκ ἀνθρώπου μόνον, ἀλλὰ καὶ πάντων, ὅσα γένεσιν ἔχει καὶ φθορὰν σώματος, ἐκ τῶν αὐτῶν εἶναι τὴν γένεσίν φησιν· ἐκ θερμοῦ γὰρ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ πάντα γεγονέναι καὶ διὰ τοῦτο κοινὰ πάντων εἶναι ταῦτα στοιχεῖα. τὰ δὲ ἴδια τῆς τοῦ ἀνθρώπου φύσεως αἷμα καὶ φλέγμα καὶ χολὴ ξανθή τε καὶ μέλαινα. καίτοι γ᾿ οὐδὲ ταῦτα ἴδια καλῶς ἂν λέγοιτο· κοινὰ γάρ ἐστιν ἁπάντων τῶν ἐναίμων ζῴων. εὔδηλον δ᾿ ὅτι καὶ τούτων ἕκαστον ἐκ τῶν πρώτων τεττάρων γέγονεν, ἅπερ ἀπὸ τῶν ποιοτήτων ὀνομάζοντες ὑγρὸν καὶ ξηρὸν καὶ ψυχρὸν καὶ θερμὸν λέγομεν· ἴδια δὲ τῆς οὐσίας αὐτῶν ἐστιν ὀνόματα πῦρ ἢ ὕδωρ ἢ ἀὴρ ἢ γῆ. πρόδηλον γὰρ ὅτι τὰ στοιχεῖα κατὰ τὰς ἁπλᾶς καὶ ἀμίκτους ποιότητας καλεῖται, θερμότητος μὲν ἄκρας ὑπαρχούσης ἐν πυρί, καθάπερ γε καὶ
52 ὑγρότητος ἐν ἀέρι, ψυχρότητος δὲ ἐν ὕδατι, ξηρό|τητος δὲ ἄκρας ἅμα πιλήσει τε καὶ ψύξει κατὰ τὴν γῆν. πῶς οὖν οἴονταί τινες ὑγρὸν μὲν καὶ ξηρὸν καὶ ψυχρὸν καὶ θερμὸν Ἱπποκράτην τίθεσθαι τὰ στοιχεῖα, (φαίνεσθαι γὰρ ἐν ἀνθρώπῳ ταῦτα), πῦρ δὲ καὶ ὕδωρ ἀέρα τε καὶ γῆν μὴ προσίεσθαι, (διότι μηδὲ φαίνεσθαί τι τούτων ἐν ἀνθρώπου σώματι); μὴ παρακολουθοῦντες μὴν ὅτι, ⟨εἰ⟩ τὰ φαινόμενα περὶ τὸ σῶμα

3 *sqq. cf. Gal. I 441 et 478 K.* 20 *sqq. cf. supra p. 18, 11 sqq. et Gal. I 468 K.*

1 ἐμνημονευσάμην VR 3 ἀνάγκη ... ἱπποκράτους *(p. 29, 7. 8), ubi lemmatis prior pars a Galeno recitatur, transsiluit* L 4 καὶ τῶν ... ξυμβαλλομένων *(6) non exar.* R πάντων *unicus per totum fere lemma codex* V; *sed recte infra p. 29, 9 omnes codd.* 6 συμβαλλομένων V; *sed recte* ξυνεβάλλετο *v. 7* VR 7 οἵηπερ V ξυνεβάλετο *Aldina* 10 νῦν R: ναὶ V μόνου R: *corr.* R^2 13 γέγονε *codd.: correxi* 14 τὰ *in ras.* V^1 15 γ᾿ R: δ᾿ V 16 εὔδηλον] εὔ *in ras.* V^1 τούτων] *significantur* αἷμα καὶ φλέγμα *bilisque utraque species* 17 ἕκαστα R: ἕνεκα V: *correxi* τῶν *(alt.) om.* V 22 ὑγρότης, *sed ipse corr.* R 24 ἱπποκράτη R^2 27 μὴν *codd.: perperam del. Cornarius* εἰ *ex* H *(v. paulo infra) addidi*: μὴ *addiderat Cornarius* *post* σῶμα *add.* μὲν ἐπὶ VR: *utpote interpolata delevi*: *locum in* VR (L *plane deficit) et in editionibus magna lacuna (v. infra) foede corruptum et in codicum* VR *archetypo male consarcinatum frustra sanare studuit pro* μὲν *scribens* λέγει *atque* ἐπὶ *simul cum sequentibus verbis* (*p. 29, 5* τὰ ... σῶμα) *delens Cornarius*: *punctorum triangulo supra* ἐπὶ *posito vitium iam indic.* R: ✡ *in mg.* R^2

⟨θερμὰ καὶ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρὰ κοινὰ λέγομεν εἶναι πάντων cωμάτων cτοιχεῖα, κατὰ τοῦτον τὸν λόγον καὶ λίθος καὶ τῶν ἐμψύχων τε καὶ ἀψύχων cωμάτων ἕκαcτον αἷμα ἔcται καὶ φλέγμα καὶ χολὴ διττή, καθάπερ ὀcτοῦν καὶ χόνδροc καὶ φλὲψ καὶ ἀρτηρία καὶ νεῦρον καὶ τἄλλα πάντα⟩ τὰ φαινόμενα κατὰ τὸ cῶμα θερμὰ καὶ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρά. τίc οὖν ταῦτα τολμήcει φάναι κοινὰ cτοιχεῖα πάντων εἶναι cωμάτων; οὐδεὶc δήπου τῶν καὶ βραδυτάτων, εἰρηκότοc τοῦ Ἱπποκράτουc· ἀνάγκη τοίνυν τῆc φύcιοc τοιαύτηc ἐούcηc καὶ τῶν ἄλλων ἁπάντων καὶ τῆc τοῦ ἀνθρώπου. ⟨χρὴ τοίνυν⟩ μὴ τὰ βλεπόμενα κατὰ τὸ cῶμα τἀνθρώπου θερμὰ καὶ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρὰ λέγειν αὐτὸν οἴεcθαι νῦν, ἀλλὰ τὰ τέτταρα cτοιχεῖα. ταῦτα γὰρ ἄκραc ἔχει καὶ ἀμίκτουc ποιότηταc, ἐξ ὧν ἀλλήλαιc κεραννυμένων τὰ μεταξὺ cώματα πάντα γίνεται κατ᾽ ἐπικράτειαν, οὐ κυρίωc ὀνομαζόμενα θερμὰ καὶ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρά. ὥc, εἴ γε ταῦτα τὰ ἤδη κε|κραμένα cτοιχεῖα θηcόμεθα, τὰ τὰc ἄκραc ἔχοντα ποιότηταc οὐκ **53** οἶδ᾽ ὅ τι φήcομεν εἶναι. καὶ κατὰ τὴν ἐχομένην δὲ ῥῆcιν ἐναργέcτερον ἔτι τὴν ἑαυτοῦ γνώμην ἐνδείκνυται, πρὸc ἣν ἤδη μεταβῶμεν.

I 15 [3. VI 38, 10—14 L.] Καὶ πάλιν γε ἀνάγκη ἀποχωρεῖν εἰc τὴν ἑωυτοῦ φύcιν ἕκαcτον τελευτῶντοc τοῦ cώματοc τοῦ ἀνθρώπου, τό τε ὑγρὸν πρὸc τὸ ὑγρὸν καὶ τὸ ξηρὸν πρὸc τὸ ξηρὸν καὶ τὸ θερμὸν πρὸc τὸ θερμὸν καὶ τὸ ψυχρὸν πρὸc τὸ ψυχρόν.

Ἀποχωρεῖν φηcι διακρινόμενον ἐν τῇ τελευτῇ τοῦ ἀνθρώπου πρὸc τὴν ἑαυτοῦ φύcιν ἕκαcτον τῶν προειρημένων cτοιχείων, ἃ θερμὸν ἐκάλει καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρόν, οὐ δήπου λέγων τὸ αἷμα πρὸc τὸ κατὰ τὸν κόcμον αἷμα καὶ τὸ φλέγμα πρὸc τὸ φλέγμα καὶ τὴν χολὴν

1 θερμὰ κτἑ.] *cf. paulo infra p. 29, 5 sqq. et p. 30, 11 sqq. 30, 23—27. 31, 23 sqq., quibus locis ad restituenda Galeni verba usus sum* 9 μὴ τὰ βλεπόμενα] *cf. p. 31, 25 sqq.* 18 *sqq. cf. Gal. I 476 sq. K.* 23 *sqq. cf. Gal. I 477 K.*

1 θερμὰ κτἑ.] *vastam lacunam e versione arabica supplevi; ‘und wer dies sagt, hat nicht verstanden, daß, wenn wir sagen, daß die heißen und die kalten und die trockenen und die feuchten Dinge, die sich im Leibe finden, dies die allen Körpern allgemeinen* cτοιχεῖα *sind: und es muß ja nach dem Beweise der Stein und ein jeder von den beseelten und ⟨nicht beseelten⟩ Körpern Blut und Phlegma und die Gallen sein, und die Knochen und die Knorpel und die schlagenden von den Adern und die nicht schlagenden und die Nerven und die übrigen Körper, die sich im Leibe des Menschen finden, heiß und kalt und feucht und trocken’* H 5 κατὰ] καθάπερ *codd.: ex* H *(v. supra) correxi* τολμήcειε *codd.: correxi* 7 βραχυτάτων *codd.: corr. Chartier: ‘der das geringste Verständnis besitzt’* H εἰρηκότωc, *sed* ο *supr.* ω R *post* εἰρηκότοc *add.* οὖν *Cornarius* 8 φύcεωc R: *corr.* R^2 9 χρὴ τοίνυν *addidi: ‘itaque non est existimandum’ Rasarius* ψυχρὰ καὶ θερμὰ L 11 *post* νῦν *add.* δεῖ *Cornarius* 13 πάντα cώματα L οὐ κυρίωc LR^2: οὐκ ἰδίωc VR 14 εἴ *om.* V: *add.* V^1 15 τὰ LR^2: *om.* VR 16 κατὰ LR^2: *om.* VR δὲ *in ras.* R^2 17 ἐνδείκνυcι L 19 ἑαυτοῦ R ἕκαcτον ... πρὸc τὸ θερμὸν *(21) non exar.* R 25 καὶ ὑγρὸν *in mg. add.* R οὐ δήπου] οὐδέπω R^2

πρὸς τὴν χολὴν καὶ τὴν ἀρτηρίαν πρὸς τὴν ἀρτηρίαν καὶ τὴν σάρκα
54 πρὸς τὴν σάρκα καὶ τὴν φλέβα πρὸς | τὴν φλέβα καὶ τὸ νεῦρον ἀπιέναι πρὸς τὸ νεῦρον, ἀλλὰ τὸ καθ' ἕκαστον τούτων θερμόν τε καὶ ψυχρὸν ὑγρόν τε καὶ ξηρὸν εἰς τὰ κοινὰ πάντων ἀπέρχεσθαι στοιχεῖα. σύγκειται γὰρ δήπου καὶ τὸ νεῦρον ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ, τῶν στοιχείων δηλονότι· οὐ γὰρ δὴ ἐξ ἄλλου γε νεύρου, καθάπερ οὐδ' ἡ φλὲψ ἐξ ἄλλης φλεβός, ὅτι μηδ' ἐπινοηθῆναι δύναται κεραννύμενα δι' ὅλων ἀλλήλων ταῦτα, σὰρξ καὶ φλὲψ καὶ ὀστοῦν καὶ ἀρτηρία καὶ τὰ ἄλλα μόρια. βούλεται δὲ καὶ αὐτὸς κεκρᾶσθαι δι' ὅλων ἀλλήλοις τὸ θερμὸν καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρόν, εἴ τι μεμνήμεθα τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων. ὥστε οὐ τὰ σαφῶς βλεπόμενα κατὰ τὸ σῶμα τἀνθρώπου θερμὰ καὶ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρὰ μόρια στοιχεῖα τῆς τοῦ ἀνθρώπου φύσεώς ἐστιν, ἀλλὰ τὰ τούτων αὐτῶν συνθετικά τε καὶ γεννητικά. ταῦτα δέ ἐστιν ὕδωρ τε καὶ πῦρ ἀήρ τε καὶ γῆ. ἀποδέδεικται δὲ περὶ τούτων ἱκανῶς ἐν τῷ Περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων. |

55 **I 16** [3. VI 38, 14—15 L.] Τοιαύτη δὲ καὶ τῶν ζῴων ἐστὶν ἡ φύσις καὶ τῶν ἄλλων ἁπάντων.

Τοιαύτη, φησίν, οὐ μόνον ἡ τοῦ ἀνθρώπου φύσις ἐστίν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, ἐκ θερμοῦ δηλονότι καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ κεκραμένη τῶν ἁπλῶν καὶ ἄκρων. τὰ γὰρ ἐν τῷ μεταξὺ πάντα τὴν κρᾶσιν ἐκ τούτων ἔσχηκεν. ἀδιανόητον οὖν γίνεται τὸ λέγειν ἐκ τῶν μεταξὺ τὴν κρᾶσιν γίνεσθαι τῶν ἐν τῷ μεταξύ. τοῦτο δ' οὐκ αἰσθάνονται λέγοντες οἱ ἐκ τῶν κατὰ τὸ σῶμα βλεπομένων ὑγρῶν καὶ ξηρῶν θερμῶν τε καὶ ψυχρῶν τὴν φύσιν ἡμῶν συγκεῖσθαι φάσκοντες. ἔτι δὲ ἀδιανοητότερον, εἰ καὶ τῶν ἄλλων ἁπάντων ζῴων τε καὶ φυτῶν ἐκ τούτων λέγομεν εἶναι τὴν φύσιν. Ἱπποκράτης μὲν γὰρ εἴρηκε φανερῶς ἐν τῇ ῥήσει καὶ τῶν ἄλλων ἁπάντων τὴν αὐτὴν εἶναι φύσιν. οἱ δ' οὐκ οἶδ' ὅ τι φήσουσιν. ὅταν γοῦν εἰς τὴν γῆν ἐκ-

11 ὀλίγον ἔμπροσθεν] *p. 27, 17—19 et Galeni commentarium* 15 Περὶ τῶν καθ' Ἱππ. στοιχ.] *Gal. I 413 sqq. K.* 17 *sq. cf. Gal. I 477 K.*

2 πρὸς *(alt.)* LR^2: *om.* VR 2. 3 πρὸς τὸ νεῦρον ἀπιέναι L 6 γε *om.* L καθάπερ VR: ὥσπερ L 8 καὶ *ante* ὀστοῦν *om.* L 9 δὲ καὶ L: δ' VR 10 θερμόν τε καὶ L καὶ ξηρὸν καὶ ὑγρόν VR: ὑγρόν τε καὶ ξηρὸν L εἴ τι μεμνήμεθα LR^2V: ἐπιμεμνήμεθα R 11 ὀλίγων R 13 τῆς *om.* R: *add.* R^2 τοῦ *om.* V αὐτῶν *om.* L 15 δὲ L: γὰρ VR τῶν R^2V: τοῦ R: *om.* L ἱπποκράτη L 17 ἡ *ante* τῶν *quoque* V ἐστὶν *om.* L 22 γίνεται *om.* L 22. 23 ἐκ τῶν LR^2: ἐν τῷ VR 25 θερμῶν τε] καὶ θερμῶν L 26 ἀδιανοήτερον VR ζῴων . . . ἁπάντων *(28)* LR^2: *om.* VR
27 λέγομεν R^2: *om.* L εἶναι λέγομεν, *deinde transponere studebat, sed litt. a b falso distribuit* R^2 φύσιν R^2: γένεσιν L γὰρ R^2: *om.* L 28 ταύτῃ *ante* τῇ *addiderim; confirmat 'in dieser seiner Rede' vertens* H: *'in hac oratione' bene iam Rasarius* αὐτὴν L: *'ebendieselbe Natur' etiam* H: τοιαύτην VR 29 φύσιν] φασὶν V οἱ LR^2: οἷον VR ἐμβληθέντος L

βληθέντος σπέρματος συκῆς, εἰ τύχοι, γένηται μέγιστον δένδρον, | ἀδια- 56
νόητόν ἐστι λέγειν οὐκ ἐκ γῆς καὶ ὕδατος, ἀλλ᾽ ἑτέρωθεν αὐτῇ τὴν τοσαύτην οὐσίαν ὑπάρξαι. καὶ μὴν ἡ γῆ κατὰ τὸν ἑαυτῆς λόγον ἄκρως ἐστὶ ψυχρά, θερμότητα δ᾽ ἔχει πολλὴν ἡ συκῆ, δι᾽ ἣν ζῇ, καὶ διὰ τοῦτο κἀν τοῖς ἰσχυροῖς χειμῶσι καταψυχομένη οὐ νεκροῦται. δῆλον οὖν ὅτι μὴ μόνον ἐξ ὕδατος καὶ γῆς συνέστηκε τὸ σῶμα τῆς συκῆς, ἀλλὰ καὶ τῆς πυρώδους φύσεως μετείληφεν, εὔδηλον δ᾽ ὅτι καὶ τῆς ἀερώδους, εἴ γε σαφῶς ἐστι τὸ ξύλον αὐτῆς οὐ μόνον τῆς γῆς, ἀλλὰ καὶ τοῦ ὕδατος κουφότερον. ἐκ τῶν τεσσάρων οὖν ἐστι καὶ ἡ συκῆ. καὶ εἴπερ αὕτη, καὶ τὸ σῦκον· οὕτω δὲ καὶ οἱ καρποὶ πάντες· (εἰσὶ δὲ καὶ οἱ πυροὶ καὶ αἱ κριθαὶ καὶ οἱ κύαμοι καὶ τἆλλα Δημήτρια σπέρματα τῶν καρπῶν μόρια)· καὶ αὐτοὶ τοίνυν ἐκ τῶν τεσσάρων συνεστήκασι, γῆς πυρὸς ὕδατός τε καὶ ἀέρος. ἐπεὶ δὲ ἐκ τῆς τῶν καρπῶν τε καὶ φυτῶν ἐδωδῆς οἱ ἐν ἡμῖν γίνονται χυμοί, καὶ οὗτοι δηλονότι τὴν πρώτην ἀρχὴν τῆς γενέσεως ἕξουσιν ὕδωρ καὶ γῆν ἀέρα τε καὶ πῦρ. ἀλλ᾽, ὅπερ ἔφην, ἀποδέδεικται καὶ ταῦτα ἐν τῷ Περὶ τῶν καθ᾽ | Ἱπποκράτην στοι- 57
χείων, ὥστ᾽ ἤδη μεταβαίνειν καιρὸς ἐφ᾽ ἑτέραν ῥῆσιν.

I 17 [3. VI 38, 15—16 L.] Γίνεταί τε ὁμοίως πάντα καὶ τελευτᾷ ὁμοίως ἅπαντα.

Οὐδὲ μαντευσάμενός τις ἔσεσθαί τινας ἀνθρώπους, οἳ παρακούσουσιν αὐτοῦ, τοσαυτάκις ἂν εἶπε ταὐτὸν δόγμα, καθάπερ νῦν ὁ Ἱπποκράτης ἐποίησε πάντα φάσκων, οὐ μόνον ἄνθρωπον, ὁμοίως γίνεσθαι καὶ τελευτᾶν, ὡς προείρηται, ἐκ τῶν τεσσάρων δηλονότι στοιχείων, οὐ τῶν ἐν τῷ σώματι μορίων θερμῶν ἢ ψυχρῶν ἢ ξηρῶν ἢ ὑγρῶν. ἀλλ᾽ εἰσί γε οὕτω τινὲς ἀναίσθητοι λέξεως Ἑλληνικῆς, ὡς οἴεσθαι τὸ κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου θερμὸν καὶ ψυχρὸν ὑγρόν τε καὶ ξηρὸν αἰσθητῶς διαγινωσκόμενα πάντων εἶναι τῆς γενέσεως κοινὰ στοιχεῖα. |

I 18 [3. VI 38, 16—18 L.] Συνίσταται γὰρ αὐτέων ἡ φύσις 58
ἀπὸ τουτέων τῶν εἰρημένων πάντων καὶ τελευτᾷ κατὰ τὴν εἰρημένην ἐς τὸ ὡυτό, ὅθενπερ συνέστη ἕκαστον· ἐνταῦθα οὖν καὶ ἀπεχώρησεν.

16 Περὶ τῶν καθ᾽ Ἱππ. στοιχ.] *Gal. I 413 sqq. K.* 18 *sq. cf. Gal. I 477 K.* 23 ὡς προείρηται] *cf. supra p. 28, 3—7 et 29, 18—22 et 30, 17. 18* 28 *sqq. cf. Gal. I 477 K.*

1 εἰ *om.* V τύχῃ VR ἀνόητόν V 2 αὐτῇ VR: αὐτῶν L: αὐτῷ *primo scripsit ex* R², *deinde* αὐτῇ *restituit Opizo, ut imprimeretur in Aldina* 5 χειμῶσι] χει *in ras.* V¹ 6 ἐκ γῆς καὶ ὕδατος L 10 αὐτὴ VR καὶ *ante* οἱ πυροὶ *om.* VR 11 καὶ οἱ κύαμοι *om.* L 12 αὐτοὶ VR: αὐτὰ LR² 13 καὶ πυρὸς L; *at cf. p. 32, 4* 16 ἱπποκράτην R²V: ἱπποκράτη L: ἱπποκράτους R 18 τε L: *om.* VR 19 ἅπαντα L: *om.* VR 23 ὥσπερ εἴρηται VR 24 θερμῶν . . . ξηρῶν *om.* L 25 γε LR²: γὰρ VR 27 πάντα, *sed ipse corr.* R κοινὰ τῆς γενέσεως L: *idem litteris a b c supr. positis voluit* R² 28 ξυνίσταται V 29 τῶν *om.* R *post* τελευτᾷ *ex superiore lemmate repet.* ὁμοίως L κατὰ τὴν εἰρημένην *om.* L 30 ὡυτό] ἑωυτὸ *fuerat, sed* ἑ *eras. in* L: ἑωυτὸ V: ἑωυτῷ R ὅθενπερ L: ἔνθαπερ VR ξυνέστη VR 31 ἀποχωρέει V: ἀποχωρέσει *(sic)* R

Ἐπιμένει τῷ δόγματι τὴν φύσιν ἁπάντων ἐκ τῶν εἰρημένων τεττάρων συνίσταϲθαι καὶ τελευτᾶν εἰς αὐτὰ βουλόμενος. ὅθεν γὰρ ἕκαστον τῶν ὄντων συνέστη, φησίν, ἐνταῦθα καὶ ἀπεχώρησεν, εἰς τὰ κοινὰ δηλονότι στοιχεῖα τοῦ κόσμου, γῆν ὕδωρ ἀέρα τε καὶ πῦρ. ἐσχάτως οὖν ἀγνοοῦσι τὴν Ἱπποκράτους γνώμην οἱ τὸ κατὰ τὴν ἀρχὴν εἰρημένον „οὔτε γὰρ τὸ πάμπαν ἠέρα λέγω τὸν ἄνθρωπον οὔτε ὕδωρ οὔτε πῦρ οὔτε γῆν“ ἀντὶ τοῦ μηδ᾽ ὅλως ἀκούοντες· ἐφάνη γὰρ οὐ τὸ μηδ᾽ ὅλως εἶναι τὰ κοινὰ πάντων στοιχεῖα κατὰ τὸ σῶμα βουλόμενος τοῦ ἀνθρώπου ὁ Ἱπποκράτης, ἀλλὰ τοὺς ἓν μόνον ἐξ αὐτῶν λέγοντας μεμφόμενος. |

59 **I 19** [4. VI 38, 19—40, 2 L.] Τὸ δὲ σῶμα τοῦ ἀνθρώπου ἔχει ἐν ἑωυτῷ αἷμα καὶ φλέγμα καὶ χολὴν ξανθήν τε καὶ μέλαιναν, καὶ ταῦτ᾽ ἐστὶν ἡ φύσις τοῦ σώματος καὶ διὰ ταῦτ᾽ ἀλγέει καὶ ὑγιαίνει.

Συντελέσας τὸν περὶ τῶν κοινῶν στοιχείων λόγον ἐπὶ τὰ τῶν ἐναίμων ζῴων, ὧν ἐστι καὶ ὁ ἄνθρωπος, ἐν τῇ προκειμένῃ ῥήσει μετέβη βουλόμενος ἐξ αἵματος καὶ φλέγματος καὶ χολῆς διττῆς τήν τε ἐξ ἀρχῆς γένεσιν ἡμῶν γίνεσθαι καὶ τὴν ἐν ὅλῳ τῷ βίῳ διαμονὴν ἐκ τούτων ὑπάρχειν καὶ ταῦτα τὴν ὅλην φύσιν εἶναι τοῦ ἀνθρώπου, τῶν μὲν χυμῶν ἐν τοῖς στερεοῖς περιεχομένων, αὐτῶν δὲ τῶν στερεῶν ἐν τῇ πρώτῃ διαπλάσει κυουμένου τοῦ ζῴου τὴν γένεσιν ἐκ τούτων σχόντων. ἐκ γὰρ τοῦ καταμηνίου πάντα τὰ μόρια γέγονεν οὐκ εἰλικρινοῦς αἵματος ὄντος, ἀλλ᾽ ἔχοντος ἐν ἑαυτῷ διττὰς χολὰς καὶ φλέγμα. δείξει γὰρ
60 ὀλίγον ὕστερον τοῦτο. καὶ μέντοι καὶ τὸ ὑγιαί|νειν ἡμῖν ἀλγεῖν τε καὶ νοσεῖν ἐκ τούτων φήσει γίνεσθαι καὶ τὸν τρόπον, καθ᾽ ὃν γίνεται ταῦτα, διὰ τῆς ἐχομένης ῥήσεως.

5 κατὰ τὴν ἀρχὴν εἰρημένον] *cf. supra p. 11, 11—12* 7 ἀντὶ τοῦ μηδ᾽ ὅλως] *cf. p. 12, 8. 9* 21 ἐκ τοῦ καταμηνίου κτἑ.] *cf. Gal. I 494 K.* 22 δείξει] *cf. infra p. 37, 26 coll. p. 39, 21 sqq.*

2 τελευτᾶν] ᾶν *in ras.* V¹ γὰρ LR²: *om.* VR 3 φησὶ συνέστη L 4 καὶ ὕδωρ L; *at cf. p. 31, 12. 13* 5 οἱ] καὶ *codd.*: *correxi* 6 τὸ *om.* L οὔτε πῦρ *om.* L 7 τὸ . . . εἶναι *om.* L 8 τοῦ ἀνθρώπου βουλόμενος L: *idem litteris a b c supr. positis voluit* R² 11 ἑαυτῷ R καὶ χολὴν . . . σώματος *(12) non exar.* R 16 διττῆς χολῆς L 17 ἐν τῷ ὅλῳ τῷ L 19 *supra* στερεοῖς *in ras. alterum* ρ *scr.* R²: στερρεοῖς V στερρεῶν VR 20 σχόντων L: ἐχόντων VR 24 φησὶ VR καὶ LR²: κατὰ VR *post* τὸν *add.* γε R²

---

tabula elementorum et humorum
secundum Galeni commentarium composita

ἀήρ	αἷμα	ἔαρ	θερμὸν καὶ ὑγρόν
πῦρ	χολὴ ξανθή	θέρος	θερμὸν καὶ ξηρόν
γῆ	χολὴ μέλαινα	φθινόπωρον	ψυχρὸν καὶ ξηρόν
ὕδωρ	φλέγμα	χειμών	ψυχρὸν καὶ ὑγρόν

I 20 [4. VI 40, 2—4 L.] Ὑγιαίνει μὲν οὖν μάλιστα, ὅταν μετρίως ἔχῃ ταῦτα τῆς πρὸς ἄλληλα δυνάμεως καὶ τοῦ πλήθεος καὶ μάλιστα, ἢν μεμιγμένα ᾖ.

Κατὰ πάντας ἰατρούς τε καὶ φιλοσόφους τοὺς τελείους δογματικοὺς ἡ συμμετρία τῶν στοιχείων ὑγείαν ἐργάζεται. διττῆς δ᾽ οὔσης τῷ γένει τῆς ἐν ταῖς λογικαῖς αἱρέσεσι στοιχειώσεως, ἡ μὲν ἑτέρα κατὰ παράθεσίν τε καὶ περιπλοκὴν τῶν πρώτων σωμάτων τὰς γενέσεις τῶν συνθέτων γενέσθαι φησίν, ἡ δὲ ἑτέρα κατὰ κρᾶσιν. ἡ μὲν οὖν προτέρα τὴν συμμετρίαν ἐν τῇ ποροποιίᾳ τίθεται, ἡ δὲ ἑτέρα κατὰ τὴν εὐκρασίαν τῶν στοιχείων ὑγιαίνειν ἡμᾶς φησιν, ἧς δηλονότι δόξης ὁ Ἱπποκράτης ἐστὶν ἡγεμών. οὔσης δὲ διττῆς συμμε|τρίας, τῆς μὲν ἐν τῇ **61**
δυνάμει τῶν κεραννυμένων, τῆς δὲ ἐν τῷ ποσῷ τῆς οὐσίας, ἑκατέρας ἐμνημόνευσεν ὁ Ἱπποκράτης εἰπών· τῆς τε δυνάμεως καὶ τοῦ πλήθεος.
τὸ δ᾽ ἐπὶ τέλει τῆς ῥήσεως εἰρημένον τὸ καὶ μάλιστα, ἢν μεμιγμένα ᾖ, τὴν ἀκρίβειαν τῆς δι᾽ ὅλων αὐτῶν κράσεως ἐνδείκνυται. κατὰ γὰρ τὴν τελείως ἀμεμπτοτάτην τοῦ σώματος διάθεσιν οὐ μόνον ἡ συμμετρία τῶν τεσσάρων στοιχείων, ἀλλὰ καὶ ἡ δι᾽ ὅλων κρᾶσις ἀκριβοῦται. κατὰ δὲ τὰς φαυλοτέρας κράσεις τοῦ σώματος ἐνδέχεταί ποτε καὶ καθ᾽ ἕν τι μόριον οὐκ ἴσως οὐδ᾽ ὁμοίως οὐδὲ δι᾽ ὅλων ἀλλήλοις κεκρᾶσθαι τοὺς χυμούς. ἀλλ᾽ ὅταν γε μηδέπω σαφῶς ἐνέργεια βλάπτηται, μεμπτὴ μέν ἐστιν ἡ ὑγεία, νόσος δὲ οὐδέπω.

I 21 [4. VI 40, 4—6 L.] Ἀλγέει δ᾽ ὅταν τι τούτων ἔλασσον ἢ πλέον γένηται ἢ χωρισθῇ ἐν τῷ σώματι καὶ μὴ κεκραμένον ᾖ τοῖς πᾶσιν. |

Ὥσπερ ἐπὶ τῆς ὑγείας τὴν ἀκριβῆ συμμετρίαν ἐν ποσότητι καὶ **62**
δυνάμει καὶ τῇ δι᾽ ὅλων ἔθετο κράσει, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς νόσου τὰ τούτων ἐναντία τίθεται, τὸ μὲν ἔλασσον ἢ πλέον εἴς τε τὸ ποσὸν τῆς οὐσίας καὶ τὴν δύναμιν ἀνάγων, τὸ δὲ μὴ κεκρᾶσθαι τοῖς πᾶσιν εἰς δυσκρασίαν ἢ ἀνωμαλίαν κράσεως ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ.

2 ταῦτα *om.* L   πρὸς ἄλληλα *om.* L   δυνάμιος V¹   3 ἢν *om.* L   μεταμεμιγμένα R   4 τε *om.* L   7 πλοκὴν L   9 τῆς συμμετρίας V   12 ἐν *om.* L   13 ὁ *om.* R   δυνάμιος R²   14 εἰρημένων V   ἢν *om.* L   16 τελείως LR²: τελείαν VR   18 καὶ *om.* VR   19 ὅλων L¹R²V *et e corr.* R: ὅλως L: ὅλου *primo* R   20 βλάπτεται VR   21 ἡ *om.* L   22 τι L: τε VR   23 γένηται *om.* L   ἢ χωρισθῇ ... κεκραμένον *non exar.* R   24 ᾖ *om.* L   25 συμμετρίως V   26 ἔεθετο *(sic)* V   καὶ *(alt.) om.* VR   27 εἴς τε] εἴτε R   28 ἀναγαγὼν VR   τοῖς *om.* L   29 εἰς] δηλοῖ *non recte* Cornarius   30 ἐθέλῃ VR: ἐθέλοι LR²

I 22 [4. VI 40, 6—9 L.] Ἀνάγκη γάρ, ὅταν τι τούτων χωριcθῇ καὶ ἐφ' ἑωυτοῦ cτῇ, ἔνθεν τε ἐξέcτηκεν, οὐ μόνον τοῦτο τὸ χωρίον ἐπίνοcον γίνεcθαι, ἀλλὰ καὶ ἔνθα ⟨ἂν⟩ cτῇ καὶ ἐπιχυθῇ, ὑπερεμπιπλάμενον ὀδύνην τε καὶ πόνον παρέχειν.

Ὅταν τῶν τεccάρων τις χυμῶν αὐτὸς καθ' ἑαυτὸν ἵcτηταί που κατά τι μόριον ἀποχωριcθεὶς τῶν ἄλλων καὶ μὴ κεκραμένος ᾖ ὅλος δι' ὅλων αὐτοῖς, ὀδυνᾶται τὸ ζῷον ἐν δυcκραcίᾳ γενομένων ἀμφοτέρων
63 τῶν μορίων, ἔνθεν τε ἐξέ|cτη καὶ εἰς ὃ μετέcτη. καὶ μάλιcτα τοῦτο γίνεται κατὰ τοὺς ἰcχυρὰς ἔχοντας τὰς δυνάμεις χυμούς· οὗτοι γὰρ οὐ μόνον τῷ ποcῷ βαρύνοντες τὸ μόριον, εἰς ὃ κατέcκηψαν, ἀλλὰ καὶ τῷ ποιῷ τὴν ὀδύνην ἐργάζονται θερμαίνοντες ἢ ψύχοντες cφοδρῶς.

I 23 [4. VI 40, 9—10 L.] Καὶ γάρ, ὅταν τι τούτων ἔξω τοῦ cώματος ἐκρυῇ πλέον τοῦ ἐπιπολάζοντος, ὀδύνην παρέχει ἡ κένωcις.

Ἀντὶ τοῦ πλεονάζοντος ἀκουcτέον εἰρῆcθαι νῦν τὸ ⟨πλέον τοῦ⟩ ἐπιπολάζοντος ἤ, εἴπερ μὴ τοῦτό τις ἀκούειν ἐθέλει, τὸ μὴ κεκραμένον ἅπαcι τοῖς ἄλλοις ἐπιπολάζον οἰητέον εἰρῆcθαι· πιθανὸν γὰρ ἑκάτερον αὐτῶν.

I 24 [4. VI 40, 11—14 L.] Ἤν τ' αὖθις εἴcω ποιήcηται τὴν κένωcιν καὶ τὴν μετάcταcιν καὶ τὴν ἀπόκριcιν ἀπὸ τῶν ἄλλων,
64 πολλή γ' αὐτῷ | ἀνάγκη διπλῆν τὴν ὀδύνην παρέχειν κατὰ τὰ εἰρημένα, ἔνθεν τε ἐξέcτηκε καὶ ἔνθα ὑπερέβαλεν.

Ὅτι προείρηται τοῦτο, καὶ αὐτὸς ἐδήλωcεν εἰπὼν κατὰ τὰ εἰρημένα. τῇ λέξει γάρ, οὐ τῇ δυνάμει τῆς νῦν εἰρημένης ῥήcεως διήνεγκεν ἡ μικρὸν ἔμπροcθεν ὑπ' αὐτοῦ γεγραμμένη, καθ' ἣν οὕτως εἶπεν· „ἀνάγκη γάρ, ὅταν τι τούτων χωριcθῇ καὶ ἐφ' ἑωυτοῦ cτῇ, ἔνθεν τε ἐξέcτηκεν, οὐ μόνον τοῦτο τὸ χωρίον ἐπίνοcον γίνεcθαι, ἀλλὰ καὶ ἔνθα ἂν cτῇ καὶ ἐπιχυθῇ, ὑπερεμπιπλάμενον ὀδύνην τε καὶ πόνον παρέχειν."

23 προείρηται] *supra v. 1—4 (cf. 25—28).*

1 τούτων χωριcθῇ VR *(infra v. 26 omnes codd.)*: *idem vel* τούτων *ante* τι *Hipp.*: χωριcθῇ τούτων L 2 ὑφ' R ἑωυτῷ VR ἔνθεν ... ὑπερεμπιπλάμενον *non exar.* R 3 ἂν *secundum v. 27 addidi* ἐπιχυθείη *codd.*: *secundum v. 28 correxi* 4 ὑπερεμπιπλάμενον V: ὑπερπιμπλάμενον L *et Hipp.*: ὑπερεκπιπλάμενον *Aldina* παρέχει V 5 ἵcτηταί LR²: ἴcχηταί VR 6 ᾖ *om.* L 7 αὐτοῖς] αὐτὸς L γενόμενον L *et qui ipse corr.* R 9 γίνεται LR²: *om.* VR 12 τούτων] τῶν R 15 πλέον τοῦ *addidi* 16 ἐθέλει ἀκούειν L ἐθέλοι R 17 ἡγητέον L 19 ποιήcεται VR 20 ἀπὸ τῶν ἄλλων *om.* VR 22 προειρημένα VR ὅθεν τ' VR ὑπερέβαλλεν L 23 εἰρημένα LR²: προειρημένα VR 25 οὔτω R: *corr.* R² 26 ὑφ' VR 27 τοῦτο L: *om.* VR ἐπίνοcον L *(cf. v. 3)*: νοcερὸν VR ἀλλὰ L: *om.* VR ἂν VR: *om.* L 28 ἐπιχυθῇ VR: ἐπιχυθείη L ὑπερεμπιπλάμενον VR: ὑπερπιμπλάμενον *(cf. v. 4)*, ὑπερ *in ras. et* μ *ante* π *supr. add.*, L

I 25 [5. VI 40, 15—16 L.] Εἶπον δή, ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι, ἀποφαίνειν αἰεὶ ταῦτα ἐόντα καὶ κατὰ νόμον καὶ κατὰ φύσιν.

Κατὰ νόμον μὲν εἶπε δηλῶσαι βουλόμενος τὴν τῶν ἀνθρώπων δόξαν, ἣν ἔχουσι περὶ αὐτῶν, κατὰ φύσιν δὲ τὴν αὐτῶν τῶν πραγμάτων ἀλήθειαν.

προσέχωμεν οὖν ἤδη ταῖς ἑξῆς | ῥήσεσιν, ἵνα γνῶμεν, εἰ, ὅπερ 65 ὑπέσχετο κατὰ τὰς ἀρχὰς τοῦ συγγράμματος, νῦν ἀποδίδωσι.

I 26 [5. VI 40, 16—42 L.] Φημὶ δὲ εἶναι αἷμα καὶ φλέγμα καὶ χολὴν ξανθήν τε καὶ μέλαιναν· καὶ τουτέων μὲν πρῶτον κατὰ νόμον καὶ τὰ ὀνόματα διωρίσθαι φημὶ καὶ οὐδενὶ αὐτέων τὸ αὐτὸ ὄνομα εἶναι, ἔπειτα κατὰ φύσιν τὰς ἰδέας κεχωρίσθαι καὶ οὔτε τὸ φλέγμα οὐδὲν ἐοικέναι τῷ αἵματι οὔτε τὸ αἷμα τῇ χολῇ οὔτε τὴν χολὴν τῷ φλέγματι. πῶς γὰρ ἂν ἐοικότα ταῦτ᾽ εἴη ἀλλήλοισιν, ὧν οὔτε τὰ χρώματα ὅμοια φαίνεται προσορώμενα οὔτε τῇ χειρὶ ψαυόμενα ὅμοια δοκεῖ εἶναι; οὔτε γὰρ θερμὰ ὁμοίως ἐστὶν οὔτε ψυχρὰ οὔτε ξηρὰ οὔτε ὑγρά.

Καὶ σαφὴς ὁ λόγος αὐτοῦ πᾶς ἐστι καὶ ἀποδείκνυσιν, ὃ προὔθετο. κατὰ μὲν γὰρ τὴν προκειμένην ταύτην ῥῆσιν ἔδειξε τέσσαρας εἶναι χυμοὺς ἐν τῷ σώματι διαφέροντας | ἀλλήλων, ἐν δὲ ταῖς ἐφεξῆς, ὅτι καὶ 66 κατὰ φύσιν εἰσὶν οὗτοι πάντες, οὐχ εἷς ἐξ αὐτῶν. ἀλλ᾽ ἔν γε τῇ προκειμένῃ ταύτῃ ῥήσει καὶ χροιᾷ καὶ συστάσει καὶ θερμότητι καὶ ψυχρότητι ⟨καὶ ὑγρότητι καὶ ξηρότητι⟩ διαφέρειν ἀλλήλων φησὶ τοὺς χυμούς· καὶ γὰρ καὶ φαίνεται σαφῶς ταῦτα.

προσκρούσει δὲ ἴσως τισὶ τὸ καὶ ξηρότητι χυμὸν χυμοῦ διαφέρειν, ἁπάντων τῶν χυμῶν ὑγρῶν ὄντων. ἀναιρείτωσαν οὖν οὗτοι καὶ τὸ μηδ᾽ ὑγρότητι διαφέρειν αὐτούς· εἴπερ δ᾽ ὑγρότερον ἕτερον ἑτέρου συγχωροῦσιν εἶναι, συγχωρεῖν ἀναγκασθήσονται καὶ τὸν ἧττον ὑγρὸν ἐπιμιξίᾳ τοῦ ξηροῦ στοιχείου τοιοῦτον εἶναι. καὶ μέντοι καὶ φαίνεται σαφῶς τοῦτο κατὰ πάντας τοὺς χυμούς· ἥ τε γὰρ ξανθὴ χολὴ πολλάκις μὲν

1 εἰπὼν VR δή L: δέ VR 2 αἰεὶ L *et Hipp.*: ἀεὶ VR καὶ *(prius) om.* VR 4 νόμον *in ras.* V^1 7 ἑξῆς *om.* L 9 εἶναι *ante* αἷμα *om. et post* φλέγμα *add.* VR 10 καὶ τουτέων ... ἐστὶν *(17) non exar.* R τουτέων] τοῦτον V 11 καὶ *ante* τὰ *om.* V διορίσθαι L φημὶ ... κεχωρίσθαι *(12) om.* L 13 φλέγμα V *et Hipp.*: αἷμα L αἵματι V *et Hipp.*: φλέγματι L 13. 14 τὸ αἷμα *om.* L 15 εἴη ταῦτα V ἀλλήλοις L: διαλλήλοισιν V: *hinc* ἀλλήλοισιν *restitui* 17 οὔτε ψυχρὰ *om.* V 18 καὶ *ante* σαφὴς *om.* L 20 ταῖς LR^2: τῇ VR 22 ταύτῃ ῥήσει LR^2: ῥήσει ταύτῃ VR χροιᾷ LR: χροίᾳ V: *praestabat* χρόᾳ *collatis p. 44, 20 sq. 45, 11. 13* 23 καὶ ὑγρότητι καὶ ξηρότητι *post* ψυχρότητι *addidi; nam 'in ihrer Consistenz und in der Hitze und der Kälte und der Feuchtigkeit und der Trockenheit'* H; *cf. etiam v. 25* ἀλλήλων ... διαφέρειν *(27)* LR^2: *om.* VR 24 φαίνεται R^2: φαίνονται L 25 προσκρούσει LR^2: προσκρούεται *Aldina* 26 καὶ L: *om.* R^2 28 συγχωρεῖν ... εἶναι *(29)* L: *om.* VR 30 γὰρ *om.* L

ἐξυγραίνεται cφοδρῶc, ἡνίκα μηδὲ ξανθόν, ἀλλ᾽ ὠχρὸν αὐτῆc γίνεται τὸ χρῶμα, πολλάκιc δ᾽ ὥcπερ λέκιθοc γίνεται παχεῖα, διὸ καὶ λεκιθώδηc ὀνομάζεται πρόc τινων· ἥ τ᾽ αὖ μέλαινα διὰ παντὸc ⟨μέν⟩ ἐcτι παχυτέρα τῆc ὠχρᾶc τε καὶ ξανθῆc, οὐκ ὀλίγον δὲ οὐδὲ κατὰ ταύτην ἐcτὶ τὸ μᾶλλόν τε καὶ ἧττον, ὥcπερ γε καὶ κατὰ τὸ αἷμα· φαίνεται γὰρ καὶ τοῦτο ποτὲ μὲν οὕτωc ὑγρόν, ὡc ῥεῖν, ποτὲ δ᾽ ἱκανῶc παχύ. τὸ
67 φλέγμα δὲ ἔχον τὴν αὐτὴν ἀναλογίαν ἰδεῖν ἔcτι τῇ κατὰ τοὺc εἰρη|μένουc χυμούc· ὑπαλλάττεται γὰρ ἐν πάχει καὶ λεπτότητι ποτὲ μὲν ὑδατῶδεc ὄν, ἔcτι δ᾽ ὅτε παχυνόμενον, ὡc ἐοικέναι πύῳ. cυμβαίνει δὲ τοῦτο τοῖc χυμοῖc ὡc ἂν οὐκ οὖcιν ὄντωc cτοιχείοιc, ὥcπερ ὕδωρ καὶ γῆ, ἀὴρ καὶ πῦρ ἐcτιν. ἕκαcτοc γὰρ αὐτῶν ἐκ τῶν τεccάρων τούτων γέγονεν ἐπικρατοῦντοc ἄλλου κατ᾽ ἄλλον αὐτῶν, ὡc δὴ πολλάκιc ἐμάθετε.

I 27 [5. VI 42, 6—8 L.] Ἀνάγκη τοίνυν, ὅτε τοcοῦτον διήλλακται τὴν ἰδέην τε καὶ τὴν δύναμιν ἀλλήλων, μὴ ἓν αὐτὰ εἶναι, εἴπερ μὴ πῦρ τε καὶ ὕδωρ ἕν ἐcτιν.

Ἀλλόκοτοc μὲν ἡ δόξα τῶν ἡγουμένων ἓν εἶναι τὸν ἄνθρωπον, ὅμωc μὴν ὁ Ἱπποκράτηc ἀντιλέγων αὐτῇ φαίνεται διὰ cπουδῆc, ἴcωc τινῶν κατ᾽ αὐτὸν ὄντων ἐπιφανῶν ἀνδρῶν, οἳ ταύτην ἐπρέcβευον τὴν δόξαν. ὅπου γὰρ καὶ cυγγράμματα πλεῖcτα παλαιῶν ἀνδρῶν οὐκέτι cῴζεται, πολὺ δὴ μᾶλλον οὐδὲ τὰc ἀγράφουc δόξαc εἰκόc ἐcτιν αὐτῶν |
68 διαcῴζεcθαι καὶ μάλιcθ᾽, ὅτι μηδ᾽ ἔγραψαν ἔνιοι cύγγραμμα μηδέν, ὥcπερ ὅ τε Cωκράτηc καὶ ὁ Πυθαγόραc καὶ τῶν καθ᾽ ἡμᾶc ἐνδόξων ἰατρῶν Κόιντοc. ἔτι δὲ μᾶλλον ἔcτι πιcτεῦcαι πολλοὺc ἄνδραc ἐπιφανεῖc γεγονέναι ζῶνταc, ἀποθανόντων δ᾽ αὐτῶν ἀπολωλέναι τὰc περὶ τῶν δογμάτων ὑπολήψειc, ὁπότε καὶ Πλάτωνοc τοcαῦτα cυγγράμματα γράψαντοc ὅμωc οἱ μαθηταὶ λέγουcιν εἶναί τινα παρὰ τὰ γεγραμμένα τῶν ἀγράφων δογμάτων αὐτοῦ. ὥcπερ δὲ τοῖc μαθηταῖc ἄγραφα δόγματα λέγουcιν εἶναι πιcτεύομεν, οὕτω καὶ τῷ Ἱπποκράτει πιcτεύομεν εἶναί τιναc, οἳ γῆν μόνην ἔλεγον εἶναι κοινὸν ἁπάντων cτοιχεῖον, ἐν ἀνθρώπῳ δὲ χολὴν ἢ φλέγμα. καὶ γὰρ καὶ νῦν οἶδά τιναc

23 Κόιντοc] *cf. infra p. 136 K.* 26 μαθηταὶ ... ἀγράφων δογμάτων] *Aristot. Phys. 209*^{b} *14 sq.* (Πλάτων ... ἐν τοῖc λεγομένοιc ἀγράφοιc δόγμαcιν)

1 μηδὲ LR²: μηδὲν VR 2 λέκιθοc LV¹R²: λέκυθοc VR λεκιθὼ *(sic)* V *et primo, sed ipse corr.* R 3 μὲν *addidi* 4 δὲ LR²: *om.* VR κατὰ ταύτην] κατ᾽ αὐτὴν LR: κατ᾽ αὐτὸν V: *correxi* 5 τε *om.* L κατὰ *om.* VR 6 καὶ *om.* VR οὕτωc *om.* L 7 ἔχον LR²: *om.* VR τὴν αὐτὴν VR: τοιαύτην L 9 ὂν LR²: ἐὸν VR πύῳ LR²: ποίῳ VR 10 οὖcιν] ιν *in ras.* V¹ ὄντωc *om.* L 10. 11 ὕδωρ καὶ πῦρ ἀήρ τε καὶ γῆ L 13 διήλακται R 14 ἰδέην V¹ *et Hipp.*: ἰδέαν LVR 15 τε LV: γε R 16 ἀλλόκοτοc LR²: ἀλόκοτοc VR 17 μὴν *om.* VR 20 αὐτῶν *om.* L 22 ὅ τε *om.* VR ὁ *ante* Πυθαγόραc *om.* L ἡμᾶc ἐνδόξων] ᾶc ἐν *in ras.* V¹ 26 *post* μαθηταὶ *add.* αὐτοῦ L 27 δὲ LR²: *om.* VR τούτου *ante* τοῖc *addiderim*: ‘*auditoribus Platonis*’ *Rasarius* 28 τῷ *om.* L 29 ἔλεγον μόνην L cτοιχεῖα R: *corr.* R² 30 ἐν LR²: ἓν ἐν VR δὲ LR²: *om.* VR

ἀλλόκοτα γεγραφότας, ὧν τὰ συγγράμματα τοῖς μὲν ἤδη συναπέθανε, τοῖς δὲ συντεθνήξεται, καθάπερ καὶ τοῦ λέγοντος ἁπάντων εἶναι μητέρα καὶ τιθήνην καὶ ἀρχὴν καὶ στοιχεῖον τὴν γῆν· αὐτὴν γὰρ καὶ τὸν οὐρανὸν γεννῆσαι, καθάπερ Ἡσίοδός φησι, καὶ τὰ ζῷα τὰ κατ᾿ αὐτήν. καὶ τῶν Ἀρχιγενείων δέ τις, ἀνὴρ οὐ φαυλότατος, ἐπέπειστο μήτ᾿ ἐν | ταῖς εἰσπνοαῖς εἴσω τοῦ σώματος ἰέναι τὸν ἀέρα μήτ᾿ ἐν ταῖς ἐκπνοαῖς 69 ἔξω. καὶ ἄλλος τις ἐβούλετο τὸν πρῶτον καὶ στοιχειώδη χυμὸν εἶναι φλέγμα. μὴ τοίνυν ζητήσωμεν ὀνόματα τῶν τὰς ἀλλοκότους δόξας ταύτας πρῶτον ἀποφηναμένων, εἴ γε, ὅτι Θαλῆς ἀπεφήνατο στοιχεῖον μόνον εἶναι τὸ ὕδωρ, ἐκ συγγράμματος αὐτοῦ δεικνύναι οὐκ ἔχομεν, ἀλλ᾿ ὅμως ἅπασι καὶ τοῦτο πεπίστευται.

I 28 [5. VI 42, 8—44, 2 L.] Γνοίης δ᾿ ἂν τοῖσδε, ὅτι οὐχ ἓν ταῦτα πάντα ἐστίν, ἀλλ᾿ ἔχει δύναμίν τε καὶ φύσιν τὴν ἑωυτοῦ ἕκαστον· εἰ γὰρ διδοίης ἀνθρώπῳ φάρμακον, ὅ τι φλέγμα ἄγει, ἀπεμεῖταί σοι φλέγμα, καὶ εἰ δοίης φάρμακον, ὅ τι χολὴν ἄγει, ἐμεῖταί σοι χολήν· κατὰ τὰ αὐτὰ δὲ καὶ χολὴν μέλαιναν καθαίρει, ἢν δῷς φάρμακον, ὅ τι χολὴν μέλαιναν ἄγει, καὶ ἢν τρώσῃς αὐτῷ τοῦ σώματος μέρος τι, ὥστε ἕλκος γενέσθαι, ῥυήσεται αὐτῷ αἷμα. καὶ | ταῦτα ποιήσει πάντα σοι πᾶσαν 70 ἡμέραν τε καὶ νύκτα καὶ χειμῶνός τε καὶ θέρους, μέχρις ἂν δυνατὸς ᾖ τὸ πνεῦμα ἕλκειν ἐς ἑωυτὸν καὶ πάλιν μεθιέναι ἢ ἔστ᾿ ἄν τινος τούτων στερηθῇ τῶν ξυγγεγονότων. ξυγγέγονε δὲ ταῦτα τὰ εἰρημένα· πῶς γὰρ οὐ ξυγγέγονε; πρῶτον μὲν γὰρ φανερός ἐστιν ὁ ἄνθρωπος ἔχων ἐν ἑωυτῷ ταῦτα πάντα ἰδεῖν, ἕως ἂν ζῇ, ἔπειτα δὲ γέγονεν ἐξ ἀνθρώπου ταῦτα πάντα ἔχοντος, ἔπειτα τέθραπται ἐν ἀνθρώπῳ ταῦτα πάντα ἔχοντι, ὅσα ἐγώ φημί τε καὶ ἀποδείκνυμι.

3 γῆν] *cf. supra p. 14, 1 sqq.* 4 Ἡσίοδος] *Theog. 126* Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ | Οὐρανὸν ἀστερόεντα *eqs.* 5 τῶν Ἀρχιγενείων τις] *viri nomen nusquam, ni fallor, traditur* 7 ἄλλος τις] *cf. supra p. 19, 15* 14 *sqq. cf. Gal. I 502 K.* 23 *sqq. cf. Gal. I 502 K.*

1 ἀλλόκοτα] ἄλλα *codd.*: *correxi; confirmat vertendo 'unerhörte Sachen zu sagen'* H; *cf. etiam v. 8* γράφοντας VR ἤδη] δὴ *codd.*: *corr. Kühn* συναπέθανον VR 2 δὲ *supr. scr. ipse* R τοῦ λέγοντος LR²: τοὺς λέγοντας VR 3 τιθηνὸν L 5 ἐπέπιστο VR 8 ἀλοκότους VR 8. 9 ταύτας δόξας L 9 ἀποφηναμένων πρῶτον L γε] γὰρ *codd.*: *correxi* θαλλῆς L 11 πιστεύεται V 12 ἂν VR: ἐν L 13 ἀλλ᾿ ... ἔχοντι *(26) non exar.* R καὶ L: ἢ V ἑωυτοῦ *codd. Hipp.*: αὐτοῦ LV 14 διδοίης] δὴ δοίης L: τις δοίη V: *hinc Galenum patet scripsisse* διδοίης, *id quod, licet e codice Hippocratico, posuerat iam Aldina* 15 εἰ *om* V: *add.* V¹ 16 μέλαιναν *ante* ἄγει *add.* V ἐμεῖται V *et Hipp.*: ἀπεμεῖται L τὰ *om.* L 18 καὶ ἢν V *et Hipp.*: κἢν L αὐτὸν V μέρος *om.* L 19 πάντα σοι πᾶσαν L: παντάπασιν V 20 ἡμέρην V τε *post* ἡμέραν *om.* L καὶ *ante* χειμῶνος *om.* L τε *post* χειμῶνος *om.* V 21 ἐς V *et plerique codd. Hipp.*: εἰς L μετιέναι V ἢ V: *om.* L 22 τούτων τινὸς V στέρηται L: στερηθείη V: *recte igitur, licet secundum codicem Hippocraticum,* στερηθῇ *Aldina* 23 δὲ *om.* V πρῶτος V 24 ἑαυτῷ V

Ἐν μὲν τῇ προτέρᾳ ῥήσει δέδεικται πρὸς αὐτοῦ σαφῶς τε ἅμα καὶ ἀληθῶς, ὡς ἔχει ⟨διὰ παντὸς ὁ ἄνθρωπος⟩ ἐν ἑαυτῷ ταῦτα πάντα, χολὰς καὶ φλέγμα καὶ αἷμα, κατὰ δὲ τὴν προκειμένην οὐ τοῦτο μόνον ἐπιδείκνυσιν, ἀλλ᾽ ὅτι καὶ κατὰ φύσιν ἔστιν ⟨ἐν αὐτῷ πάντα ταῦτα⟩, οὔ, καθάπερ ἔνιοί φασιν, ἓν ἐξ αὐτῶν. αἱ μὲν οὖν ἄλλαι δόξαι τῶν ἕνα λεγόντων εἶναι κατὰ φύσιν ἐν τῷ σώματι χυμὸν εὐέλεγκτοι, ἡ δὲ τῶν
71 τὸ αἷμα φασκόντων | οὐκ εὐκαταφρόνητος, ἀλλὰ μεγάλου τινὸς ἀγῶνος δεῖται πρὸς τὸ καταβαλεῖν αὐτήν. ἐνστήσασθαι δὲ καιρὸς ἤδη τὴν ἀρχὴν ἀπὸ τοῦ πρόσθεν εἰρημένου τἀνδρὶ ποιησαμένους. λέγει δὲ ὧδέ πως· „ἀξιῶ δ᾽ ἔγωγε τὸν φάσκοντα αἷμα μοῦνον εἶναι τὸν ἄνθρωπον καὶ ἄλλο μηδὲν δεικνύναι αὐτὸν μὴ μεταλλάσσοντα τὴν ἰδέην μηδὲ γίνεσθαι παντοῖον, ἀλλ᾽ ἢ ὥρην τινὰ τοῦ ἐνιαυτοῦ ἢ τῆς ἡλικίης τοῦ ἀνθρώπου, ἐν ᾗ αἷμα ἓν ἐὸν φαίνεται μοῦνον ὁ ἄνθρωπος· εἰκὸς γάρ ἐστιν εἶναι μίαν γέ τινα ὥρην, ἐν ᾗ φαίνεται αὐτὸ ἐφ᾽ ἑωυτοῦ ἓν ἐόν.“ ἐὰν οὖν τούτῳ τῷ λόγῳ προσθῇς τὸ κατὰ τὴν νῦν ἡμῖν προκειμένην ῥῆσιν ἀποδεικνύμενον, ὁλόκληρον ἐργάσῃ τὸ δόγμα τοῦ Ἱπποκράτους. ἀποδείκνυται γὰρ ἐνταῦθα μήτε ὥραν ἐνὸν εἶναί τινα τοιαύτην μήθ᾽ ἡλικίαν, ἐν ᾗ τὸν ἄνθρωπον ἐπιδείξει τις οὐ μετέχοντα τῶν ἄλλων χυμῶν, ⟨οὐ διὰ τῶν κενώσεων μόνον τῶν κοινῶν⟩, ἀλλὰ καὶ διὰ τῶν καθάρσεων· καὶ γὰρ ἐὰν δῷς τινι φάρμακον ἤτοι χολὴν ἄγον ἢ φλέγμα,
72 κενούμενον ὄψει τὸ πρὸς αὐτοῦ πεφυκὸς ἕλκεσθαι, ὡς ἐν παντὶ | καιρῷ πάντων περιεχομένων ἐν τῷ σώματι.

τούτῳ δὲ ἐνίστανται τῷ λόγῳ τινὲς οὐ συγχωροῦντες ἕλκειν τὸ καθαρτικὸν ἐκ τοῦ σώματος τὸν οἰκεῖον χυμόν, ἀλλὰ μεταβάλλειν εἰς ἣν αὐτὸ πέφυκεν ἰδέαν. ἀλλ᾽ ὅτι γε ψευδὴς ὁ λόγος αὐτῶν, ἐπιδέδεικται μὲν ἡμῖν καθ᾽ ἓν ὑπόμνημα Περὶ τῆς τῶν καθαιρόντων φαρμάκων δυνάμεως ἐπιγεγραμμένον· εἰρήσθω δὲ καὶ νῦν ἕν τι τῶν ἐν ἐκείνῳ λεγομένων ἕνεκα παραδείγματος. ἐθεάσασθε γὰρ ἐπ᾽ αὐτῶν

9 λέγει] *supra p. 23, 15—21* 25 Περὶ τῆς τῶν καθαιρόντων φαρμάκων δυνάμεως] *Gal. XI 323—342 K.* 27 ἕν τι] *Gal. XI 327 sqq. K.*

2 ἄνθρωπος *add. Chartier*: διὰ παντὸς ὁ *praeposui* ἑαυτῷ LR²: αὐτῷ VR ταῦτα *om.* VR 3 καὶ φλέγμα LR²: καὶ *om.* VR 4 ἐπιδεικνύει LR²: δεικνύει VR: *correxi* καὶ *ante* κατὰ *om.* VR: *ante* ὅτι *errore add.* R² ἐν αὐτῷ πάντα ταῦτα *addidi; confirmat vertendo ʻdaß alle diese* χυμοὶ *im Leibe des Menschen durch Naturanlage seien, nicht eqs.ʼ* H 6 εὐέλεκτοι V ἡ] οἱ L 7 εὐκαταφρόνητοι L 8 δεῖται *om.* R: *add.* R² καταβάλλειν R ἐνστήσασθαι *scil.* τὸν ἀγῶνα 10 λέγοντα VR μόνον R καὶ ἄλλο . . . αὐτὸ *(14) om.* R: *nihili, quae e codice scilicet Hippocratico secundum lemma p. 23, 15 sqq. supplevit Aldina* 11 ἰδέην V *et Hipp.*: ἰδέαν L 12 ἀλλ᾽ ἢ L: ἢ ἄλλην V τινα ὥρην V τοῦ ἔτους ἐνιαυτοῦ *(sic)* V ἡλικίης V *et Hipp.*: ἡλικίας L 13 φαίνηται V εἰκὸς] εἰ V: *corr.* V¹ 14 ἑαυτοῦ L *post* ἐὸν *sententiam, quae in eodem lemmate (v. supra p. 23, 21 sq.) subsecuta erat,* τὰ αὐτὰ δὲ λέγω καὶ περὶ τοῦ φάσκοντος φλέγμα εἶναι τὸν ἄνθρωπον καὶ περὶ τοῦ χολὴν φάσκοντος, *habuit et vertit* H 15 προσθήσεις LV: προσθήσῃς R: *corr. Diels* 17 ἐνταῦθα VR: ἐν ταύτῃ L ἐνὸν *om.* L 18 ἀποδείξῃ L 19 οὐ . . . κοινῶν *collato Gal. XI 330 sq. addidi* 20 ἐὰν L: ἂν VR ἄγον *om.* L 24 τὸν *om.* L 24. 25 εἰς ἣν] *ex alia quae legi iam non potest voce corr.* L¹ 25 αὐτὸ LR²: *om.* VR 26. 27 φαρμάκων LR²: *om.* VR 28 λελεγμένων R παραδείγματος ἕνεκα L ἐθάσασθαι R: *corr.* R²

τῶν ἔργων τῆς τέχνης οὐκ ὀλιγάκις ἐλεγχομένους τοὺς μὴ συγχωροῦντας ἕλκεσθαι τὸ κενούμενον ὑπὸ τῶν καθαιρόντων φαρμάκων· οἷον οἱ ὑδεριῶντες τῷ ἀσκίτῃ καλουμένῳ, λαβόντες μὲν ὑδραγωγὸν φάρμακον, ἐκκενοῦνται πλῆθος οὐκ ὀλίγον ὑδατώδους ὑγρότητος καὶ προσστέλλονται τὸν ὄγκον τῆς γαστρός, εἰ δὲ χολῆς ξανθῆς ἢ μελαίνης ἀγωγὸν αὐτοῖς τις δοίη φάρμακον, ὀλιγοστόν τ᾽ ἐκκενοῖ τὸν χυμὸν ὅ τ᾽ ὄγκος αὐτοῖς τῆς γαστρὸς οὐ μόνον οὐδὲν ἐλάττων, ἀλλὰ καὶ μείζων γίνεται. τοὐναντίον δὲ συμβαῖνον ἐπὶ τῶν δι᾽ ἔμφραξιν ἥπατος ἰκτεριώντων ἐθεάσασθε· προεκφραχθέντος γὰρ αὐ|τοῖς τοῦ σπλάγ- 73
χνου διὰ τῶν τοῦτο δρᾶν δυναμένων φαρμάκων, ὅταν ἐπιδοθῇ τὸ χολαγωγόν, ἥ τε κένωσις παμπόλλη γίνεται τοῦ πλεονάζοντος χυμοῦ παύεταί τε παραχρῆμα τὸ πάθημα. τὸ δὲ τούτοις ἀνάλογον ἴστε κἀπὶ τῶν ὑπὸ φλέγματος ἢ χολῆς μελαίνης ἐνοχλουμένων γινόμενον· καὶ γὰρ κενοῦταί ⟨τε⟩ πάμπολυς ὁ λυπῶν χυμὸς οἵ τε κάμνοντες ὀνίνανται μεγάλως. εἰ τοίνυν ἕλκεται μὲν ἐκ ⟨τοῦ σώματος ὑπὸ⟩ τῶν καθαρτικῶν φαρμάκων τοιαῦτα, τὰ δὲ φάρμακα κατὰ πᾶσαν ἡλικίαν τε καὶ ὥραν καθαίρει, διὰ παντός εἰσιν οἱ τέτταρες χυμοὶ κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου. ἐχρῆν γάρ, καθάπερ ἔμπροσθεν ἐλέχθη, κἂν μίαν γοῦν τινα ὥραν τοῦ ἐνιαυτοῦ ἢ τῆς ἡλικίας τοῦ ἀνθρώπου φαίνεσθαι μόνον ἔχουσαν τὸ αἷμα, τῆς δόξης ἀληθοῦς ὑποτεθείσης εἶναι τῶν ἀποφηναμένων αἷμα μόνον εἶναι τὴν τοῦ ἀνθρώπου φύσιν, ὅπερ ἐστὶ ταὐτὸν τῷ ἐξ αἵματος μόνου διαπεπλάσθαι πάντ᾽ αὐτοῦ τὰ μόρια τρέφεσθαί τε διὰ παντὸς αἵματι μόνῳ. διττῶς δὲ τοῦ αἵματος λεγομένου, τοῦ μέν, ὅπερ ἐν ταῖς φλεβοτομίαις κἀν τοῖς τρώμασι κενούμενον φαίνεται, μετέχον-
τος, ὡς ἐδείκνυμεν, | ἀμφοτέρων τε τῶν χολῶν καὶ τοῦ φλέγματος, 74
ἑτέρου δὲ τοῦ καθαροῦ τε καὶ εἰλικρινοῦς ἀμίκτου τε τῶν ἄλλων χυμῶν, ἐκ μὲν τοῦ κατὰ τὸ πρότερον σημαινόμενον αἵματος ἀληθὲς ἴσως ἐστὶ διαπλάττεσθαι τὸ κυούμενον, ἐκ δὲ τοῦ κατὰ τὸ δεύτερον οὐκ ἀληθές· οὐδέποτε γὰρ ἐν ταῖς κυούσαις μόνον γίνεται τοῦτο. διὰ τί δὲ προσέθηκα τῷ λόγῳ τὸ ἴσως, οἶμαι γινώσκειν ὑμᾶς· ἐν γὰρ τοῖς

3 οἱ ὑδεριῶντες] *Gal. XI 330 sq. K.* 8 ἐπὶ τῶν ... ἰκτεριώντων] *Gal. XI 329 sq. K.* 18 ἔμπροσθεν] *cf. supra p. 23, 15—21* 25 ὡς ἐδείκνυμεν] *cf. supra p. 32, 21 sq.*

2 καθαρτικῶν L 4 ἐκκενοῦται VR ὑδρατώδους *(sic)* L 5 προστέλλονται *codd.: correxi; confirmat vertendo 'sich beruhigt'* H 6 ἐν αὐτοῖς L δοίη LR²: δώσει VR 9 προεμφραχθέντος L *et Aldina* γὰρ αὐτοῖς LR²: δ᾽ αὐτῶν VR 13 ὑπὸ L: ἐπὶ VR μελαίνης χολῆς L γινομένων R: *corr.* R² 14 τε *addidi* πάμπολυς] υς *in ras.* V¹ χυμοῦ R: *corr.* R² 15 ἕλκονται *codd.: correxi* τοῦ σώματος ὑπὸ *addidi; confirmat vertendo 'wenn nun die abführenden Arzneien die* χυμοί, *die aus dem Leibe entleert werden, anziehen'* H 16 φαρμάκων *om.* VR δὲ] τε *codd.: corr. Kühn* 17. 18 τἀνθρώπου VR 18 γοῦν μίαν L 19 ὥρην R ἡλικίης VR ἔχουσαν ... μόνον *(21) om.* V 20 εἶναι *om.* L 21 μοῦνον R: *corr.* R² εἶναι *om.* R: *add.* R² 23 τῷ *ante* αἵματι *add.* L 24 κἀν L: καὶ VR 25 τῶν *om.* L τοῦ *om.* L: *supr. add.* L¹ 27 σημαινομένου L 29 μόνον R²: μόναις LVR γίνεσθαι L: γίγνεσθαι VR: γίγνεται *corr. Basileensis Cornarius* δὲ *e corr.* V¹ 30 τῷ λόγῳ LR²: τῷ καταλόγῳ VR

Περὶ cπέρματος ὑπομνήμαcιν ἐδείχθη τὰ πλεῖcτα μόρια τοῦ cώματος ἐκ τοῦ cπέρματος γινόμενα μόνων τῶν cαρκωδῶν ἐξ αἵματος διαπλαccομένων. ἀλλ᾽ ἐπεὶ μὲν τοῦ cπέρματος ὀλίγος ἐcτὶν ὁ καταβαλλόμενος εἰc τὰc μήτραc ὄγκοc, ἡ τροφὴ δὲ αὐτῷ καὶ ἡ αὔξηcιc ἐκ τοῦ αἵματος γίνεται, διὰ ταῦτ᾽ ἄν τιc ὀλίγου δεῖν ἐξ αἵματος φαίη διαπλάττεcθαι τὰ μόρια. καθ᾽ ὅcον δὲ τὸ cπέρμα τὴν γένεcιν ἐξ αἵματος ἔcχε, κατὰ τοῦτο ἄν τιc ἐξ αἵματος εἶναι λέγων τὴν γένεcιν τοῦ κυουμένου δόξειεν ἀληθεύειν, ἀλλ᾽ οὐκ ἐξ εἰλικρινοῦc αἵματος, ἀμίκτου τῶν ἄλλων χυμῶν, ἀλλ᾽ ἐκ τοῦ κατ᾽ ἐπικράτειαν ὠνομαcμένου.

75 τοιαύτη μέν τίc ἐcτιν ἡ ὅλη διάνοια τῆc | προκειμένηc ῥήcεωc. τῶν δὲ κατὰ μέροc ἐν αὐτῇ πρῶτον μὲν ἐπιcημήναcθαι προcήκει τὸ κοινὸν οὐ μόνον ἰατρῶν ἔθοc, ἀλλὰ καὶ πάντων Ἑλλήνων, ὀνομαζόντων χολὴν ἄνευ προcθήκηc, ὅταν τὴν ὠχρὰν ἢ τὴν ξανθὴν δηλῶcαι βουληθῶcιν. ὅτι δὲ ἄμφω ταῦτα τὰ ὀνόματα καθ᾽ ἑνὸc εἴδουc χυμοῦ λέγεται διαφέροντοc ὑγρότητι καὶ ξηρότητι, μικρὸν ἔμπροcθεν εἴρηταί μοι. τὰc δὲ ἄλλαc ἁπάcαc χολὰc μετὰ προcθήκηc ὀνομάζουcιν ἰώδη καλοῦντεc ἢ μέλαιναν ἢ ἐρυθρὰν ἢ πραcοειδῆ. δεύτερον δ᾽ ἐπὶ τῷδε κατὰ τὴν προκειμένην ῥῆcιν ἐπιcημήναcθαι προcῆκον, ἔνθα φηcί· μέχριc ἂν δυνατὸc ᾖ ἕλκειν τὸ πνεῦμα εἰc ἑωυτὸν καὶ πάλιν μεθιέναι. δῆλοc γάρ ἐcτι τὴν μὲν εἰcπνοὴν ἑλκόντων τῶν ἀναπνευcτικῶν ὀργάνων τὸν ἔξωθεν ἀέρα βούλεcθαι γινομένην, τὴν δ᾽ ἐκπνοὴν μεθιέντων. εἶτα τρίτον, ἔνθα φηcίν· ἔcτ᾽ ἄν τινοc cτερηθῇ τῶν ξυγγεγονότων. βούλεται γὰρ οὐ μόνον, ὅταν αἵματοc cτερηθῇ, τὸ ζῷον ἀποθνήcκειν, ἀλλὰ κἂν φλέγματοc ἢ ξανθῆc ἢ μελαίνηc χολῆc. |

76 **I 29** [6. VI 44, 3—11 L.] Οἱ δὲ λέγοντεc, ὡc ἕν ἐcτιν ὁ ἄνθρωποc, δοκέουcί μοι ταύτῃ τῇ γνώμῃ χρέεcθαι· ὁρῶντεc τοὺc πίνονταc τὰ φάρμακα ἀπολλυμένουc ἐν τῇcιν ὑπερκαθάρcεcι τοὺc μὲν χολὴν ἐμέονταc, τοὺc δέ τιναc φλέγμα, τοῦτο ἕκαcτον αὐτῶν ἐνόμιcαν εἶναι τὸν ἄνθρωπον, ὅ τι καθαιρόμενον αὐτὸν εἶδον ἀποθανόντα. καὶ οἱ τὸ αἷμα φάντεc εἶναι τὸν ἄνθρωπον τῇ αὐτῇ γνώμῃ χρέονται· ὁρῶντεc ἀποcφαζομένουc τοὺc ἀνθρώπουc καὶ τὸ αἷμα ῥέον ἐκ τοῦ cώματοc τοῦτο νομίζουcιν εἶναι τὴν ψυχὴν τῷ ἀνθρώπῳ. καὶ μαρτυρίοιcι τουτέοιcι πάντεc χρέονται ἐν τοῖcι λόγοιcιν.

1 Περὶ cπέρματοc] *Gal. IV 512—651 K.* 15 μικρὸν ἔμπροcθεν] *supra p. 35, 30—36, 3* 25 *sqq. cf. Gal. I 441 K.*

2 τῶν *supr. scr.* R 3 ἐπεὶ VR: ἐπὶ L ὀλίγοc R^2V: ὀλίγωc L: ὁ λόγοc R καταβαλόμενοc R: *corr.* R^2 4 καὶ ἡ αὔξηcιc αὐτῷ L 5 ὀλίγα R: *corr.* R^2 6 καὶ *ante* καθ᾽ *add.* L 13 χολὴν] ὠχρὰν L τὴν *ante* ξανθὴν *om.* L 14 ταῦτα ἄμφω VR τὰ *om.* VR ἑνὸc εἴδουc L: ἓν εἶδοc R^2: ἓν VR 15 διαφερόντωc R: *corr.* R^2 19 ἕλκειν δυνατὸc ᾖ VR; *at cf. supra p. 37, 21* ἑαυτὸν L 20 δῆλον VR 21 γιγνομένην VR: γίνεcθαι L μεθιόντων *(sic)* VR 23 cτέρηται L 24 κἂν L: καὶ VR 26 δοκέουcί ... χρέονται *(31) non exar.* R χρῆcθαι V 28 ἕκαcτοc V 29 αὐτὸν *om.* L

Οἱ δὲ λέγοντες, φησίν, ὡς ἕν ἐστιν ὁ ἄνθρωπος, ὡς πολλῶν ὄντων τῶν λεγόντων, οὐχ ἑνός. ἐξ ὧν δ᾽ οὖν ἑαυτοὺς ἐπεπείκεσαν οἱ τῶν τεττάρων χυμῶν ἕνα τινὰ νομίσαντες ἱκανὸν εἶναι γεννῆσαι τὸν ἄνθρωπον, αὐτὸς ὁ Ἱπποκράτης ἐδήλωσεν, ἀπιθάνων μὲν ἡμῖν, ὡς ἔφην, ἐκεί|νοις δὲ δηλονότι πιθανῶν φαινομένων. ἐν γὰρ ταῖς ὑπερκαθάρσεσιν 77 ἄλλος ἄλλον ὑπ᾽ ἄλλου καὶ ἄλλου χυμοῦ τελέως ἐκκενωθέντος ὁρῶντες ἀπολλύμενον ἐκεῖνον μόνον ἐνόμισαν εἶναι τὸν χυμὸν τὴν φύσιν τοῦ ἀνθρώπου.

I 30 [6. VI 44, 11—15 L.] Καίτοι πρῶτον μὲν ἐν τῇσιν ὑπερκαθάρσεσιν οὐδείς που ἀπέθανε χολὴν μόνην καθαρθείς, ἀλλ᾽, ὁπόταν πίῃ τις φάρμακον, ὅ τι χολὴν ἄγει, πρῶτα μὲν χολὴν ἐμέει, ἔπειτα δὲ καὶ φλέγμα, ἔπειτα ἐπὶ τούτοισιν ἐμέουσι καὶ χολὴν μέλαιναν ἀναγκαζόμενοι, τελευτῶντες δὲ καὶ αἷμα ἐμέουσι καθαρόν.

Κἀνταῦθα πάλιν σαφῶς ἐδήλωσε τὸ ἔθος τῶν Ἑλλήνων χολὴν μὲν ὀνομαζόντων πολλάκις ἄνευ προσθήκης τὴν ξανθήν, τὴν μέλαιναν δὲ μετὰ προσθήκης ἀεί. τὸ δ᾽ ἐν ὅλῃ τῇ ῥήσει δηλούμενον σαφές· οὐδένα γάρ φησιν ἀποθα|νεῖν ἕνα μόνον χυμὸν ἐκκαθαρθέντα· συνεκκενοῦσθαι 78 γὰρ ἀεὶ καὶ τοὺς ἄλλους αὐτῷ.

I 31 [6. VI 44, 15—18 L.] Τὰ αὐτὰ δὲ πάσχουσι καὶ ὑπὸ τῶν φαρμάκων τῶν φλέγμα ἀγόντων· πρῶτον μὲν φλέγμα ἐμέουσιν, ἔπειτα ξανθὴν χολήν, ἔπειτα μέλαιναν, τελευτῶντες δὲ αἷμα καθαρόν, ἐφ᾽ ᾧ ἀποθνήσκουσιν.

Μετὰ τὸ κενωθῆναι τὸν οἰκεῖον τῷ καθαρτικῷ φαρμάκῳ χυμὸν ἐφεξῆς αὐτῷ πρῶτος μὲν ὁ τῶν ἄλλων εὐαγωγότατος ἕπεται, μετ᾽ ἐκεῖνον δὲ ὁ τὴν δευτέραν ἐπὶ τούτῳ τάξιν ἔχων, κἄπειτα τὸ αἷμα πάντων ὕστατον, ὡς ἂν οἰκειότατος ὢν τῇ φύσει χυμός· ἀσφαλὲς γὰρ φάναι περὶ αὐτοῦ τό γε τοσοῦτον, ὡς, εἰ καὶ μὴ μόνος ἐστὶν ἡ φύσις τοῦ ἀνθρώπου, ἀλλ᾽ οἰκειότατός γε ἁπάντων τῶν ἄλλων. |

9 *sq. cf. Gal. I 441 K.* 11 *sqq. cf. Gal. I 504 K.* 20 *sqq. cf. Gal. I 504 K.*

4 ὁ *om.* V ὡς ἔφην ἡμῖν L 5 ἐκείνῳ L δὲ πι-|δηλονότι *(sic), sed* πι *ipse del.* R: *rurs. corr.* R² γὰρ *om.* L 9 ταῖς VR 11 ὁπόταν *(ut Hipp. A)* L: ὅταν VR πρῶτον V μὲν] τὴν V 12 ἔπειτα *(prius)* ... ἀναγκαζόμενοι *(13) non exar.* R δὲ καὶ *om.* L τούτοισιν] τούτοις V 13 καὶ *(alt.) om.* L: *supr. scr.* R 18 καθαρθέντα L 20 τῶν ... καθαρὸν *(23) non exar.* R 22 *post* ἔπειτα *(prius) add.* δὲ V 24 κενωθῆναι] καθαρθῆναι L 25 μὲν *om.* VR 26 ἐπὶ] ἐν *codd.: correxi* ἔπειτα L 28 γε VR: τε L 29 τῶν ἄλλων ἁπάντων L

79 **I 32** [6. VI 44, 18—46, 8 L.] Τὸ γὰρ φάρμακον, ὁκόταν εἰcέλθῃ εἰc τὸ cῶμα, πρῶτον μὲν ἅπαν ἄγει, ὃ ἂν αὐτῷ κατὰ φύcιν ᾖ μάλιcτα τῶν ἐν τῷ cώματι ἐνεόντων, ἔπειτα δὲ καὶ τὰ ἄλλα ἕλκει τε καὶ καθαίρει, ὥcπερ τὰ φυόμενά τε καὶ cπειρόμενα, ὁκόταν εἰc τὴν γῆν ἔλθῃ, ἕλκει ἕκαcτον τὸ κατὰ φύcιν ἑωυτῷ ἐνεὸν ἐν τῇ γῇ· ἔνι δὲ καὶ ὀξὺ καὶ γλυκὺ καὶ πικρὸν καὶ ἁλμυρὸν καὶ παντοῖον· πρῶτον μὲν οὖν τοῦτο πλεῖcτον εἴρυcεν εἰc ἑωυτό, ὅ τι ἂν ᾖ αὐτῷ κατὰ φύcιν μάλιcτα, ἔπειτα δ᾿ ἕλκει καὶ τὰ ἄλλα. τοιοῦτον δή τι καὶ τὰ φάρμακα ποιεῖ ἐν τῷ cώματι· ὁκόcα γὰρ τὴν χολὴν ἄγει, πρῶτον μὲν ἀκρητεcτάτην ἐκάθηρε τὴν χολήν, ἔπειτα δὲ μεμιγμένην, καὶ τὰ τοῦ φλέγματοc φάρμακα πρῶτον μὲν ἀκρητέcτατον τὸ φλέγμα ἄγει, ἔπειτα δὲ μεμιγμένον, καὶ τοῖcιν ἀποcφαζομένοιcι τὸ αἷμα ῥεῖ πρῶτον θερμότατόν τε καὶ ἐρυθρότατον, ἔπειτα δὲ ῥεῖ φλεγματωδέcτερόν τε καὶ χολωδέcτερον. |

80 Σαφὴc ἡ ῥῆcίc ἐcτι γράφοντοc αὐτοῦ τὰ μαρτύρια τοῦ προκειμένου λόγου, καθ᾿ ὃν ἔφη τὸ φάρμακον, ὅταν εἰc τὸ cῶμα ἔλθῃ, πρῶτον μὲν τὸν οἰκεῖον ἕλκειν αὐτῷ χυμόν, ἔπειτα δὲ καὶ τοὺc ἄλλουc. μεμνῆcθαι δὲ χρὴ καὶ περὶ τῶν φυτῶν αὐτοῦ λέγοντοc ἕλκειν καὶ ταῦτα εἰc ἑαυτὰ τὸ κατὰ φύcιν ἕκαcτον αὐτῷ· περιέχεcθαι γὰρ ἐν τῇ γῇ καὶ ὀξὺ καὶ γλυκὺ καὶ πικρὸν καὶ ἁλμυρὸν καὶ παντοῖον· ὥcπερ δηλονότι καὶ κατὰ τὸν ἄνθρωπον ὀξὺ μὲν τὴν μέλαιναν χολήν, πικρὸν δὲ τὴν ξανθήν, γλυκὺ δὲ τὸ αἷμα καὶ ἁλμυρὸν τὸ φλέγμα· καὶ γὰρ καὶ τοιοῦτόν ἐcτί τι φλέγμα, καθάπερ ἄλλο γλυκὺ καὶ ἕτερον ὀξὺ καί τι ἕτερον μηδεμίαν ἔχον ἐπίcημον ποιότητα. διὰ τοῦτό μοι δοκεῖ καὶ κατὰ τὸ τέλοc τῆc ῥήcεωc προcθεῖναι τὸ καὶ παντοῖον, οὐ μόνον ἐν τῷ φλέγματι διαφορὰc ὁρῶν παμπόλλαc, ἀλλὰ καὶ κατὰ τοὺc ἄλλουc χυμούc. ὥcπερ γὰρ ὀξὺ καὶ γλυκὺ καὶ πικρὸν καὶ ἁλμυρόν, οὕτω καὶ cτρυφνόν τι καὶ αὐcτηρὸν καὶ δριμὺ καὶ λιπαρὸν εἶδόc ἐcτι χυμῶν ἔν τε τοῖc ζῴοιc καὶ τοῖc φυτοῖc καὶ δηλονότι καὶ κατὰ τὴν γῆν ἀνάλογον αὐτοῖc. |

81 **I 33** [7. VI 46, 9—20 L.] Αὔξεται δὲ ἐν τῷ ἀνθρώπῳ τὸ μὲν φλέγμα τοῦ χειμῶνοc· τοῦτο γὰρ τῷ χειμῶνι κατὰ φύcιν ἐcτὶ

4 *sqq. cf. Gal. I 507 K.*

1 ὅταν VR 2 πρῶτον ... ἐρυθρότατον *(14) non exar.* R ἅπαν *om.* L 3 ᾖ μάλιcτα V: ἐcτὶ μάλιcτα L ἐνόντων V 5 ὅταν V ἐν *ante* ἑωυτῷ *add.* L 7 τοῦτο πλεῖcτον L: πλεῖcτον τούτου V εἴρυcεν L: εἵλκυcεν V 8 εἰc ἑωυτὸ L: ἐν ἑωυτῷ V αὐτῷ *in ras.* L 9 δή L: δέ V 11 ἐκάθηρον L 13 μεμιγμένον ... δὲ *(14) om.* V 14 ῥεῖ VR: *om.* L 15 τε *om.* L 18 αὐτῷ LR²: αὐτὸ VR 19 τῶν *om.* L 20 ἑαυτῷ L 22 πικρὰν VR 23 καὶ ἁλμυρὸν] ἁλμυρὸν δὲ L καὶ *post* γὰρ *om.* VR 24 τι *(prius)* LR²: *om.* VR τι *(alt.)*] τοι VR: *om.* LR²: *corr. Chartier* ἕτερον LR²: *om.* VR 25 ἔχον *om., sed supr. scr. ipse* R 26 ἐν τῷ LR²V: αὐτῷ R 28 τι L¹R²: τε VR: *om.* L 30 τοῖc *om.* L 32 τοῦτο ... ὥρην *(p. 43, 11) non exar.* R *post* γὰρ *add.* τῶν χυμῶν V

μάλιστα τῶν ἐν τῷ cώματι ἐνεόντων· ψυχρότατον γάρ ἐστι. τεκμήριον δὲ τουτέου, ὅτι τὸ φλέγμα ψυχρότατον· εἰ θέλειc ψαῦcαι φλέγματοc καὶ χολῆc καὶ αἵματοc, τὸ φλέγμα εὑρήcειc ψυχρότατον ἐόν· καίτοι γλιcχρότατόν ἐcτι καὶ βίῃ μάλιcτα ἄγεται μετά γε χολὴν μέλαιναν· ὅcα δὲ βίῃ ἄγεται, θερμότερα γίνεται ἀναγκαζόμενα ὑπὸ τῆc βίηc· ἀλλὰ ὅμωc καὶ πρὸc ταῦτα πάντα ψυχρότατον ἐὸν τὸ φλέγμα φαίνεται ὑπὸ τῆc φύcεωc τῆc ἑωυτοῦ. ὅτι δὲ ὁ χειμὼν πληροῖ τὸ cῶμα φλέγματοc, γνοίηc ἂν τοῖcδε· οἱ ἄνθρωποι πτύουcί τε καὶ ἐκμύccονται φλεγματωδέcτατον τοῦ χειμῶνοc, καὶ τὰ οἰδήματα αὐτοῖc λευκὰ γίνεται μάλιcτα κατὰ ταύτην τὴν ὥρην καὶ τὰ ἄλλα νοcήματα φλεγματώδεα.

Cαφὴc ἡ ῥῆcίc ἐcτιν ὅλη καὶ προcέχοντοc δεομένη | τοῦ ἀναγινώ- 82
cκοντοc, οὐκ ἐξηγητοῦ cαφηνίζοντοc αὐτήν.

τὸ δʼ ἐπὶ τῇ τελευτῇ γεγραμμένον καὶ τὰ ἄλλα νοcήματα φλεγματώδεα κατὰ μὲν τὴν ⟨χωρὶc τοῦ ἄρθρου γραφὴν ὧδέ τινεc ἐξηγοῦνται· καὶ τὰ οἰδήματα λευκὰ γίνεται μάλιcτα κατὰ ταύτην τὴν ὥραν καὶ πολλὰ γίνεται κατʼ αὐτήν τε καὶ ἔcτιν ἄλλα νοcήματα φλεγματώδη, κατὰ δὲ τὴν⟩ μετὰ τοῦ ἄρθρου γραφὴν ὁ νοῦc ἔcται τῆc λέξεωc τοιοῦτοc· τὰ οἰδήματα λευκὰ γίνεται μάλιcτα κατὰ τὸν χειμῶνα καὶ τὰ ἄλλα δὲ νοcήματα φλεγματώδη γίνεται κατὰ τοῦτον τὸν χρόνον. ἀμέλει καὶ οἱ πυρετοί, καθάπερ ἐν θέρει χολωδέcτεροι τοὐπίπαν, οὕτωc ἐν χειμῶνι φλεγματωδέcτεροι.

I 34 [7. VI 46, 20—48, 5 L.] Τοῦ δὲ ἦροc τὸ φλέγμα ἔτι μένει ἰcχυρὸν ἐν τῷ cώματι καὶ τὸ αἷμα αὔξεται· τά τε γὰρ ψύχεα ἐξανίει καὶ τὰ ὕδατα ἐπιγίνεται, τὸ δὲ αἷμα κατὰ τὰ αὐτὰ αὔξεται ὑπό τε τῶν ὄμβρων ὑπό τε τῶν θερημεριῶν· κατὰ φύcιν γὰρ αὐτῷ ταῦτά ἐcτι μάλιcτα τοῦ ἐνιαυτοῦ· ὑγρόν τε γάρ ἐcτι καὶ θερμόν. γνοίηc δʼ ἂν τοῖcδε· οἱ ἄνθρωποι τοῦ ἦροc καὶ τοῦ θέρεοc μάλιcτα ὑπό τε τῶν δυcεντεριῶν ἁλί-

2 τούτου V ἐθέλειc V 4 γλιcχρότατόν L: cκληρότατόν V 5 γε *om.* V 9 ἐκμάccονται V 10 φλεγματωδέcτατα V τὰ *om.* V 13 ὅλη *om.* VR προcελθόντοc R: *corr.* R^2 16 φλεγματώδεα *om.* L *post* φλεγματώδεα *interpungunt ac post* μὲν *loco lacuna paulo infra corrupto subventuri* οὖν *add.* VR *lacunam voce* μὲν *h. v. indicatam secundum memoriam arabicam explevi; nam 'so schreiben es einige Leute auf diese Weise' (neque enim hic neque infra v. 19 vocis* ἄρθρου *vim perspexit): 'und die Geschwüre zu dieser Zeit des Jahres sind besonders ihre Farben weiß und es entstehen in ihm und sind viel die übrigen phlegmatösen Krankheiten; und einige von ihnen schreiben es auf diese Weise' eqs.* H 19 μετὰ *in ras.* L ἄρθρου] αὐτοῦ R^2 20 μάλιcτα *post* χειμῶνα *transpos.* L 25 καὶ τὸ . . . αὐτοῖcι *(p. 44, 1) non exar.* R 26 τὸ δὲ L: καὶ τὸ V 27 ὑπό τε *(alt.)* L: καὶ ὑπό τε V 28 ταῦτά V: τοῦτʼ L μάλιcτα *post* αὐτῷ *transp.* V 30 ἁλίcκονται] *abhinc usque ad 48, 11 foliorum particulis abscissis nonnullarum vocum syllabae quaedam perierunt in L, quas significare non intererat nisi ubi apparebat a ceteris eum codicem discrepare*

ϲκονται καὶ ἐκ τῶν ῥινῶν τὸ αἷμα ῥεῖ αὐτοῖϲι καὶ θερμότατοί εἰϲι καὶ ἐρυθρότατοι. |

83 Ἔϲτι μὲν καὶ τῆϲδε τῆϲ ῥήϲεωϲ ἡ λέξιϲ ϲαφήϲ· εἴρηται δ᾽ ἐν τῷ πρώτῳ τῶν Περὶ κράϲεων, ὅτι τε βέλτιον ἦν τὸ ἔαρ εὔκρατον, οὐχ ὑγρὸν καὶ θερμὸν λέγεϲθαι διὰ τίνα τε αἰτίαν εἰϲ τὸ θερμὸν καὶ ὑγρὸν λέγειν αὐτὸ τῶν ἰατρῶν ἔνιοι καὶ τῶν φιλοϲόφων ὑπήχθηϲαν· ὡϲ ἐν ὥραιϲ μὲν γὰρ τοῦτο λέγουϲιν ὑγρὸν καὶ θερμόν, ὡϲ ἐν γεννητῶν δὲ ϲώμαϲι τὰ ζῷα, ταῦτα μὲν ὡϲ πρὸϲ τὰ φυτὰ παραβάλλοντεϲ, τὸ δὲ ἔαρ τῷ φθινοπώρῳ, τὸ ἄριϲτον ἐν ταῖϲ ὥραιϲ καί, ὡϲ ἂν εἴποι τιϲ, μόνον ἀκριβῶϲ κατὰ φύϲιν τῷ παρὰ φύϲιν ἔχοντι. τοῦ δὲ πλεονάζειν αἷμα κατὰ τὸ ἔαρ ϲὺν τοῖϲ ἄλλοιϲ γνωρίϲμαϲι καὶ τὸ δυϲεντερίαϲ γενέϲθαι τότε τὰϲ αἱματηρὰϲ δηλονότι λεγομέναϲ, οὐχ ὅϲαι διὰ χολὴν ἑλκοῦϲι τὰ ἔντερα. λέλεκται δέ μοι περὶ τῆϲ αἱματηρᾶϲ ταύτηϲ δυϲεντερίαϲ ἐν τῷ τετάρτῳ τῶν Εἰϲ τὸ περὶ ἄρθρων ὑπομνήματι δεικνύντι τὸ πάθημα τοῦτο πλήθουϲ αἵματοϲ ὄντοϲ ἐν ταῖϲ φλεψίν, εἶτα ἐκκρινούϲηϲ ἀθρόον τῆϲ φύϲεωϲ διὰ τῶν ἐντέρων γίγνεϲθαι πολλάκιϲ, ὥϲπερ καὶ ταῖϲ γυναιξὶ διὰ μήτραϲ, ἐνίοιϲ δὲ διὰ ῥινῶν ἢ δι᾽ |
84 αἱμορροΐδων ἢ ἐμέτων.

παρενέθηκε δὲ καὶ τὸ θέροϲ τῷ ἦρι κατά τε τὸν τῶν δυϲεντεριῶν λόγον καὶ τὴν ἐρυθρότητα τῆϲ χρόαϲ. διὰ γὰρ τὴν ἑαυτοῦ θερμότητα τὸ γεννηθὲν αἷμα κατὰ τὸ ἔαρ ἐρυθράν τε τὴν χρόαν ἐργάζεται τοῦ παντὸϲ ϲώματοϲ ἐκκρίνεταί τε διὰ τῆϲ ἕδραϲ ἐνίοιϲ. θερμοὶ δ᾽ ἁπτομένοιϲ οἱ ἄνθρωποι τηνικαῦτα φαίνονται καὶ διὰ τὸ αἷμα μέν, ἀλλὰ καὶ διὰ τὸ περιέχον.

I 35 [7. VI 48, 6—14 L.] Τοῦ δὲ θέρεοϲ τό τε αἷμα ἰϲχύει ἔτι καὶ ἡ χολὴ ἀείρεται ἐν τῷ ϲώματι καὶ παρατείνει ἐϲ τὸ φθινόπωρον. ἐν δὲ τῷ φθινοπώρῳ τὸ μὲν αἷμα ὀλίγον γίνεται· ἐναντίον γὰρ αὐτῷ τὸ φθινόπωρον τῇ φύϲει ἐϲτίν. ἡ δὲ χολὴ ἡ θερινὴ κατέχει τὸ ϲῶμα καὶ τὸ φθινόπωρον. γνοίηϲ

4 Περὶ κράϲεων] *Gal. I 533 sq. K.* 14 Εἰϲ τὸ περὶ ἄρθρων] *Gal. XVIII A 724—728 K.*

1 τὸ *om.* L 3 *ubi a* VR *tacite discrepat usque ad 48, 11 scriptura in textum recepta, ibi eam quamvis discisso praeberi credas codice* L 4 τε LR^2: *om.* VR ἔαρ LR^2: ἔαρ καὶ VR καὶ *ante* οὐχ *add.* V 5 τινά VR *post* τε *add.* τὴν VR, *quod non recte in* μὴν *mutavit Cornarius* 6 ὡϲ] *hic et v. 7 eodem modo intellegendum ut infra p. 58, 30* 7 ὡϲ ἐν γεννητῶν δὲ ϲώμαϲι L: ὡϲ ἐν γένει τῶν δ᾽ ἐν ϲώματι V: ὡϲ ἐν γένει τῶν δ᾽ ἐν τοῖϲ ϲώμαϲι R: ὡϲ ἐν γένει τῶν δ᾽ ἐν ϲώμαϲι R^2 9 τὸ δὲ LR^2: τῷ δὲ VR: *in mg.* τὸ *pro* τῷ R 12 γενέϲθαι] ἔϲεϲθαι VR: εἶναι L: *correxi* δηλονότι ... αἱματηρᾶϲ *(13)* LR^2: *om.* VR 13 ἑλκοῦϲι R^2: ἕλκουϲι L 14 ταύτηϲ LR^2: περὶ ταύτηϲ δὲ τῆϲ *partim interpolando* VR *post* ὑπομνήματι *hab.* λέλεκται *(cf. v. 13)* VR: *ras. del.* R^2 15 ὄντοϲ αἵματοϲ L 16 ἐκκρινούϲηϲ] ἐκ *in ras.* L ἀθρόωϲ VR 17 ἔνιοι *codd.*: *correxi* δι᾽ *om.* L 19 παρέθηκε V δὲ *om.* L καί] κ *in ras.* V^1 τὸν LR^2: *om.* VR 20 λόγον LV^{1}R^2: λόγων VR 25 θέρουϲ L 26 καὶ ἡ ... ὥρῃ *(p. 45, 5) non exar.* R αἵρεται *(sic)* V εἰϲ V

δ᾽ ἂν τοῖcδε· οἱ ἄνθρωποι αὐτόματοι ταύτην τὴν ὥρην χολὴν ἐμέουcι καὶ ἐν τῇcι φαρμακοποcίῃcι χολωδέcτερα καθαίρονται. δῆλον δὲ καὶ ἐν τοῖcι πυρετοῖcι καὶ ἐν τοῖcι χρώμαcι τοῖcι τῶν ἀνθρώπων. τὸ δὲ φλέγμα τοῦ θέ|ρουc ἀcθενέcτερόν ἐcτιν 85
αὐτὸ ἑωυτοῦ· ἐναντίη γὰρ αὐτοῦ τῇ φύcει ἐcτὶν ἡ ὥρη· ξηρή τε γάρ ἐcτι καὶ θερμή.

Ἐν τῷ θέρει καὶ μάλιcτα κατὰ τὴν ἀρχὴν αὐτοῦ τοῖc πλείcτοιc αἷμα πλεονάζει τὸ κατὰ τὸ ἔαρ αὐξηθέν, ὡc ἂν μηδέπω διαπεφορημένον ὑπὸ τῆc τοῦ περιέχοντοc θερμότητοc. αὔξεται δὲ καὶ χολὴ διὰ τὸ παρὰ φύcιν ἐκθερμαίνεcθαι τὸ cῶμα κατὰ τήνδε τὴν ὥραν. ὠνόμαcε δὲ πάλιν ἐνταῦθα χολὴν ἄνευ τοῦ προcθεῖναι τὸ τῆc χρόαc ὄνομα τὴν ξανθήν, οὐδέποτε τὴν μέλαιναν ἁπλῶc ὀνομάζων, ἀλλ᾽ ἀεὶ μετὰ τοῦ προcθεῖναι τὸ τῆc χρόαc ὄνομα. τὰ δὲ κατὰ μέροc ἐν τῇ ῥήcει δῆλα τοῖc γε προcέχουcι τὸν νοῦν.

I 36 [7. VI 48, 14—17 L.] Τὸ δὲ αἷμα τοῦ φθινοπώρου ἐλάχιcτον γίνεται ἐν τῷ ἀνθρώπῳ· ξηρὸν γάρ ἐcτι τὸ φθινόπωρον καὶ ψύχειν ἤδη ἄρχεται τὸν ἄνθρωπον. ἡ δὲ μέλαινα χολὴ τοῦ φθινοπώρου πλείcτη τε καὶ ἰcχυροτάτη ἐcτίν. |

Κατὰ μὲν τὴν πρὸ ταύτηc ῥῆcιν εἴρηται ἐν τῷ φθινοπώρῳ τὸ μὲν 86
αἷμα ὀλίγον γίνεcθαι· ἐναντίον γὰρ αὐτοῦ τὸ φθινόπωρον τῇ φύcει ἐcτίν. ἡμεῖc δέ, ὅπωc ἐναντίον ἐcτίν, ἐδιδάξαμεν· εἴπερ γὰρ τὸ μὲν αἷμα θερμὸν καὶ ὑγρόν ἐcτιν ὁμοίωc τῷ ἦρι, τὸ δὲ φθινόπωρον, ὡc αὐτὸc ἔφη, ξηρόν τέ ἐcτι καὶ ψύχειν ἤδη ἄρχεται τὸν ἄνθρωπον, εἰκότωc ἐναντίον τέ ἐcτι τὸ φθινόπωρον τῷ ἦρι καὶ τὸν χυμὸν ἔχει τὸν ἐναντίον τῷ αἵματι πλεονάζοντα, τὸν ξηρὸν καὶ ψυχρόν. ἐγένετο δ᾽ εἰκότωc τοιοῦτοc διὰ τὸ προκατωπτῆcθαι τοὺc χυμοὺc τῷ θέρει. τὸ δ᾽ ὑπόλειμμα τῶν ὀπτηθέντων, ὅταν δηλονότι cβεcθῇ τὸ θερμόν, αὐτίκα γίνεται ψυχρόν τε καὶ ξηρόν, ψυχρὸν μὲν διὰ τὴν τοῦ θερμοῦ cβέcιν, ξηρὸν δέ, ὅτι κατὰ τὴν ὄπτηcιν ἐξεδαπανήθη πᾶν τὸ ὑγρὸν ἐξ αὐτοῦ.

21 ἐδιδάξαμεν] *cf. supra p. 44, 4 sqq.* 23 ἔφη] *v. 16 sq.*

1 ὥραν V 2 χολωδέcτερον V 3 ἐν *utroque loco om.* V τοῖc *et ante* πυρετοῖcι *et ante* χρώμαcι V 4 τοῦ θέρουc] *fuit haud dubie, sed post* ἀcθενέcτερον, *etiam in* L 5 αὐτοῦ L: αὕτη V 6 ἐcτι L: *om.* VR 8 τὸ *ante* κατὰ *om.* L 10 cῶμα] αἷμα L ὥρην R 11 δὲ *om.* V χολὴν ἐνταῦθα L 12 μελαίνην R: *corr.* R² ὀνομάζειν R: *corr.* R² 16 ξηρὸν . . . φθινοπώρου *(18) non exar.* R ξηρὸν L *et Hipp.*: ξηρότερον V 18 πλεῖcτον *primo, sed ipse corr.* R 21 διδάξομεν *haud recte Cornarius* 22 τῷ ἦρι LR²: *om.* VR 23 τ᾽ ἐcτι V 24 τ᾽ ἐcτι R: τ᾽ ἐcτι τὸ *in ras. 10 fere litt.* V¹ φάρμακον *ante* φθινόπωρον *add., sed ipse del.* R: *rurs. del.* R² 25 τὸν *(alt.)*] τὸ *e corr. (ex* τὸν *ut vid.)* V¹ 29 cβέcιν] cύνεcιν V

I 37 [7. VI 48, 17—20 L.] Ὅταν δὲ ὁ χειμὼν καταλαμβάνῃ, ἥ τε χολὴ ψυχομένη ὀλίγη γίνεται καὶ τὸ φλέγμα αὔξεται πάλιν ὑπό τε τῶν ὑετῶν τοῦ πλήθεος καὶ ἀπὸ τῶν νυκτῶν τοῦ μήκεος. |

87 Τὸν ἐπικρατοῦντα χυμὸν ἐν ἑκάστῃ τῶν τεττάρων ὡρῶν ὅμοιον εἶναι βούλεται κατὰ τὴν κρᾶσιν αὐτῇ τῇ ὥρᾳ, καὶ διὰ τοῦτο ψυχρὸν μὲν καὶ ὑγρὸν ὀνομάζει τὸ φλέγμα παραπλησίως τῷ χειμῶνι, θερμὸν δὲ καὶ ὑγρὸν τὸ αἷμα καθάπερ τὸ ἔαρ, τὴν δὲ ξανθὴν χολὴν ὥσπερ τὸ θέρος εἶναί φησι θερμὴν καὶ ξηρὰν καὶ τὴν μέλαιναν ὁμοίως τῷ φθινοπώρῳ ψυχρὰν καὶ ξηράν. ὅτι μὲν οὖν ἐν αἷς εἶπεν ὥραις ἕκαστος τῶν χυμῶν αὔξεται, πρόσθεν ἐπιστώσατο, νυνὶ δὲ τὴν αἰτίαν λέγει, δι' ἣν ⟨ἐν⟩ χειμῶνι πλεονάζον ἐστὶ τὸ φλέγμα· ὑπό τε γὰρ τῶν ὑετῶν τοῦ πλήθεος, φησί, καὶ τῶν νυκτῶν τοῦ μήκεος, ὅπερ ἔστι διὰ τὸ τὴν ὥραν ταύτην ὑπάρχειν ὑγρὰν καὶ ψυχράν· ὑγρὰν μὲν οὖν εἶναι δηλοῦται διὰ τὸ πλῆθος τῶν ὑετῶν, ψυχρὰν δὲ διὰ τὸ μῆκος τῶν νυκτῶν. τῆς γὰρ τοῦ περιέχοντος ἡμᾶς ἀέρος θερμασίας, ἣν ἴσχει κατὰ τὸ θέρος, ὁ ἥλιος αἴτιος ἐγγύς τε τῶν κατὰ κορυφὴν ἡμῶν ἀφικνούμενος καὶ μακροτέραν τὴν ἡμέραν ποιούμενος· οὕτως καὶ τῆς ἐν χειμῶνι ψυχρότητος ὁ αὐτὸς αἴτιος λοξὸς καὶ ταπεινὸς ἐν ὀλίγῳ τε χρόνῳ
88 τὴν ὑπὲρ γῆς φορὰν ποιούμενος. ὁ δ' Ἱπποκρά|της βούλεται συνδιατίθεσθαι τὰ τῶν ζῴων σώματα τῇ τοῦ περιέχοντος ἡμᾶς ἀέρος καταστάσει, ξηραινόμενα μὲν ἐν ταῖς ξηραῖς αὐτοῦ κράσεσιν, ὑγραινόμενα δ' ἐν ταῖς ὑγραῖς, οὕτως δὲ καὶ θερμαινόμενα μὲν ἐν ταῖς θερμαῖς, ψυχόμενα δ' ἐν ταῖς ψυχραῖς. εἴπερ οὖν ὁ χειμὼν ὑγρὸς καὶ ψυχρός ἐστιν, εὐλόγως ἐν αὐτῷ τὸ φλέγμα πλεονεκτεῖ ψυχρὸν καὶ ὑγρὸν ὑπάρχον· ἔδειξε γὰρ καὶ τοῦτο πρόσθεν αὐτός. ὁμολογεῖν δὲ ὁ λόγος αὐτῷ φαίνεται κἀν ταῖς ἄλλαις ὥραις, ἐν μέν γε τῷ θέρει τῆς ξανθῆς χολῆς πλεοναζούσης, ἐπειδὴ ξηρὰ καὶ θερμὴ τὴν δύναμίν ἐστιν, ἐν ἦρι δὲ τοῦ αἵματος, ὑγροῦ καὶ θερμοῦ χυμοῦ, (καὶ γὰρ καὶ τὸ ἔαρ ἔφη θερμὸν εἶναι καὶ ὑγρόν), ἐν φθινοπώρῳ δὲ τῆς μελαίνης χολῆς ⟨ψυχρᾶς καὶ⟩ ξηρᾶς ὑπαρχούσης ὁμοίως τῇ ὥρᾳ. ἔστι μὲν οὖν τις οὐ σμικρὰ ζήτησις καὶ περὶ τῆς τοῦ ἦρος κράσεως, ὅπως λέγεται θερμὸν καὶ ὑγρόν, ἣν

26 ἔδειξε] *cf. supra p. 42, 31 sqq.* 29 ἔφη] *cf. supra 43, 25 sq.*

2 ἥ τε χολὴ ... πλήθεος *(3) non exar.* R 3 ὑπό τε L: ἀπὸ V 7 ὀνομάζεται *codd.: correxi* 8 ξανθὴν *om.* L 9 ξηρὰν καὶ θερμὴν L 12 ἐν *addidi* πλεονάζων V: *corr.* V¹ 14 ὥρην *codd.: correxi* 17 ἡμῖν R² 18 οὕτως ... ποιούμενος *(20) om.* L οὕτως] οὕτω δὲ R² 19 ὁ R²: *om.* VR φοξὸς V 20 τὴν R²: *om.* VR 22 ξαιραινόμενα, *sed ipse corr.* R 23 μὲν *om.* VR 25 ἐν *om.* V καὶ *ante* ὑγρὸν R²: *om.* VR: *defic.* L 26 αὐτὸς] *inc. fol. 126, cuius tanta pars avulsa est, ut plus quam dimidium uniuscuiusque versus interierit,* L 27 κἂν] καὶ *codd.: correxi* γε] γὰρ *codd.: corr. Kühn* 28 δὲ *om.* V 30 ἐν *in ras.* V¹ χολῆς *in ras.* V¹ ψυχρᾶς καὶ *addidi; confirmat vertendo 'weil ihre Mischung kalt und trocken ist'* H 31 μικρὰ L 32 ὅπως] ὅπερ L ἣν ... ὑγρὸν *(p. 47, 2) om.* V

διῆλθον ἐπιδεικνὺc ἄμεινον εἶναι λέγειν εὔκρατον αὐτό· καὶ δῆλον ὅτι
καὶ τὸ αἷμα κατὰ τὸν αὐτὸν λόγον οὐ θερμὸν καὶ ὑγρόν, ἀλλ' εὔκρα-
τον. ἔτι δὲ μείζων ⟨ἂν⟩ ζήτηcιc γένοιτο παραλελειμμένη τοῖc ἐξηγηcα-|
μένοιc τὸ βιβλίον περὶ τοῦ φλέγματοc ὑγροῦ μὲν καὶ ψυχροῦ τὴν 89
cύcταcιν ὄντοc, ἐν χειμῶcι δὲ γεννωμένου. διὰ τί δὲ ἔφην οὐ cμικρὰν
ἔcεcθαι ζήτηcιν, ἤδη cοι φράcω. κατὰ τοὺc Ἀφοριcμοὺc αὐτὸc ὁ Ἱππο-
κράτηc εἶπεν· "αἱ κοιλίαι χειμῶνοc καὶ ἦροc θερμόταται φύcει καὶ
ὕπνοι μακρότατοι. ἐν ταύτηcι τῇcιν ὥρῃcι καὶ τὰ προcάρματα πλείω
δοτέον· καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πολύ· τροφῆc οὖν πλείονοc δεῖ-
ται· cημεῖον δὲ αἱ ἡλικίαι καὶ οἱ ἀθληταί·" καὶ πάλιν· "θέρεοc καὶ
φθινοπώρου cιτία δυcφορώτατα φέρουcι, χειμῶνοc ῥήιcτα, ἦροc δεύτε-
ρον." εἴπερ οὖν ἀληθῆ ταῦτά ἐcτι γινώcκομέν τε τὸ φλέγμα ψυχρὸν
ὄντα χυμόν, οὐκ εὔκρατον, ὥcπερ τὸ αἷμα, πῶc ἐν χειμῶνι γενήcεται
πλεῖον; ἐχρῆν γὰρ ἐκ τῆc καλῶc πεφθείcηc τροφῆc αἷμα γεννᾶcθαι
μᾶλλον, οὐ φλέγμα. τίc οὖν ἡ λύcιc τῆc ἀπορίαc; ἐμοὶ μὲν ⟨ἥδε τιc
εἶναι⟩ δοκεῖ· θερμόταται μὲν αἱ κοιλίαι χειμῶνόc εἰcι τῷ κατὰ φύcιν
θερμῷ, τουτέcτιν εὐκρατόταται, τὰ δὲ μόρια τοῦ cώματοc ψύχεται
μᾶλλον ἐν χειμῶνι, τιcὶ δὲ καὶ ἡ γαcτὴρ αὐτὴ δι' ὁδοιπορίαν ἢ ἔνδειαν
ἀμφιεcμά|των ἢ ἐπιτηδευμάτων ἰδέαν ἤ τοιοῦτόν τι. καταδύεται γοῦν 90
ἅπαcα μὲν ἡ τοῦ περιέχοντοc ψύξιc ἕωc πλείcτου, τιcὶ δὲ καὶ μέχρι
τῶν κατὰ τὴν γαcτέρα χωρίων, ὡc εἴρηται, ὥcτε, κἂν πεφθῇ καλῶc
ἐν τῇ κοιλίᾳ τὰ ληφθέντα cιτία, κατά γε τὴν ἐν ἥπατι μεταβολὴν οὐκ
ἀκριβῆ τὸν τῆc αἱματώcεωc λαμβάνει κόcμον, ἀλλ' ἀποτυγχάνεταί τι
κατ' αὐτήν. ἔτι δὲ μᾶλλον αἱ καθ' ὅλον τὸ cῶμα φλέβεc οὐχ ὁμοίωc
αὐτὸ μεταβάλλουcιν ἐψυγμέναι. προcέρχεται δὲ τούτῳ καὶ τὸ πλῆθοc
τῶν ἐδεcμάτων, ὧν προcφέρονται χειμῶνοc, ἅμα ταῖc ποιότηcι φλεγμα-
τικωτέραιc οὔcαιc· χεδροπὰ γὰρ ἐcθίουcιν ἐν χειμῶνι πολλὰ ἄρτου τε
πολὺ πλέον ἢ κατὰ τὰc ἄλλαc ὥραc, cεμίδαλίν τε καὶ ῥυήματα καὶ
λάγανα, γογγυλίδαc τε καὶ κρέα πολλά, τινὰ μὲν ἄντικρυc φλεγματώδη
καθάπερ τὰ προβάτεια, τινὰ δέ, εἰ μὴ καλῶc κατεργαcθείη, καθάπερ

1 διῆλθον] *cf. supra p. 44, 4 sqq.* 6 Ἀφοριcμοὺc] *I 15 (IV 466, 13—16 L.)* 10 καὶ πάλιν] *I 18 (IV 468, 3—4 L.)* 27 χεδροπὰ κτέ.] *cf. Gal.* Π. λεπτυνούc. διαίτηc *6 p. 12, 15—24 Kalbfl.* 28 cεμίδαλιν κτέ.] *cf. Gal.* Π. τροφ. δυνάμ. *VI 483. 492. 648 sq. 660—668. 652—654. 668. 705—708. 696—699 K. (ed. G. Helmreich, Ansbach 1905—1909) et* Π. λεπτ. διαίτ. *6 p. 13, 20—23. 9 p. 24, 6—18. 8 p. 22, 6—8. p. 23, 3 sq. 12 p. 36, 1—9 Kalbfl.*

1 διῆλθον] '*habe sie in meinem Buche über die Sorten der Mischung* (*i. e.* περὶ κράcεων) *beschrieben*', *secundum p. 44, 4 ab ipso aucta*, H 2 λόγον R²: *om.* R: *defic.* L 3 ἂν *om.* VR: *defic.* L: *add. Kühn* 5 χειμῶνι VR γεννωμένου LR²: γενομένου VR 6 cοι LR²: *om.* VR 10 ἀθριταί, *deinde mut. in* ἀθλιταί *(sic)* R θέρεωc V 14 πλείων R: *corr.* R² 15 ἥδε τιc εἶναι *addidi* 17 εὐκρατόταται LV: εὐκρατώταται R: *correxi* τὰ δὲ μόρια] *inc. fol. 126ᵛ nunc totum fere evulsum* L 19 τι τοιοῦτον L 27 χέδροπα *Chartier* 28 ῥυήματα R²: ῥύγματα VR: *defic.* L 29 λάγανα] λάχανα *codd.*: *collato Gal. VI 492 K. corr. Cornarius* 30 προβάτεια R²: βόρεια VR: *defic.* L

τὰ τῶν ὑῶν καὶ μάλιστα τῶν χοίρων· καὶ βολβοὺς δὲ καὶ κοχλίας καὶ ᾠὰ καὶ τυρὸν ἄλλα τέ τινα τοιαῦτα πολλὰ δι᾽ ὅλου τοῦ χειμῶνος ἐσθίουσιν ἑτοίμως φλεγματούμενα. καὶ μέντοι καὶ πίνουσι πλεῖστοι τὸν νέον
91 οἶνον ἐπιτήδειον ὄντα καὶ αὐτὸν εἰς φλέγματος | γένεσιν, ὥστε καὶ διὰ ταῦτα φλέγμα πλεονάζει κατὰ τὸν χειμῶνα.

I 38 [7. VI 48, 20—23 L.] Ἔχει μὲν οὖν ταῦτα πάντα ἀίδια τὸ σῶμα τοῦ ἀνθρώπου, ὑπὸ δὲ τῆς ὥρης περιϊσταμένης ποτὲ μὲν πλείω γίνεται αὐτὰ ἑωυτῶν, ποτὲ δὲ ἐλάσσω ἕκαστα κατὰ μέρος τε καὶ κατὰ φύσιν.

Ἅπαντα, φησίν, ἔχει τὰ εἰρημένα, τουτέστι τοὺς τέσσαρας χυμούς, τὸ σῶμα τοῦ ἀνθρώπου διὰ παντὸς τοῦ βίου· τοῦτο γὰρ αὐτῷ σημαίνει τὸ ἀίδια. πλείω δὲ γίνεται καὶ ἐλάττω ταῦτα κατὰ τὰς τῶν ὡρῶν μεταβολάς· τὸ γὰρ ὑπὸ τῆς ὥρης περιϊσταμένης ταὐτὸν δηλοῖ τῷ μεθισταμένης, ὅπερ ἔστι μεταβαλλούσης τε καὶ καθισταμένης εἰς ἑτέραν τινὰ τὴν ἐχομένην αὐτῆς. πλείω δὲ καὶ ἐλάττω ταῦτα γίνεσθαί φησι κατὰ μέρος τε καὶ κατὰ φύσιν· ἔνιοι μὲν οὖν ἤκουσαν τὸ κατὰ
92 μέρος ἐπὶ τῶν τοῦ σώματος εἰρῆσθαι | μορίων, ἔνιοι δὲ τοὐναντίον τῷ κατὰ φύσιν, ἵν᾽ ὁ λόγος ᾖ τοιοῦτος· τοὺς εἰρημένους τέσσαρας χυμοὺς ἔχει μὲν ἀεὶ τὸ σῶμα τοῦ ἀνθρώπου, πλείους δὲ καὶ ἐλάττους κατά τε τὰ μέρη τοῦ ἐνιαυτοῦ καὶ κατὰ τὴν φύσιν. ὅπερ ἐὰν ἐξαλλάξας τις τὴν τάξιν εἴπῃ, τὴν διάνοιαν ἕξει χρησίμην τε ἅμα καὶ ἀληθῆ· τὸ γὰρ πλῆθος τῶν χυμῶν ὑπαλλάττεται κατά τε τὰς ὥρας, κατὰ φύσιν διοικουμένου τοῦ ἐνιαυτοῦ, καὶ κατὰ τὰ μέρη τοῦ ὅλου ἐνιαυτοῦ· κἂν μὴ κατὰ φύσιν διοικῆται, διαφορὰ κατὰ τὴν ποσότητα γίνεται τῶν χυμῶν. ἐγχωρεῖ δὲ καὶ κατὰ τῶν ὡρῶν ἀκοῦσαι τὰ μέρη.

I 39 [7. VI 48, 23—50, 4 L.] Ὥσπερ γὰρ ὁ ἐνιαυτὸς μετέχει μὲν πᾶς πάντων καὶ τῶν θερμῶν καὶ τῶν ψυχρῶν καὶ τῶν ξηρῶν καὶ τῶν ὑγρῶν· οὐδὲ γὰρ ἂν μείνειεν οὐδένα χρόνον

4 νέον οἶνον] *cf. Gal.* Π. τροφ. δυν. *VI 743 sq. K. et* Π. λεπτ. διαίτ. *12 p. 28, 6 sqq. Kalbfl.*

3 φλεγματούμενα] *abhinc usque ad finem folii* 126^{v} *paucae litterae supersunt singulorum versuum in* L, *incipit fol.* 127^{r} *idque integrum a voce* βίου *v. 11*   νέον *ipse supr. scr.* R   7 παριϊσταμένης *(sic)*, α *prius in ras.* V^{1} 8 γίγνεται *solita forma* VR: *defic.* L   *ante* αὐτὰ *ex Hipp. codd.* σφοῖν *add. Chartier*: *om.* VR: *defic.* L   ἑωυτοῦ V   10 ἔχειν V   11 βίου] *inc. fol.* 127^{r} *integrum* L   αὐτῷ LR^{2}: αὐτὸ VR   12 τὸ L: τὰ VR   14 τε καὶ καθισταμένης $R^{2}V$: *in textu* τε *et in mg.* καὶ μεθισταμένης R: *om.* L   16 οὖν *om.* VR   ἤκουσαν R   17 τὸ ἐναντίον VR   18 τῷ] τὸ L   20 τὰ LR^{2}: *om.* VR   ἂν, *sed ipse corr.* R   ἐναλλάξας L   21 τάξιν] λέξιν LVR, *sed supra* λέ *add.* τά L: '*diese Anordnung*' H   εἴποι L   ἅμα *om.* VR   ἀληθῆ . . . καὶ *(23) om.* V   22 ὑπαλλάττεται τῶν χυμῶν L   23 τὰ *om.* L   μέρη δὲ ὅλου τοῦ L   24 διοικεῖται R   27 καὶ τῶν θερμῶν . . . ἐκλείποι *(p. 49, 2) non exar.* R

ἄνευ πάντων τῶν ἐνεόντων ἐν τῷδε τῷ κόσμῳ, ἀλλ' εἰ ἕν τί γε ἐκλείποι, πάντα ἂν ἀφανισθείη· ἀπὸ γὰρ τῆς αὐτῆς ἀνάγκης πάντα ξυνέστηκέ τε καὶ τρέφεται ἀπ' ἀλλήλων — |

Τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρὸν οὐ τὸ κατ' 93 ἐπικράτειαν ὀνομαζόμενόν τε καὶ νοούμενον, ἀλλὰ τὸ στοιχειῶδες λέγων καὶ κατὰ τὴν προκειμένην ῥῆσιν ἐδήλωσε, τὸν ἐνιαυτὸν εἰπὼν ἅπαντα πάντων μετέχειν. οὐ γὰρ τῶν κατ' ἐπικράτειαν ἁπάντων ἅπας ὁ ἐνιαυτὸς μετέχει, ἀλλὰ τῶν στοιχειωδῶν, ὅλος μὲν ὁ χειμὼν ὑγροῦ ⟨τε⟩ καὶ ψυχροῦ, τὸ δὲ θέρος τῶν ἐναντίων, ξηροῦ τε καὶ θερμοῦ, καὶ τῶν ἄλλων δυοῖν ὡρῶν ἑκατέρα κατ' ἀντίθεσιν ἡ μὲν ὑγροῦ τε καὶ θερμοῦ, ἡ δὲ ψυχροῦ τε καὶ ξηροῦ. ἔτι δὲ σαφέστερον ἐδήλωσε τοῦτο κἀν τῷ φάναι διαφθαρήσεσθαι καὶ τὰ ἄλλα φθάσαντος ἑνὸς ἐξ αὐτῶν ἀπολέσθαι· τῶν μὲν γὰρ στοιχείων ἑνὸς ἀπολομένου τὸ διαφθαρήσεσθαι τὸ ἐξ αὐτῶν συγκείμενον ἀληθὲς φάναι, τῶν δὲ κατ' ἐπικράτειαν οὐκ ἀληθές. αὐτὸ γὰρ τοὐναντίον ἀληθές ἐστιν, ὅταν ἀπόληταί τι τῶν κατ' ἐπικράτειαν λεγομένων, σῴζεσθαι τὸ ἀντικείμενον αὐτῷ· θέρους μὲν γὰρ οὐκέτ' ὄντος ὁ χειμών ἐστι, χειμῶνος δὲ τὸ θέρος, καὶ τοῦ μὲν ἦρος τὸ φθινόπωρον, τοῦ δὲ φθινοπώρου τὸ ἔαρ. εἰ δὲ τελέως ἀπόλοιτο τὸ θερμὸν στοιχεῖον, παγήσεται μὲν τὸ ὑγρόν, ὅτι μηκέτι θερμὸν | ὑπάρχει, ἀπολεῖται δὲ 94 παντάπασιν ὁ ἥλιος, οὐδὲν δὲ οὔτε φυτὸν οὔτε ζῷον ὑπολειφθήσεται. κατὰ δὲ τὸν αὐτὸν λόγον, εἰ τὸ ψυχρὸν ἀπόλοιτο στοιχεῖον, ἅπαντα πῦρ ἔσται, καὶ εἰ τὸ ξηρόν, ὕδωρ ἔσται πάντα, καὶ οὕτω διαφθαρήσεται τὰ κατὰ τὸν κόσμον ἅπαντα γεννητὰ σώματα. διὰ τοῦτ' οὖν ἐξ ἀλλήλων ἔφη τρέφεσθαι τὰ κατ' αὐτὸν σώματα στοιχειώδη. τὸ μὲν γὰρ ἀκριβὲς στοιχεῖον ἐπινοεῖται μᾶλλον ἢ ὑπάρχει, τὸ δὲ ὀλίγου δεῖν ἐκείνῳ ταὐτὸν ἕν τι τῶν ὑπαρχόντων ἐστίν. ἐὰν γοῦν ἀκριβῶς ὑγρὸν καὶ ψυχρὸν ἐπινοήσῃς γινόμενον τὸ ὕδωρ, οὐδὲ ὕδωρ ἔτι φυλαχθήσεται· παγήσεται γὰρ αὐτίκα καὶ στήσεται καὶ ῥέον παύσεται. κἂν τὴν γῆν ὡσαύτως νοήσῃς ἀκριβῶς ξηρὰν καὶ ψυχράν, σκληρότερον ἀδάμαντος ἔσται τὸ τοιοῦτον σῶμα· καὶ μὴν εἰ τοιαύτη γένοιτο, τῶν φυτῶν ἡ γένεσις παύσεται· παυσαμένης δ' αὐτῆς καὶ ἡ τῶν ζῴων διαφθαρήσεται τροφή,

1 ὑπεόντων L ἐν *om.* L ἕν *om.* L 2 γε *om.* L ἐκλίποι V 3 συνέστηκέ L ὑπ' VR 4 τὸ ψυχρὸν καὶ θερμὸν ὑγρόν τε καὶ ξηρὸν L οὐ] καὶ V κατ'] κατὰ τὴν VR 6 καὶ *om.* L ῥῆσιν L: λέξιν VR ἐδήλωσε] *idem fere ac* δῆλός ἐστι 7 πάντων] ἁπάντων V^1 ἁπάντων] πάντων V 8 ὅλως V ὁ *om.* VR τε *addidi* 9 θέρος δὲ L τε *om.* L καὶ τῶν . . . θερμοῦ *(10) om.* VR 11 ξηροῦ τε καὶ ψυχροῦ L 12 διαφθαρήσεσθαι LV^1: διαφθαρήσασθαι VR 13 ἀπολλομένου L: ἀπολλουμένου VR: *correxi* τὸ *(prius)* VR: *om.* LR^2 15 ἀπολλῆται VR 16 θέρος V οὐκέτ' L: οὐκ VR 18 εἰ δὲ . . . ὑγρὸν *(19) bis, sed superiore loco deletum hab.* L ἀπώλλυτο V: ἀπόλλυτο R 19 ἀπολεῖται LR^2: ἀπολείπεται VR 21 ἀπόλοιτο R^{2}V: ἀπόλλοιτο LV^1: ἀπόλυτο R 22 καὶ *(prius)* VR: κἂν L φθαρήσεται L 23 τὰ *post* ἅπαντα *transp.* L 27 ἐπινοήσεις, *sed corr. ipse* R 28 ῥέων R: *corr.* R^2 29 νοήσαις L: νοήσει, *sed ipse corr.* R ἀκριβῶς *om.* L ξηρὸς καὶ ψυχρὸς V 31 τροφὴ διαφθαρήσεται L

καί, εἴπερ αὕτη, δηλονότι καὶ αὐτὰ τὰ ζῷα. κατ᾽ ἐπικράτειαν οὖν νοου-
95 μένου στοιχείου τοῦ ξηροῦ καὶ ψυχροῦ καὶ | ἡ ἐν τῷ κόσμῳ γῆ λέγεται ξηρὸν εἶναι καὶ ψυχρὸν σῶμα καὶ τὸ ὕδωρ ⟨ψυχρὸν καὶ⟩ ὑγρόν. ἀλλὰ καὶ αὐτὸ τὸ πῦρ μετέχει τινὸς ἀερώδους οὐσίας ὥσπερ καὶ καπνώδους καὶ μέντοι καὶ προφανῶς ὑγρότητος εἰς θρέψιν δεῖται, καθάπερ αἱ κατὰ τοὺς λύχνους φλόγες δηλοῦσι. ⟨δῆλον οὖν ὅτι⟩ τὰ τοῦ κόσμου στοιχεῖα τὴν τροφὴν ἐξ ἀλλήλων ἔχοντά ἐστι, καὶ διὰ τοῦτο καὶ ὁ Πλάτων εἶπεν· „αὐτὸ γὰρ ἑαυτῷ τροφὴν τὴν ἑαυτοῦ φθίσιν παρέχον καὶ πάντα ἐν αὑτῷ καὶ ὑπ᾽ αὑτοῦ καὶ πάσχον καὶ δρῶν ἐκ τέχνης γέγονεν.“

I 40 [7. VI 50, 4—5 L.] Οὕτω δὲ καὶ εἴ τι ἐκ τοῦ ἀνθρώπου ἐκλείποι τούτων τῶν ξυγγεγονότων, οὐκ ἂν δύναιτο ζῆν ὁ ἄνθρωπος.

Ξυγγεγονότα κέκληκε τὸ αἷμα καὶ τὸ φλέγμα καὶ τὰς χολάς, ἐπειδὴ τὴν πρώτην διάπλασιν ἔσχε τὸ κυούμενον ἐκ τοῦ τῆς μητρὸς αἵματος ἁπάντων μετέχοντος, αὔξησιν δὲ καὶ τροφὴν ὁμοίως. ἐὰν μὲν οὖν ἀπόληται παντάπασιν ἐκ τοῦ σώματος ἡμῶν ἤτοι τὸ ὑγρὸν ἢ τὸ
96 ξηρὸν ἢ τὸ | θερμὸν ἢ τὸ ψυχρόν, αὐτίκα οἱ χυμοὶ διαφθαρήσονται κατ᾽ ἐπικράτησιν, οὐκ εἰλικρινῶς οὐδ᾽ ἀκριβῶς ὄντες ὑγροὶ καὶ ξηροὶ καὶ θερμοὶ καὶ ψυχροί. τὸ γοῦν φλέγμα ὑγρὸν καὶ ψυχρὸν εἶναι λέγομεν οὐχ ὡς μὴ μετέχον τῶν ἐναντίων, ἀλλ᾽ ὡς ἐπικρατούμενον ὑπὸ τούτων. ὡς, εἴ γε ψυχρὸν ἀκριβῶς ἦν μόνον, ὡς κρύσταλλος ἂν ἐπεπήγει, καθάπερ γε καί, εἰ ἀκριβῶς ὑγρὸν ἦν, οὐκ ἂν εἶχε πάχος οὐδὲ γλισχρότητα. κατὰ τὰ αὐτὰ δὲ κἀπὶ τῶν χολῶν· ἥ τε γὰρ ξανθὴ ξηρὰ ⟨καὶ πυρώδης . . . . .⟩, ἥ τε μέλαινα ξηρὰ καὶ γεώδης εἶναι λέγεται μετέχουσα δηλονότι καὶ ὑγρότητος, ἢ οὐκ ἂν ἦν χυμός, ἀλλὰ στερεὸν σῶμα ὡς ὁ ἀδάμας· οὕτω δὲ καὶ ψυχρὰ λέγεται, διότι πλέον ἐν αὐτῇ ψυχρότητός

7 Πλάτων] *Tim.* 33 C

1 αὐτὴ VR   δηλονότι *om.* L   οὖν LR²: τοῦ VR   2 στοιχείου *om.* L   ψυχροῦ καὶ ξηροῦ L   3 ψυχρὸν εἶναι καὶ ξηρὸν L   ψυχρὸν καὶ *addidi; confirmat vertendo 'daß es ein kalter, feuchter Körper sei'* H   ἀλλὰ *supra add.* V¹   4 μετέχει LR²: μετέχειν VR   τινὸς LR²V: *om.* R   5 προφανοῦς L   6 δηλοῦσι LR²V: δοκοῦσι R   δῆλον οὖν ὅτι *addidi: 'hinc efficitur, ut' Rasarius*   *post* κόσμου *add.* οὖν *molestum hiatum efficientes* LR²   7 ἐστι] εἰσι LR²: *om.* VR: *corr. Chartier*   καὶ *ante* διὰ *om.* L   8 αὐτὸ] *i. e. mundus,* ζῷον σφαιροειδὲς *secundum Platonem*   ἑαυτῷ VR: ἑωυτῷ L   καὶ *ante* φθίσιν *add.* VR   παρέχων V   9 πάσχον LR²: πάσχων VR   τέχνης VR: τούτου L   11 ἐκλείποι RV¹: ἐκλείπει LV   συγγεγονότων VR   13 ξυγγεγονότα L: συγγεγονότα R²V: συγγεγότα *primo, sed ipse* νό *supr. add.* R   14 κυόμενον V   15 δὲ] τε *codd.: correxi*   μὲν *om.* L   16 ἀπόλλυται *codd.: correxi*   17 τὸ ψυχρὸν ἢ τὸ θερμὸν L   18 ἐπικράτησιν] ησιν *in ras.* (*fuerat igitur* ἐπικράτειαν) L   18. 19 ψυχροὶ καὶ θερμοὶ καὶ ξηροὶ καὶ ὑγροὶ L   20 μὴ *om.* L   ὑπὸ *om.* L   21 ὡς VR: ὥστε L: καὶ R²   ἦν ἀκριβῶς L   ὡς LR²: *om.* VR   22 γε *om.* L   καὶ εἰ VR: εἰ καὶ L   ἦν ὑγρὸν L   23 δὲ *om.* L   ἥ τε γὰρ] ἡ γάρ τοι L   ξανθὴ . . . ἥ τε (24) *om.* L   23. 24 καὶ πυρώδης *addidi et magnam lacunam indicavi; cf. tabulam p. 32*   24 ἥ τε μέλαινα κτέ.] *cf. supra p. 49, 28 sqq.*   ξηρὰ] ψυχρὰ L   25 δηλονότι VR: δήπου L   *post* ἀλλὰ *add.* καὶ VR   στερρεὸν VR

ἐστιν ἢ θερμότητος· εἰ γοῦν ἀκριβῶς ἦν ψυχρά, κρυστάλλου δίκην ἂν ἐπεπήγει. καὶ τί δεῖ περὶ τούτων λέγειν; αὐτὸ γὰρ τὸ αἷμα τὸ δοκοῦν εὐκρατότατον λέγεται τοιοῦτον, ὅτι μηδὲν ἐπικρατεῖ μεγάλως ἐν αὐτῷ τῶν ἐναντίων ἀλλήλοις, μήτε τὸ θερμὸν τοῦ ψυχροῦ μήτε τὸ ψυχρὸν τοῦ θερμοῦ μήτε τὸ ὑγρὸν τοῦ ξηροῦ μήτε τὸ ξηρὸν τοῦ ὑγροῦ. ἐπεὶ τοίνυν | καὶ τὸ αἷμα αὐτὸ δεῖται τῶν τεσσάρων ποιοτήτων, ὑγρότητος 97 καὶ ξηρότητος καὶ θερμότητος καὶ ψυχρότητος, εὔδηλον ὅτι καὶ τῆς τῶν ἄλλων χυμῶν δεήσεται μίξεως· καὶ διὰ τοῦτο τὸ εὐκρατότατον αἷμα μεθέξει τι καὶ φλέγματος καὶ χολῆς ξανθῆς καὶ μελαίνης. ἔστι δὲ καὶ ἕτερός τις λόγος φυσικὸς οὐ σμικρὰν ἔχων πιθανότητα, καθ᾽ ὃν εἰς ἠθῶν ἐπιτηδείων γένεσιν οἱ τέσσαρες ἀποδείκνυνται χυμοὶ χρήσιμοι. προαποδεῖξαι δὲ χρὴ πάλιν ἐν αὐτῷ ταῖς τοῦ σώματος κράσεσιν ἑπόμενα τὰ τῆς ψυχῆς ἤθη, περὶ οὗ καὶ ἡμῖν ἑτέρωθι γέγραπται. τούτου τοίνυν ὑποκειμένου τὸ μὲν ὀξὺ καὶ συνετὸν ἐν τῇ ψυχῇ διὰ τὸν χολώδη χυμὸν ἔσται, τὸ δ᾽ ἑδραῖον καὶ βέβαιον διὰ τὸν μελαγχολικόν, τὸ δ᾽ ἁπλοῦν καὶ ἠλιθιώτερον διὰ τὸ αἷμα· τοῦ δὲ φλέγματος ἡ φύσις εἰς μὲν ἠθοποιΐαν ἄχρηστος, ἀναγκαίαν δὲ φαίνεται τὴν γένεσιν ἔχον ἐν τῇ πρώτῃ μεταβολῇ τῶν σιτίων.

I 41 [7. VI 50, 5—9 L.] Ἰσχύει δὲ ἐν τῷ ἐνιαυτῷ ποτὲ μὲν ὁ χειμὼν μάλιστα, ποτὲ | δὲ τὸ ἔαρ, ποτὲ δὲ τὸ θέρος, ποτὲ 98 δὲ τὸ φθινόπωρον· οὕτω δὲ καὶ ἐν τῷ ἀνθρώπῳ ποτὲ μὲν τὸ φλέγμα ἰσχύει, ποτὲ δὲ τὸ αἷμα, ποτὲ δὲ ἡ χολή, πρῶτον μὲν ἡ ξανθή, ἔπειτα δὲ ἡ μέλαινα.

Σαφὴς ἡ ῥῆσίς ἐστιν ἐπιδεικνύναι πειρωμένου τἀνδρός, ⟨ὅτι⟩, ὥσπερ ἐν τῷ ἐνιαυτῷ ποτὲ μὲν τὸ ὑγρὸν καὶ τὸ ψυχρὸν ἐπικρατεῖ καὶ καλεῖται χειμὼν ἡ τοιαύτη τοῦ ἔτους ὥρα, ποτὲ δὲ τὸ ὑγρὸν καὶ ⟨τὸ⟩ θερμόν, ἡνίκα τὸ ἔαρ ἐστί, ποτὲ δὲ τὸ ξηρὸν καὶ τὸ θερμόν, ὅπερ ὀνομάζεται θέρος, ὕστατον δ᾽ ἐπ᾽ αὐτοῖς τὸ ξηρὸν καὶ τὸ ψυχρὸν ἐν τῷ φθινοπώρῳ, οὕτω καὶ κατὰ τὸν ἄνθρωπον ἐπικρατεῖ φλέγμα μὲν ἐν χειμῶνι, ψυχρὸς καὶ ὑγρὸς χυμός, αἷμα δὲ ἐν ἦρι, θερμὸς καὶ ὑγρὸς χυμός, καὶ χολὴ ξανθὴ μὲν ἐν τῷ θέρει, ξηρὰ καὶ θερμὴ τὴν δύναμιν οὖσα, μέλαινα δ᾽ ἐν τῷ φθινοπώρῳ, ξηρὰ καὶ ψυχρὰ καθάπερ καὶ αὐτὸ τὸ φθινόπωρον. |

13 ἑτέρωθι] *Gal.* Ὅτι τὰ τῆς ψυχῆς ἤθη ταῖς τοῦ σώματος κράσεσιν ἕπεται *IV 767—822 K. (ed. I. Müller, Gal. Scr. min. II 32—79)*

1 ἂν δίκην VR 2 λέγειν περὶ τούτων L 3 εὐκρατώτατον V αὐτῷ LR^2: αὐτῇ VR 4 τὸ *ante* θερμὸν *bis* V θερμὸν τοῦ ψυχροῦ VR: ψυχρὸν τοῦ θερμοῦ L 5. 6 ψυχρὸν τοῦ θερμοῦ VR: θερμὸν τοῦ ψυχροῦ L 6 δεῖται *post* τοίνυν *colloc.* VR ποιοτήτων] χυμῶν, *sed in mg.* Γρ. ποιοτήτων L 7 καὶ *ante* θερμότητος *om.* L 8 εὐκρατότατον LR^2: εὔκρατον VR 9 μετέχει L τι *om.* L ξανθῆς χολῆς L 10 μικρὰν LV 12 πάλιν χρὴ L 13 τὰ τῆς ψυχῆς ἤθη LR^2: τὰ ἤθη τῆς ψυχῆς VR 15 τὸν LR^2: τὸ VR 17 ἔχειν VR 20 ποτὲ δὲ τὸ ἔαρ . . . χολὴ *(22) non exar.* R 24 ὅτι *add. Schoene* 25 τὸ ὑγρὸν καὶ τὸ ψυχρὸν LR^2: τὸ ψυχρὸν καὶ τὸ ὑγρὸν VR ἐπικρατεῖ *om.* L 26 τὸ *addidi* 27 τὸ *ante* θερμὸν *om.* VR ὀνομάζει L 28 ὕστατον LR^2: ὕστερον VR τὸ *ante* ψυχρὸν *om.* L 31 μὲν LR^2: *om.* VR δύναμιν VR: κρᾶσιν L

99 **I 42** [7. VI 50, 9—13 L.] Μαρτύριον δὲ σαφέστατον· εἰ θέλεις δοῦναι τῷ αὐτῷ ἀνθρώπῳ τὸ αὐτὸ φάρμακον τετράκις τοῦ ἐνιαυτοῦ, ἐμεῖταί σοι τοῦ μὲν χειμῶνος φλεγματωδέστατα, τοῦ δὲ ἦρος ὑγρότατα, τοῦ δὲ θέρους χολωδέστατα, τοῦ δὲ φθινοπώρου μελάντατα.

Μαρτύριον σαφέστατον εἶναί φησι τοῦ προειρημένου λόγου, καθ' ὃν ἐπικρατεῖν ἐν ἑκάστῃ τῶν ὡρῶν ἕνα τινὰ τῶν χυμῶν εἰρήκει, τὸ δοθέντος ἐμετικοῦ φαρμάκου ⟨τῷ⟩ αὐτῷ τετράκις ἐν μὲν τῷ χειμῶνι φλεγματωδέστερον εἶναι τὸν ἔμετον, ὑγρότερον δὲ ἐν ἦρι, καὶ χολωδέστερον μὲν ἐν τῷ θέρει, μελάντερον δὲ ἐν τῷ φθινοπώρῳ.

I 43 [8. VI 50, 14—52, 1 L.] Ὀφείλει γοῦν τούτων οὕτως ἐχόντων, ὅσα μὲν τῶν νοσημάτων χειμῶνος αὔξεται, θέρεος φθίνειν, ὅσα δὲ θέρεος αὔξεται, χειμῶνος λήγειν, ὅσα μὴ ἐν
100 περιόδῳ ἡμερῶν ἀπαλλάσσεται· τὴν δὲ περίοδον αὖθις | φράσω τὴν τῶν ἡμερῶν· ὅσα δὲ ἦρος γίνεται νοσήματα, προσδέχεσθαι χρὴ φθινοπώρου τὴν ἀπάλλαξιν ἔσεσθαι αὐτῶν, ὅσα δὲ φθινοπωρινὰ νοσήματα, τούτων τοῦ ἦρος ἀνάγκη τὴν ἀπάλλαξιν ἔσεσθαι, ὅ τι δ' ἂν τὰς ὥρας ταύτας ὑπερβάλλῃ νόσημα, εἰδέναι χρὴ ἐνιαύσιον αὐτὸ ἐσόμενον.

Ἡ ἀρχὴ τῆς ῥήσεως διττὴν ἔχει γραφὴν ἐνίων μὲν ὀφείλει, ἐνίων δὲ γραφόντων φιλεῖ γοῦν τούτων οὕτως ἐχόντων, ἐν ἴσῳ τῷ 'προσήκει'. χρῶνται γὰρ ἐνίοτε τῇ φωνῇ ταύτῃ καὶ ἀντὶ τοῦ 'προσήκει'.

τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα. βούλεται γὰρ αὐτός, ὅσα χρονίζει νοσήματα καὶ μὴ κατὰ περιόδους ἡμερῶν, ἀλλὰ μηνῶν κρίνεται, λύεσθαι ταῦτα κατὰ τὴν ἐναντίαν ὥραν ᾗ συνέστη, τουτέστιν ἑβδόμῳ μηνί, μὴ λυθέντων δ' αὐτῶν οὕτως ἐνιαυσιαῖον γίνεσθαί φησι τὸ νόσημα. τὸ δ' ἐνιαύσιον ὄνομα δύναται μὲν δηλοῦν καὶ τὸ μετὰ ἐνιαυτὸν τῆς πρώτης ἑαυτοῦ γενέσεως λυόμενον, δύναται δὲ καὶ τὸ κατὰ περίοδον ἐνιαυ-
101 τῶν ἑπτά, | ὡς ⟨λέγει νοσήματα λυόμενα κατὰ περίοδον ἑπ⟩τὰ μη-

14 αὖθις φράσω] *ad locum eiusdem libri non quadrat*

1 σαφέστατον *om.* L εἰ . . . ὑγρότατα *(4) non exar.* R θελήσειας L 6 *post* μαρτύριον *add.* δὲ VR φησιν εἶναι σαφέστατον L προκειμένου L 7 ἕνα *om.* L 8 τῷ *addidi; cf. supra v. 2:* '*einem bestimmten Menschen*' H 9 φλεγματωδέστατον L 10 θέρει L: χειμῶνι VR 11 γοῦν L: δὲ VR 12 ὅσα . . . ἔσεσθαι *(18) non exar.* R 13 φθίνει V λήγειεν V 15 ἡμερέων L; *recte v. 14* 16 φθινοπώρῳ L αὐτῶν ἔσεσθαι V 18 ἔσεσθαι L: γενέσθαι V 21 γραφόντων δὲ ἐνίων L 22 καὶ ἀντὶ] κἀπὶ *codd.: correxi* 23 προσήκειν VR 25 κρίνεται] γίνεται L: γίγνεται VR: *correxi; cf. p. 53, 2; confirmat vertendo* '*so daß ihre Krisis in den Monaten ist, nicht in den Tagen*' H 27 ἐνιαύσιον R² 28 ἐνιαυσιαῖον L τὸ L: τὸν VR 30 ἑπτὰ LR²: *om.* VRH *lacunam inde fortasse ortam, quod in archetypo codd. LVR unus versus exciderat, explevi; vertit enim* '*gleich den Krankheiten, bei denen er darauf deutet, daß sie in Perioden von den Monaten aufhören*' H τὰ *codd.:* ἑπτὰ *iam temptaverat Cornarius*

νῶν· ἔλεγε γοῦν καὶ κατὰ τοὺς Ἀφορισμοὺς ὧδε· „τὰ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δ' ἐν ἑπτὰ μησί, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ πρὸς τὴν ἥβην προάγουσι.“

I 44 [8. VI 52, 1—3 L.] Καὶ τὸν ἰητρὸν οὕτω χρὴ ἵστασθαι πρὸς τὰ νοσήματα, ὡς ἑκάστου τούτων ἰσχύοντος ἐν τῷ σώματι κατὰ τὴν ὥρην τὴν αὐτοῦ κατὰ φύσιν ἐοῦσαν μάλιστα.

Τὸ χρήσιμον ἅπαντος τοῦ προηνυσμένου κατὰ τὰς ὥρας λόγου νῦν ἐδίδαξεν ἐν τῇ προκειμένῃ τῇδε ῥήσει δηλῶν, ὅτι τὴν αὐτὴν χρείαν ἔχει καὶ περὶ τῶν ἡλικιῶν καὶ χωρῶν ἐπιτηδευμάτων τε καὶ τῆς ἐφ' ἡμέρᾳ διαίτης ὁ λόγος· πρὸς ἅπαντα γὰρ ταῦτα τὸν ἰατρὸν ἀποβλέποντα χρὴ στοχάζεσθαι, τίς ἐπικρατῶν ἐστι χυμὸς ἤτοι κατὰ τὸ ποσὸν ἢ κατὰ τὴν ἑαυτοῦ δύναμιν ἐν τίνι τε μορίῳ τοῦ σώματος μάλιστα πλεονάζει. τὴν γάρ τοι θεραπείαν ἄριστα | ἂν οὕτω ποιοῖτο, καθότι **102**
κἀν τοῖς 'Θεραπευτικοῖς λογισμοῖς' δείκνυται.

Περὶ τῆς κατὰ τὸ βιβλίον μεθόδου καὶ ὅτι τῶν γνησίων Ἱπποκράτους.

Ὁ Ἱπποκράτης τοῦ σώματος ἡμῶν τὴν φύσιν ἐν τούτῳ τῷ βιβλίῳ προθέμενος εὑρεῖν ἐχρήσατο μεθόδῳ πρὸς τὴν εὕρεσιν τῇδε· πρῶτον μὲν ἐζήτησε, πότερον ἁπλοῦν ἢ πολυειδές ἐστιν, ἔπειθ' εὑρών, ὅτι πολυειδές, ἐσκέψατο τῶν ἁπλῶν ἐν αὐτῷ τὴν οὐσίαν, ὁποία τίς ἐστι, τουτέστιν ἥντινα δύναμιν ἔχει πρὸς τὸ παθεῖν ὑπό τινος ἢ δρᾶσαι, καὶ διὰ τοῦτο τῶν θ' ὡρῶν τῶν θ' ἡλικιῶν ἐμνημόνευσεν ἐπισκοπούμενος, ὅπως ἔχει τὰ εὑρεθέντα στοιχεῖα πρὸς αὐτάς. εὗρε δὲ καὶ ὅτι τάς τε προρρήσεις τῆς λύσεως τῶν νοσημάτων καὶ τὰς θεραπείας ἐπὶ τοὺς αὐτοὺς ἀναφέρειν χρὴ σκοπούς. ἐν δὲ τῷ ζητεῖν τὰ συνθετικὰ τοῦ σώματος ἡμῶν στοιχεῖα καὶ τῶν τοῦ παντὸς ἐμνημόνευσεν, ἅπερ ὄντως ἐστὶ στοιχεῖα. λέγεται γὰρ ἐνίοτε καταχρωμένων ἡμῶν καὶ τὰ καθ' ἕκαστον πρᾶγμα πρὸς διάρτισιν ἁπλᾶ καὶ πρῶτα μόρια στοιχεῖα τοῦ πράγματος ἐκείνου, καθάπερ ἁρμονικὰ στοιχεῖα καὶ ῥυθμικὰ καὶ γεωμετρικὰ καὶ ἀριθμητικὰ καὶ λόγου καὶ φωνῆς καὶ ἀποδείξεως εἰρή-|

1 Ἀφορισμοὺς] *III 28 (IV 500, 4—6 L.)* 14 Θεραπευτικοῖς λογισμοῖς] *Gal. X 1sqq. K.*

3 ἓξ *pro* ἑπτὰ *ante* ἔτεσι L *post* δὲ *(alt.) add.* καὶ L προάγουσι L: προσάγουσι VR: *partim* προάγουσι, *partim* προσάγουσιν *etiam codd. Hipp.* 6 τὴν *(alt.) om.* L 7 προηνυσμένου L: προκειμένου VR 8 τῇδε L: τῇ VR ὅτι L: ὅτι καὶ VR 8. 9 ἔχει χρείαν L 9. 10 ἐφημέρου VR 10 ὁ *ante* περὶ *(v. 9) transp.* VR 11 ἐστιν ὁ R τὸ *om.* L 13 οὕτω] οὐ, *sed mut. in* οὔ *et in mg. scr.* οὕτω R ποιεῖτο R καθάπερ *scripserat, sed ipse corr.* R 14 κἀν] *in ras.* L: κ *in ras.* R 15. 16 LR *et in mg.* V: *del. Aldina* 16 ἱπποκράτει R 17 ὁ ἱπποκράτης *post* φύσιν *transp.* L 18 προυθέμενος VR πρὸς] περὶ L 19 ἐστιν ἢ πολυειδὲς L 22 ἐμνημόνευσε τῶν θ' ἡλικιῶν L 25 ἀναφέρειν LR²: διαφέρειν VR δὲ LR²: *om.* VR 28 διάρτισιν L *et ante corr.* R: διάρτησιν V *et e corr.* R 29 ῥυθμητικὰ VR 30 φωνῆς VR: φύσεως L καὶ ἀποδείξεως LR²: *om.* VR

103 κασιν· οὕτω δὲ καὶ ἁμάξης ἑκατὸν εἶναι στοιχεῖά φησιν ὁ Πλάτων ὑφ' Ἡσιόδου λελέχθαι γράψαντος

ἑκατὸν δέ τε δούραθ' ἁμάξης.

ἅπαντα μὲν ⟨γὰρ⟩ τὰ οὕτω λεγόμενα στοιχεῖα καθ' ἕκαστον τῶν πραγμάτων οὐκ ἀκριβῶς ἐστιν ἁπλᾶ καὶ πρῶτα, τὰ δὲ κοινὰ πάντων τῶν ὄντων ἁπλᾶ δὴ καὶ πρῶτα κατ' ἀλήθειάν ἐστι καὶ κυρίως ὀνομάζεται στοιχεῖα. καλεῖ δὲ ἀπὸ τῶν ποιοτήτων ὁ Ἱπποκράτης αὐτὰ θερμὸν καὶ ψυχρὸν ὑγρόν τε καὶ ξηρὸν οὐ τὰ μεταξὺ τῶν ἄκρων, ἀλλ' αὐτὰ τὰ ἄκρα, πῦρ δηλονότι καὶ γῆν ὕδωρ τε καὶ ἀέρα. ταύτην οὖν τὴν μέθοδον ὁ Πλάτων ἀξιοῖ μιμεῖσθαι καὶ τὸν περὶ φύσεως ψυχῆς ἐπισκοπούμενον· οὐδὲν γὰρ δύνασθαι τῶν κατὰ μέρος ἄνευ τῆς τοῦ ὅλου φύσεως ἀκριβῶς γνωσθῆναι. παραγράψω δέ σοι καὶ αὐτὴν τὴν τοῦ Πλάτωνος ῥῆσιν, ἔχουσαν οὕτως· „ψυχῆς οὖν φύσιν ἀξίως λόγου κατανοῆσαι οἴει δυνατὸν εἶναι ἄνευ τῆς τοῦ ὅλου φύσεως; — εἰ μὲν
104 οὖν Ἱπποκράτει τῷ τῶν Ἀσκληπιαδῶν δεῖ | τι πείθεσθαι, οὐδὲ περὶ σώματος ἄνευ τῆς μεθόδου ταύτης. — καλῶς γάρ, ὦ ἑταῖρε, λέγει. χρὴ μέντοι πρὸς τῷ Ἱπποκράτει τὸν λόγον ἐξετάζοντας σκοπεῖν εἰ συμφωνεῖ. — φημί. — τὸ τοίνυν περὶ φύσιν σκοπεῖν τί ποτε λέγει Ἱπποκράτης τε καὶ ὁ ἀληθὴς λόγος; ἆρ' οὐχ ὧδε χρὴ διανοεῖσθαι περὶ ὁτουοῦν φύσεως; πρῶτον μὲν εἰ ἁπλοῦν ἢ πολυειδές ἐστιν, οὗ πέρι βουλησόμεθα εἶναι αὐτοί τε τεχνικοὶ καὶ ἄλλους δυνατοὶ ποιεῖν, ἔπειτα δέ, ἂν μὲν ἁπλοῦν ᾖ, σκοπεῖν τὴν δύναμιν αὐτοῦ, τίνα πρὸς τί πέφυκεν εἰς τὸ δρᾶν ἔχον ἢ τίνα εἰς τὸ παθεῖν ὑπό του, ἐὰν δὲ πλείω εἴδη ἔχῃ, ταῦτα ἀριθμησάμενον, ὅπερ ἐφ' ἑνός, τοῦτ' ἰδεῖν ἐφ' ἑκάστου, τὸ τί ποιεῖν αὐτὸ πέφυκεν ἢ τὸ τί παθεῖν ὑπό του;"

ἀλλὰ ταῦτα Πλάτωνος οὑτωσὶ γράψαντος ἐπιδειξάτω τις ἡμῖν, ἐν

1 Πλάτων] *Theaet. 207 A* 2 Ἡσιόδου] *Opp. et D. 456* 13 Πλάτωνος] *Phaedr. 270 C—D; cf. supra p. 4, 21 sqq.*

1 ἑκατὸν R^2: ρ̄ L: ἕκαστον VR στοιχεῖά LR^2: στοιχεῖόν VR 3 τε LR^2: *om.* VR δούραθ' ἁμάξης LR^2: δούρατ' ἁμάξης VR 4 γὰρ *addidi* 5 οὐκ *om.* L 6 δὴ L: τε VR *post* πρῶτα *repet.* τὰ δὲ κοινὰ . . . ὄντων, *sed ipse del.* R: *rursus del.* R^2 ἐστι] εἰσι LV: εἰσιν R: *correxi* 7 ὁ *om.* L 8 ὑγρόν τε καὶ ξηρὸν VR: καὶ ξηρὸν καὶ ὑγρὸν L 9 ἀέρα τε καὶ ὕδωρ L ταύτην LR^2: ταῦτα VR 10 μιμεῖσθαι VR: σκοπεῖσθαι L 12 παραγράψω] παρα *in ras.* L: παραγράφω R 12. 13 τὴν τοῦ πλάτωνος VR: τοῦ πλάτωνος τὴν L 14 δυνατὸν LR^2: δυνατὸς VR 15 οὖν VR: *om.* LR^2 ἱπποκράτη, *sed ipse corr.* R περὶ *del. Cornarius* 17 ἐξετάζοντας LV^{1}R^2: ἐξετάζοντες VR 17. 18 συμφωνεῖν φημι *codd.*: *corr. Basileensis, recte; nam 'ob sie mit seiner Rede übereinstimmt oder nicht. Es sagte der Schüler: Es ist notwendig, daß wir dies tun'* H; *cf. supra p. 4, 26* 18 τοίνυν . . . σκοπεῖν L: νυν *(quod* τοι *omisso voci* τὸ *adnexuit)* περὶ φύσεως σκοπεῖν *add.* R^2: *om.* VR λέγει LR^2: λέγειν VR 19 χρὴ διανοεῖσθαι L: διανοεῖσθαι χρὴ R^2: χρὴ *om.* VR: δεῖ διανοεῖσθαι *codd. supra p. 4, 27 ut Plato* 20 ὁτουοῦν LR^2: ὁτιοῦν VR ἢ] εἰ R πολυδὲς *(sic)* R 21 βουλευσόμεθα L τε *om.* VR μουσικοὶ *et supr. scr.* τεχνικοὶ, *sed illud ipse del.* R ἄλλους L: ἄλλον R^{2}V: ἄλλων R δυνατοὶ LR^2: δυνατὸν VR 24 ἀριθμησάμενοι VR ἐφ' *(al.)* *in ras.* R^2 25 τί τὸ *utrobique* L ποιεῖν] εῖν *in ras.* L 26 ἀλλὰ *om.* L οὑτωσὶ *om.* L

τίνι βιβλίῳ τοῦ Ἱπποκράτους ἑτέρῳ παρὰ τὸ Περὶ φύσεως ἀνθρώπου
τὴν μέθοδον ταύτην ἔστιν εὑρεῖν ἤ, εἴπερ οὐκ ἔχει, μηδένα ζητείτω Πλά-
τωνος ἀξιοπιστότερον μάρτυρα τοῦ γνήσιον εἶναι τὸ βιβλίον τοῦτο. τά τε
γὰρ ἄλλα καὶ τοῖς χρόνοις ἐγγυτάτω γέγονεν ὁ Πλάτων τοῖς Ἱππο-|
κράτους μαθηταῖς, ὧν εἴ τινος ἦν τὸ βιβλίον, ἐπεγέγραπτο ἂν τοῦ **105**
γράψαντος αὐτὸ τοὔνομα. πρὶν γὰρ τοὺς ἐν Ἀλεξανδρείᾳ τε καὶ Περγάμῳ
γενέσθαι βασιλεῖς ἐπὶ κτήσει παλαιῶν βιβλίων φιλοτιμηθέντας, οὐδέπω
ψευδῶς ἐπεγέγραπτο σύγγραμμα. λαμβάνειν δ᾽ ἀρξαμένων μισθὸν τῶν κο-
μιζόντων αὐτοῖς συγγράμματα παλαιοῦ τινος ἀνδρὸς οὕτως ἤδη πολλὰ
ψευδῶς ἐπιγράφοντες ἐκόμιζον. ἀλλ᾽ οὗτοι μὲν οἱ βασιλεῖς μετὰ τὸν
Ἀλεξάνδρου γεγόνασι θάνατον, ὁ δὲ Πλάτων ἀνωτέρω τῆς Ἀλεξάνδρου
βασιλείας ἐγεγράφει ταῦτα μηδέπω πεπανουργευμένων τῶν ἐπιγραφῶν,
ἀλλ᾽ ἑκάστου βιβλίου τὸν ἴδιον γραφέα διὰ τοῦ προγράμματος δηλοῦν-
τος. Πλάτων μὲν οὖν ὁμολογεῖ κατὰ τὴν Ἱπποκράτους μέθοδον
ἐπισκοπεῖσθαι περὶ φύσεως ψυχῆς, ὡς ἐκεῖνος περὶ σώματος, ἀδύνατόν
τέ φησι καλῶς τοῦτο γενέσθαι πρὸ τοῦ γνῶναι τὴν φύσιν τοῦ παντός.
ἔνιοι δὲ τοσοῦτον ἡμαρτήκασιν, ὡς τὴν οὕτω θαυμαστὴν μέθοδον ἄλλου
τινὸς εἶναι νομίζειν τῷ μηδ᾽ ἀποκνῆσαι γράψαι τὸν εὑρόντα πρῶ|τον **106**
οὕτω μέγα καὶ σεμνὸν πρᾶγμα ⟨παραλιπεῖν⟩ τὴν ἀπόδειξιν αὐτοῦ. πῶς
γὰρ οὐ μέγα καὶ σεμνὸν ἁπάντων γεννητῶν καὶ φθαρτῶν σωμάτων
εὑρεῖν στοιχεῖα; πῶς δὲ οὐ πολὺ μεῖζον ἀποδείξεσι πιστώσασθαι; καὶ
ταῦτα μηδ᾽ ἐν στίχοις ὅλοις τριακοσίοις, ἀλλ᾽ ἐλάττοσι πολλῷ παρα-
ληφθῆναι δυναμέναις; οὐ γὰρ εἰκός ἐστιν ἐν ἅπασι τοῖς θεραπευτικοῖς
καὶ προγνωστικοῖς εὑρήμασιν ὡς ἀποδεδειγμένοις χρῆσθαι τοῖς στοιχείοις
τὸν Ἱπποκράτην μηδαμόθι τὴν ἀπόδειξιν αὐτῶν εἰρηκότα.

ταῦτα μὲν οὖν ἐκ περιουσίας εἴρηταί μοι δεικνύντι γνήσιον Ἱππο-
κράτους εἶναι τὸ βιβλίον· οὐ μὴν ὡς ἐν ἔργῳ γε τοῦτο σπουδαστέον,
ἀλλὰ περὶ τῆς ἀληθείας τῶν ἐν αὐτῷ γεγραμμένων σκεπτέον ἀκριβῶς·
τοῦτο δ᾽ ἡμεῖς ἐν τῷ Περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων ἐπράξαμεν,
ὃ παρὰ πᾶσι τοῖς πεπαιδευμένοις εὐδοκιμοῦν ὁρῶντες οἱ βάσκανοι ψυχρὰν
αὐτοῦ ⟨τὴν⟩ ἀντιλογίαν ἐποίησαν οὐκ εἶναι φάσκοντες Ἱπποκράτους τὸ
βιβλίον. ἀλλ᾽ ὅτι γε ταῦτα ἐτίθετο καὶ πρὸς ταῦτα ἀποβλέπων ἀεὶ τὰ κατὰ

29 Περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων] *Gal. I 413—508 K.*

1 ἀνθρώπου LR²: *om.* VR   2 ταύτην *om.* L   4 γέγονεν ὁ VR: γέγονε (ε *alt. in ras.*) L   8 μισθῶν VR   13 τοῦ *supr. scr.* L¹   προγράμματος] προ *in ras.* L   14 τὴν ἱπποκράτους LR²V: τὸν ἱπποκράτην R   15 ψυχῆς φύσεως R   16 τέ] γέ L   φησι καλῶς] φησιν ἄλλως VR: ἄλλως φησὶ L: '*und sagt, daß es nicht möglich sei, daß die Sache dabei einen schönen, geraden Verlauf habe*' H: *hinc correxi*   18 νομίζειν] νοεῖν *codd*: *correxi; confirmat vertendo* '*daß sie vermeinen*' H   19 παραλιπεῖν *addidi*   20 *post* ἁπάντων *add.* τῶν L   22 στίχοις] στοιχείοις R: *corr.* R²   23 δυναμένην VR: δυναμένῳ LR²: *correxi*   24 τε καὶ L   25 ἱπποκράτη R   μηδαμόθι] μόθι *in ras.* L   26 κνήσιον (*sic*), *sed ipse corr.* R   26. 27 εἶναι ἱπποκράτους L   28 τῆς *supr. scr.* V¹   ἐπισκεπτέον L   29 ἡμεῖς *om.* L   ἱπποκράτους R   31 τὴν (*propter hiatum*) *add. Diels*   ἀντιλογίαν] ἀπολογίαν *codd.*: *coll. p. 56, 3 corr. Schoene*

μέρος ἔγραψε πάντα, τῶν ὁμολογουμένων ἐστίν. ἐπεὶ δὲ ὑπὸ ἀναισχυν-
107 τίας | καὶ τοῖς ὑπὸ πάντων ὁμολογουμένοις τε καὶ συμφωνουμένοις ἀντιλέγουσιν οἱ βάσκανοι, διὰ τοῦτο πραγματείαν ἑτέραν ἐποίησα τοὐπίγραμμα τοιοῦτον ἔχουσαν· Ὅτι καὶ κατὰ τἄλλα συγγράμματα τὴν αὐτὴν δόξαν ὁ Ἱπποκράτης ἔχων φαίνεται τῇ κατὰ τὸ περὶ φύσεως ἀνθρώπου. |

4 Ὅτι καὶ κατὰ τἄλλα συγγράμματα κτέ.] *cf. supra p. 10, 10 sqq. et J. Mewaldt, Hermes 44 (1909), 131—134*

2 ὑπὸ L: ὑπὲρ VR   τε *om.* L   3 βάσκανοι] σκανοι *in ras.* V^{1} 4 καὶ κατὰ τἄλλα] καὶ τἄλλα *(sic)* L: καὶ κατ᾽ ἄλλα L^{1}VR: *correxi; confirmat vertendo 'in seinen übrigen Büchern'* H   6 τέλος τοῦ πρώτου ὑπομνήματος *subscr.* L

ΓΑΛΗΝΟΥ 108
ΕΙΣ ΤΟ ΠΕΡΙ ΦΥΣΕΩΣ ΑΝΘΡΩΠΟΥ
ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ

Αὐτὸ μὲν τὸ Περὶ φύϲεωϲ ἀνθρώπου βιβλίον ἐν τῷ προτέρῳ τῶνδε τῶν ὑπομνημάτων ἐξήγημαι. νυνὶ δὲ τὰ προϲκείμενα κακῶϲ αὐτῷ προχειριοῦμαι, ϲυγκείμενα καὶ αὐτὰ μετὰ διαϲκευῆϲ. ἓν μὲν γάρ ἐϲτι μικρὸν βιβλίον, ἐν ᾧ περὶ τῆϲ τῶν ὑγιαινόντων διαίτηϲ γέγραπται, καὶ δοκεῖ Πολύβου εἶναι ϲύγγραμμα | τοῦ Ἱπποκράτουϲ μαθητοῦ. τὸ δὲ μεταξὺ 109
τούτου τε καὶ τοῦ Περὶ φύϲεωϲ ἀνθρώπου διεϲκεύαϲται, παρεγγεγραμμένον ὑπὸ τοῦ πρώτου ϲυνθέντοϲ εἰϲ ταὐτὸν τὰ δύο ταῦτα βιβλίδια, τὸ Περὶ φύϲεωϲ ἀνθρώπου τοῦ Ἱπποκράτουϲ αὐτοῦ ϲύγγραμμα καὶ τὸ τοῦ Πολύβου Περὶ διαίτηϲ ὑγιεινῆϲ. ἐν γὰρ τῷ κατὰ τοὺϲ Ἀτταλικοὺϲ τε καὶ Πτολεμαϊκοὺϲ βαϲιλέαϲ χρόνῳ πρὸϲ ἀλλήλουϲ ἀντιφιλοτιμουμένουϲ περὶ κτήϲεωϲ βιβλίων ἡ περὶ τὰϲ ἐπιγραφάϲ τε καὶ διαϲκευὰϲ αὐτῶν ἤρξατο γίνεϲθαι ῥᾳδιουργία τοῖϲ ἕνεκα τοῦ λαβεῖν ἀργύριον ἀναφέρουϲιν ὡϲ τοὺϲ βαϲιλέαϲ ἀνδρῶν ἐνδόξων ϲυγγράμματα. μικρῶν οὖν ὄντων ἀμφοτέρων τῶν βιβλίων, τοῦ Περὶ φύϲεωϲ ἀνθρώπου καὶ τοῦ Περὶ διαίτηϲ ὑγιεινῆϲ, εὐκαταφρόνητον ἑκάτερον τούτων εἶναί τιϲ δόξαϲ διὰ τὴν ϲμικρότητα ϲυνέθηκεν εἰϲ ταὐτὸν ἄμφω. καί τιϲ ἴϲωϲ ἄλλοϲ ἢ καὶ αὐτὸϲ ὁ πρῶτοϲ αὐτὰ ϲυνθεὶϲ παρενέθηκέ τινα μεταξὺ τῶν δύο ταυτὶ τὰ νῦν προχειρίζεϲθαι μέλλοντα. |

II 1 [9. VI 52, 4—11 L.] Εἰδέναι χρὴ καὶ τάδε πρὸϲ ἐκείνοιϲιν· ὁκόϲα πληϲμονὴ τίκτει νοϲήματα, κένωϲιϲ ἰῆται, ὁκόϲα 110
δὲ ἀπὸ κενώϲιοϲ γίνεται νοϲήματα, πληϲμονὴ ἰῆται, ὁκόϲα

23 *sqq. cf. Hipp. Aph. II 22 (IV 476, 6 L.)*

3 ὑπόμνημα δεύτερον *om.* VR 5 αὐτῷ LR²: αὐτοῦ VR 7 δίαιταν V 10 πρῶτον VR ϲυνθέντοϲ R: ν *(prius) in ras.* V¹: ϲυντιθέντοϲ L ἐϲ VR βιβλίδια LR²: βιβλία VR 11 αὐτὸ VR: *om.* L: *correxi* 12 τοῦ *om.* VR ἀτταλικοὺϲ VR: ἰταλικοὺϲ L: *'in der Stadt Italia'* H 13 βαϲιλείαϲ VR ἀντιφιλοτιμωμένουϲ VR 14 ἡ LR: ὁ V 16 ὡϲ VR: εἰϲ L βαϲιλεῖϲ VR οὖν VR: δ' L 18 τούτων L: τοῦτον R²: *om.* VR τιϲ LR²V: τὰϲ, *sed ipse corr.* R 19 ἐϲ VR ἄλλοϲ ἢ LR²V: ἄλλο (*omisso* ἢ) *primo, sed ipse corr.* R 20 πρῶτοϲ LR²: πρῶτον VR 23 ὁκόϲα *(prius)* . . . ἀναπαύοιτο *(p. 58, 6) non exar.* R ἰῆται κένωϲιϲ V 24 ὅϲα V

δὲ ἀπὸ ταλαιπωρίης γίνεται, ἀνάπαυσις ἰῆται, ὅσα δὲ ὑπερτέρη ἀργίη νοσήματα τίκτει, ταλαιπωρίη ἰῆται. τὸ δὲ σύμπαν γνῶναι δεῖ τὸν ἰατρὸν ἐναντίον ἵστασθαι τοῖσι καθεστηκόσι καὶ νοσήμασι καὶ εἴδεσι καὶ ὥραις καὶ ἡλικίῃσι καὶ τὰ ξυντείνοντα λύειν καὶ τὰ λελυμένα ξυντείνειν. οὕτω γὰρ ἂν μάλιστα τὸ κάμνον ἀναπαύοιτο, ἥ τε ἴησις τοῦτό μοι δοκέει εἶναι.

Ταύτης ὅλης τῆς ῥήσεως Διοσκορίδης ἑκάστῳ στίχῳ προσέγραψε σημεῖον, ὃ καλοῦσιν ὀβελόν, οἵῳ σημείῳ καὶ Ἀρίσταρχος ἐχρήσατο παρὰ τῷ ποιητῇ πρὸς τοὺς ὑποπτευομένους ὑπ' αὐτοῦ στίχους. ταῦτα μὲν ὁ Διοσκορίδης ἔγραψεν εἰκάζων εἶναι τὴν προκειμένην ῥῆσιν Ἱπποκράτους τοῦ Θεσσαλοῦ υἱέος. δύο γὰρ υἱεῖς οὗτοι γεγόνασιν
111 τοῦ με|γάλου Ἱπποκράτους, Θεσσαλὸς καὶ Δράκων, ὧν ἑκάτεροι πάλιν Ἱπποκράτεις ἐγέννησαν. ταῦτα μὲν τὰ κατὰ τὴν ⟨ὅλην⟩ ῥῆσιν εἰρημένα. προσήκει δέ που καὶ ἡμῖν ἐπισκέψασθαι περὶ αὐτῶν ἑκάστην τῶν λέξεων ἰδίᾳ προχειρισαμένοις.

ὁκόσα πλησμονὴ τίκτει νοσήματα, κένωσις ἰῆται. οὐ ταὐτόν ἐστι φάναι συνεκτικὸν νόσων αἴτιον εἶναι πλησμονήν τε καὶ κένωσιν ἕκαστόν τε τῶν ἐφεξῆς εἰρημένων τῷ γίνεσθαί τι διὰ πλησμονὴν ἤ τι τῶν ἄλλων. ἀληθὲς μὲν γὰρ τὸ γίνεσθαί τινα νοσήματα διὰ πλησμονὴν ἢ ὑπὸ πλησμονῆς, (οὐδὲν γὰρ διήνεγκεν οὕτως ἢ ἐκείνως εἰπεῖν), οὐκ ἀληθὲς δὲ συνεκτικὸν αἴτιον εἶναι νοσήματος πλησμονήν. ἡ μὲν γὰρ νόσος αὐτὴ διάθεσίς τίς ἐστιν ἐν ζῴου σώματι πρώτως βλάπτουσα τὴν ἐνέργειαν, ὡς ἐν τῷ Περὶ τῆς τῶν νοσημάτων διαφορᾶς γράμματι δέδεικται. πλησμονὴ δὲ πρώτως μὲν ἐνέργειαν οὐ βλάπτει, καθότι δέδεικται καὶ τοῦτο πάλιν ἐν τῷ Περὶ πλήθους λόγῳ, διὰ μέσης δέ τινος ἑτέρας διαθέσεως, ἥντινα διάθεσιν Ἐρασίστρατος μὲν ἑτέρως, Ἀσκλη-
112 πιάδης δ' ἑτέρως, οἱ πνευματικοὶ δ' ὀνομασθέντες | ἰατροὶ κατ' ἄλλον τρόπον προτίθενται γίνεσθαι· λέλεκται δὲ καὶ ἡμῖν ἐπὶ πλέον, ὅπως ὑφ' ἑκατέρου τοῦ πλήθους νοσήματα γίνεται· διττὸν γὰρ ἐδείχθη τὸ πλῆθος, ὡς μὲν πρὸς τὴν δύναμιν ἕτερον, ὡς δὲ πρὸς τὴν κοιλότητα τῶν ἀγγείων ἕτερον· τὸ μὲν οὖν ὡς πρὸς τὴν δύναμιν εἰς διαφθοράν

23 Περὶ τῆς τῶν νοσημάτων διαφορᾶς] *Gal. VI 836 sqq. K.* 25 Περὶ πλήθους] *Gal. VII 513 sqq. K.* 28 λέλεκται] *VII 520. 524 K.*

1 ἰῆται] ῆ *in ras.* V^{1} 2 ξύμπαν V 6 ἀναπαύοιτο] ἅπαν παύοιτο *in textu*, Γρ. ἀναπαύοιτο *in mg.* L 7 διοσκορίδης ἑκάστῳ στίχῳ L: ἑκάστου στίχου διοσκουρίδης (διοσκουρίας V) VR προέγραψε VR 8 ὀβολὸν R 9 παρὰ VR: περὶ L *ante* ταῦτα *inser.* ἔοικε δὲ ἱπποκράτους εἶναι τοῦ θεσσαλοῦ *e capitulatione marginali orta* L; *cf. v. 10 sq.* 10 διοσκουρίδης VR 11 υἱεῖς L: υἱοὶ VR 12 ἑκάτεροι V *et e corr.* R: ἑκάτερος L *et ante corr.* R 13 ἱπποκράτεις $LR^{2}VR$: *supra* εις *scr.* ην R ὅλην *addidi* 15 προχειρισάμενοι VR 17 αἴτιον νόσων (νό *in ras.* V^{1}) VR πλησμονή L κένωσις L 18 ἕκαστόν τε καὶ τῶν ἐφεξῆς εἰρημένων R^{2}: ἕκαστον· εἰ δὲ τῶν ἐφεξῆς εἰρημένων V: *eadem in textu, sed in mg.* ἑκάστου εἴδους τῶν ἐφεξῆς εἰρημένων R 20 ἢ *ante* οὕτως *add.* L 22 ζῴου LR^{2}: ζῴῳ V: *idem, sed supra scr.* ου R 23 τῆς τῶν *om.* L εἴρηται γράμματι L 29 τοῦ *om.* VR 31 ὡς *om.* L διαφθοράς VR: διαφοράν L: *correxi*

τε τοὺς χυμοὺς ἄγει καὶ ῥεῦμα τοῖς ἀσθενεστέροις ἐν τῷ σώματι μορίοις ἐπιπέμπει, τὸ δ᾽ ὡς πρὸς τὸ ἔγχυμα τὰς ἀναστομώσεις τε καὶ τὰς ῥήξεις τῶν ἀγγείων ἐργάζεται καί ποτε θανάτους ἐξαιφνιδίους, ὅταν ἀποφράξῃ τὰς διαπνοὰς τοῦ σώματος. ʽἴασιςʼ οὖν λέγεται καὶ τῶν ποιούντων τὰς νόσους, οὐ μόνον αὐτῶν τῶν ἤδη γεγενημένων νόσων. εἰ δὴ τῷ κυρίῳ κατ᾽ αὐτῶν ὀνόματι χρῷτό τις, προηγούμενα τῶν νόσων ἐρεῖ τὰ τοιαῦτα τῶν αἰτίων, ὥσπερ Ἀθήναιος· ὑφ᾽ οὗ δὲ πάλιν αὐτὰ ταῦτα τὰ προηγούμενα γίνεται, προκαταρκτικά τε καὶ προκατάρχοντα καλέσεις· πλῆθος γὰρ ἐδεσμάτων ἀπεψίαι τε καὶ λουτρὰ καὶ γυμνάσια μὴ κατὰ καιρὸν γινόμενα καὶ πάνθ᾽, ὅσα διῆλθον ἐν τῷ Περὶ τῶν προκαταρκτικῶν αἰτίων ὑπο|μνήματι, τῶν προηγουμένων αἰτίων ἑκάστης **113**
νόσου γίνεται ποιητικά.

ὁκόσα δὲ ἀπὸ κενώσιος γίνεται νοσήματα, πλησμονὴ ἴηται. οὐ κυρίως δοκεῖ κεχρῆσθαι τῷ τῆς πλησμονῆς ὀνόματι νῦν ὁ γράψας τὴν ῥῆσιν ταύτην, πάντων εἰωθότων οὐ μόνον τῶν ἰατρῶν, ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων τὸ τῆς πλησμονῆς ὄνομα μᾶλλόν πως ἐπιφέρειν ταῖς ὑπερβολαῖς τῆς συμμέτρου ποσότητος, οὐ μὴν τήν γε κένωσιν ἐπανορθοῦσθαι διὰ τῆς ἐναντίας ἀμετρίας. ἄκουσον οὖν ἐφεξῆς τὸν συναγορεύοντα ταῖς ἀμετρίαις λόγον· ὄντων γάρ τινων συμμέτρων σιτίων ὡς πρὸς τὴν τοῦδέ τινος ἕξιν, ὑγιαίνοντος μὲν ἔνδεια καὶ ὑπερβολὴ κατὰ τὴν πρὸς ταῦτα παραβολὴν νοηθήσεται, ὁ δὲ κενωθείς, εἰ μέλλοι πληροῦσθαι, τὴν ποσότητα τῆς ἔμπροσθεν ὑπαρχούσης αὐτῷ συμμετρίας αὐξηθήσεται. ἐὰν γάρ, ὅσα πρὶν κενωθῆναι σιτία προσεφέρετο, τοσαῦτα καὶ νῦν προσφέρηται, τὸ κενωθὲν οὐδέποτε ἀναπληρώσει. τεχνίτου δέ ἐστι μετρίως ποιήσασθαι τὴν παραύξησιν αὐτοῦ καὶ μήτε παρὰ καιρὸν ἐμπιπλάναι μήτ᾽ ἐξαίφνης τε καὶ ἀθρόως τὸ κενωθέν. δο|κοῦσι δ᾽ ἔνιοι τῶν ἰατρῶν τὰς κενώσεις μηδέποτε νόσων αἰτίας γίνε- **114**
σθαι· μόνας γὰρ ἐργάζεσθαί φασιν αὐτὰς τῆς μὲν δυνάμεως ἀρρωστίαν, τῆς δ᾽ ἕξεως τοῦ σώματος ἰσχνότητα, μηδὲν δὲ τῶν νοσημάτων ὑπ᾽ ἐνδείας γίνεσθαι. ἀλλ᾽ οὗτοί γε οὐχ ὁρῶσι τὰς γινομένας νόσους τοῖς ἀμέτρως κενωθεῖσιν. ἑτοίμως τε γὰρ καὶ ἐπὶ ταῖς τυχούσαις προφάσεσι καταψύχονται καὶ πάλιν ἐκκαίονται ταχέως καὶ κόποις ἁλίσκονται ῥᾳδίως καὶ πᾶσι τοῖς ἔξωθεν αἰτίοις, ὥσπερ γε καὶ ὑπὸ ἀγρυπνίας καὶ λύπης καὶ ἀπεψίας καὶ ὀργῆς εἰς νόσους ἄγονται μᾶλλον οὗτοι τῶν εὐεκτούντων.

10 Περὶ τῶν προκαταρκτικῶν αἰτίων] *Gal. liber de causis procatarcticis latine conversus in Iuntin. 1625 class. III. f. 95r*

1 ἐν LR²V: *om.* R 2 ἀναστομώσεις τε LR²: τ᾽ ἀναστομώσεις VR 4 ἀποφράζῃ V 5 γεγενημένων LR²V *et in mg.* R: γεγραμμένων *in textu* R 6 δὴ] δὲ *codd.*: *correxi* 7 αἰτιῶν *hic ut v. 11 (prius)* L 12 ποιητικὰ LR²: ποιητικὸν VR 13 ἀπὸ L: ὑπὸ VR κενώσιος LR²V: κενώσεως R 15 πάντων *in mg. add.* R τῶν *om.* VR 17 τῆς *e corr.* V¹ γε τὴν VR 23 αὐξηθήσεται LR²: αὐξήσεται VR προσεφέρετο τὰ σιτία VR 25 αὐτοῦ L¹: αὐτῶν LVR 26 ἐμπιπλάναι LV: ἐμπιμπλάναι R²: ἐκπιμπλάναι R 28 φασιν *om.* L ἀρρωστίαν VR: ἀργίαν L 32 ἀναλίσκονται R: *corr.* R² 33 καὶ . . . αἰτίοις LR²: *om.* VR ὑπὸ LR²: *om.* VR

ὅcα δὲ ἀπὸ ταλαιπωρίηc γίνεται, ἀνάπαυcιc ἰῆται. ταλαιπωρίαc δηλονότι κέκληκε τὰc κατὰ τὰc ἀμέτρουc κινήcειc γινομέναc. ὅτι δ' ἀναπαύεcθαι χρὴ τοὺc οὕτω διατεθένταc, ἅπαντεc οἱ ἄνθρωποι γινώcκουcι καὶ πράττουcι μηδὲ πυθέcθαι τῶν ἰατρῶν δεόμενοι. δέδεικται δ' ἡμῖν, ὅτι καὶ τὰ ἄλογα τῶν ζῴων, οὐ μόνον ἄνθρωποι διὰ τῶν ἐναντίων τοῖc βλάψαcι τὰc βλάβαc ἐπανορθοῦνται.

115 ὅcα δὲ | ὑπερτέρη ἀργίη νοcήματα τίκτει, ταλαιπωρίη ἰῆται. οὐδ' ἡ ἀργία πρώτωc τε καὶ δι' ἑαυτῆc, ἀλλὰ διὰ μέcου τοῦ πλήθουc ἐργάζεται τὰc νόcουc. ἧττόν τε γὰρ διαφοροῦντα τοῖc ἀργοῦcι τὰ τοῦ cώματοc μόρια ἀρρωcτότερά τε γίνεται, ὡc ἑκάτερον ὑπ' αὐτῆc γίνεcθαι πλῆθοc. ἡ τοίνυν ἀμετροτέρα κίνηcιc ἰcχυροτέραν μὲν οὐκ ἐργάζεται τὴν δύναμιν, ἐκκενοῖ δὲ τὴν περιουcίαν τῶν ἀθροιcθέντων ὑγρῶν. εὔδηλον οὖν ἐcτιν, εἰ καὶ κατ' αὐτὴν βραχὺ πλεονάcειεν ἢ προcήκει τῆc cυμμέτρου κινήcεωc, κοπώδη μὲν ἠρέμα διὰ ταύτηc γενέcθαι τὸν ἄνθρωπον, οὐ μὴν πυρέξαι γε.

τὸ δὲ ξύμπαν γνῶναι δεῖ τὸν ἰατρὸν ἐναντίον ἵcταcθαι τοῖcι καθεcτηκόcι νοcήμαcι καὶ εἴδεcι καὶ ὥρηcι καὶ ἡλικίηcιν. εἴδεcιν ἔοικε λέγειν ⟨ἐν ἴcῳ⟩ ταῖc τοῦ cώματοc φύcεcιν, ὧν τὴν οὐcίαν ἐν τῇ τῶν τεττάρων cτοιχείων κράcει δεδείχαμεν εἶναι. νοcήματα μὲν οὖν ἅπαντα διὰ τῶν ἐναντίων ταῖc δυνάμεcιν, οὐ ταῖc προχείροιc φαντακίαιc ἐδείχθη θεραπευόμενα. φύcιc δὲ cώματοc, ὅπερ ἔcτιν ἡ κρᾶcιc, οὐ πᾶcα διὰ τῶν ἐναντίων ἐπανορθοῦται, ὥcπερ οὐδ' ὧραι

116 καὶ ἡλικίαι. | γίνονται μὲν γάρ τινεc εὔκρατοι, καθάπερ καὶ δύcκρατοί τινεc ἕτεραι, καὶ τῶν μὲν εὐκράτων ἡ εὐκραcία φυλάττεται διὰ τῶν ὁμοίων, τῶν δὲ δυcκράτων ἡ δυcκραcία διὰ τῶν ἐναντίων ἐπανορθοῦται. διώριcται δὲ περὶ τούτων ἐν τῇ τῶν Ὑγιεινῶν πραγματείᾳ.

καὶ τὰ ξυντείνοντα λύειν καὶ τὰ λελυμένα ξυντείνειν. οὐ κατὰ τὸ πρέπον ἐποιήcατο τὴν τῶν νοcημάτων ἀντίθεcιν· τῷ μὲν γὰρ ξυντείνοντι τὰ λύοντα, τῷ δὲ λελυμένῳ τὰ cυντεταμένα κατὰ ἀντίθεcιν οἰκείωc ὀνομάζεται. λέγεται δὲ τὰ μὲν ξυντείνοντα καὶ λύοντα

4 δέδεικται] *cf. VI 6 sq. K.* 19 δεδείχαμεν] *supra libro I* 21 ἐδείχθη] *supra velut p. 22, 4 sqq.* 26 Ὑγιεινῶν] *VI 1 sqq. K.*

1 ὁκόcα R 3 οἱ *om.* L 4 πυθέcθαι LR: πείθεcθαι V 5 τῶν ζῴων LV: ζῷα R 6 βλάψαcιν ἐπανορθοῦνται τὰc βλάβαc L 7 ὁκόcα R^2 ὑπερτερίη L 8 πρώτη L ἑαυτὴν L 9 διαφοροῦνται *codd.*: *correxi* 10 τοῦ LR^2: *om.* VR μόρια *om.* L γίγνονται R ἑκάτερον . . . πλῆθοc *(11)*] *cf. plenitudinis duplex genus supra p. 58, 28 sqq.* 12 τὴν *(prius) supr. scr.* R παρουcίαν V 13 ἐcτιν] ὅτι *codd.*: *correxi* 14 τῆc *om.* L 16 ξύμπαν LR^2: cύμπαν VR ἰητρὸν R^2 17 καὶ *ante* νοcήμαcι *add.* L 18 εἴδεcιν LR^2: ὥρηcι δὲ καὶ εἴδεcιν VR ἐν ἴcῳ *addidi; cf. p. 52, 21* 19 δεδιδάχαμεν L 21 *post* δὲ *add.* πᾶcα R: *del.* R^2 cώματοc LR^2: cωμάτων VR 22 ἐπανορθοῦται *om.* L οὐδ' *om.* L 22. 23 ἡλικίαι καὶ ὧραι L 23 μὲν *om.* L δύcκρατοί LR^2: οἱ δύcκρατοί VR 24 ἕτεροι R: *corr.* R^2 καὶ *om.* VR 25 ἐπανορθοῦται LR^2: *om.* VR 26 περὶ τούτων VR: τοῦτο L ὑγιειῶν L 28 πρέπον LR: πρότερον V 29 τὰ λύοντα VR: τὸ λελυμένον L τὰ cυντεταμένα *scripsi*: τὰ ξυντεταμένα R^2: τὸ cυντεταμένον L: τὰ cυντεταγμένα VR 30 cυντείνοντα L

κυρίως ἐπὶ τῶν αἰτίων, οὐκ ἐπ᾽ αὐτῶν τῶν βλαπτομένων σωμάτων, ἔμπαλιν δὲ τὰ συντεταμένα καὶ λελυμένα κατὰ τῶν ἤδη βεβλαμμένων· ἔπειτα τὰ συντεινόμενα καὶ λυόμενα σωμάτων ἐστίν, οὐ νοσημάτων, ὀνόματα συντεινομένων καὶ λυομένων, ὥσπερ γε καὶ τὸ σκληρὸν καὶ τὸ μαλακὸν ἀραιόν τε καὶ πυκνόν, ὑπὲρ ὧν εἴρηται κάλλιον ἐν τῷ ἕκτῳ τῶν Ἐπιδημιῶν ἐν τῇδε τῇ λέξει· ‘δέρματος σκληροῦ μάλθαξις, συντεταμένου χάλασις.’ εἴρηται δὲ ἐν τούτῳ τῷ βιβλίῳ κατὰ τὸ συνεχὲς καὶ περὶ τοῦ στεγνῶσαι, | ὅπερ ἔστιν ἐναντίον τῷ ἀραιῶσαι ὡς τὸ πυκνῶσαι· τοῦτο 117
δ᾽ αὖ πάλιν τῷ πυκνουμένῳ τὴν αὐτὴν ἔχει δύναμιν, ὥσπερ γε καὶ τὸ πεπυκνωμένον τῷ ἐστεγνωμένῳ.

II 2 [9. VI 52, 11—13 L.] Αἱ δὲ νόσοι γίνονται αἱ μὲν ἀπὸ διαιτημάτων, αἱ δ᾽ ἀπὸ τοῦ πνεύματος, ὃ εἰσαγόμενοι ζῶμεν.

Διαιτήματα καλοῦσιν ἐνίοτε μὲν αὐτὰ μόνα τὰ σιτία καὶ τὰ ποτά, πολλάκις δὲ περιλαμβάνουσιν ἐν τῇ προσηγορίᾳ καὶ τὰ ἐπιτηδεύματα, καὶ νῦν οὕτως εἰρῆσθαι νομιστέον· οὐ γὰρ ἀπὸ μόνων ὧν ἐσθίομέν τε καὶ πίνομεν, ἀλλὰ καὶ ἀπὸ λουτρῶν καὶ γυμνασίων ἀργίας τε καὶ ἀγρυπνίας καὶ λύπης καὶ θυμοῦ καὶ ψύξεως καὶ ἐγκαύσεως αἱ νόσοι γίνονται, πολλάκις δ᾽ ἀπὸ τοῦ πνεύματος μόνου κατὰ τὴν εἰσπνοὴν ἡ βλάβη γίνεται, καθάπερ ἐν τοῖς Χαρωνείοις ὀνομαζομένοις χωρίοις. |

II 3 [9. VI 52, 13—54, 7 L.] Τὴν δὲ διάγνωσιν ἑκατέρων ὧδε 118
χρὴ ποιεῖσθαι· ὅταν μὲν ὑπὸ ἑνὸς νοσήματος πολλοὶ ἄνθρωποι ἁλίσκωνται κατὰ τὸν αὐτὸν χρόνον, τὴν αἰτίαν χρὴ ἀνατιθέναι τουτέῳ, ὅ τι ἂν κοινότατόν ἐστι καὶ μάλιστα αὐτῷ πάντες χρεόμεθα· ἔστι δὲ τοῦτο ὃ ἀναπνέομεν· φανερὸν γὰρ δή, ὅτι τά γε διαιτήματα ἑκάστου ἡμέων οὐκ αἰτιά ἐστιν, ὅτε ἅπτεται πάντων ἡ νοῦσος ἑξῆς καὶ τῶν νεωτέρων καὶ τῶν πρεσβυτέρων καὶ γυναικῶν καὶ ἀνδρῶν, ὁμοίως δὲ καὶ τῶν

5 ἐν τῷ ἕκτῳ τῶν Ἐπιδημιῶν] *sic in eo libro non leguntur; spectare interpres videtur Epid. VI 2, 1; idem Galeni error XI 741. XIII 991 ac praecipue XVII A 891 K.* 7 ἐν τούτῳ τῷ βιβλίῳ *i. e.* τῷ ἕκτῳ τῶν Ἐπιδημιῶν] *cf. ad v. 5*

1 οὐκ ἐπ᾽ *ante corr.* R: οὐκέτ᾽ ἐπ᾽ LV *et corr.* R βλαπτόντων L 2 ξυντεταμένα L 3 συντεινόμενα] εν *in ras.* V[1] καὶ λυόμενα *om.* V οὐ *in ras.* L[1] 4 λυομένων L: λελυμένων VR 5 ἐπιδημίων L 6 μάλαξις VR 7 τῷ LR[2]: *om.* VR περὶ τοῦ LR[2]: τὸ VR 8 τῷ VR: τοῦ L ὡς τὸ πυκνῶσαι *om.* VR τοῦτο . . . πυκνουμένῳ *(9) om.* L 10 καὶ *ante* τῷ *add.* R: *del.* R[2] ἐστεγνωμένῳ R[2]: ἐστεγνωμένον L: στεγνομένῳ VR 11 νοῦσοι V 12 τοῦ *om.* L 13 καλοῦσιν ἐνίοτε VR: καλοῦσί ποτε L 14 παραλαμβάνουσιν L 18 τοῦ *om.* L 19 τοῖς LR[2]: *om.* VR 21 ἑκατέρων *om.* L 23 ἁλίσκωνται LV[1]: ἁλίσκονται VR κατὰ . . . χρόνον *(62, 6) non exar.* R 24 αὐτῷ L: αὐτέῳ V 26 τά γε *in ras.* V[1] ἡμέων L: ἡμερῶν V 27 νόσος V τῶν *(alt.) om.* L

θωρηςςομένων καὶ τῶν ὑδροποτεόντων καὶ τῶν μᾶζαν ἐςθιόντων καὶ τῶν ἄρτον ςιτεομένων καὶ τῶν πολλὰ ταλαιπωρεόντων καὶ τῶν ὀλίγα. οὐκ ἂν οὖν τά γε διαιτήματα αἴτια εἴη, ὁκόταν διαιτώμενοι οἱ ἄνθρωποι πάντας τρόπους ἁλίςκωνται ὑπὸ τῆς αὐτῆς νόςου. ὁκόταν δ᾽ αἱ νοῦςοι γίνωνται παντοδαπαὶ κατὰ τὸν αὐτὸν χρόνον, δῆλον ὅτι τὰ διαιτήματά ἐςτιν αἴτια ἕκαςτα ἑκάςτοιςιν.

Ὅτι μὲν τὸ κοινὸν πολλοῖς νόςημα κοινὴν ἔχει τὴν αἰτίαν,
119 ὀρθῶς εἶπεν, ὥςπερ γε καὶ τὰ ἄλλα πάντα τὰ | κατὰ τὴν ῥῆςιν, οὐ μὴν ὀρθῶς εἰς μόνον τὸν ἀέρα τὴν τῶν κοινῶν νοςημάτων ἀναφέρει γένεςιν, εἴπερ "οἱ ἐν Αἴνῳ" ἐν λιμῷ "ὀςπριοφαγέοντες ςκελέων ἀκρατέες ἐγένοντο, ἀτὰρ καὶ οἱ ὀροβοφαγέοντες γονυαλγέες". ἴςμεν δ᾽ ὅτι καὶ πυροὺς ἡμιςαπεῖς διὰ λιμὸν ἀναγκαςθέντες ἐςθίειν τινὲς κοινὸν ἀπὸ τῆς κοινῆς αἰτίας ἐνόςηςαν νόςημα καί που ςτρατόπεδον ὅλον ὕδατι μοχθηρῷ χρηςάμενον ὁμοίαν ἐν ἅπαςι τοῖς ςτρατιώταις τὴν βλάβην ἔςχε. τὰ δ᾽ ἄλλα τῆς ῥήςεως δῆλα.

II 4 [9. VI 54, 7—56, 12 L.] Καὶ τὴν θεραπείην χρὴ ποιεῖςθαι ἐναντιούμενον τῇ προφάςει τῆς νόςου, ὥςπερ μοι πέφραςται καὶ ἑτέρωθι, καὶ ἐκ τῶν διαιτημάτων μεταβάλλειν. δῆλον γὰρ
120 δὴ ὅτι, οἷςί γε εἴωθε χρῆςθαι ὁ ἄνθρωπος διαιτή|μαςιν, οὐκ ἐπιτήδειά ἐςτιν ἢ πάντα ἢ τὰ πλείω ἢ ἕν γέ τι αὐτέων· ἃ χρὴ καταμανθάνοντας μεταβάλλειν καὶ ςκεψάμενον τοῦ ἀνθρώπου τήν τε ἡλικίην καὶ τὸ εἶδος καὶ τὴν ὥρην τοῦ ἔτεος καὶ τῆς νόςου τὸν τρόπον τὴν θεραπείαν ποιεῖςθαι ποτὲ μὲν ἀφαιρέοντα, ποτὲ δὲ προςτιθέντα, ὥςπερ μοι καὶ πάλαι εἴρηται, πρὸς ἕκαςτα τῶν ἡλικιῶν καὶ τῶν ὡρέων καὶ τῶν εἰδέων καὶ τῶν νούςων ἔν τε τῇ φαρμακείῃ προτρέπεςθαι καὶ ἐν τῇςι διαίτῃςιν. ὁκόταν δὲ νοςήματος ἑνὸς ἐπιδημίη καταςτῇ, δῆλον

11 *Hipp. Epid. II 4, 3 (V 126, 4 L.)* 19 ἑτέρωθι] *locus qualemcumque respicit periit; sed cf. etiam infra p. 82, 14 sq.* 25 πάλαι] *locus non exstat* 27 προτρέπεςθαι] *cf. C. Fredrich, Hipp. Untersuchungen 1899, p. 17*

1 θωρηςομένων V ὑδροποτεώντων V: *corr.* V^1 *pro* τῶν *ante* μᾶζαν *hab.* τὴν V 2 ςιτεομένων L: ςιτευόντων V 3 γε L: τε V 4 οἱ ἄνθρωποι *om.* V ἁλίςκωνται V^1: ἁλίςκονται LV 5 νόςου LV: νούςου V^1 γίνωνται L: γίγνωνται V^1: γίγνονται V παντοδαποὶ V 7 ἑκάςτοιςιν L: ἑκάςτοις VR 8 νοςήμαςι *codd.*: *corr. Schoene* κοινὴν LV: καινὴν, *sed ipse corr.* R: *supra* κοινὴν *scr.* πολλὴν L 10 τὴν LR^2: τὸν VR *ante* τῶν *ras. duarum litt.* R 11 Αἴνῳ] αἴ *e corr.* V^1 ἐν λιμῷ LR: καὶ λιμῷ V ὀςπρειοφαγέοντες R ἀκρατέες] τέ *in ras.* V^1 13 τινὲς *om.* L 14 ἐνόςηςαν R^{2}V: ἐνόηςαν LR 15 ὁμοίως R 16 τἄλλα δὲ L 17 θεραπείην VR *et Hipp.*: θεραπείαν L 18 νούςου V^1 ὥςπερ . . . ποιεῖςθαι *(24) non exar.* R 19 ἐκ L: *om.* V μεταβάλλειν L: τῇ μεταβολῇ V 20 *post* ὅτι *quoque hab.* γε V 23 ἡλικίαν V ὥραν V 24 ποιέεςθαι *hic* L ἀφαιρέοντος R 25 ποςτιθέντος R 26 ἰδεῶν VR 27 προτρέπεςθαι] *an* προςτρέπεςθαι? *cf. Fredrich l. l.; at cf. etiam infra p. 63, 31* 27. 28 τοῖςι διαιτήμαςιν R: τῇςι *(sic)* διαιτήμαςιν V 28 νοςήματα L ἐπιδημία L καταςτῇ L: κρατῇ VR

ὅτι οὐ τὰ διαιτήματα αἴτιά ἐστιν, ἀλλ᾿ ὃ ἀναπνέομεν, τοῦτ᾿ αἴτιόν ἐστι καὶ τοῦτο δῆλον ὅτι νοσερὴν τὴν ἀπόκρισιν ἔχον ἂν εἴη. τοῦτον οὖν χρὴ τὸν χρόνον τὰς παραινέσιας ποιεῖσθαι τοῖσιν ἀνθρώποισι τοιάσδε· τὰ μὲν διαιτήματα μὴ μεταβάλλειν, ὅτε γε οὐκ αἴτιά ἐστι τῆς νόσου, τὸ δὲ σῶμα ὁρῆν, ὅπως ἔσται ἀογκότατον καὶ ἀσθενέστατον, τῶν τε σιτίων ἀφαιρέοντα καὶ τῶν ποτῶν, οἷς εἰώθασι χρῆσθαι, κατ᾿ ὀλίγον· ἢν γὰρ μεταβάλλῃ ταχέως τὴν δίαιταν, | κίνδυνος καὶ ἀπὸ τῆς 121 μεταβολῆς νεώτερόν τι γενέσθαι ἐν τῷ σώματι· ἀλλὰ χρὴ τοῖς μὲν διαιτήμασιν οὕτω χρῆσθαι, ὅτε γε φαίνεται, οὐδὲν ἀδικέοντα τὸν ἄνθρωπον, τοῦ δὲ πνεύματος, ὅκως ἡ ῥύσις ὡς ἐλαχίστη εἰς τὸ σῶμα εἰσίῃ καὶ ὡς ξενοτάτη, προμηθεῖσθαι, τῶν δ᾿ αὖ χωρίων τοὺς τόπους μεταβάλλοντα εἰς δύναμιν, ἐν οἷς ἂν ἡ νόσος καθεστήκῃ, καὶ τὰ σώματα λεπτύνοντα· οὕτω γὰρ ἂν ἥκιστα πολλοῦ τε καὶ πυκνοῦ πνεύματος χρῄζοιεν οἱ ἄνθρωποι.

Ἐλλιπῆ τὴν ἴασιν ἔγραψε τῶν κοινῶν νοσημάτων, ὅταν ὑπὸ τοῦ περιέχοντος γίνηται. πολλάκις μὲν γὰρ ἀναθυμιάσεις τινὲς ἐξ ἑλῶν ἢ λιμνῶν ἢ τελμάτων ἢ γῆς τοιαύτης αἰτίαι γίνονται τῶν τοιούτων νοσημάτων, ἔστι δ᾿ ὅτε μόνη τῶν ὡρῶν ἡ κρᾶσις. ἐπὶ μὲν οὖν τῶν ἀναθυμιάσεων ἰδιότητι μᾶλλον ὅλης τῆς οὐσίας, οὐχ ἁπλῇ ποιότητι λυμαινομένων τοῖς σώμασιν ὀρθῶς ἔγραψε τὴν θεραπείαν εἰς διττοὺς ἀνάγων σκοπούς, ἀμοιβήν τε τοῦ χωρίου | καὶ χρείαν ὀλίγης τῆς εἰσπνοῆς· ἐπὶ 122 δὲ τῶν ὑπὸ ποιότητος βλαπτομένων οὐ μόνον ἡ θεραπεία τῶν γεγονότων ἤδη νοσημάτων, ἀλλὰ καὶ ἡ προφυλακὴ τοῦ μηδ᾿ ὅλως συστῆναι διὰ τῶν ἐναντίων ἔσται ποιοτήτων, εἰ μὲν ὑπὸ θερμότητος ἀμέτρου βλάπτοιτό γε τὸ σῶμα, διὰ τῶν ψυχόντων, εἰ δὲ ὑπὸ ψύξεως, διὰ τῶν θερμαινόντων ἐπί τε τῶν ἄλλων ποιοτήτων ἁπλῶν τε καὶ συνθέτων ἀνάλογον. περὶ δὲ τῆς ἀπό τε τῶν ἡλικιῶν καὶ τῶν ὡρῶν καὶ τοῦ σώματος κράσεων ἐνδείξεως εἴρηταί μοι πρόσθεν.

τὸ δὲ τῇ φαρμακείῃ προτρέπεσθαι δοκεῖ μοι λελέχθαι νῦν ἀντὶ τοῦ ‘προσφέρεσθαι’ τοῖς νοσήμασιν ἐξ ὑπεναντίου· λέγεται δὲ καὶ νῦν ἔτι κατὰ τὴν Ἀσίαν ὅδε τις ἄνθρωπος προτρέπεσθαι τῷδε χρηστῶς ἢ φιλικῶς ἢ ἀπίστως ἢ ἀπηνῶς.

30 πρόσθεν] *libro I*

2 νοσερὴν VR *et Hipp.*: νοσερὰν L 3 ποιέεσθαι L 5 ὅτε L: ὅτι VR 6 ὅκως VR 7 εἴωθα VR χρέεσθαι R ἢν VR *et Hipp.*: εἰ L 8 μεταβάλλοι L τὴν τάχεως τὴν VR 10 οὕτω δὴ L οὐδὲν VR *ac meliores codd. Hipp.*: μηδὲν L ἀδικέοντα LV[1]: ἀδικαίοντα VR 11 ῥύσις V *et Hipp. plerique codd.*: ῥῦσις R: ῥῶσις L 12 εἰσήει VR ξενωτάτη V 13 μεταβάλλοντας VR 14 ἂν *supr. scr.* R καθεστήκει *codd.*: *corr. ex Hipp. Kühn* καὶ *om.* VR 18 ἐλῶν *(sic)* R: ὀλῶν V 22 ἐπέγραψε L 23 οὐκ ὀλίγης L; *at cf. v. 11. 12* ἐπὶ VR: ὑπὸ L 24. 25 νοσημάτων ἤδη γεγονότων L 25 φυλακὴ L 26 ἀμέτρου VR: ἀπλήστου L 27 γε *om.* L 29 τε *ante* κα ὶ*(prius)* L τῶν *ante* ὡρῶν *om. et ante* τοῦ *add.* L 31 προστρέπεσθαι *praefert Fredrich; cf. supra p. 62, 27* 33 Ἀσίαν LV: οὐσίαν, *sed ipse corr.* R προσφέρεσθαι *codd.*: *correxi* 34 ἀπινῶς VR

II 5 [10. VI 56, 13—20 L.] Ὁκόϲα δὲ τῶν νοϲημάτων γίνεται
123 ἀπὸ τοῦ ϲώματοϲ τῶν | μελέων τοῦ ἰϲχυροτάτου, ταῦτα δεινότατά ἐϲτι· καὶ γὰρ ἢν αὐτοῦ μείνῃ, ἔνθα ἂν ἄρξηται, ἀνάγκη τοῦ ἰϲχυροτάτου τῶν μελῶν πονεομένου πᾶν τὸ ϲῶμα ὀχλεῖϲθαι, καὶ ἢν ἐπὶ τῶν ἀϲθενεϲτέρων τι ἀφίκηται ἀπὸ τοῦ ἰϲχυροτέρου, χαλεπαὶ αἱ ἀπολύϲιεϲ γίνονται. ὁκόϲα δ' ἂν ἀπὸ τῶν ἀϲθενεϲτέρων ἐπὶ τὰ ἰϲχυρότερα ἔλθῃ, εὐλυτότερά ἐϲτιν· ὑπὸ γὰρ τῆϲ ἰϲχύοϲ ἀποκλείζεται ῥηϊδίωϲ τὰ ἐπιρρέοντα.

Ἰϲχυρότατον, εἴτε μόριον εἴτε ϲῶμα λέγειν ἐθέλοι τιϲ, κυρίωϲ μὲν ἐρεῖ τὸ πρὸϲ τὰϲ δραϲτικὰϲ ἐνεργείαϲ κάλλιϲτα καταϲκευαϲμένον, ὥϲ που καὶ τὸν Ἡρακλέα λέγομεν ἰϲχυρότατον γεγονέναι, καθ' ἕτερον δὲ τρόπον ὡϲ πρὸϲ τήνδε μέν τινα τὴν ἐνέργειαν ἰϲχυρὸν τουτὶ τὸ ϲῶμα καὶ τὸ μόριον, ὡϲ πρὸϲ ἑτέραν δὲ ἄλλο· καὶ κατὰ μὲν πάντα ἰϲχὺϲ ἐν ἑκάϲτῃ τῶν ἐνεργειῶν ἐϲτι, τῷ δεῖνι δὲ ἄλλο κατ' ἄλλην αὐτῶν ἰϲχυρότατον γίνεται. μία μὲν οὖν ἐϲτιν ἡ ἐνέργεια τῶν καθ' ὁρμὴν
124 τοῦ ζῴου κινήϲεων ὡϲ ἤτοι | τρέχοντοϲ ἢ ϲυμπλεκομένου ζῴοιϲ τιϲὶν ἢ διαϲπῶντόϲ τι τῶν ϲωμάτων τῶν ἐμψύχων ἢ τῶν ἀψύχων ἢ ἀποϲπῶντοϲ ὡϲαύτωϲ ὁτιοῦν, μία δ' ἄλλη δύναμιϲ καὶ κατ' αὐτὴν ἐνέργεια ζωτική, καθ' ἣν αἱ ἀρτηρίαι καὶ ἡ καρδία ϲφύζουϲιν· ἐπὶ δὲ ταῖϲ κατὰ γένοϲ ἀλλήλων διαφερούϲαιϲ ἄλλαι τινέϲ εἰϲιν ἀνομογενεῖϲ οὐκ ἐν τοῖϲ ζῴοιϲ μόνον, ἀλλὰ κἀν τοῖϲ φυτοῖϲ, διὸ καὶ φυϲικὰϲ ὀνομάζομεν αὐτάϲ, ἑλκτικὴ καὶ ἀλλοιωτικὴ καὶ καθεκτικὴ καὶ ἀποκριτική. δύναται τοιγαροῦν ἐνίοτε κατ' ἄλλο καὶ ἄλλο ϲῶμα ἡ γαϲτήρ, εἰ τύχοι, δύναμιν ἰϲχυροτάτην ἔχειν ὡϲ πρὸϲ τήνδε τὴν ἐνέργειαν, οἷον ἤτοι τὴν καθεκτικὴν ἢ τὴν ἀλλοιωτικήν, ποτὲ δὲ ἧπαρ ἢ ϲπλὴν ἤ τι τῶν ἄλλων, ἔμπαλιν δὲ κατὰ τὸ αὐτὸ ζῷον ἡ μὲν γαϲτὴρ ἀϲθενεϲτάτην ἔχειν ἤτοι τὴν ἑλκτικὴν ἢ τὴν ἀποκριτικὴν δύναμιν, ἰϲχυροτάτην δὲ τὸ ἧπαρ. παρῆκε δὲ νῦν ὁ γράψαϲ τὴν προκειμένην ῥῆϲιν ἰϲχυρὸν ἐν ἡμῖν δοκεῖν εἶναι μόριον, ᾧ πρὸϲ τῷ μὴ ῥᾳδίωϲ πάϲχειν ὑπὸ τῶν τὰϲ νόϲουϲ ἐργαζο-

21 ὀνομάζομεν] *cf. Gal.* Περὶ φυϲικῶν δυνάμεων *(II 1 sqq. K.)*

2 ἀπὸ *bis* V τοῦ ... ἐϲτιν *(7) non exar.* R ταῦτα ... ἰϲχυροτάτου *(4) om.* V 4 πονεουμένου LV: *corr. Aldina* ὀχλεῖϲθαι L: καὶ χλεῖϲθαι *(sic)* V 5 τὰ ἀϲθενέϲτερά τι L ἰϲχυροτέρου] ἐρ *in ras. (fuerat igitur superlativus)* L: ἰϲχυροτάτου V 6 ἀπολύϲειϲ L 7 εὐλυτότερόν V ὑπὸ V: ἀπὸ L 8 ἀποπλήϲϲεται *codd.*: *correxit coll. p. 66, 28 Chartier*: ἀποκλείϲεται *Aldina Basileensis* 9 ἰϲχυρότατον LR^2: *om.* VR *post* ἰϲχυρότατον *add.* δ' R^2 τιϲ LR^2: τιϲ ἰϲχυρὸν VR 10 δραϲτικὰϲ VR: πραγματικὰϲ L 11 ἡρακλῆα R: *corr.* R^2 12 τὴν *om.* VR 13 δὲ LR^2: *om.* VR κατὰ μὲν πάντα VR: τῷ μὲν κατὰ πάνταϲ L 14 ἐν LR^2: *om.* VR δὲ *post* ἄλλο *transp.* VR 15 ἰϲχυρὸν *codd.*: *correxi e v. 22. 27 et p. 65, 5* 17 ἀποϲπῶντοϲ VR: διαϲπῶντοϲ L 18 τε καὶ L 18. 19 ἐνέργειαν ζωτικὴν VR 19 ἐπὶ ταῖϲ δὲ L 20 ἀλλήλαιϲ L διαφερούϲαιϲ LR^2 *et in mg.* R: διαφορούϲαιϲ V: διαφοραῖϲ *in textu* R ἀνομογενεῖϲ LR^2: ὁμογενεῖϲ VR 21 μόνοιϲ L 22 καθεκτικὴ LR: καθελκτικὴ V 23 ἐνίοτε *scripsi (cf.* ποτὲ *v. 25)*: ἄλλοτε VR: ἄλλο L τύχῃ VR 25 τὸ ἧπαρ R 26 ἔχει *codd.*: *correxi* 28. 29 ἰϲχυρὸν δ' ἐννοεῖν μοι δοκεῖ ᾧ VR 29 τῷ V: τὸ LR

μένων αἰτίων ἔτι νὴ Δία καὶ | τοῦτο πρόσεστι τὸ διὰ τῆς ἀποκριτικῆς 125
δυνάμεως, ὅταν ἐν αὐτῷ τις ἀθροισθῇ περιουσία χυμῶν, εἰς ἕτερον
αὐτὴν ἀποπέμπειν μόριον. εἶναι δὲ δηλονότι χρὴ τοῦ δεξομένου τὸ
πέμπον ἰσχυρότερον. ἔσται τοιγαροῦν καθ᾿ ἕκαστον σῶμα τὸ μέν τι
πάντων ἀσθενέστατον μόριον, τὸ δ᾿ ἰσχυρότατον, ὥσπερ ἀμέλει καὶ
πᾶσιν ὡμολόγηται τοῖς ἰατροῖς καὶ τοῖς ἰδιώταις· ἀσθενεστάτους μὲν
γὰρ εἶναι λέγουσι τοὺς πόδας τοῖς ποδαγρικοῖς, ὥσπερ γε σύμπαν τὸ
τῶν ἄρθρων γένος τοῖς ἀρθριτικοῖς, ἀσθενεστάτην δὲ κεφαλὴν τοῖς
κεφαλαλγικοῖς, οὕτω δὲ καὶ τὸν σπλῆνα τοῖς φύσει σπληνώδεσι καὶ τοὺς
ὀφθαλμούς, ὅσοι ῥᾳδίως ὀφθαλμίαις ἁλίσκονται, καὶ καθ᾿ ἕκαστον μόριον
ὡσαύτως. ὄντων δὲ κατὰ γένος διττῶν τῶν τὰς νόσους ἐργαζομένων
αἰτίων, (τὰ μὲν γὰρ ἔξωθέν ἐστι, τὰ δὲ ἐξ αὐτῶν ἡμῶν ὁρμᾶται), πρὸς
μὲν τὰς ἔξωθεν βλάβας ἄλλα μόρια τῶν ἐν ἡμῖν ἐστιν ἐνίοτε ἀσθενῆ,
πρὸς δὲ τὰς ἔνδοθεν ἄλλα, διότι καὶ τῶν αἰτίων αὐτῶν αἱ δυνάμεις
ἑτερογενεῖς εἰσιν· ἐξ ἡμῶν γὰρ κατὰ πλῆθος χυμῶν ἢ μοχθηρίαν αἱ
νόσοι γίνονται, τὰ | δ᾿ ἔξωθεν αἴτια τὰ μὲν τῷ δυσκρασίαν τινὰ ἐργά- 126
ζεσθαι, τὰ δὲ τῷ θλᾶν ἢ τέμνειν ἀδικεῖ τὰ τῶν ζῴων σώματα. τὸ γοῦν
τῶν ἐξαρθρημάτων πάθος ὑπ᾿ ἀμφοτέρων ἔοικε γίνεσθαι· καὶ γὰρ ἄν-
θρωπος εἷς μόνος ἄνευ συμπλοκῆς τῆς πρὸς ἕτερον ἔξαρθρον ἐποίησεν
ἤτοι γόνυ βαδίζων ἢ γένυν χασμώμενος ἤ τι τῶν ἄλλων ἄρθρων ἢ
ὁπωσοῦν ἐνεργῶν ἢ περιστρεφόμενος, ἤδη δὲ καὶ κάταγμά τις ἔπαθεν
ἄνευ τῆς ἔξωθεν αἰτίας ἐν περιστροφαῖς ἀθρόαις ἢ τῷ πηδῆσαι σφο-
δρότερον. ὥσθ᾿ ὅσα γένη τῶν αἰτίων ἐστί, τοσαῦτα καὶ τῆς τῶν πασχόν-
των ῥᾳδίως ἢ μὴ πασχόντων μορίων ἀσθενείας τε καὶ ἰσχύος. αἱ μὲν
οὖν ἐκ τῶν χυμῶν ὁρμώμεναι νόσοι κατὰ τὴν ῥώμην τε καὶ ἀσθένειαν
ἅπασαι γίνονται τῶν ἀποκριτικῶν δυνάμεων· συμπεφυκότων γὰρ ἀλλή-
λοις τῶν τοῦ ζῴου μορίων ἐκ τῶν ἀπωθεῖσθαι δυνατωτέρων εἰς ἕτερα
μεταρρέουσιν οἱ νοσοποιοὶ χυμοὶ καὶ πάλιν ἐξ ἐκείνων εἰς ἕτερα, μέχρις
ἂν ἔν τινι τῶν ἀσθενεστέρων στηριχθῶσιν, ὃ μηκέτ᾿ ἔχει μηδὲν ἀσθε-
νέστερον ἑαυτοῦ μέρος, εἰς ὃ πέμψειεν τὸν λυποῦντα χυμόν. ἐὰν | μὲν 127
οὖν ἐκροὰς ἔχῃ τοῦτο τὸ μόριον, ὡς ἔντερά τε καὶ γαστὴρ καὶ κύστις
καὶ μήτρα, δι᾿ ἐκκρίσεως ἐκενώθη τὸ λυποῦν αἴτιον, ἐάν γε λεπτότερον
ᾖ κατὰ τὴν σύστασιν τῶν ἐκροῶν τοῦ μορίου, πολλάκις δὲ καὶ ἀναρ-

1 τὸ *supr. add.* V^1 3 δὲ *om.* L χρὴ *om.* L δεξαμένου VR 4 πέμπτον, *sed ipse corr.* R τι L: τοι VR 5 πάντων *om.* VR ἀσθενέ-στατον] ατον *in ras.* V^1 εἶναι μόριον L τὰ δ᾿ ἰσχυρότατα VR καὶ LR^2: *om.* VR 7 γὰρ *om.* L 8 ἀρθρητικοῖς L: ἀρθροιτικοῖς V: ἀρθρειτικοῖς, *sed* η *supra* ει R: *corr. Basileensis* 10 μόριον L: μέρος VR 11 γένος] γέν *in ras.* R 12 γὰρ LR^2: *om.* VR καὶ πρὸς VR 14 ἔνδον L 17 ἀδικεῖ LR^2: ἀδικῇ VR γοῦν] γὰρ *codd.*: *correxi* 18. 19 ἄνθρωπος] αὐτὸς *codd.*: (ἄνος) *correxi* 19 εἷς *om.* L 20 γόνυ] *supra* υ *ras. duarum litt. in* R: γόνας *(sic)* V 21 ἐναργῶν V ἢ *om.* L 23 αἰτίων] αιτ *in ras.* V^1 τῆς LR^2: *om.* VR 25 ὁρμώμεναι VR: γινόμεναι L 26 γὰρ LR^2: *om.* VR 27 ἐκ τῶν LR^2: ἐκ δὲ τῶν VR 28 νοσοποιοὶ LR^2: νοσοποιοῦντες R: νουσο-ποιοῦντες V 29 ἔν *om.* VR στηριχθῶσιν ὃ μηκέτ᾿ LR^2: στηριχθῶσι μηκέτ᾿ VR ἔχει LR^2: ἔχον VR 30 αὐτοῦ L εἰς τὸ πέμψειν LVR: ὥστε πέμψειν R^2: *correxi* 32 ἐκκενωθῇ VR 33 δὲ *om.* VR

ραγέντων ἢ καὶ ἀναστομωθέντων ⟨τῶν⟩ ἀγγείων ἐπὶ πλέον ἡ κένωcις ἐγένετο, καθάπερ ἐν ταῖc χωρὶc τραυμάτων αἱμορραγίαις· ἐὰν δὲ μὴ ἀναστομωθῇ τι μήτ᾽ ἀναρραγῇ, παχὺc ἢ γλίcχρος καταcκήψας χυμὸc ὄγκον ἐργάζεται παρὰ φύcιν ἐν τῷ μορίῳ. τοιαύτη μὲν οὖν τίc ἐcτιν ἰcχὺc καὶ ἀcθένεια τῶν μελῶν τοῦ cώματος ἐν τοῖc πάθεcιν, ὅcα τὴν γένεcιν ἐξ αὐτῶν ἡμῶν ἔχει. τὰ δὲ ὑπὸ τῶν ἔξωθεν αἰτίων πάcχοντα κατὰ τὸ θερμαίνεcθαι καὶ ψύχεcθαι καὶ ξηραίνεcθαι καὶ ὑγραίνεcθαι τοὐπίπαν ἔοικε πάcχειν· cπάνια γάρ ἐcτι τὰ διὰ τοῦ θλᾶν ἢ τέμνειν ἤ τι τοιοῦτον ποιεῖν εἰc νόcους ἄγοντα τὰ τῶν ζῴων cώματα. γενήcεται τοίνυν ἐν ταῖc τοιαύταις νόcοις ἄλλο πρὸc ἄλλην αὐτῶν ἀcθενέc τε καὶ ἰcχυρόν· ὅcα μὲν γάρ ἐcτι φύcει ψυχρότερα μόρια, ταῦτα πεί-
128 cεται ῥᾳδίως ὑπὸ τῶν ψυχόντων αἰτίων, ὅcα δὲ θερμό|τερα, πρὸc τῶν θερμαινόντων, ἀνάλογον δὲ τούτοις ἐπὶ τῶν καθ᾽ ὑγρότητα καὶ ξηρότητα δυcκράτων. ἐνδέχεται δὲ αὐτῶν τούτων ἔνια μὲν ὑπὸ τῶν θερμαινόντων ἢ ψυχόντων ἢ ξηραινόντων ἢ ὑγραινόντων αἰτίων ἑτοίμως πάcχειν, ἰcχυροτέραν δ᾽ ἕτερον μόριον ἔχον τὴν ἀποκριτικὴν δύναμιν εὐθέως ἀποπέμπειν εἰc ἐκεῖνα τὸ cφέτερον κακόν.

ἐπεὶ τοίνυν οὐχ ἁπλῶc λέγεταί τε καὶ νοεῖται μόριον ἰcχυρότερον ἢ ἀcθενέcτερον, ἀλλὰ κατὰ πλείονας τρόπους ἑτερογενεῖc, οὐχ οἷόν τέ ἐcτι κρῖναι τὴν προκειμένην ῥῆcιν οὐδ᾽ ἀποφήναcθαι πότερον ἀληθὴc ἢ ψευδήc. ἐκεῖνό γε μὴν ἔcτι καὶ περὶ τῆcδε καὶ περὶ τῶν ἄλλων ἁπαcῶν εἰπεῖν, ὅcαι περὶ τῶν πολλαχῶc λεγομένων τε καὶ νοουμένων ἀδιορίcτως ἀποφαίνονται, cυγκεχυμένην τε καὶ ἀδιάρθρωτον εἶναι τὴν ἀπόφαcιν αὐτῶν, ὡc μηδένα τῶν ἀκουcάντων αὐτῆc ὠφελεῖcθαι.

καὶ μέντοι καὶ ἀντιλογίαν ἰcχυρὰν ἔχει τὸ κατὰ τὴν προκειμένην ῥῆcιν εἰρημένον, ἔνθα φηcίν· ὁκόcα δ᾽ ἂν ἀπὸ τῶν ἀcθενεcτέρων ἐπὶ τὰ ἰcχυρότερα ἔλθῃ, εὐλυτότερά ἐcτιν· ὑπὸ γὰρ τῆc ἰcχύοc|
129 ἀποκλείζεται ῥηϊδίωc τὰ ἐπιρρέοντα· διὸ καὶ διαφόρωc ἔγραψαν οἱ ἐξηγηταὶ τὴν τοῦ ἀποκλείζεται ἐξήγηcιν, ἔνιοι μὲν ʽἀποκλείζεταιʼ γράψαντεc, ἔνιοι δὲ ʽἀποκλείεταιʼ, τινὲc δὲ ʽἀποπαγιώcεταιʼ τὴν τρίτην cυλλαβὴν τοῦ ἀποπαγιώcεται ῥήματοc διὰ τοῦ ω̅ προενεγκάμενοι, τινὲc δὲ διὰ τοῦ η̅ καὶ c̅, καθάπερ ὁ Διοcκορίδηc ἀπὸ τοῦ ʽπαγή-

28 *sqq. cf. Littré, Œuvres d'Hipp. VI 57 n. 12*

1 καὶ *om.* L τῶν *addidi* ἀγγείων LR^2: *om.* VR 3 ἀποστομωθῇ R: *corr.* R^2 τι *om.* V 4. 5 ἰcχύc ἐcτι L 6 αὐτῶν L *et* (*post* ἡμῶν) R^2: *om.* VR ἔξωθεν] θ *in ras.* V^1 13 καὶ VR: τε καὶ L 17 ἀποπέμπει *(sic) post* κακὸν *transp.* L 18 λέγεται] γίνεται L: γίγνεται, *ut solent,* VR: *e v. 22 correxi* μόριον VR: μόνον L 20. 21 ἀληθέcτερον ἢ ψεῦδοc VR: *recte* LR^2 21 περὶ *(alt.) om.* L 22 ἁπαcῶν *supr. scr.* R περὶ *om.* L 23 cυγκεχυμένην] κ *in ras.* V^1 26 ἀπὸ *supr. scr.* R 27 ἔλθοι VR 28 ἀποκλείζεται LR^2: ἀποικίζεται VR ῥᾳδίωc L ἀδιαφόρωc L 29 τοῦ LR^2: *om.* VR ἀποκλείζεται *(prius)* LR^2: ἀποκλείζηται VR μὲν LR: δὲ V ἀποκλείζεται *(alt.)* LR^2: ἀποκλείζηται VR: ἀποκληΐζεται *Littré* 30 γράφοντεc L ἀποπαγιώcεται] *hic et v. 31* παγιώcεται *Diels*: ἀναλώcεται *Littré* 31 προcενεγκάμενοι VR 32 διοcκορίδηc L: διοcκουρίδηc VR ἀπὸ τοῦ παγήcεcθαί LR^2: ἀποπαγήcεcθαί VR *ut Cornarius*: ἀποπαλήcεται *Littré*

ϲεϲθαί’ φηϲιν ἀντὶ τοῦ ‘ἀποκρούεϲθαι’ εἰρῆϲθαι τοῦτο τὸ ῥῆμα. ἀλλ’ εἴπερ ἀπὸ τῶν ἀϲθενεϲτέρων μορίων ἐπί τι τῶν ἰϲχυροτέρων ἀφικνούμενοϲ ὁ λυπῶν χυμὸϲ ἀποκρουϲθείη, πάλιν ὑπ’ αὐτοῦ πλέον ⟨ἂν⟩ οὐδὲν οὕτω γε τῷ κάμνοντι γένοιτο. βέλτιον οὖν γράφειν τὴν λέξιν ὧδί πωϲ· ‘ἀπὸ γὰρ τῆϲ ἰϲχύοϲ ἀναλώϲεται τὰ ἐπιρρέοντα,’ τουτέϲτιν ἀναλωθήϲεται πεττόμενά τε καὶ διαφορούμενα. τινὲϲ δὲ τὰ κυριώτατα μόριά φαϲιν εἰρῆϲθαι νῦν ἰϲχυρότατα ψευδῆ ποιοῦντεϲ τὸν λόγον· ἀπὸ γὰρ τῶν κυριωτέρων μορίων εἰϲ ἀκυρότερα μεθίϲταϲθαι τοὺϲ λυποῦνταϲ χυμούϲ, οὐκ ἀπὸ τῶν ἀκυροτέρων εἰϲ τὰ κυριώτερα βέλτιόν ἐϲτι. πολλάκιϲ δ’ ἤδη τεθεάμεθα, τῶν ἐπὶ τὰ κῶλα φερομένων χυμῶν ἐν ἀρθρίτιϲί τε καὶ | ποδάγραιϲ ἀποκρουϲθέντων ἐκεῖθεν, εἶτ’ ἐπί τι κύριον 130 ⟨μόριον⟩ ἐλθόντων, ἀποθανόντα τὸν ἄνθρωπον εἶναί τε μίαν ἐλπίδα ϲωτηρίαϲ, ἐὰν δυνηθῶμεν αὖθιϲ ἐπὶ τὸ κῶλον αὐτοὺϲ ἀντιϲπάϲαι.

II 6 [11. VI 58, 1—60, 11 L.] Αἱ παχύταται τῶν φλεβῶν ὧδε πεφύκαϲι· τέϲϲαρα ζεύγεά ἐϲτιν ἐν τῷ ϲώματι, καὶ ἓν μὲν δὴ αὐτέων ἀπὸ τῆϲ κεφαλῆϲ ὄπιϲθεν διὰ τοῦ αὐχένοϲ ἔξω παρὰ τὴν ῥάχιν ἔνθεν τε καὶ ἔνθεν εἰϲ τὰ ἰϲχία ἀφικνέεται καὶ εἰϲ τὰ ϲκέλεα, ἔπειτα διὰ τῶν κνημέων ἔωϲ τῶν ϲφυρῶν τὰ ἔξω καὶ εἰϲ τοὺϲ πόδαϲ διήκει· δεῖ οὖν τὰϲ φλεβοτομίαϲ τὰϲ ἀπὸ τῶν ἀλγημάτων τῶν ἐν τῷ νώτῳ καὶ τοῖϲ ἰϲχίοιϲ ἀπὸ τῶν ἰγνύων ποιέεϲθαι καὶ ἀπὸ τῶν ϲφυρῶν ἔξωθεν. αἱ δὲ ἕτεραι φλέβεϲ ἔχουϲαι τὴν ἀρχὴν ἀπὸ τῆϲ κεφαλῆϲ παρὰ τὰ οὔατα διὰ τοῦ αὐχένοϲ, αἱ ϲφαγίτιδεϲ καλεόμεναι, ἔϲωθεν ἀπὸ τῆϲ κοίληϲ παρὰ τὴν ῥάχιν ἑκατέρωθεν φέρουϲι παρὰ τὰϲ ψόαϲ καὶ ἐϲ τοὺϲ ὄρχιαϲ | καὶ ἐϲ τοὺϲ μηροὺϲ καὶ διὰ τῶν ἰγνύων 131 ἐκ τοῦ ἔϲωθεν μέρεοϲ, ἔπειτα διὰ τῶν κνημέων ἐπὶ τὰ ϲφυρὰ τὰ ἔϲωθεν καὶ εἰϲ τοὺϲ πόδαϲ· δεῖ οὖν τὰϲ φλεβοτομίαϲ ποιέεϲθαι πρὸϲ τὰϲ ὀδύναϲ τὰϲ ἀπὸ τῶν ψοῶν καὶ τῶν ὄρχεων ἀπὸ τῶν ἰγνύων καὶ ἀπὸ τῶν ϲφυρῶν ἔϲωθεν. αἱ δὲ τρίται φλέβεϲ ἐκ τῶν κροτάφων διὰ τοῦ αὐχένοϲ ὑπὸ τὰϲ ὠμοπλάταϲ, ἔπειτα ϲυμφέρονται ἐπὶ τὸν πνεύμονα καὶ ἀφικνέονται ἡ μὲν ἐκ τῶν δεξιῶν εἰϲ τὰ ἀριϲτερά, ἡ δὲ ἐκ τῶν ἀριϲτερῶν εἰϲ τὰ δεξιά, καὶ ἡ μὲν δεξιὴ ἀφικνέεται ἐκ τοῦ πνεύμονοϲ

3 ἂν *add. Diels* 4 ὧδέ VR 6 τε *om.* L τὰ *supr. scr.* R κυριώτερα L 7 ἰϲχυρότερα L 8 κυριωτέρων VR: κυρίων L ἀκυρώτερα L 9 ἀκυροτάτων VR κυριώτατα VR 11 ἐκεῖϲθεν *(sic)* R 12 μόριον *addidi: ‘principem aliquam partem’ iam Rasarius* 13 ϲωτηρίαν R: *corr.* R² αὐτὰϲ, *sed supr. scr.* οὺϲ R: ὰϲ *del.* R² ἀντιϲπᾶϲθαι V 14 παχύτητεϲ VR 15 τέϲϲαρα ... κοιλίαϲ *(p. 68, 14) non exar.* R 16 ἀπὸ τῆϲ κεφαλῆϲ αὐτέων τὸ ἐξόπιϲθεν V 17 ἀφικνεῖται V 18 καὶ ἕωϲ L 20 *post* καὶ *add.* ἐν V ἰϲχύοιϲ V 21 ποιεῖϲθαι V 22 ἔχουϲι V παρὰ] ἐπὶ V οὖα, τὰ *(sic)* V 23 καλούμεναι V 24 κοιλίαϲ περὶ V φέρουϲαι V 25 ἐϲ *(prius)*] περὶ V: *om.* L: *corr. ex Hipp. Aldina;* πρὸϲ *infra p. 71, 14 in paraphrasi Galenus* ἐϲ *ante* τοὺϲ μηροὺϲ *om.* L 26 ἔξωθεν *hic et v. 27. 29* V 27 ποιεῖϲθαι V 30 ἐκ L: ἀπὸ V ὑπὸ] ὑ *e corr.* V¹ 31 ξυμφέρονται V πνεύμονα] ύμονα *in ras.* V¹ 33 εἰϲ L: ἐπὶ V

ὑπὸ τὸν μαζὸν καὶ ἐς τὸν σπλῆνα καὶ ἐς τὸν νεφρόν, ἡ δὲ ἀπὸ τῶν ἀριστερῶν εἰς τὰ δεξιὰ διὰ τοῦ πνεύμονος ὑπὸ τὸν μαζὸν καὶ ἐς τὸ ἧπαρ καὶ ἐς τὸν νεφρόν, τελευτῶσι δὲ ἐς τὸν ἀρχὸν αὗται ἀμφότεραι. αἱ δὲ τέταρται ἀπὸ τοῦ ἔμπροσθεν τῆς κεφαλῆς καὶ τῶν ὀφθαλμῶν ὑπὸ τὸν αὐχένα καὶ ὑπὸ τὰς κληῖδας, ἔπειτα δὲ ἀπὸ τῶν βραχιόνων ἄνωθεν εἰς τὰς συγκαμπάς, ἔπειτα διὰ τῶν πήχεων εἰς τοὺς καρποὺς καὶ τοὺς δακτύλους, ἔπειτα δὲ ἀπὸ τῶν δακτύλων πάλιν διὰ τῶν χειρῶν καὶ τῶν πήχεων ἄνω ἐς τὰς συγκαμπὰς καὶ διὰ τῶν βρα-
132 χιόνων τοῦ κάτω|θεν μέρεος εἰς τὰς μασχάλας καὶ ἀπὸ τῶν πλευρῶν ἄνωθεν ἡ μὲν εἰς τὸν σπλῆνα ἀφικνέεται, ἡ δὲ εἰς τὸ ἧπαρ, ἔπειτα ὑπὲρ τῆς γαστρὸς ἐς τὸ αἰδοῖον τελευτῶσιν ἀμφότεραι. καὶ αἱ μὲν παχεῖαι τῶν φλεβῶν ὧδε ἔχουσιν· εἰσὶ δὲ καὶ ἀπὸ τῆς κοιλίας φλέβες ἀνὰ τὸ σῶμα πάμπολλαί τε καὶ παντοῖαι, δι᾽ ὧν τῷ σώματι τροφαὶ ἔρχονται.

Τῶν κατὰ τὰς τέχνας ἀμφισβητουμένων ἔνια μὲν αἴσθησις, ἔνια δὲ ἀπόδειξις κρίνει. τὰ μὲν οὖν αἰσθήσει κρινόμενα τῆς κρινούσης αἰσθήσεως ἐρρωμένης δεῖται, τὰ δ᾽ ἀποδείξει τοῦ λογισμοῦ γεγυμνασμένου. περὶ μὲν οὖν τῆς τῶν σιτίων πέψεως τῆς ἐν γαστρὶ καὶ τῆς μετὰ ταύτην τῶν χυμῶν γενέσεως ἀναδόσεώς τε καὶ θρέψεως ὅσα τ᾽ ἄλλα τοιαῦτα λογισμοῦ δεόμεθα τοῦ κρίνοντος τὰς εἰρημένας ὑπὸ τῶν παλαιῶν δόξας· εἰ δὲ τέτταρας ἔχει κοιλίας τὰ μηρυκάζοντα ζῷα, τὰ δ᾽ ἀμφόδοντα μίαν, αἰσθήσεως, οὐκ ἀποδείξεως χρεία. ἔμπαλιν οὖν ἔχει τὸν
133 ἔλεγχον | τῶν ψευδομένων τά τε αἰσθήσει κρινόμενα καὶ τὰ τῷ λογισμῷ· τὰ μὲν γὰρ αἰσθήσει κρινόμενα τοῖς διαλεγομένοις πρὸς ἀλλήλους ἑτοιμοτάτην φέρει τὴν κρίσιν ἐπὶ τὸ φαινόμενον ἐν ταῖς ἀνατομαῖς ἀφικνουμένοις, τὰ δ᾽ ἀποδείξει καὶ χωρὶς ἀνατομῆς κρίνεσθαι δύναται γραφομένης τῆς ἀποδείξεως. ἐὰν οὖν τις ἀναγκάζηται διὰ γραμμάτων ἀντιλέγειν τοῖς ἀναισχυντότατά τε καὶ ἀμαθέστατα τολμήσασιν ἀποφήνασθαι περί τινος ἀνατομικοῦ θεωρήματος αἰσθήσει τὴν κρίσιν ἔχοντος, οἱ μὴ γινώσκοντες τὸ φαινόμενον ἐν ταῖς ἀνατομαῖς ἀδυνατοῦσι διακρίνειν ἀπὸ τῶν ἀληθευόντων τοὺς ψευδομένους. ὥσπερ γάρ, ἐάν τις λέγῃ Κρήτην οὐκ εἶναι νῆσον, ὑπὸ πάντων τῶν ἀκουόντων καταγινώσκεται, διότι γινώσκουσιν αὐτὴν εἶναι νῆσον, οὕτως ἐάν τις λέγῃ τέσ-

14 κοιλίας] *cf. Fredrich, Hippokr. Unters. 1899 p. 22 adn.*

1 ἡ *om.* V 1. 2 δὲ ἀπὸ L: ἐκ δὲ V 2 εἰς L: ἐπὶ V διὰ *om.* V 6 τὰς] ἀς *in ras.* L συγκαμπάς] συγ *in ras.* L: συγκοπὰς V 7 ἔπειτα . . . συγκαμπὰς *(9) om.* L 9 συγκοπὰς V: *ex* L *qui recte supra v. 6. 7 correxi* 11 ἀφικνεῖται V 12 εἰς V 14 κοιλίας V: *'deren Ursprung vom Bauche ist'* H: κοίλης L; *cf. infra p. 74, 16* ἀνὰ τὸ σῶμα *om.* L 15 σώματι LV: σωκράτει R ἔρχονται τροφαὶ V 17 αἰσθήσει *om.* L 22 μηρυκάζοντα L: μηρικάζοντα R²: μυρικάζοντα VR τά τ᾽ἀμφώδοντα L 24 τε *om.* R: *add.* R² τὰ LR: τὸ V 27 κρίνασθαι R 29 τε LR²: *om.* VR 30 ἔχοντος LR²: ἔχοντα VR 33 τῶν *om.* V

caρac μὲν ἔχειν τὰc κοιλίαc τοὺc κύναc, μίαν δὲ τὰ μηρυκάζοντα, καταγελᾶται πρὸc τῶν ἑωρακότων ἐν μὲν τοῖc μηρυκάζουcι τέτταραc, ἐν δὲ τοῖc κυcὶ μίαν. ταὐτὸν δὴ τοῦτο καὶ περὶ τῆc τῶν φλεβῶν ἀνατομῆc ἐcτιν· | οὐ γὰρ ἀποδείξεωc ἡ κρίcιc, ἀλλ' αἰcθήcεωc δεῖται. μέχρι **134** δ' ἂν οἱ διαφωνοῦντεc ἐν τοῖc ἰδίοιc χαρτίοιc γράφωcιν, ἅπερ ἂν ἐθέλωcιν, ἄδηλόc ἐcτιν ἡ ἀλήθεια τοῖc ἀπείροιc ἀνατομῆc.

εἰc τοιαύτην οὖν ἀφιγμένοι διαφωνίαν ἡμεῖc ἐν τῷ παρόντι λόγῳ πρὸc τοὺc τολμήcανταc εἰπεῖν ἀπὸ τῆc κεφαλῆc εἰc τὸ cῶμα τέccαρα ζεύγη φλεβῶν κατιέναι τοῖc ἀγνοοῦcι τὰ κατὰ τὰc ἀνατομὰc οὐδεμίαν δυνάμεθα διὰ τῆc γραφῆc ἰcχυρὰν εἰπεῖν ἀπόδειξιν, ὅτι μηδὲ λογικῆc ὅλωc ἀποδείξεωc, ἀλλ' αἰcθήcεωc μόνηc ἐπιcτημονικῆc ἡ κρίcιc δεῖται, εἰ μή τιc ἄρα τὰ περὶ κρίcεωc ἱcτορίαc γεγραμμένα καὶ ἄλλοιc μέν τιcιν ἰατροῖc τε καὶ φιλοcόφοιc, οὐχ ἥκιcτα δὲ τοῖc ἐμπειρικοῖc ἐθέλοι προχειριζόμενοc κατὰ ταῦτα ποιεῖcθαι τὴν κρίcιν. ἐγὼ μὲν γὰρ οὐ φεύγω τά τ' ἄλλα τοιαῦτα κριτήρια καὶ τὴν cυμφωνίαν τῶν ἱcτορηcάντων καὶ μάλιcτα, ἂν ἔμπειροι τῆc ἱcτορουμένηc ὕληc ὦcιν, ὥcπερ Εὔδημοc μὲν καὶ Ἡρόφιλοc ἀνατομῆc, Κρατεύαc δὲ καὶ Διοcκορίδηc τῶν μεταλλικῶν φαρμάκων. εἰ | δέ τιc ἐκφεύγει τὴν κρίcιν ταύ- **135** την, οὐ μόνον ὀκτὼ φλέβαc ἀδυνατήcει δεικνύειν ἀπὸ τῆc κεφαλῆc καταφερομέναc, ἀλλ' οὐδὲ τρεῖc ἢ δύο· μία γάρ ἐcτι μόνη μεγίcτη φλέψ, ἣν ‘κοίλην’ ὀνομάζουcι, διὰ τῶν κυρτῶν τοῦ ἥπατοc ἐκτεταμένη κατὰ τὸ τοῦ ζῴου μῆκοc ὁριζουcῶν δηλονότι τῶν φρενῶν τὸ κάτω καὶ τὸ ἄνω τοῦ ζῴου. φέρεται δ' ἡ κοίλη φλὲψ αὕτη διὰ τῶν φρενῶν ἄνω μὲν ἐπὶ τὴν καρδίαν, κάτω δ' ἐπὶ τὴν ῥάχιν κατὰ τὸ κυρτὸν τοῦ ἥπατοc διεξερχομένη, κἄπειθ' οὕτωc ἀπὸ μὲν τῆc ἄνω φερομένηc ἀποφυόμεναι φαίνονται caφῶc ὡc ἀπὸ cτελέχουc αἱ ἄνω τοῦ διαφράγματοc ἅπαcαι φλέβεc, ἀπὸ δὲ τῆc ἐπὶ τὴν ῥάχιν καμπτομένηc αἱ κάτω. καὶ ταῦτα γέγραπται μὲν καὶ ὑφ' Ἱπποκράτουc ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν “ἡπατῖτιν” ὀνομάζοντοc αὐτοῦ τὴν κοίλην φλέβα, γέγραπται δὲ οὕτω καὶ πρὸc ἁπάντων τῶν ἀνατομικῶν. οὐδεὶc δ' ἄλλοc εἶπεν ἰατρὸc ὀκτὼ φλέβαc ἀπὸ ⟨τῆc⟩ κεφαλῆc ἐπὶ τὰ κάτω τοῦ cώ-

7 *sqq. cf. I. Müller, Über die dem Galen zugeschriebene Abhandlung* Περὶ τῆc ἀρίcτηc αἱρέcεωc. *Sitz.-Ber. d. bayr. Ak. d. Wiss. 1898, I p. 143*
11 *cf. I. Müller l. l.* 28 ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν] *II 4, 1 (V 120, 13 L.)*

1 τὰc *om.* L μηρυκάζοντα LV: μηρικάζοντα R 2 μηρυκάζουcι LV: μηρικάζουcι R 3 ταὐτὸ L 7 γοῦν R 10 εἰπεῖν LR²: *om.* VR 12 εἰ δὲ R ἄρα *om.* L 15 τά τ' ἄλλα τοιαῦτα *scripsi*: τά τε τοιαῦτα L: τἄλλα VR: τὰ παλαιὰ R²: τὰ τῶν παλαιῶν *tentaverat Müller* 16 ἔμπειροc R² ὕληc LR²: ὅληc VR ὦcιν] εἶεν *codd.*: *corr. Müller* 17 διοcκορίδηc L: διοcκουρίδηc VR *et e corr.* L 18 μεταλλικῶν LR²: μεταλικῶν VR ἐκφεύγει L: ἐκφύγῃ R: εὐ φεύγῃ *(sic)* V 19 ὀκτὼ LR²: η̅ VR 20 τρεῖc ἢ δύο LR²: γ̅ ἢ β̅ V: τρίτην ἢ δευτέραν R μόνη μεγίcτη *om.* L 21 διὰ δὲ R² μυρτῶν V 23 φρενῶν LR²: νεφρῶν VR 26 ὡc *del.* R² 28 δευτέρῳ] β̅ V 29 ἐπιδημίων L ἡπατίτιν L: ἡπατήτιν R²: ἡπατίτην V: ἁπατήτην R αὐτῆc V 30 δὲ οὕτω καὶ L: δὲ ὧδε καὶ VR: δὲ καὶ ὧδε καὶ R² 31 ἰατρὸc εἶπεν VR ὀκτὼ LR²: η̅ VR τῆc *addidi; cf. v. 8 et p. 70, 16*

136 ματος ἥκειν οὔτε τῶν ἧττον οὔτε τῶν μᾶλλον ἀκριβῶς | ἀνατεμνόντων, οὐ Διοκλῆς, οὐ Πραξαγόρας, οὐκ Ἐρασίστρατος, οὐ Πλειστόνικος, οὐ Φιλότιμος, οὐ Μνησίθεος, οὐ Διεύχης, οὐ Χρύσιππος, οὐκ Ἀριστογένης ἢ Μήδειος ἢ Εὐρυφῶν, οὐκ ἄλλος τις ἰατρὸς τῶν ἀρχαίων. τί ⟨δὲ⟩ δεῖ λέγειν ἔτι περὶ τῶν μετ᾽ αὐτοὺς ἐπὶ πλεῖστον αὐξησάντων τὴν ἀνατομικὴν θεωρίαν, ὡς Ἡρόφιλός τε καὶ Εὔδημος, οἷς εἰς τὴν μέθοδον οὐκέτι οὐδεὶς προσεξεῦρεν οὐδὲν ἄχρι Μαρίνου τε καὶ Νομισιανοῦ, οὐδ᾽ Ἡρακλειανός, ᾧ συνεγενόμην ἐπὶ τῆς Ἀλεξανδρείας οὐκ ἐν παρέργῳ; μαθηταὶ δὲ τῶν ἀνδρῶν τῶνδε πολλοί τε καὶ ἄλλοι, διαπρεπέστατοι δὲ Νομισιανοῦ μὲν ὁ διδάσκαλος ἡμῶν Πέλοψ, Μαρίνου δὲ Κόιντος. ἀλλὰ Κόιντος μὲν οὔτ᾽ ἄλλο τι βιβλίον οὔτ᾽ ἀνατομικὸν ἔγραψε, τῶν δ᾽ ἄλλων ἁπάντων ἀνατομικὰς ἔχομεν οὐκ ὀλίγας βίβλους. ἀλλὰ καὶ τῶν Κοΐντου μαθητῶν ἔστιν ἀνατομικὰ συγγράμματα, καθάπερ τὰ Σατύρου τε τοῦ ἡμετέρου διδασκάλου καὶ Λύκου. τούτων οὖν ἁπάντων καὶ πρὸς τούτοις ἄλλων πολλῶν ἀνατο-
137 μὰς γεγραφότων | οὐδεὶς οἶδε τέσσαρα ζεύγη φλεβῶν ἀπὸ τῆς κεφαλῆς ὁρμᾶσθαι. τοῦτο γὰρ ὅμοιόν ἐστι τῷ λέγειν ὀκτὼ κατὰ τὴν τῶν Ἀθηναίων πόλιν ἀκροπόλεις εἶναι μιᾶς οὔσης μόνης. κατὰ μέν γε τὴν Ῥωμαίων πόλιν ἐγχωρεῖ τινα φάναι τοὺς ᾠκισμένους λόφους ὑπάρχειν ὀκτώ, καθάπερ κἂν ἓξ τις φήσει· παρ᾽ ἕνα γὰρ ἑκάτερος ψεύσεται· εἰ δέ τις ἀντὶ τῶν ἑπτὰ ἕνα εἶναι φήσει τὸν ᾠκισμένον λόφον ἢ ἔμπαλιν Ἀθήνησιν ἀντὶ μιᾶς ἀκροπόλεως ὀκτώ, πολλῷ μᾶλλον ψεύσεται τοῦ παρ᾽ ἕνα τἀληθὲς εἰπόντος. ἀναφερομένης οὖν ἀπὸ τῶν κυρτῶν τοῦ ἥπατος εἰς τὰ τοῦ σώματος ἄνω μιᾶς φλεβός, (ἥ, κἂν ἄνωθεν ἄρξηταί τις ἀνατέμνειν, οὐκ ἀναφέρεσθαι, ἀλλὰ καταφέρεσθαι λεχθήσεται, μία δ᾽ ὡσαύτως φανεῖται), γελοιότατος ἂν εἴη τις ὀκτὼ λέγων ἄνωθεν κάτω φέρεσθαι φλέβας· εἴτε γὰρ ἄνωθεν κάτω βουληθείης λέγειν εἴτ᾽ ἐκ τῶν κάτω μερῶν ἄνω φέρεσθαι τὴν ἡπατῖτιν ἢ κοίλην ὀνομαζομένην φλέβα, μία πάντως ἐστὶν αὕτη διὰ τῶν κυρτῶν τοῦ ἥπατος ἐκτεταμένη.
138 εἰ μὲν οὖν ἑτέρου | τινὸς εὑρέθη βιβλίον ἀνατομὴν ἔχον τοιαύτην, οὐδ᾽

4 Ἀριστογένης] *cf. Sprengel-Rosenbaum, Gesch. der Arzneikunde I⁴ (1846) p. 462 n. 49 et M. Wellmann, Pauly-Wissowas Realenzykl. s. v.* 11. 12 *cf. supra p. 36, 22 sq.*

3 διευχῆς L: διευχὴς R χρήσιππος L 4 ἀριστογένης] ἀντιγένης *codd.*: *corr. Rosenbaum* μήδιος LV 5 δὲ *addidi*: '*quid autem attinet*' *iam Rasarius* ἔτι *om.* L 8 τε *om.* L νομισιανοῦ LR² *et in mg.* R: νουμισιανοῦ V: νουμισίου *in textu* R ἡρακλειανός LR²: ἡρακλεινός VR 10 νομισιανοῦ] μ *in ras.* V¹ 11 μαρίνος R: *corr.* R² 15. 16 ἀνατομὰς] μὰς *in ras.* V¹ 16 γραφόντων L οὐδὲν V τέσσαρα L: δ̄ R: δύο V 17. 18 πόλιν τῶν ἀθηναίων L 18 ἀκροπόλεις . . . πόλιν *(19)* LR²: *om.* VR 19 ᾠκισμένους LR²: ᾠκίμους VR 20 φήσει V: φήσῃ R: φῇ L ἑκάτερος LR²: ἑκάτερον VR 21 τῶν LV: τῷ R ἑπτὰ LR²: ζ̄ VR ἓν VR ᾠκισμὸν R: *corr.* R² 23 τἀληθῆ R διαφερομένης VR 24 εἰς τὰ LR²V: εἰσιν R τοῦ *om.* L: *supr. scr.* L¹ 26 ὀκτὼ LR²: η̄ V: ὁ, *sed in* η̄ *mut.* R 27 βουληθεὶς L 28 ἡπατίτιν LR: ἡπατίτην V ἢ LR²: καὶ VR καλουμένην L 29 ἐστὶν] ἡ, *sed* ἐστὶν *supr. scr. ipse* R αὐτὴ VR 30 εὑρεθῇ R

ἂν ἐποιήcατό τις ὑπὲρ αὐτοῦ λόγον οὐδ᾽ ἀναγνῶναι τὰ κατὰ μέρος ὑπέμεινεν, ἀλλὰ τοῦτο μόνον ἀκούcαc, ὡς ἔcτι τέccαρα ζεύγη φλεβῶν ἐν τῷ cώματι, καταγνοὺς ὡς ἐμπλήκτου τῆς ἐπαγγελίας ἀπεχώρηcεν εὐθέωc· ἐπεὶ δ᾽ εἰς Ἱπποκράτειον cύγγραμμα παρενέθηκέ τις τὸν λόγον, ἀνάγκην ἡμῖν παρέcχεν ἀπολλύναι τὸν χρόνον αὐτόν τε τοῦτον ὃν ἀναλίcκομεν ἐλέγχοντες αὐτὸν ἔτι τε πρὸ τούτου καθ᾽ ὃν ἀναγινώcκομεν τὰ κακῶς ἐγγεγραμμένα.

ἀπὸ τῶν ὄπιcθεν τῆς κεφαλῆς, φηcί, ζεῦγός τι φλεβῶν ὥρμηcε φέρεcθαι διὰ τοῦ αὐχένος, εἶτ᾽ ἐκ τῶν ἔξω μερῶν παρὰ τὴν ῥάχιν ἀφικόμενον ἐπὶ τὰ ἰcχία τοὐντεῦθεν διὰ τῆς κνήμης ἐπὶ τὰ τῶν cφυρῶν ἔξω παραγίνεται. δεύτερον δ᾽ ἄλλο ζεῦγος ἄρχεται μέν, φηcίν, ἐκ τῶν περὶ τὰ ὦτα χωρίων, κατέρχεται δὲ διὰ τοῦ τραχήλου, τῶν cφαγιτίδων ὀνομαζομένων φλεβῶν, εἶθ᾽, ὥcπερ τὸ πρότερον ζεῦγος ἐκ τῶν ἔξω μερῶν παρὰ τὴν ῥάχιν, οὕτως ἐκ τῶν ἔνδον τοῦτο πρός τε τοὺς ὄρχεις καὶ τοὺς μηροὺς ἥκει, κἄπειτα διὰ τῶν ἰγνύων ἐπὶ τὰ τῶν | cφυρῶν ἔνδον ἀφικνεῖται. τίς ἀνάcχοιτο ταῦτα ἀκούων ἡμέρᾳ μιᾷ τεθεαμένος 139 ἀνατομὰς ζῴων; πολλὰ μὲν γάρ ἐcτι καὶ δύcδεικτα θεωρήματα κατὰ τὰς ἀνατομάς, ὑπὲρ ὧν εἰκὸς ἀγνοεῖν τινα τῶν μὴ πάνυ τετριμμένων ἐν τῷ πράγματι, καὶ διὰ τοῦτο διαφωνία γέγονεν ἐπ᾽ αὐτῶν· τὸ δὲ τῆς μεγίcτης φλεβὸς οὕτως ἐcτὶ πρόδηλον, ὡς μήτε τινὰ λαθεῖν δύναcθαι τῶν δυνηθέντων ἐξ ἀνατομῆς τι μαθεῖν, ὡμολόγηταί τε πᾶcιν ἄχρι τοῦ καὶ τοὺς ποιητὰς αὐτοὺς γινώcκειν· Ὅμηρος γοῦν φηcιν·

ἀπὸ δὲ φλέβα πᾶcαν ἔκερcεν,
ἥ τ᾽ ἀνὰ νῶτα θέουcα διαμπερὲς αὐχέν᾽ ἱκάνει.

μίαν οὖν αὐτὴν οἶδεν, ὥcπερ οὖν καὶ ἔcτιν, οὐ τέτταρας, ἔξωθεν μὲν τῆς ῥάχεως δύο, δύο δὲ κατὰ τὸν αὐτὸν τρόπον ἐκείναις παρατεταμένας ἑκατέρωθεν τῇ ῥάχει ἄλλας· ἀλλὰ τὰς μὲν τέτταρας, ὡς ὁ διαπλάcας τὴν ἐνταῦθα γεγραμμένην ἀνατομὴν ἔγραψεν, οὐδὲν ἔχει ζῷον,

8 φηcί] *supra p. 67, 16* 11 φηcίν] *supra p. 67, 21* 23 *Hom.* N *546. 547*

2 τέccαρα ζεύγη LR²: δ̄ ζεύγη (γ *in ras.* V¹) V: διαζεύξη *(sic), sed supra* δια *scr.* δ̄α R 3 ἐμπλήκτου LR²: ἐμπολλάκις V: ἐμπίπτει *et supr. scr.* ἔμπαλιν R ἐπαγγελίας] π *pro alia litt. scr.* R² ἀπεφώρηcεν *et supra* φ *scr.* χ R: φ *del.* R² 4 εἰς *om.* R ἱπποκράτην V: ἱπποκράτους R cυγγράμματα VR 5 ἀπολύναι V: ἀπολύειν R 6 πρὸς VR τούτοις R 8 ὥρμηcται *(sic)* R: *corr.* R² 9 παρὰ LR: περὶ R²V *et in mg.* R 10 ἀφικνούμενον VR δὲ διὰ VR 11 δεύτερον L: β̄ V: ἐπεὶ *et supr. scr.* ἕτερον R δ᾽ *om.* L 12 τῶν cφαγιτίδων . . . φλεβῶν *adnecte ad* ἄλλο ζεῦγος *(11); paraphrasis sequitur lemmatis ordinem* 14 παρὰ L: περὶ VR τε *om.* R: *add.* R² 15 ἥκουcιν L ἔπειτα L 16 τίς οὖν L τεθραμμένος VR 17 ζῴου VR 19 διάφωνα R: *corr.* R² 21 μαθεῖν] μ *in ras.* V¹ ὡμολόγηταί] ὡ *humore evanuerat,* ὁ *suppl. man. recentiss. in* L 23 φλέβα] φλέγμα V 24 αὐχένα V 25 οἶδας R δ̄ V ἔξωθεν . . . ἄλλας *(27) marginarium ideoque delendum putavit Cornarius* 26 δύο, δύο LR: δύο, β̄ V 27 ἑκατέρωθι R ἀλλὰ] ἀ *in ras.* V¹ δ̄ V 27. 28 διαπλάcας VR: διαγράψας L

140 ἀπὸ δὲ τῆς μιᾶς φλεβὸς τῆς μεγίστης ἀποφύσεις γίνονται καθ' | ὅλον τὸ μεταξὺ τῶν τοῦ νωτιαίου περάτων, ὡς Ἱπποκράτης ἔγραψεν ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν, ‘τό τ' ἄνω πρὸς ταῖς κλεισὶ πέρας αὐτῆς καὶ τὸ κάτω πρὸς τῷ ἱερῷ ὀστέῳ’, καὶ τὸ μὲν εἰς τὰς σφαγίτιδας φλέβας σχίζεται, τὸ δ' εἰς τὰς ἐπὶ τὰ σκέλη φερομένας. πῶς οὖν ὁ τοῦτο τὸ δεύτερον ζεῦγος γράψας δύο διαμενούσας τὰς σφαγίτιδας φλέβας οἴεται παρὰ τὴν ῥάχιν ἐκ τῶν ἔνδον μερῶν ἐπὶ τὰ σκέλη φέρεσθαι; πῶς δ' ἐπὶ τὰ τῶν σφυρῶν ἔνδον ἥκειν; μιᾶς γὰρ μόνης φλεβὸς εἰς ἑκάτερον τῶν σκελῶν ἀφικνουμένης, οὐκ ἄλλης μέν τινος αἱ ἔνδον τῶν σφυρῶν, ἄλλης δ' αἱ ἔξωθεν, ἀλλὰ τῆς αὐτῆς εἰσιν ἀποβλαστήματα. ἔτι δὲ τούτων ἐστὶ γελοιότερον τὸ τρίτον ζεῦγος τῶν φλεβῶν, ἃς ἐκ τῶν κροτάφων ὁρμηθείσας φέρεσθαί φησι διὰ τοῦ αὐχένος ὑπὸ τὰς ὠμοπλάτας εἰς τὸν πνεύμονα, κἄπειτ' ἐντεῦθεν ὑπαλλαττούσας τὸ κατ' εὐθὺ τῆς φορᾶς ἐκτρέπεσθαι πρὸς τὰ πλάγια, τὴν μὲν ἐκ τῶν δεξιῶν μερῶν ἐπὶ τὰ ἀριστερὰ μετερχομένην, εἶθ' ὑπὸ τὸν μαζὸν ἐπί τε τὸν σπλῆνα καὶ τὸν ἀριστερὸν ἀφικνουμένην νεφρόν, τὴν δ' ἐκ τῶν ἀριστερῶν μερῶν ἐπὶ ⟨τὰ δεξιά, εἶθ' ὑπὸ τὸν μαζὸν ἐπί τε τὸ ἧπαρ καὶ⟩
141 τὸν δεξιὸν νεφρόν, ἀμφοτέρας δ' αὐτὰς εἰς τὸν | ἀρχὸν τελευτᾶν. ἀλλὰ καὶ ὁ ἀρχός, ὦ βέλτιστε, φαίη ἄν τις εἰκότως πρὸς τὸν ταῦτα γράψαντα, παρὰ τῆς ἐπ' ὀσφύι κοίλης ἀποφύσεις λαμβάνει κατ' ἐκεῖνον τὸν τόπον, ἔνθα καὶ τὰς εἰς ἑκάτερον μέρος ἀποφυομένας τῆς κοίλης ὥσπερ τινὰς κλάδους μεγάλους ἐπὶ τὰ σκέλη φέρεσθαι ⟨συμβαίνει⟩. τῷ δὲ πνεύμονι τίς ἀγνοεῖ μὴ ὅτι τῶν ἰατρῶν, ἀλλὰ καὶ τῶν μαγείρων ἀπὸ καρδίας χορηγούμενον αἷμα διὰ μιᾶς φλεβός; ἧς καρδίας οὐδαμόθι μέμνηται κατὰ τὸν λόγον ὁ τὸ τρίτον ζεῦγος τοῦτο πλάσας· ἀλλ' ἣν ἔνιοι τῶν ἀνατομικῶν ἀνδρῶν ἀρχὴν εἶναί φασιν τῶν καθ' ὅλον τὸ σῶμα φλεβῶν, ταύτην ἡ προκειμένη ῥῆσις οὐδεμίαν οἶδεν ἔχουσαν

2 ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν] *Hipp. Epid. II 4, 1 (V 120, 13—126, 3 L.)* 7 οἴεται] *supra p. 67, 23* 12 φησι] *p. 67, 30*

1 ἀποφύσεις LR^{2}V: ἀποφ' ὕ *(haec tantum)* R 1. 2 ὅλον τὸ L: ὅλων τῶν VR 2 νωτιαίου LR^2: νώτου VR 3 β̄ V ἐπιδημίων L 4 τὸ *(prius) supr. add.* V^1 σφραγίτιδας R: *corr.* R^2 5 τὰς *om.* VR ὁ LR^2: οἱ VR 6 β̄ V γράψαντες R: *corr.* R^2 σφραγίτιδας R: *corr.* R^2 φλέβας *om.* L 7 παρὰ LR^2: *om.* VR 9 *pro* αἱ *ante* ἔνδον *lac. hab.* R 10 αἱ *ante* ἔξωθεν *om.* VR ἔτι VR: ἐπὶ L 12 ὁρμηθήσας R τὰς] τοὺς *codd.*: *corr. Chartier* 15 ὑπὸ VR: ἐπὶ L 16 ἀφικνουμένη V νεφρὸν ἀφικνουμένην L τὴν LR^2: τῇ VR 17 ἐπὶ L: ὑπὸ VR τὰ δεξιὰ . . . καὶ *ex Arabe (cf. etiam p. 68, 2. 3) supplevi: ‘es begibt sich die Ader, die auf der linken Seite war, zu der rechten Seite, danach erstreckt sie sich unter der Brustwarze, bis sie zu der Leber geht und der rechten Niere’* H: *‘sub mammam in iecur et (dextrum renem)’ iam suppleverat Rasarius* 20 παρὰ L: περὶ V: περὶ *et supr. scr.* παρὰ R ἐπ' LVR: ἀπ' *perperam* R^2 21 τόπον LR^2: τρόπον VR ἀποφυομένας] α *sub finem restit.* L^1 22 συμβαίνει *add. Cornarius* 24 καρδίας *(alt.)* L: καρὸς R^2: κάρους V: κάρων *quasi scriptoris nomen esset* R μηδαμόθεν V: οὐ *supr.* μη *scr.* V^1 25 τοῦτο *scripsi*: αὐτὸ R^2: αὐτῷ L: αὐτοῦ V *et, ut vid.,* R ἣν LV^{1}R^2: ἣν δ' VR 26 τῶν *(prius)* LR: καὶ V 27 οἶδεν R^{2}V: οἶδα R: εἶδεν L

φλέβα. καὶ γὰρ οὖν καὶ τὸ τέταρτον ζεῦγος ἄρχεσθαι μὲν ἀπό τε τῶν πρόσω τῆς κεφαλῆς καὶ τῶν ὀφθαλμῶν ἔφησεν, ὑπὸ δὲ τὸν αὐχένα καὶ τὰς κλεῖς ἐνεχθὲν αὐτὰς ἐπιβαίνειν τῷ βραχίονι καθʼ ἑκατέραν δηλονότι χεῖρα μίαν, εἶτʼ ἐκ τῶν ἄνω μερῶν ἐπὶ τοὺς δακτύλους ἐνεχθείσας αὖθις ἀναφέρεσθαι διὰ τῆς ὅλης χειρὸς ἐπὶ τὴν μασχάλην ἐντεῦθέν τε διὰ τῶν πλευρῶν ἰέναι, τὴν μὲν ἑτέραν ἐπὶ τὸ ἧπαρ, τὴν δʼ ἑτέραν ἐπὶ τὸν σπλῆνα, κἄπειτα φερομένας ἀπὸ τῆς | γαστρὸς εἰς τὸ αἰδοῖον 142
ἀμφοτέρας τελευτᾶν, ὥστε οὐδʼ αὗται διδόασί τι τῇ καρδίᾳ μέρος. πῶς οὖν εἰς τέλος ἐπελάθετο τηλικούτου σπλάγχνου τῆς καρδίας ὁ ταῦτα διαπλάττων ὡς καινὸς ὄντως Προμηθεύς; οὐ μὴν οὐδʼ ἐγκεφάλου μνήμην ἐποιήσατο· δῆλον γὰρ ὅτι καὶ οὗτος ἀτιμότερος ἦν τῶν σφυρῶν. ὑπὲρ ἅπασαν δὲ τυφλότητα τὸ κατὰ τοὺς νεφρούς ἐστιν, ἐφʼ οὓς ἀπὸ τῆς κοίλης μέγισται φέρονται φλέβες, ἃς παραλιπὼν ἀναπλάττει τινὰς ἀπὸ τοῦ πνεύμονος ἐπʼ αὐτοὺς φέρεσθαι. δῆλος οὖν ἐστιν ἐξ ἁπάντων οὐχ, ὥσπερ ἔνιοι τῶν ἀνατεμνόντων παρεῖδόν τινα, καὶ αὐτὸς οὗτος παρεωρακώς, ἀλλʼ ὅλως οὐδὲν ἑωρακώς· ὁ γὰρ τὰ μέγιστα μὴ βλέπων οὐ παραβλέπειν, ἀλλʼ ὅλως οὐ βλέπειν ἀληθῶς ἂν λέγοιτο.

ὅτι μὲν οὖν ἐνυπνίοις μεθυόντων ἔοικεν ὁ περὶ τῶν ἀπὸ τῆς κεφαλῆς εἰς ὅλον τὸ σῶμα καταφερομένων φλεβῶν λόγος, οὐδεὶς ἀγνοεῖ τῶν ὅλως ἐπιχειρησάντων τι θεάσασθαι κατὰ τὰς ἀνατομάς. ἄλλας μὲν γάρ τινας μικρὰς παρῶφθαι τοῖς ἀνατομικοῖς εἰκός, οὐ μὴν | ἔγραψέ 143
τις ἄλλην ἄλλως οὐδὲ παρέλιπε τὰ καὶ τοῖς τυφλοῖς, ὡς οἷόν τε, δυνάμενα γενέσθαι γνώριμα τοὺς δακτύλους τῆς χειρὸς ἐπιβάλλουσι. μία γοῦν ἐστι φλέψ, διʼ ἧς ἐξ ἥπατος εἰς ὅλον τὸ σῶμα φέρεται τὸ αἷμα, καθάπερ ἀπὸ στελέχους κλάδων πολλῶν ἀποφυομένων ἀπʼ αὐτῆς φλεβῶν σμικρῶν, αἳ διανέμουσιν αὐτὸ τοῖς τοῦ ζῴου μορίοις ἅπασιν. εἰ μὲν οὖν ποταμῷ παρεικάσαις τὸ κατὰ τὴν κοίλην αἷμα, τὸ δʼ ἀπʼ αὐτῆς φερόμενον εἰς τὰ μόρια τοῦ σώματος ὀχετῷ, οὐδʼ οὕτω ψευσθήσῃ τῆς εἰκόνος. ἀλλʼ εἴτε ποταμῷ προσεοικέναι φαίη τις εἴτε πρέμνῳ τὴν μεγάλην φλέβα, τό γε μίαν αὐτὴν εἶναι πᾶσι τοῖς ἰατροῖς ὡμολόγηται πλὴν τοῦ τολμηρότατα παρεγγράψαντος τῷ βιβλίῳ τούτῳ τὰ τέσσαρα ζεύγη· πρὸς γὰρ αὖ τοῖς ἄλλοις, ὥσπερ τὴν καρδίαν ἀμνημόνευτον εἴασεν, οὕτω καὶ αὐτὴν τὴν κοίλην φλέβα, καίτοι τῶν γε σφαγιτίδων μνημονεύσας, εἰς ἃς αὕτη σχίζεται κατὰ τὸ τοῦ θώρακος ἀνωτέρω. ὅσον

2 ἔφησεν] *p. 68, 4. 5*

1 τε *supr. scr.* L[1] 2 ἔφησαν V 3 ἑτέραν VR 7 ἀπὸ] ὑπὲρ *e p. 68, 12 Cornarius* 8 αὐταὶ L τι *Basileensis*: τε VR: γε L 11 ὅτε V ἀτιμώτερος R[2] 13 κοιλίας R: *corr.* R[2] ἃς VR: οὓς L 14 δῆλος *scripsi*: δῆλον *codd.* 15 οὗτος VR: οὕτω L 18 ὅτε VR μὴν V οὖν LR[2]: *om.* VR 21 τινας μικρὰς *om.* L 22 ἄλλην ἄλλως R[2]V: ἀλληνάλλως R: ἀλληνάλως *(sic)* L ὡς οἷόν τε *om.* VR 23 γνώρισμα R: *corr.* R[2] 26 αἵδε ἀνέμουσιν *(sic), sed ipse corr.* R 27 παρεικάσαις LR[2]: *om.* VR τὸ *(alt.)* L *et supr. scr. ipse* R: τῷ VR 27. 28 αὐτοῦ L 30 αὐτὴν *bis* R: *alt. del.* R *et* R[2] 31 τοῦ L: τοῦτο VR τολμηρότητα V παρεγγράψαντος L: παραγράψαντος R[2]V: γράψαντος R δ̅ V 32 ζεῦγα, *sed ipse corr.* R 34 μνημονεύσας *om.* L θώρακος . . . ῥάχεως *(74, 1)* LR[2]: *om.* VR

γάρ ἐστι μεταξὺ τούτου τε τοῦ χωρίου καὶ τοῦ τῆς ῥάχεως πέρατος,
144 ἡ μεγάλη φλὲψ αὐτὸ κατείληφεν ἀποφύουσα φλέ|βας ἑκατέρωθεν. σχίζεται δὲ διχῇ καθ᾽ ἑκάτερον τῶν περάτων καὶ τῶν μορίων αὐτῆς· ἄνω μὲν γὰρ διὰ τοῦ τραχήλου φέρονται μέγισται φλέβες, αἳ σφαγίτιδες ὀνομάζονται, κάτω δὲ ἐφ᾽ ἑκάτερον σκέλος, ὡς εἴρηται, μία μέν, μεγίστη δὲ φλέψ. τῶν δὲ διὰ τοῦ τραχήλου φερομένων, αἳ καλοῦνται σφαγίτιδες, ἐν τῷ δευτέρῳ ζεύγει μνημονεύσας ὁ νέος οὗτος Προμηθεὺς ἄγνοιάν τε καὶ τόλμαν ἐπεδείξατο μεγίστην οὐδαμόθι τῆς κοίλης φλεβός σχιζομένης, ἐξ ἧς αὗται γεννῶνται, μνημονεύσας. ἐχρῆν γάρ, εἴπερ ἑωράκει τι σμικρὸν ἐν ταῖς ἀνατομαῖς, ἐς ταὐτὸν ἀλλήλαις φάναι τὰς σφαγίτιδας ἰούσας μίαν ἀποτελεῖν φλέβα τὴν ἡπατῖτιν ἢ κοίλην ἢ ὅπως ἄν τις ἑτέρως ὀνομάζειν ἐθέλῃ· νυνὶ δ᾽ ὡς δύο μενουσῶν αὐτῶν ὁ λόγος αὐτῷ γέγραπται φάσκοντι διὰ τῶν ἔνδον μερῶν παρὰ τὴν ῥάχιν ἐπὶ τὰ τῶν σφυρῶν ἔσω καταφέρεσθαι.

τί ἂν οὖν ἔτι μνημονεύσοι τις τῶν μετὰ τὰ τέσσαρα ζεύγη γεγραμμένων φλεβῶν; ἃς ἀπὸ τῆς κοιλίας ἀναφέρειν εἰς ὅλον τὸ σῶμα τὴν τροφὴν ἡγεῖται, ὥσπερ τῶν εἰρημένων τεσσάρων ζευγῶν ἄλλου τινὸς
145 ἕνεκεν | ὑπὸ τῆς φύσεως γεγονότων, ἀλλ᾽ οὐχὶ μίαν ἁπασῶν φλεβῶν ἐχουσῶν χρείαν κοινήν, ἀναφέρειν ἐξ ἥπατος ἅπασι τοῖς τοῦ ζῴου μέρεσιν αἷμα. τῶν δ᾽ ἐκ τῆς κοιλίας καὶ τῶν ἐντέρων ἀνακομιζουσῶν εἰς ἧπαρ τὸν ἐκ τῶν ἐδεσμάτων χυλὸν οὐδεμία προσωτέρω τοῦ ἥπατος ἀνέρχεται· ἀλλ᾽ οὐδὲ κατὰ πολλοὺς τοῦ ἥπατος τόπους φαίνονται, καίτοι πάμπολλαι τὸν ἀριθμὸν οὖσαι, καθὰ τῇ γαστρὶ καὶ τοῖς ἄλλοις ἐντέροις ὁμιλοῦσιν, ἀλλ᾽ εἰς ἕνα τόπον, ὃν ὀνομάζουσι ʻπύλαςʼ ἥπατος, ἀφικνοῦνται πᾶσαι, τοῦ θεμένου πρώτου ʻπύλαςʼ ὄνομα τῷ χωρίῳ τούτῳ πόλει μὲν ἢ οἰκίᾳ τινὶ μεγάλῃ τὸ ἧπαρ παρεικάσαντος, ἀγροῖς δὲ τά τε ἔντερα καὶ τὴν κοιλίαν, ἐξ ὧν ὥσπερ δι᾽ ὁδῶν τινων πολλῶν, τῶν φλεβῶν, εἰς τὰς πύλας τῆς πόλεως ἢ τῆς οἰκίας κομίζεται τὰ

5 εἴρηται] *p. 69, 20 sqq.* 7 μνημονεύσας] *p. 67, 23* 13 φάσκοντι] *p. 67, 23 sqq.; cf. Gal. p. 72, 5 sqq.* 17 ἡγεῖται] *p. 68, 14*

2 κατείλειφεν L ἀποφυόμενον R: *corr.* R² ἑκατέρωθεν LR²: ἑκατέρωσε VR 3 διχῇ] ῆ *corr. restit.* L¹: διχᾶ VR 5 ἐφ᾽ *om.* L 6 σφαγίτιδες ὀνομάζονται L 7 δευτέρῳ LR²: *spat. trium. litt.* V: τετάρτῳ R 8 τε *om.* VR οὐδαμόθεν V 9 μνημονεύσας ἐξ ἧς αὗται γεννῶνται σχιζομένης L 10 εἰς V 11 σφαγίτιδας] α *(prius) in ras.* V¹ ἡπατίτιν LR²R: ἡπατίτην V *et* (η *supr. scribens*) R 12 ἐθέλῃ *scripsi*: ἐθέλοι L: οι *in ras.* V¹: ἐθέλει R νυνὶ L: νῦν εἰ R: νῦν εἰς V ὡς *om.* L β̄ V 14 *ante* σφυρῶν *hab.* σχ, *sed ipse del.* R 15 μνημονεύσῃ VR τὰ *om.* VR γεγραμμένων VR: φερομένων L 16 κοιλίας (*supr.* ι *ras. et* ί *in ras.* V¹) VR; *cf. supra p. 68, 14 et infra p. 75, 3 et 14*: κοίλης LR² 18 ἕνεκα L 19 ἥπατος LR²V: ἥματος R 21 τὸν L: τε VR προσώτερον V 22 τόπους τοῦ ἥπατος L 23 τὸν LV: τῶν, *sed ipse corr.* R ἀριθμὸν *in ras.* R καθὰ *scripsi*: καθ᾽ ἃ V: καθ᾽ ἃς LR 25 ἀφικνοῦνται δὲ R² πᾶσαι LR²: περὶ V: παρὰ R πρώτου LR²: πρώτας VR 26 πόλει LR²V: πύλῃ, *sed in* πόλι *(sic) mut.* R οἰκείᾳ R τινὶ *supr. scr.* R μεγάλῳ V ἀγροῖς LR²: ἀγρῷ V: ἀγρῶν R 27 δὲ *om.* R: *add.* R² τά τε ἔντερα R²: τά γε ἔντερα VR: τἄντερα L πολλῶν τινων L 28 οἰκείας R κομίζονται L

ϲιτία. ληρεῖ τοίνυν ὁ νέος Προμηθεὺϲ ἐν ᾧ διαπλάττει ζῴῳ κατὰ τὸν ἑαυτοῦ λόγον. οὐ γὰρ δἂν τοῖϲ ἔργοιϲ γε διέπλαϲϲέ τιϲ ζῷον, ἐν ᾧ φλέβεϲ ἐκ τῆϲ κοιλίαϲ καὶ τῶν ἐντέρων εἰϲ ὅλον ἀναφέρουϲι τὸ ϲῶμα τὴν τροφήν· εἰϲ ἕνα γὰρ ἀφικνοῦνται τόπον ἅπαϲαι, τὰϲ πύλαϲ τοῦ ἥπατοϲ, ἐντεῦθέν | τε πάλιν αἱ κατὰ τὸ ϲπλάγχνον ὑποδεχόμεναι φλέβεϲ **146** τὴν ἀνενεχθεῖϲαν τροφὴν εἰϲ τὴν κοίλην φλέβα παράγουϲιν, ἐξ ἧϲ, ὡϲ ἔφην ὀλίγον ἔμπροϲθεν, εἰϲ ὅλον τὸ ϲῶμα διανέμεται τὸ αἷμα.

II 7 [11. VI 60, 11—14 L.] Φέρουϲι δὲ καὶ ἀπὸ τῶν παχεῶν φλεβῶν εἰϲ τὴν κοιλίην καὶ εἰϲ τὸ ἄλλο ϲῶμα καὶ ἀπὸ τῶν ἐξωτάτω καὶ ἀπὸ τῶν εἴϲω, καὶ εἰϲ ἀλλήλαϲ διδόαϲιν αἵ τε εἴϲωθεν ἔξω καὶ αἱ ἔξωθεν εἴϲω.

Ἤρκει μὲν τῷ νέῳ Προμηθεῖ τὰ τέϲϲαρα ζεύγη τῶν φλεβῶν, οὐ μὴν ἠρκέϲθη γε αὐτόϲ, ἀλλ᾽ ὑπ᾽ ἀπληϲτίαϲ ἠϲχημόνηϲε προϲθεὶϲ αὐτοῖϲ τὰϲ ἐκ τῆϲ κοιλίαϲ ἀναφερούϲαϲ τὴν τροφὴν εἰϲ τὸ ϲῶμα. νυνὶ δ᾽ αὖθιϲ ἐπήνεγκε τῷ λόγῳ τὸν κολοφῶνα περὶ τῆϲ κοινωνίαϲ τῶν φλεβῶν εἰπὼν οὐδὲν ἀληθέϲ· οὐδεμία γὰρ τῶν ἀπὸ τῆϲ κοίληϲ ἀποπεφυκυιῶν φλεβῶν, ἃϲ παχείαϲ ὠνόμαϲεν, εἰϲ ἕτερα ζεύγη διανενεμη|μένη εἰϲ κοιλίαν **147** ἢ ἔντερα φαίνεται καταπεφυκυῖα. καθάπερ δ᾽ οὖν ἐπὶ τῆϲ νῦν εἰρημένηϲ ἀνατομῆϲ οὐδὲν ὅλωϲ οὐδ᾽ ἄχρι ῥήματοϲ ἑνὸϲ ἀληθὲϲ εἶπεν ὁ πλάϲτηϲ αὐτῶν, οὕτωϲ ἐπὶ τῆϲ κατὰ τὸ δεύτερον τῶν Ἐπιδημιῶν οὐδὲν ὅλωϲ ὁ Ἱπποκράτηϲ ἐψεύϲατο. παραφρονοῦϲιν οὖν ὅϲοι οὐδ᾽ ὄναρ ἀνατομῆϲ ἁψάμενοι τῶν Ἱπποκράτουϲ βιβλίων ἐξηγήϲειϲ ἐπιχειροῦϲι ποιεῖϲθαι, καὶ μάλιϲτ᾽ αὐτῶν οἱ καλοῦντεϲ ἑαυτοὺϲ Ἱπποκρατείουϲ, ἑνὸϲ ἀνδρὸϲ ἡγούμενοι καὶ τοῦτον εἶναι τὸν λῆρον ἅπαντα τῆϲ τῶν φλεβῶν ἀνατομῆϲ καὶ τὴν ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν ἀκρίβειαν· εἰ μὲν γὰρ ἐπεξεύρηταί τι κατὰ τὸ ἕτερον αὐτῶν, ἐγχωρεῖ

7 ἔφην] *p. 73, 23. 24* 12 τὰ τέϲϲαρα ζεύγη] *supra p. 67, 15 sqq.* 13 προϲθεὶϲ] *supra p. 68, 13 sqq.* 17 παχείαϲ] *p. 67, 14 et hoc lemmate v. 8* 20 κατὰ τὸ δεύτερον τῶν Ἐπιδημιῶν] *Hipp. Epid. II 4, 1 (V 120, 13 L.)* 25 ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν] *cf. ad v. 20*

1 ϲίτα *(sic)* V ληροῖ VR 2 δἂν (*i. e.* δὴ ἂν) *scripsi*: δὴ *codd.* γε *om.* L διέπλαϲέ R 3 ἀναφέρει V 6 ἐνεχθεῖϲαν V: *corr.* V^1 κοιλίαν R: *corr.* R^2 7 ὡϲ *om.* L διανείμεται R 8 παχεῶν *scripsi cum nonnullis Hipp. codd.*: παχέων LVR 9 κοιλίην L: κοίλην VR καὶ εἰϲ . . . διδόαϲιν *(10) non exar.* R εἰϲ V: *om.* L 10 καὶ ἀπὸ τῶν εἴϲω L: ἐϲ τὸ (*utrumque in ras.* V^1) ἔϲω V καὶ *(alt.) om.* L: *add.* L^1 12 *post* ἤρκει μὲν *addiderim* οἶμαι, *cui opponatur* αὐτὸϲ *v. 13* δ̄ V 14 κοιλίαϲ LR^2 *(cf. supra p. 68, 14. 74, 16. 75, 3)*: κοίληϲ VR φερούϲαϲ R^2 16 οὐδὲν *om.* VR ἀληθέϲ LR^2: ἀληθῶϲ VR 17 διανεμημένη *(sic)* V: διανεμομένη L 18 ἢ VR: εἰϲ *in ras.* L^1 δ᾽ οὖν *scripsi*: γοῦν LR^2: γὰρ VR 19 ἀνατομῶν, *sed supr. scr.* ῆϲ R 20 καὶ οὕτωϲ L β̄ V ἐπιδημίων L 21 ἐψεύϲατο *in ras.* L^1 22 ἀνατομῶν R: *corr.* R^2 ἐξηγήϲει L 23 ἱπποκρατείουϲ LR^2: ἱπποκράτουϲ VR 24 τοῦτο V 25 δευτέρῳ τῶν RL^1: β̄ τῶν V: δευτέρων L ἐπιδημίων L 26 γὰρ ἐπεξεύρηταί] ἀρ ἐπ *in ras.* L^1

τὸν αὐτὸν ἄνδρα τοῦ χρόνου προϊόντος ἑαυτοῦ βελτίονα γενόμενον ἐφ᾽ οἷς ἔμπροσθεν εἰρήκει καλῶς ἕτερα προσθεῖναι· ἐπεὶ δὲ ὁ μὲν Ἱπποκράτης αὐτὸς ἀκριβῶς φαίνεται γράψας οὐ μόνον τὰ σαφῶς ὁρώμενα πᾶσιν, ἀλλὰ καὶ τὰ δυσθεώρητα, μὴ βλέπων δὲ ὁ τὴν ἐνθάδε συνθεὶς ἀνατομὴν ἃ καὶ ψηλαφῶν ἄν τις εὕροι, πῶς ἐγχωρεῖ φάναι
148 τὸν αὐτὸν ἀμφότερα γεγραφέναι; | κατὰ τί δ᾽ εὔλογον ὅλον ἀναπληρώσας τὸν περὶ τῶν στοιχείων τοῦ ἀνθρώπου λόγον ἐφεξῆς αὐτῷ συνῆψε τὸν περὶ τῶν φλεβῶν; ἢ γὰρ πᾶσαν ἐχρῆν τὴν ἀνατομὴν γράφειν ἢ μηδὲ τὴν περὶ τῶν φλεβῶν. ὑποτυπώσεσι μὲν γάρ, ἃς ἑαυτοῖς ἀναμνήσεως ἕνεκα γράφομεν, οἰκεῖον ἔστιν ὅτε τοιαύτη ποικιλία θεωρημάτων γίνεται, συγγράμματι δὲ οὐδαμῶς ἐστιν οἰκεῖον ἐπιπεπληρωμένῃ τῇ προτέρᾳ διδασκαλίᾳ μόριόν τι τῆς δευτέρας προσγράψαι, κἄπειτα τοῦτο καταλιπόντα μικρὸν ὕστερον ἄλλο τι γράφειν, εἶτ᾽ αὖθις ἄλλο, καθάπερ ἐν τούτοις τοῖς ὑποκειμένοις ἐν τῷ Περὶ φύσεως ἀνθρώπου.

II 8 [11. VI 60, 14—15 L.] Τὰς οὖν φλεβοτομίας χρὴ ποιεῖσθαι κατὰ τούτους τοὺς λόγους.

149 Οὓς αὐτὸς προείρηκε δηλονότι τῷ μὲν πρώτῳ ζεύγει | τῶν φλεβῶν ἐν τῇ τελευτῇ προσθεὶς κατὰ λέξιν ταυτί· "δεῖ οὖν τὰς φλεβοτομίας τὰς ἀπὸ τῶν ἀλγημάτων τῶν ἐν τῷ νώτῳ καὶ ἐν τοῖς ἰσχίοισιν ἀπὸ τῶν ἰγνύων ποιέεσθαι καὶ ἀπὸ τῶν σφυρῶν ἔξωθεν", τῷ δὲ δευτέρῳ ζεύγει ταυτὶ προσγράψας· "δεῖ οὖν τὰς φλεβοτομίας ποιέεσθαι πρὸς τὰς ὀδύνας τὰς ἀπὸ τῶν ψοῶν καὶ τῶν ὄρχεων ἀπὸ τῶν ἰγνύων καὶ ἀπὸ τῶν σφυρῶν ἔσωθεν." ἐπὶ δὲ τοῦ τρίτου καὶ τετάρτου ζεύγους οὐδὲν προσέθηκε περὶ φλεβοτομίας, ὥστε καὶ κατ᾽ αὐτὰ τὸν λόγον ἐλλιπῆ πεποίηκε πολλὰ μόρια τοῦ σώματος παραλιπών, ἐφ᾽ ὧν ἐχρῆν εἰρηκέναι τὰς τμηθησομένας φλέβας. ἀλλὰ ὥσπερ τῆς ὅλης ἀνατομῆς βραχύ τι μόριον ἀποσπάσας ἔγραψεν, οὕτως καὶ τοὺς περὶ τὰς φλεβοτομίας λόγους.

18 προσθεὶς κατὰ λέξιν] *p. 67, 19—21* 21 προσγράψας] *p. 67, 27—29*

1 ἑαυτοῦ LR^{2}V: ἑαυτὸν R γενόμενον L: γινόμενον VR *et e corr.* L^1 3 μόνα VR 4 δυσθεώρητα LR^2: θεωρήματα VR: *duo puncta suspicionis signum* R δὲ ὁ LR^{2}V: δὲ καὶ R 5 ἃ καὶ *e corr.* L^1 7 αὐτῶν VR 10 τοιαύτη LR^2: τοιαύτην VR ποικιλία LR^2: λία *humore paene exstincta man. rec. rescr.* λά *(sic) in* L: ποικι^λ´ *(sic)* VR 11 συγγράμματι LR^2: συγγράμματα VR ἐπιπληρωμένῃ V: *corr.* V^1 12 προσγράψαι LR^{2}V: προσγράψας L^1: προσγράψει R 13 γράφει R: ν *add.* R^2 14 ὑποκειμένοις LR^2: προκειμένοις VR ἐν LR^{2}V: ὡς ἐν R φύσιος R^2 ἀνθρώπου *in ras.* L 15 χρὴ *om.* VR 16 κατὰ . . . λόγους *om.* V: κατὰ . . . ἔγραψεν *(v. 27) totum locum lemma esse putans non exar.* R: *usque ad* λόγους *(v. 28) suppl.* R^2 17 μὲν γὰρ, *sed* γὰρ *ipse del.* L πρώτῳ LR^2: $\overline{\beta}$ V 19 τὰς ἀπὸ L: ἐπὶ R^{2}V ἐν *(alt.) om.* L ἰσχύοις L 20 $\overline{\beta}$ V 22 ὄρχεων καὶ V 23 σφυρῶν ἔσωθεν *in ras.* L τρίτου LR^2: $\overline{\alpha}$ V: πρώτου *primum* R^2 $\overline{\delta}$ V 24 αὐτὰ LR^2: αὐτὸν V 27 ἄγραψεν V: *corr.* V^1 τὰς *om.* VR 28 λόγος V

II 9 [11. VI 60, 15—19 L.] Ἐπιτηδεύειν δὲ χρὴ τὰς τομὰς ὡς προσωτάτω τέμνειν ἀπὸ τῶν χωρίων, ἔνθα ἂν αἱ ὀδύναι μεμαθήκωσι γίνεσθαι καὶ τὸ αἷμα συλλέγεσθαι. οὕτω γὰρ ἂν ἥκιστα ἥ τε μεταβολὴ | γίνοιτο μεγάλη ἐξαπίνης καὶ τὸ ἔθος 150
μεταστήσαις ἄν, ὥστε μηκέτι εἰς τὸ αὐτὸ χωρίον συλλέγεσθαι.

Ὅτι μὲν τομὰς εἴρηκε τῶν φλεβῶν, ἃς ἐν συνθέτῳ προσηγορίᾳ ‛φλεβοτομίας’ ὀνομάζομεν, ὀρθῶς ἤκουσαν οἱ ἐξηγηταί· καὶ γὰρ ὁμολογοῦσι πάντες τοῦτο· ὅτι δὲ οὐ διωρίσατο, πότερον ὀδυνωμένων ἤδη τῶν μορίων ἀξιοῖ πόρρω τὴν ἀντίσπασιν γίνεσθαι τῶν ἐπιρρεόντων χυμῶν ἢ κατὰ τὸν τῆς ὑγείας χρόνον, ἐν τούτῳ μέμψαιτ᾽ ἄν τις αὐτῷ. ἐμοὶ μὲν οὖν μᾶλλον δοκεῖ ἐπὶ τῶν ὑγιαινόντων εἰρῆσθαι βουλομένου τοῦ γράψαντος ταῦτα προσεθίζειν εἰς ἄλλα μόρια φέρεσθαι τοὺς πλεονάζοντας χυμούς.

II 10 [12. VI 60, 20—62, 21 L.] Ὁκόσοι πῦον πολλὸν πτύουσιν ἄτερ πυρετοῦ ἐόντος καὶ οἷσιν ὑπὸ τὸ οὖρον πῦον ὑφίσταται πολλὸν ἄτερ ὀδύνης ἐοῦσι καὶ ὅσοις αἱματώδεα τὰ ὑποχωρήματα ὥσπερ ἐν τῇσι δυσεντερίῃσι καὶ χρόνιά ἐστιν ἐοῦσι πέντε | καὶ τριάκοντα ἐτέων καὶ γεραιτέροισι, τούτοις 151
πᾶσιν ἀπὸ ταὐτομάτου τὰ νοσήματα γίνεται. ἀνάγκη γὰρ τούτους ταλαιπώρους γίνεσθαι καὶ φιλοπόνους τῷ σώματι καὶ ἐργάτας νεανίσκους ἐόντας, ἔπειτα δ᾽ ἐξανεθέντας τῶν πόνων σαρκωθῆναι μαλθακῇ σαρκὶ καὶ πολὺ διαφερούσῃ τῆς προτέρας καὶ πολλὸν διακεκριμένον ἔχειν τὸ σῶμα τό τε προϋπάρχον καὶ τὸ ἐπιτραφέν, ὥστε μὴ ὁμολογεῖν. ὅταν οὖν νόσημά τι καταλάβῃ τοὺς οὕτω διακειμένους, τότε μὲν παραχρῆμα διαφεύγουσιν, ὕστερον δὲ μετὰ τὴν νόσον χρόνῳ τήκεται τὸ σῶμα καὶ ῥέει διὰ τῶν φλεβῶν, ᾗ ἂν εὐρυχωρίης μάλιστα τύχῃ, ἰχωροειδές. ἢν μὲν οὖν ὁρμήσῃ ἐπὶ τὴν κοιλίην τὴν κάτω, σχεδόν τι, οἷόνπερ ἐν τῷ σώματι ἐνῇ, τοιοῦτον καὶ τὸ διαχώρημα γίνεται· ἅτε γὰρ τῆς ὁδοῦ κατάντεος ἐούσης οὐχ ἵσταται πολὺν χρόνον ἐν τῷ ἐντέρῳ. ὅσοισι δ᾽ ἂν ἐς τὸ στῆθος ἐσρυῇ, ὑπόπυον γίνεται· ἅτε γὰρ τῆς καθάρσιος ἀνάντεος

1 δὲ *om.* L 2 πορρωτάτω, *sed supra* πορρω *scr.* προσω L: πρὸς τὸ VR χώρων V 3 μεμαθήκεσαν *codd.*: μεμαθητικῶσι *(sic) vel* μεμαθήκασι *Hipp.*: *recte Hipp. de oss. nat. 9 (IX 176, 21 L.)* ξυλλέγεσθαι *hic* L: ἐκλλέγεσθαι *(sic) et supra* ἐκ *scr.* cυ R 5 ἂν L: καὶ V: *om.* R 6 ἐν *recte; cf. Gal. VII 643 K.* 7 φλεβοτομίαν V 7. 8 ὁμολογεῖται πᾶσι L 8 ὠδυνωμένων V δὴ *codd.*: *corr. Cornarius* 11 μὲν L: δ᾽ VR μᾶλλον *ante* ἐπὶ *transp.* VR δοκεῖ LR: δ᾽ ὁ V 14 πῦον] ῦον *in ras.* R πολὸν *hic et 16. 23. 31 et p. 77, 1* V 15 ἐόντες R καὶ ... ἄνω *(78, 5) non exar.* R οἷς V 16 ὅσοις V: οἷσιν L 18 ἐοῦσιν ε̄ καὶ λ̄ ἔτεσι V 19 γίνονται V 21 ἐξαναθέντας V 22 μαλακῇ L 23 ἔχον L ὑπάρχον V 26 μετὰ τὴν νόσον *om.* L 27 εὐρυχωρίη L τύχοι *codd.*: *corr. ex Hipp. Aldina* 28 ἰχωροειδές L: τὸ χωροειδὲς V ἐπὶ L: ἐς V κοιλίαν V 29 οἷόνπερ] περ *praecedente spatio 3 litt.* V 30 οὔσης V 31 ἵσταται L: ἥκιστα V εἰς V 32 εἰσρυῇ V καθάρσιος] καθα *in ras.* V^{1}: καθάρσεος (cε *restit. man. rec.*) L

ἐούσης καὶ χρόνον ἐναυλιζόμενον πολὺν ἐν τῷ στήθει κατα-
152 σήπεται καὶ γίνεται πυοειδές. | οἷσι δ᾽ ἂν ἐς τὴν κύστιν ἐξ-
ερεύγηται, ὑπὸ τῆς θερμότητος τούτου τοῦ χωρίου λευκὸν γίνεται καὶ διακρίνεται, καὶ τὸ μὲν ἀραιότατον ἐφίσταται ἄνω, τὸ δὲ παχύτατον κάτω, ὃ δὴ πῦον καλεῖται.

Τὰ μὲν εἰρημένα κατὰ τὴν προκειμένην ῥῆσιν ἅπαντά ἐστι σαφῆ καὶ δεῖται τοῦ προσέχοντος αὐτοῖς τὸν νοῦν, οὐκ ἐξηγητοῦ σαφηνίζοντος. εἰ δ᾽ ἀληθῆ πάντ᾽ ἐστί, βασανίζειν χρὴ τὸ μὲν τῇ πείρᾳ, τὸ δὲ τῷ λόγῳ, τῇ πείρᾳ μέν, εἰ χωρὶς τοῦ πυρέξαι τινὲς ὤφθησαν ἢ ἀποπτύοντες πῦον ἢ τοῖς οὔροις ἐκκρίνοντές τι, ἔτι δὲ πρὸς τούτοις, εἰ ταλαιπωροῦντες ἐν τῷ πρόσθεν βίῳ νῦν ἐπαύσαντο χρόνῳ συχνῷ καὶ εἰ νοσήσαντες μὲν οὗτοι διεσώθησαν, ὕστερον δ᾽ αὐτοῖς αἱ εἰρημέναι πυώδεις ἐκκρίσεις ἐπιγίνονται. ταῦτα μὲν οὖν τῇ πείρᾳ κριθῆναι χρή· τῷ λόγῳ δὲ τὴν αἰτίαν, ὑφ᾽ ἧς γίνεσθαί φησιν ὁ γράψας αὐτά, πότερον ἀληθής ἐστιν ἢ ψευδής. ὅτι μὲν οὖν οὐκ ἔχει τὸ ἐξ ἀνάγκης τὰ
153 εἰρημένα πρὸς αὐτοῦ, πρόδηλόν ἐστι τοῖς γεγυμνασμέ|νοις ἐν ἀποδεικτι-
καῖς μεθόδοις· εἰ δὲ τὸ πιθανὸν γοῦν ἔχει, καθ᾽ ἑαυτὸν ἕκαστος σκοπείσθω. κινδυνεύει γὰρ ἐν τῷ πρός τι τὸ πιθανὸν εἶναι. περὶ μὲν οὖν τῶν διὰ πείρας φαινομένων ἔχοιμι ἄν σοι κἀγὼ φάναι τό γε τοσοῦτον, ὡς αἱματώδεις μὲν ἐκκρίσεις διὰ γαστρὸς εἶδον οὐκ ὀλίγας γινομένας τισὶ τῶν καταλυσάντων ἔθος γυμνασίων σφοδρῶν, οὐδεμίαν δὲ ἔκκρισιν πυώδη· μυξώδη μέντοι πολλάκις ἐκ περιόδων τινῶν ἀτάκτων τε καὶ τεταγμένων οὐρούμενά τε καὶ διὰ γαστρὸς ἐκκρινόμενα τούτοις ἐθεασάμην, ὥσπερ γε καὶ πτύσματα πέπονα μέν, οὐ μὴν πυώδη γε.

II 11 [12. VI 62, 21—64, 2 L.] Γίνονται δὲ οἱ λίθοι τοῖσι παιδίοισι διὰ τὴν θερμότητα τοῦ χωρίου τε τούτου καὶ τοῦ ὅλου σώματος.

154 Τοῦ χωρίου, δηλονότι τῆς κύστεως, ὑπὲρ ἧς κατὰ | τὴν τελευτὴν
τῆς προτέρας ῥήσεως οὕτως ἔγραψεν· “οἷσι δ᾽ ἂν ἐς τὴν κύστιν ἐξερεύγηται, ἀπὸ τῆς θερμότητος τούτου τοῦ χωρίου λευκὸν γίνεται.” τοῖς οὖν παιδίοις φησὶ τοὺς λίθους γίνεσθαι διὰ τὴν θερμότητα τῆς κύστεως

29 ἔγραψεν] *supra v. 2 sqq.*

2 οἷσι L *cum melior. codd. Hipp.; idem infra v. 29 omnes codd. Gal.*: ὅσοισι *hic* V εἰς V 3 τῆς *om.* L 4 ἀραιότατον L: λεπτότατον V 5 ταχύτατον R 8 *post* μὲν *add.* τι V 10 τούτους R: *corr.* R^2 13 πυῶδαι R: *corr.* R^2 ἐπιγίγνονται VR: γίνονται L 14 ὑφ᾽ VR: δι᾽ L γίνεσθαί LR^2: γίνεταί VR αὐτὰ LV: αὐτὴν R: αὐτὰς R^2 πότερον LR^2V: ποτὲ R 15 ἀληθές R: *corr.* R^2 ἢ ψευδής (ψευδές R: *corr.* R^2) ἐστιν VR 17 ἑαυτὸ V 19 σοι VR: σε L 20 μὲν *om.* L 21 τισὶ LR^2: τινὶ VR σφοδρὸν L 24 γε *(alt.) om.* L 25 οἱ LV: καὶ R 27 *post* σώματος *add.* τοῖσι δὲ ἀνδράσιν οὐ γίνονται λίθοι διὰ τὴν ψυχρότητα τοῦ σώματος *codd. Hipp.*: *haec Galenum in suo exemplari non legisse e commentatione eius quae insequitur apparet* 29 εἰς L 31 παιδίοις] *litt. ultimae evanuerant,* παιδίοι *falso restituebat man. rec. in* L τῆς τε R^2

καὶ ὅλου τοῦ σώματος, εἶτα ἐπιφέρων ἐρεῖ περὶ τῆς θερμότητος τῶν παιδίων.

II 12 [12. VI 64, 3—4 L.] Εὖ γὰρ χρὴ εἰδέναι, ὅτι ὁ ἄνθρωπος τῇ πρώτῃ τῶν ἡμερῶν θερμότατός ἐστιν αὐτὸς ἑωυτοῦ, τῇ δ᾽ ὑστάτῃ ψυχρότατος.

Ἁπλῶς τῶν λεγόντων θερμότατον ἄνευ διορισμοῦ τῇ πρώτῃ τῶν
ἡμερῶν εἶναι τὸν ἄνθρωπον οὐκ ἀληθὴς ὁ λόγος ἐστί, μετὰ διορισμοῦ
δ᾽ ἀληθής· θερμότατος γάρ, ἐάν γε ῥηθῇ τῷ ‘ἐμφύτῳ’· τοῦτο γάρ ἐστι
πλεῖστον τοῖς παιδίοις. ὁ δὲ γράψας τὴν προκειμένην ῥῆσιν αὐτὸ τὸ
κυριώτατον ἐν τῷ λόγῳ παρακήκοεν, ὡς διὰ τῆς ἑπομένης ῥήσεως ἔσται
δῆλον. εὑρεθήσεται γὰρ οὐχ, ὡς Ἱπποκράτης | ‘τὰ αὐξανόμενα πλεῖ- **155**
στον’ ἔφη ‘τὸ ἔμφυτον θερμὸν ἔχειν’, καὶ αὐτὸς οὕτω γινώσκων, ἀλλ᾽
ἄνευ τοῦ ἔμφυτον ἡγούμενος ἁπλῶς εἶναι θερμὰ τὰ αὐξανόμενα.

II 13 [12. VI 64, 5—6 L.] Ἀνάγκη γὰρ αὐξανόμενον καὶ χωρέον τὸ σῶμα πρὸς βίην θερμὸν εἶναι.

Ἱπποκράτους εἰπόντος ‘τὰ αὐξανόμενα πλεῖστον ἔχειν τὸ ἔμφυ-
τον θερμὸν’ οὗτος ἔοικεν ἁπλῶς ἀκηκοέναι θερμὸν εἶναι τοῖς αὐξανο-
μένοις τὸ σῶμα, μὴ προσκειμένου τῷ λόγῳ τοῦ ‘ἔμφυτον’. χωροῦν
γὰρ αὐτό φησι πρὸς βίαν θερμὸν γίνεσθαι. τὸ δὲ πρὸς βίαν χωρεῖν
τοιόνδε τι βούλεται δηλοῦν· ἔργον αὐτῷ δοκεῖ βίαιόν τι καὶ ἰσχυρὸν ἡ
αὔξησις εἶναι, ὥσπερ ⟨δ᾽⟩ αὖ τἄλλα τῶν ἰσχυρῶν ἔργων ἐκθερμαίνει τοὺς
ἐνεργοῦντας, οὕτω καὶ ἡ αὔξησις. ἀλλ᾽ ἔμπαλίν γε ἐχρῆν αὐτὸν εἰρη-
κέναι διὰ τὸ ἔμφυτον θερμὸν αὔξεσθαι τοὺς παῖδας, οὐ διὰ τὴν αὔξη-
σιν γίνεσθαι θερμούς. τὸ γὰρ | ἔμφυτον θερμὸν οὐ μόνον εὔκρατον **156**
θερμόν, ἀλλὰ καὶ ὑγρόν. εἰκότως οὖν αὔξεται τὰ τοιαῦτα σώματα· δια-
τεινόμενα γὰρ εἰς τὰς τρεῖς διαστάσεις, οἱονεὶ καὶ διαφυσώμενα, τὴν
εἰς ἅπασας αὐτὰς ἐπίδοσιν λαμβάνει. διατείνει μὲν οὖν ἡ φύσις αὐτὰ
πάντῃ πρὸς τοῦτο ὀργάνῳ συμφύτῳ χρωμένη τῷ θερμῷ· διατείνεται

1 ἐρεῖ] *infra v. 3. 14 et p. 80, 5. 12*   12 ἔφη] *Hipp. Aph. I 14 (IV 466, 8 L.)*   16 εἰπόντος] *cf. ad v. 12*

4 ᾱη′ V   6 θερμότατον LR^2: θερμότητα R: τὴν θερμότητα V   8 θερμότατος LR^2: θερμότητα VR   ἄν VR   γε LR: cε V   10. 11 δῆλον ἔσται L   12 ἔχει *(sic)* τὸ ἔμφυτον θερμὸν ἔφη VR   13 ἡγουμένου R: *corr.* R^2 14. 15 χωρέων R   16 εἰπόντος LR^2: όντος *in ras.* V^1: εἰπόντες R   ἔχειν VR: ἔχει LR^2 17 οὔτωc R   18 προσκειμένου LR^2: προσκειμένῳ VR   τοῦ R^2 *et in ras.* L: τῷ VR, *sed* ὁ *supr.* ῷ R   20 αὐτῷ LR^2V: αὐτοῦ R   21 δ᾽ *addidi*   ἔργων *om.* L   ἐκθερμαίνειν L   22 αὐτὸν ἐχρῆν L   23 αὐξάνεσθαι L   τοὺς παῖδας *om.* L   οὐ LR^2: οὕτω VR   24 γίνεσθαι] *primas litt. humore exstinctas* γενέ *rescr. man. rec. in* L   εὔκρατον VR: ἔμφυτον L   25 θερμόν *om.* L   αὐξάνεται L   26 διαφυσώμενα VR: διασπώμενα L   27 ἅπασαν L   αὐτὰς LR: αὐτοῦ V   28 πάντῃ *om.* V   τοῦτο R^2: τούτῳ L: τῷ VR   διατείνει *(sic)*] τείνει *in ras.* V^1

γὰρ ἑτοίμως διὰ τὴν ὑγρότητα. τά γε μὴν πολλὰ τῶν παιδίων ἀδδηφαγοῦντα πλεῖστον ἀθροίζει τὸν ἰδίως ὀνομαζόμενον ὠμὸν χυμόν, ἐξ οὗ ῥᾳδίως ὁ λίθος γεννᾶται, τούτου μὲν ὕλης ἔχοντος λόγον, ἐξ οὗ ὁ λίθος γεννᾶται, ποιητικοῦ δὲ αἰτίου τῆς θερμασίας.

II 14 [12. VI 64, 6—7 L.] Ὅταν δ' ἄρξηται μαραίνεσθαι τὸ σῶμα καταρρέον πρὸς εὐπέτειαν, ψυχρότερον γίνεται.

Κἀνταῦθα πάλιν, ὅταν μηδὲν αὔξηται τὸ σῶμα τοῖς παρακμάζουσι, διὰ τὴν ἀργίαν αὐτό φησι γίνεσθαι ψυχρότερον· ἔμπαλιν δὲ ἄμεινον
157 αἰτιολογεῖν· ἐλάττονος γὰρ | αὐτῷ γινομένου τοῦ ἐμφύτου θερμοῦ καὶ ἡ αὔξησις ἐπαύσατο. σαφέστερον δ' ἔτι τὴν ἑαυτοῦ γνώμην ἐδήλωσεν ὁ γράψας ταῦτα διὰ τῆς ἐχομένης ῥήσεως.

II 15 [12. VI 64, 7—10 L.] Καὶ κατὰ τοῦτον τὸν λόγον, ὅσον τῇ προτέρῃ τῶν ἡμερέων πλεῖστον αὔξεται ὁ ἄνθρωπος, τοσοῦτον θερμότατος γίνεται, καὶ τῇ ὑστάτῃ τῶν ἡμερέων, ὁκόσον πλεῖστον καταμαραίνεται, τοσοῦτον ψυχρότατον ἀνάγκη εἶναι.

Ὀρθῶς οὖν ἡμεῖς ἐξηγησάμεθα τὴν προειρημένην ῥῆσιν, ἐν ᾗ φησιν· "ἀνάγκη γὰρ αὐξανόμενον καὶ χωρέον τὸ σῶμα πρὸς βίην θερμὸν εἶναι." ἐχρῆν γὰρ ἔμπαλιν αὐτὸν εἰπεῖν διὰ τὸ ἔμφυτον θερμὸν αὔξεσθαι τὸ αὐξανόμενον, ἀλλ' οὐ διὰ τὴν αὔξησιν γίνεσθαι θερμόν. ἀνάλογον δὲ τούτου κἀπὶ τοῦ παρακμάζοντος, ἐπεὶ μηκέτ' αὔξεται, ψυχρὸν αὐτὸ νομίζειν γίνεσθαι διὰ τὴν ἀργίαν τῆς πρότερον μὲν ἐνεργούσης αὐξήσεως, νυνὶ δὲ παυομένης. |

158 **II 16** [12. VI 64, 11—14 L.] Ὑγιέες δὲ γίνονται αὐτόματοι οἱ οὕτω διακείμενοι, πλεῖστοι μὲν ἐν τῇ ὥρῃ, ἣν ἄρχονται τήκεσθαι, πέντε καὶ τεσσαράκοντα ἡμερέων, ὁκόσοι δ' ἂν τὴν ὥραν ταύτην ὑπερβάλλωσιν, ἐνιαυτῷ αὐτόματοι, ἣν μή τι ἐς ἄλλο κακουργῆται ὁ ἄνθρωπος.

16 φησιν] *supra p. 79, 14*

1 γε μὴν LR²: δὲ VR παίδων VR ἀδηφαγοῦντα R: *corr.* R² 2 ὠμὸν *om.* L 4 ποιητοῦ, *sed ipse corr.* R: ποιηταὶ V 5 δ' *om.* L 6 ψυχρότατον VR: ψυχρὸν L: *corr. ex Hipp. Aldina* 7 ὅταν L: ὅτε δὲ VR μηδὲν LR²: μηδὲ VR αὔξεται VR 9 αὐτοῦ R: *corr.* R² 10 ἡ *om.* VR δ' ἔτι L: δὲ VR 13 προτέρᾳ V ἡμερῶν *hic et v. 14* VR 14 ἡμερῶν ἔχει V 15 ψυχρότερον R 16 προκειμένην *codd.*: *correxi* 17 τὸ σῶμα καὶ χωρέον L 18 ἔμπαλιν LVR: ἔμπροσθεν R² 19 αὐξόμενον L 20 δὲ LV: δὴ R τούτῳ L ἐπεὶ LV: ἐπὶ R 21 αὐτὸν VR νομίζει *Cornarius; at* ἀνάλογόν ἐστιν *audiendum e v. 19* προτέρας R: *corr.* R² 22 παυσαμένης L 23 ὑγιεῖς R 24 πλεῖστοι . . . αὐτόματοι *(26) non exar.* R ὥρᾳ V ᾗ V 25 πέντε καὶ μ̄ V 26 ὑπερβάλλωσιν] ε *in ras.* V¹ αὐτόματοι ὑγιέες γίνονται V εἰς VR 27 ἄλλα VR κακουργεῖται VR: κακουχῆται L: *corr. ex Hipp. Aldina*

Τίνας λέγει τοὺς οὕτω διακειμένους; οὓς προειρήκει δηλονότι καταλύσαντας τὰ γυμνάσια διὰ τὴν ἀργίαν ἀποπτύειν τε καὶ οὐρεῖν πῦον ἁλίσκεσθαί τε δυσεντερίαις. ἐγὼ δὲ ἔφην ἁλισκομένους μὲν δυσεντερίαις αἱματηραῖς ἑωρακέναι πολλοὺς τῶν εἰς ἄπονον μεταστάντων ἐκ ταλαιπωρικοῦ καὶ ἐργαστικοῦ τοῦ πρόσθεν βίου, πῦον δὲ οὔτ᾽ ἀναβήττοντας οὔτ᾽ οὐροῦντας ὦφθαί μοί τινας. ἀλλ᾽ οὗτός γέ μοι δοκεῖ τὸν ὠμὸν ὀνομαζόμενον χυμόν, ὅταν πεφθῇ γε, πῦον εἶναι ⟨φάναι⟩. καὶ τί θαυμαστόν, ὅπου γε καὶ ὁ Ἐρασίστρατος τὰς ἐν τοῖς οὔροις ὑποστάσεις ἐπὶ τῶν πυρεσσόντων οὐ τοῦτον εἶναι τὸν χυμόν, ἀλλὰ πῦον ἡγεῖται, μηδ᾽ ὅτι | τῶν ὑγιαινόντων τοῖς ἀδδηφαγοῦσιν ὑφίστασθαι πολὺ 159 τὸ τοιοῦτον γινώσκων. τεθεάμεθα γοῦν παμπόλλοις τῶν ἀργῶς βιούντων διὰ χρόνων τινῶν ἐκκρινόμενα διὰ τῶν οὔρων τῇ καλουμένῃ μύξῃ παραπλήσια πάμπολλα· καί τισιν αὐτῶν βραδεῖαν ποιησάμενον τὴν διέξοδον πύῳ παραπλήσιον φαίνεται τὸ ἐκκρινόμενον, καθάπερ γε κἀπὶ τῶν ἀναπνευστικῶν, διὰ τὸ πλείονι χρόνῳ κατεχόμενα πέττεσθαι τὰ τοιαῦτα. τούτου δ᾽ οὖν καὶ αὐτὸς εἶπε τὴν αἰτίαν ἔμπροσθεν, ἐπὶ μὲν τῆς δυσεντερίας τὸ κάταντες τῆς ὁδοῦ ταχείας διεξόδου τῶν περιττῶν αἴτιον εἶναι φάσκων, ἐπὶ δὲ τῶν ἀναπτυομένων τὸ ἄναντες τῆς βραδείας, ἐπὶ δὲ τῶν οὔρων τὴν θερμασίαν τοῦ χωρίου. εἰ δέ τις οὐ συγχωρεῖ διαφέρειν ὠμοῦ χυμοῦ πῦον ἐν οὔροις ἢ πτύσμασιν ἢ διαχωρήμασι, δυοῖν θάτερον οὗτος πέπονθεν· ἢ ἑκὼν πανουργεῖ διὰ τὴν ἀκολουθίαν τὴν πρὸς τὸ δόγμα, καθάπερ Ἐρασίστρατος, ἐπὶ φλεγμονῇ γίνεσθαι βουλόμενος ἅπαντας τοὺς πυρετούς, ἢ σοφιστής ἐστιν ἀνομίλητος τοῖς ἔργοις τῆς τέχνης, οὓς ὀρθῶς ὀνομάζουσιν οἱ παλαιοὶ 'λογιατρούς'. | ἕτερον γάρ ἐστι καὶ χροιᾷ καὶ συστάσει καὶ ὀσμῇ τὸ πῦον ὠμοῦ χυμοῦ. 160 γίνεται δὲ καὶ διὰ ῥινῶν καὶ διὰ στόματος ἐν περιόδοις τισὶν ἀτάκτοις τε καὶ τεταγμέναις ἔκκρισις ὠμῶν χυμῶν ἐκκαθαίρουσα τὸν ἐγκέφαλον, ἧς οὐκ ἐμνημόνευσε νῦν ὁ ταύτην τὴν προγεγραμμένην ῥῆσιν γράψας.

εἰκότως δὲ ἔφησεν αὐτομάτως ὑγιάζεσθαι τοὺς προειρημένους, ὅπερ ἔστιν οὐδὲν ἡμῶν πραξάντων· αὐτάρκως γὰρ ἡ φύσις αὐτοὺς ἐκκαθαίρει.

1 προειρήκει] *p. 77, 19 sqq.* 3 ἔφην] *p. 78, 18 sqq.* 16 εἶπε . . . ἔμπροσθεν] *p. 77, 30 sqq.*

3 πύον, *sicut semper,* R^2 ἁλίσκεσθαί LR^2: ἁλίσκεταί VR δυσεντερίοις L: *corr.* L^1 5 ἐκ LR^2 *et supr. text.* R: εἰς VR ταλαιπωρικὸν V ἐργαστικοῦ LR^2V *et in mg.* R: ἐργάζεται *in text.* R 6 δοκεῖ LR^2: δοκῶ R: δοκῶν V 7 φάναι *addidi* 8 γε LR^2: *om.* VR 9 τὸν *om.* R: *add.* R^2 10 ἀδηφαγοῦσιν R: *corr.* R^2 11 τεθέαμαι R: *corr.* R^2 παμπόλλους VR 12 ἐκκρινόμενα L: ἐκκρινομένους R: ἐκκινουμένοις (οις *in ras.* V^1) V 13 ποιησαμένοις V: ποιησαμένων R: ποιησαμένην R^2 15 κατεχόμενα L: κατεχόμενον V: κατεχομένων R: κατεχρωσμένα R^2 16 *post* εἶπε *iter. e v. 15* τὰ τοιαῦτα, *sed ipse del.* R 18 ἀναπτυομένων LR^2: ἀναπυομένων VR τὴν βραδεῖαν R: *corr.* R^2 20 πύσμασιν V 21 πανουργεῖν *codd.*: *correxi* τὴν *(prius) om.* VR 22 φλεγμονῇ LR^2: φλεγμονῆς VR 23 πάντας βουλόμενος L 24 ἔργοις] γο *in ras.* R λογιατρούς] τ *in ras.* V^1 25 χρόᾳ VR 26 καὶ γίνεται δὲ καὶ VR 27 τε *om.* L τεταγμέναις VL^1: τεταγμένοις LR ἄκρισις *(sic)* V 27. 28 ἐγκέφαλον, ἧς LR^2: *inter utrumque interpol.* ἀλλ᾽ οὐκ ἐμνημόνευσε τὸν ἐγκέφαλον VR 29 ἔφησεν LR^2: ἔφην VR

προθεςμίαν δὲ τῆς ἐκκαθάρςεως ἔθετο διττὴν αὐτοῖς, τὴν μὲν ἑτέραν κατὰ τὴν ὥραν τοῦ ἔτους, ἐν ᾗ τὴν εἰρημένην ἔκκριςιν αὐτοῖς ἄρξαςθαι ςυνέβη, τὴν δὲ ἑτέραν εἰς ἐνιαυτὸν ἐκτεινομένην, ἀλλὰ καὶ τὴν ὀλιγοχρόνιον εἰς πέντε καὶ τεςςαράκοντα προήκειν ἡμέρας· (τινὲς δὲ οὐ πέντε καὶ τεςςαράκοντα γράφουςιν, ἀλλὰ τεςςαράκοντα). πολλοὺς δὲ ἐγὼ θεαςάμενος οὕτω καθαιρομένους ὑπὸ τῆς φύςεως οὐ δύο μόνον τῆς κενώςεως ὅρους εἶδον, ὡς οὗτος ἔγραψεν, ἀλλὰ καὶ πάνυ πολλούς. ἄλλος γὰρ ἐν ἄλλῃ προθεςμίᾳ τελέως ἐξεκαθάρθη, τινὲς μὲν περὶ τεςςαρά-
161 κοντα ἡμέρας, τινὲς δὲ καὶ μέχρι μηνῶν προὔ|βηςαν οὐκ ἴςων τῷ ἀριθμῷ, ἔςτι δὲ οἳ καὶ δι' ὅλου τοῦ ἔτους παραμένον ἔςχον τὸ ςύμπτωμα.

II 17 [13. VI 64, 15—18 L.] Ὀκόςα δὲ τῶν νοςημάτων γίνεται ἐξ ὀλίγου καὶ ὁκόςων αἱ προφάςιες εὔγνωςτοι, ταῦτα δὴ ἀςφαλέςτατά ἐςτι προαγορεύεςθαι. τὴν δὲ ἴηςιν χρὴ ποιεῖςθαι αὐτῶν ἐναντιούμενον τῇ προφάςει τῆς νόςου· οὕτω γὰρ ἂν λύοιτο τὸ τὴν νόςον παρέχον ἐν τῷ ςώματι.

Τούτῳ μάχεςθαι δοκεῖ τὸ κατὰ τοὺς Ἀφοριςμοὺς εἰρημένον· "τῶν ὀξέων νοςημάτων οὐ πάμπαν ἀςφαλέες αἱ προαγορεύςιες οὔτε τῆς ὑγιείης οὔτε τοῦ θανάτου." καὶ Cαβῖνος αὐτὸ πειραθεὶς λῦςαι περιελάληςε μέν, οὐδὲν δὲ εἶπε πιθανόν· οὕτω δὲ καὶ ἄλλοι πολλοὶ τῶν ἐξηγηςαμένων τὸ βιβλίον. δοκοῦςι δέ μοι μὴ ςυνηκέναι, τί ςημαίνει τὸ ἐξ ὀλίγου· νομίζουςι γοῦν ἐπὶ τῶν ὀλιγοχρονίων καὶ ὀξέων γίνεςθαι τὸν
162 λόγον· ἔοικε δὲ οὐ περὶ τού|των λέγειν τοῦτο, ἀλλὰ περὶ τῶν ἐξ αἰτίων προδήλων τὴν γένεςιν ἐςχηκότων πρόςφατον ἐξ ὀλίγου χρόνου καὶ οὐκ ἐκ πολλοῦ καταςκευαςθεῖςαν. ἐπὶ τούτων γὰρ ἡ πρόρρηςις τοῦ γενηςομένου ῥᾴςτη, ὅτι καὶ τὸ αἴτιον ὁποῖόν τε ἢ πηλίκον ἐςτὶν ἔγνωςται. ὅςα δὲ ἐκ πολλοῦ χρόνου κατὰ βραχὺ γενόμενα μηδεμίαν ἔςχεν αἰτίαν προφανῆ τῆς γενέςεως, οὐχ ὁμοίως ἐπὶ τούτων ἡ πρόγνωςις ἀςφαλής. ὑπόγυοι δὲ αἰτίαι νοςημάτων εἰςὶν ἐγκαύςεις, ψύξεις, ἀγρυπνίαι, λῦπαι, φροντίδες, ἀπεψίαι, ςκληροκοιτίαι, κάματοι, μέθαι καὶ τἆλλα τὰ τοιαῦτα.

17 κατὰ τοὺς Ἀφοριςμοὺς] *Hipp. Aphor. II 19 (IV 474, 12 sq. L.)*

2 ᾗ LR^2V: ᾧ R   4 εἰς πέντε καὶ τεςςαράκοντα LR^2: εἰ *(sic)* ε̅ καὶ μ̅ V *et in text.* R: *in mg.* εἰς ἕνα μῆνα R   προήκειν . . . τεςςαράκοντα *(alt. 5)* LR^2: *om.* VR   6 καθαιρουμένους R   7 ὅρους *post* μόνον *(6) transp.* VR: οὔρους, *sed ipse corr.* R: ὡρῶν R^2 οὗτος VR: αὐτὸς L   πολλοὺς LVR: πολλὰς R^2 8 περὶ *om.* VR   μ̅ V   9 ἡμέρας *om.* L   τινὲς VR: ἄλλοι L   προὔβαςαν R: *corr.* R^2 9. 10 τῶν ἀριθμῶν VR   10 ἔςχον L: ἔχον VR: ἔχοντες R^2 *Aldina, qua nisus* παρέμενον *coni. Cornarius*   12 γίγνονται VR   13 καὶ . . . νόςου *(15) non exar.* R   ταῦτα δὴ L: ταυτῆς *(sic)* V   14 ἐςτι *om.* L   προςαγορεύεςθαι *codd.: corr. ex. Hipp. Cornarius; cf. v. 18* προαγορεύςιες   15 αὐτῶν *om.* L   16 νοῦςον *hic* L   18 ἀςφαλέες LR^2: ἀςφαλεῖς VR   προςαγορεύςιες VR   19 ὑγιείης *(restit. quae humore exstincta erant man. rec.)* L: ὑγείης V: ὑγίης R^2: ὑγίας R   αὐτὸ LR: αὐτὸς V   21 δέ L: δή VR   26 ἢ LV: καὶ RH   27 ἔςχον VR   29 ὑπόγυοι LR^2 *et supr. scr.* R: ὑπόβιοι V: ὑπόδεινοι R   30 μέθαι LV: θέθαι, *sed* μέ *supr. scr.* R

διὰ τοῦτ᾿ οὖν καὶ τὴν ἴαϲιν ἔφη τῶν τοιούτων ποιεῖϲθαι διὰ τῶν ἐναντίων τῇ προφάϲει τοῦ νοϲήματοϲ, οἷον, εἰ ἐνεκαύθη, ψύχοντα, εἰ ἐψύχθη, θερμαίνοντα, εἰ ἔκαμεν, ἀναπαύοντα, εἰ ἤργηϲε παρὰ τὸ ἔθοϲ, ἐπὶ πλέον γυμνάζοντα, εἰ ἐπληρώθη, κενοῦντα, εἰ ἐκενώθη, πληροῦντα, καθάπερ καὶ πρόϲθεν εἶπε κατὰ τὴν ῥῆϲιν, ἧϲ ἡ ἀρχή· "ὁκόϲα πληϲμονὴ τίκτει νοϲήματα, κένωϲιϲ ἰῆται." |

II 18 [14. VI 64, 19—66, 4 L.] Ὁκόϲοιϲι δὲ ψαμμώδεα ὑφ- 163
ίϲταται ἢ πῶροι ἐν τοῖϲιν οὔροιϲι, τουτέοιϲι τὴν ἀρχὴν φύματα ἐγένετο πρὸϲ τῇ φλεβὶ τῇ παχείῃ καὶ διεπύηϲεν, ἔπειτα δὲ αὐτέων οὐ ταχέωϲ ἐκραγέντων τῶν φυμάτων πῶροι ϲυνετράφηϲαν ἐκ τοῦ πύου, οἵτινεϲ ἔξω λείβονται διὰ τῆϲ φλεβὸϲ ϲὺν τῷ οὔρῳ εἰϲ τὴν κύϲτιν.

Γένοιτο μὲν ἄν ποτε καὶ καθ᾿ ἣν εἶπεν αἰτίαν οὖρα τοιαῦτα, γένοιτο δ᾿ ἂν καὶ αὐτοῦ τοῦ νεφροῦ παθόντοϲ ὁμοίωϲ ἄνευ τῆϲ μεγάληϲ φλεβόϲ· ὡϲ τὸ πολὺ δὲ χωρὶϲ φυμάτων ϲυμβαίνουϲιν αἱ εἰρημέναι διὰ τῶν οὔρων ἐκκρίϲειϲ, ὅταν παχὺϲ ἢ γλίϲχροϲ ἱκανῶϲ χυμὸϲ βραδεῖαν ποιούμενοϲ τὴν διέξοδον ὑπὸ τῆϲ ἐν τῷ τόπῳ θερμαϲίαϲ ξηραινόμενοϲ παγῇ.

II 19 [14. VI 66, 4—5 L.] Ὁκόϲοιϲι δὲ αἱματώδεα μόνον τὰ οὐρήματα, τούτοιϲιν αἱ φλέβεϲ πεπονήκαϲιν. |

Τὸ πεπονήκαϲιν ἄδηλόν ἐϲτιν ἐπὶ τίνοϲ εἴρηται. δύναται γὰρ 164
καὶ τὸ κεκμήκαϲι δηλοῦν, ὡϲ ἐκλύτουϲ γεγονυίαϲ αὐτὰϲ ἡμίπεπτόν τε γεννᾶν αἷμα καὶ μεθιέναι τοῦτο ῥᾳδίωϲ δι᾿ ἀτονίαν ἢ ὡϲ ἀλλότριον ἀποκρίνειν, δύναται δὲ καὶ ἄλλωϲ τὸ πεπόνθαϲιν ἐκ τοῦ πεπονήκαϲι δηλοῦϲθαι, μηδὲν αὐτῶν τῶν νεφρῶν πεπονθότων, ἀλλ᾿ ἐν μόναιϲ ταῖϲ φλεψὶν οὔϲηϲ τῆϲ διαθέϲεωϲ· οὐ μὴν ὁποία τίϲ ἐϲτιν ἐκ τῆϲ τοιαύτηϲ ἐξηγήϲεωϲ δηλοῦται. πρόδηλον δέ ἐϲτιν, ὡϲ οὔθ᾿ Ἱπποκράτηϲ οὔτε Πόλυβοϲ εἶπεν ἂν οὐρήματα, δυνάμενοί γε εἰπεῖν· ὁκόϲοιϲι δὲ αἱματώδεα τὰ 'οὖρα'· καὶ πολλάκιϲ γε πάνυ τι γράφων ὁ Ἱπποκράτηϲ 'οὖρα', κατ᾿ οὐδεμίαν λέξιν εἶπεν οὔρημα. καὶ ἄλλα δὲ πολλὰ

5 πρόϲθεν εἶπε] *p. 57, 23* 7 *sqq. cf. Hipp. Aph. IV 79 (IV 530, 12 L.)* 19 *cf. Hipp. Aph. IV 78 (IV 530, 10 L.)*

1 τοῦτ᾿ VR: ταῦτ᾿ L καὶ *om.* R: *add.* R^2 τῶν τοιούτων VR: τοῦ νοϲήματοϲ L 2 εἰ] ε *in ras.* V^1: οἱ R ἐνεκαύθη] ε *alt. in ras.* V^1: ἐνεγκαύθη R 3 ἔκαμον R 5 καθάπερ LR: καθά τε V ἧϲ *om.* V 7 ψαμμώδεα] δεα *in ras.* V^1 8 ἢ . . . φλεβὸϲ *(11) non exar.* R πῶροι] ῶροι *in ras.* V^1 οὔροιϲι] ροιϲι *in ras.* V^1 τουτέοιϲι] οι *in ras.* V^1 9 ἐγένετο] ἐγένοντο *codd.*: *ex Hipp. correxi* 10 αὐτέων L: ἄτε V ϲυνεϲτράφηϲαν V 11 θλίβονται V 12 εἰϲ τὴν L: *spat. 4 litt.* V: κατὰ (τὴν *om.*) R 13 αἰτίαν εἶπεν L 22 δηλοῦν LR^2V: δηλονότι R 23 καὶ LR^2: ἢ καὶ VR 24 καὶ ἄλλωϲ L: κοινῶϲ VR 25 μηδὲν LR^2: μηδ᾿ VR 28 πόλβιοϲ (ι *in ras.* V^1) V 29 αἱματώδεα] αἱ *in ras.* V^1 καὶ . . . οὖρα *(30)* LR^2: *om.* VR γε *om.* L

τῶν παρεγγεγραμμένων ἐνδείκνυται σαφῶς αὐτὰ μήθ' Ἱπποκράτους εἶναι μήτε Πολύβου.

II 20 [14. VI 66, 5—7 L.] Ὁκόσοιςι δὲ ἐν τῷ οὐρήματι παχεῖ
165 ἐόντι σαρκία σμικρὰ | τριχοειδέα συνεξέρχεται, ταῦτα ἀπὸ τῶν νεφρῶν εἰδέναι χρὴ ἐόντα.

Τὸν ἀφορισμὸν ἐνταῦθα μετέφρασε τόνδε· "ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι σαρκία σμικρὰ ὡσεὶ τρίχες συνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται."

II 21 [14. VI 66, 7—9 L.] Οἷσι δὲ καθαρὸν τὸ οὖρον, ἄλλοτε δὲ καὶ ἄλλοτε οἷόν τε πίτυρα ἐμφέρεται ἐν τῷ οὐρήματι, τούτοισιν ἡ κύστις ψωριᾷ.

Πάλιν κἀνταῦθα τὸν ἀφορισμὸν ἐκεῖνον παρέφρασεν· "ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρῶδές τι συνεξέρχεται, τούτοισιν ἡ κύστις ψωριᾷ."

II 22 [15. VI 66, 10—68, 16 L.] Οἱ πλεῖστοι τῶν πυρετῶν
166 γίνονται ἀπὸ χολῆς, ἰδέαι | δὲ αὐτῶν εἰσι τέσσαρες χωρὶς τῶν ἐν τῇσιν ὀδύνῃσι γινομένων τῇσιν ἀποκεκριμένῃσιν. ὀνόματα δ' αὐτῶν ἐστι σύνοχος καὶ ἀμφημερινὸς καὶ τριταῖος καὶ τεταρταῖος. ὁ μὲν οὖν σύνοχος καλεόμενος γίνεται ἀπὸ πλείστης χολῆς καὶ ἀκρητεστάτης καὶ τὰς κρίσιας ἀκρητεστάτας ἐν ἐλαχίστῳ χρόνῳ ποιεῖται· τὸ γὰρ σῶμα οὐ διαψυχόμενον οὐδένα χρόνον συντήκεται ταχέως ἅτε ὑπὸ πολλοῦ τοῦ θερμοῦ θερμαινόμενον. ὁ δὲ ἀμφημερινὸς μετὰ τὸν σύνοχον ἀπὸ πλείστης χολῆς καὶ ἀπαλλάσσεται τάχιστα τῶν ἄλλων· μακρότερος δέ ἐστι τοῦ συνόχου, ὅτι ἀπ' ἐλάσσονός τε γίνεται χολῆς καὶ ὅτι ἀνάπαυσιν ἔχει τὸ σῶμα, ἐν δὲ τῷ συνόχῳ οὐκ ἀναπαύεται οὐδένα χρόνον. ὁ δὲ τριταῖος μακρότερός ἐστι τοῦ ἀμφημερινοῦ καὶ ἀπὸ χολῆς ἐλάσσονος γίνεται· ὅσῳ δὲ πλείονα χρόνον ἐν τῷ τριταίῳ ἢ ἐν τῷ ἀμφημερινῷ τὸ σῶμα ἀναπαύεται,

6 ἀφορισμὸν] *Hipp. Aph. IV 76 (IV 530, 6 L.)* 12 ἀφορισμὸν] *Hipp. Aph. IV 77 (IV 530, 8 L.)*

1 παρεγγεγραμμένων LR[2]: γεγραμμένων VR 3 παχεῖ . . . νεφρῶν *(5) non exar.* R 5 *post* ἐόντα *add.* καὶ ἀπὸ τῶν ἀρθριτικῶν *Hipp. nonnulli codd.* 7 ἐόντι LV: ἔχοντι R ὡσεὶ L: ἢ ὥσπερ VR συνεξέρχεται V 10 δὲ *om.* VR τε V *et e corr.* R: τι L *et primum* R: γε R[2] ἐκφέρεται VR 12 παρέφρασαν L[1] 13 ἐόντι LR[2]V: ἔχοντι R τουτέοισιν V 16 ἰδέαι . . . πυρετὸν *(85, 16) non exar.* R ἰδέαι LV: εἴδεα *ex Hipp. Basileensis* τέσσαρες L: δ̄ V: τέσσαρα *Basileensis* 17 τῇσιν ἀποκεκριμένῃσιν V: τοῖσιν ἀποκεκριμένοισιν L οὐνόματα V 18 εἰσι L σύναχος *hic et v. 19* V 19 καλούμενος V 20 ἀκριτεστάτης V ἀκριτεστάτας V: ἀκρητεστάτους L 23 ἀμφημερινὸς] μ *(prius) supra add.* V[1] 24 *post* χολῆς *ex Hipp.* γίνεται *add. Aldina* 25 τοῦ L: τῆς V τε *om.* V 28 ὅσῳ L: ὅσα V 29 τρίτῳ V

τοσούτῳ χρονιώτερος οὗτος ὁ πυρετὸς τοῦ ἀμφημερινοῦ ἐστιν. οἱ δὲ τεταρταῖοι τὰ μὲν ἄλλα κατὰ τὸν αὐτὸν λόγον, χρονιώτεροι δέ εἰσι τῶν τριταίων, ὅσον ἔλασσον μέρος τῆς χολῆς μετέ|χουσι τῆς τὴν θέρμην παρεχούσης, τοῦ δὲ διαψύχεσθαι 167
τὸ σῶμα πλέον μετέχουσι· προσγίνεται δὲ αὐτοῖσιν ἀπὸ μελαίνης χολῆς τὸ περισσὸν τοῦτο καὶ δυσαπάλλακτον· μέλαινα γὰρ χολὴ τῶν ἐν τῷ σώματι ἐνεόντων χυμῶν γλισχρότατον καὶ τὰς ἕδρας χρονιωτάτας ποιεῖ. γνώσῃ δὲ τῷδε, ὅτι οἱ τεταρταῖοι πυρετοὶ μετέχουσι τοῦ μελαγχολικοῦ· φθινοπώρου γὰρ μάλιστα ἁλίσκονται οἱ ἄνθρωποι ὑπὸ τῶν τεταρταίων καὶ ἐν τῇ ἡλικίῃ τῇ ἀπὸ πέντε καὶ εἴκοσιν ἐτέων εἰς τὰ πέντε καὶ τεσσαράκοντα· ἡ δὲ ἡλικίη αὕτη ὑπὸ χολῆς μελαίνης κατέχεται μάλιστα πασῶν τῶν ἡλικιῶν ἥ τε φθινοπωρινὴ ὥρη μάλιστα πασῶν τῶν ὡρέων· ὅσοι δ᾽ ἂν ἁλῶσιν ἔξω τῆς ὥρης ταύτης καὶ τῆς ἡλικίης ὑπὸ τεταρταίου, εὖ χρὴ εἰδέναι μὴ χρόνιον ἐσόμενον τὸν πυρετόν, ἢν μή τι ἄλλο κακουργῆται ὁ ἄνθρωπος.

Ὅμοιόν τί μοι δοκοῦσιν οἱ πολλοὶ πεπονθέναι τῶν ἐξηγητῶν, ἐν οἷς ἐστι καὶ Σαβῖνος, τῷ νοσοῦντι μὲν ὑδερι|κῶς ἀνθρώπῳ, παρωνυ- 168
χίαν δὲ αὐτοῦ θεραπεῦσαι Φιλότιμον τὸν ἰατρὸν ἀξιοῦντι. δυοῖν γὰρ θάτερον, ἢ οὐκ ἔβλεπεν οὗτος ὅπως εἶχεν ὅλος κακῶς ἢ οὐκ ᾤετο δεῖσθαι θεραπείας. οὕτως οὖν καὶ τοὺς ἐξηγητὰς ἢ τυφλώττειν τὸν τῆς ψυχῆς ὀφθαλμὸν νομιστέον ἢ τὰ μὲν σμικρὰ τῶν ἐγκλημάτων ἡγεῖσθαι θεραπείας τινὸς δεῖσθαι, τὰ μεγάλα δὲ οὐδεμιᾶς χρῄζειν βοηθείας. ὥσπερ γὰρ ἐξ ὕπνου βαθέος ἐγερθέντες ᾔσθοντο τῆς πρὸς Ἱπποκράτην μάχης τοῦ κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένου, τὸν ἀμφημερινὸν ὀλιγοχρονιώτερον ἀποφαινούσης αὐτῆς τοῦ τριταίου, σαφῶς εἰρηκότος Ἱπποκράτους ἔν τε τῷ πρώτῳ τῶν Ἐπιδημιῶν κἂν τοῖς Ἀφορισμοῖς ‘τάχιστα κρίνεσθαι τὸν τριταῖον’· οὔκουν φασὶν Ἱπποκράτειον εἶναι τὸ βιβλίον, ὡς καὶ φανερῶς ψευδοῦς ὄντος τοῦ λεγομένου καὶ δια-

20 Φιλότιμον] *cf. Cobet, Mnemosyne N. S. 8 (1880), 231 sq. et 13 (1885), 230* 28 ἐν τῷ πρώτῳ τῶν Ἐπιδημιῶν] *I 3, 11 (II 674, 11 L.)* κἂν τοῖς Ἀφορισμοῖς] *IV 59 (IV 522, 15 L.)*

1 ὁ πυρετὸς *om.* V ἐστιν] δ· *(sic), deinde spat. 3 litt.* V 4 μετάγουσι L τῆς, *sed supr. scr.* οἷς L τοῦ δὲ L: τοσούτου τοῦ V 5 αὐτῇσιν L 5. 6 χολῆς μελαίνης V 7 χυμῶν *om.* L 8 γνώσῃ δὲ V *et Hipp. codd.*: γνοίης δὲ ἂν L τῷδε *Hipp. nonnulli codd.*: τόδε V: *om.* L: ἐν τῷδε *Basileensis* 10 γὰρ *in ras.* V^1 11 ε̅ καὶ κ̅ ἐτέων εἰς τὸ ε̅ καὶ μ̅ V 13 ὥρα L 14 ὡρῶν V ὥρας V 15 τετάρτης V εὖ L: οὐ V 18 δοκοῦσι πεπονθέναι οἱ πολλοὶ VR 20 Φιλότιμον *Aldina*: φιλότιμον R^{2}VR: φιλοτίμως L; *cf. Plut. Mor. 43 A sq. 73 B* 21 ὅλος LR^2: ὅλως VR 23 μικρὰ V 25 ἐγερθέντες] γ *in ras.* V^1: ἐγέρθη *(sic), sed ipse corr.* R ᾔσθοντο *in mg. add.* R πρὸς LR^2: *om.* VR ἱπποκράτους VR 26 τοῦ *om.* L εἰρημένης L: *corr.* L^1 ὀλιγοχρονίῳ, *sed ipse corr.* R 27 αὐτοῦ R: *corr.* R^2 τοῦ τριταίου LR^2: τῆς τρίτης VR: *supr.* ης *scr.* ου R εἰρηκότως R: *corr.* R^2 28 τε *om.* VR 29 ἱπποκράτειον LR^2: ἱπποκράτους VR 30 φανερῶς VR: φανεροῦ καὶ L

φερομένου τοῖς ἑτέρωθι γεγραμμένοις ὑφ᾽ Ἱπποκράτους. εἰ γὰρ ἐν τούτῳ μόνῳ ψευδόμενόν τε ἅμα καὶ μαχόμενον Ἱπποκράτει τὸν παρεγγράψαντα τὰ μεταξὺ κατενόησαν, ἐοίκασι τῷ τὴν παρωνυχίαν
169 ὁρῶντι, τὸ δ᾽ ὅλον σῶμα μὴ βλέποντι κάκιστα διακεί|μενον.

ὁ μὲν γὰρ ἀγνοήσας τὸν ἀμφημερινὸν τοῦ τριταίου χρονιώτερον εἶναι ἐνδείκνυται μὲν ἑαυτὸν οὐκ εἶναι τρίβωνα τῶν ἔργων τῆς ἰατρικῆς, οὐ μὴν ἐξ ἀπονοίας γέ τινος ἀναισχύντου τὸ ψεῦσμα διέπλασεν, ἀλλ᾽ ἐκ πιθανοῦ λόγου κινηθεὶς καὶ μάλιστα, ἐπειδή τισι τῶν παλαιῶν, ὧν καὶ Πλάτων ἐστίν, ἐδόκει τοὺς μὲν συνεχεῖς πυρετοὺς ἐξ ὑπερβολῆς τοῦ πυρὸς γίνεσθαι, τοὺς δὲ ἀμφημερινοὺς ἀέρος, καὶ τριταίους μὲν ὕδατος, τεταρταίους δὲ γῆς. ἡ γάρ τοι τοῦ Πλάτωνος ῥῆσις αὐτοῖς ὀνόμασιν οὕτως ἔχει· “τὸ μὲν οὖν ἐκ πυρὸς ὑπερβολῆς μάλιστα νοσῆσαν σῶμα συνεχῆ καύματα καὶ πυρετοὺς ἀπεργάζεται, τὸ δὲ ἐξ ἀέρος ἀμφημερινούς, τριταίους δ᾽ ὕδατος διὰ τὸ νωθέστερον ἀέρος καὶ πυρὸς εἶναι, τὸ δὲ γῆς τέταρτον ὂν νωθέστατον τούτων ἐν τετραπλασίαις χρόνου περιόδοις καθαιρόμενον τεταρταίους πυρετοὺς ποιῆσαν ἀπαλλάττεται μόγις.” εἴπερ οὖν ὁ Πλάτων τὸ νωθέστατον στοιχεῖον, ὅπερ ἔστιν ἑδραιότατόν τε καὶ δυσκινητότατον, ἐν τετραπλασίαις χρόνου περιόδοις
170 ἐκκαθαίρεσθαί φησι, πιθανὸν ἔδοξεν εἶναι | καὶ τἄλλα διαφέρειν ἀλλήλων κατὰ τὴν αὐτὴν ἀναλογίαν, ὥστε ⟨ὃ⟩ γέγονεν ἐφεξῆς τῷ γεώδει στοιχείῳ, (τοῦτο δ᾽ ἂν ὕδωρ εἴη), τὴν ἐφεξῆς τῇ τεταρταίᾳ περιόδῳ γεννᾶν, τὸ δὲ τούτῳ πάλιν ἐφεξῆς, (ὅπερ ἐστὶν ἀήρ), τὴν ἀμφημερινήν, τὸ δὲ ὀξυκινητότατον, (ὅπερ εὔδηλον ὅτι πῦρ ἐστιν), ἐργάζεσθαι τὸν συνεχῆ πυρετόν.

ἀλλὰ τούτου πιθανώτερός ἐστιν ὁ λόγος ὁ τῷ φύσει θερμῷ στοιχείῳ, τουτέστι τῷ πυρί, τὴν αἰτίαν ἀνατιθεὶς τῆς γενέσεως αὐτῶν. οὐ γὰρ εὔλογον ὑπὸ τοῦ ψυχροῦ στοιχείου πλεονάσαντος ἐν τῷ σώματι τὸ θερμότατον πάθος γίνεσθαι. ⟨εἰ⟩ τοίνυν εὔλογον μέν ἐστι

9 Πλάτων] *Tim. 86 A; cf. infra v. 11* 11 Πλάτωνος ῥῆσις] *cf. ad v. 9*

2 μόνον VR ἱπποκράτει LR²: ἱπποκράτη VR 3 περιγράψαντα VR 5 τρίτου V 6 εἶναι LR²: *om.* VR 7 ἀτονίας VR ψεῦμα *(sic)* R: *corr.* R² διέπλασεν LR²: διέπλασσεν V: διέπλασαν R 8 πιθανοῦ LR²V: πινῶν, *deinde* θα *supr. scr.* R λόγου LR²V: λόγος, *deinde in* λόγων *mut.* R κινηθεὶς LR²V *et in textu* R: κινηθέντες *in mg.* R ὧν LR: ᾧ V 10 γίνεται, *sed ipse corr.* R δὲ LV: καὶ, *sed supr. scr.* δὲ R τρίτους VR: *corr.* V¹ *et ipse* R 11 τετάρτους, *sed ipse corr.* R 12 ὑπερβολῇ V: *corr.* V¹ νοσήσασαν V: νοσήσαν R 13 ἐργάζεται L ἀμφημερινὸς V 14 νοθέστερον V: *corr.* V¹ αὐτὸ εἶναι *Plat. codd.* 15 τέταρτον ὂν νωθέστατον LR: δ̄ οἰνωθέστατον V: τετάρτως ὂν νωθέστατον *Plat. codd.* τριπλασίαις L 15. 16 περιόδοις χρόνου *Plat. codd.* τεταρταῖον πυρετὸν VR: τέταρτον πυρετὸν *primo* R 17 μόλις *Plat. codd.* 18 τε *om.* L τριπλασίαις L 19 ἔδοξαν VR 20 ὥστε] ὡς LR²V *et* τε *post* ἐφεξῆς *(marginali supplemento archetypi falsum in locum relato) omnes codd.*: ὡς *om.* R ὃ *addidi*: *'so daß das Element, das im Range nach dem erdigen Element ist, ich meine das Wasser, das Fieber erzeugt, das'* H: *'ut quod deinceps terrenum elementum consequitur' eqs. recte iam Rasarius* 21 δ̄η/ V: τετάρτη R 22 τούτου VR τὴν ἀμφημερινὴν R²: τῇ ἀμφημερινῇ LVR 23 εὔδηλόν ἐστιν L τὸ πῦρ R²V 28 γίνεσθαι LR²: γίνεται VR εἰ *addidi*; *'wenn nun zu dem gehört, wovon man sich überzeugen läßt, daß'* H

τοῦ θερμοῦ στοιχείου τῇ πλεονεξίᾳ θερμὸν γίνεσθαι πάθος, ἀλλήλων
δὲ διαφέρουσιν οἱ πυρετοὶ ταῖς αὐτῶν διαφοραῖς, ἃς τῷ ποσῷ τῆς
αἰτίας ἀνατίθεσθαι προσήκει, τοῦτο δὴ εἰ συγχωρήσομεν, ὁ μὲν συν-
εχέστατός τε καὶ θερμότατος πυρετὸς ὑπὸ πλείστου γενήσεται πυρός,
ὁ δὲ ἐφεξῆς αὐτῷ δευτέραν ἕξει χώραν ἐν ποσότητι, καὶ τρίτην μὲν ὁ
τριταῖος, τετάρτην δὲ ὁ τεταρταῖος, αἵ τε λύσεις αὐτῶν ἀκολούθως ταῖς
αἰτίαις ἔσονται, τάχισται μὲν αἱ τοῦ θερ|μοτάτου πυρετοῦ, δεύτεραι δὲ **171**
κατὰ τὸν χρόνον αἱ τῶν ἀμφημερινῶν, καὶ τρίται αἱ τῶν τριταίων καὶ
τέταρται αἱ τῶν τεταρταίων. ὥσθ' ὅσον μὲν ἐπὶ τῷ πιθανῷ, καλῶς
εἴρηται ταῦτα, τὸ δὲ ἐκ τῆς τῶν πραγμάτων ἱστορίας ἐλέγχει τὸν λόγον.
ἐπὶ δὲ τῆς προγεγραμμένης τῶν φλεβῶν ἀνατομῆς οὐδὲν ἔχων εἰπεῖν
πιθανὸν ὁ συνθεὶς αὐτὴν οὐχ ἓν ἢ δύο ἢ τρία φαίνεται ψευσάμενος,
ἀλλὰ πάνυ πολλὰ πρὸς τὸ μηδὲ κατὰ τύχην ἕν τι τῶν ἐν αὐτοῖς ἀλη-
θῶς εἰρῆσθαι.

Θαυμαστὸν οὖν ὅπως ἐπ' ἐκείνων μὲν οὐδὲν ἐμέμψαντο τῷ γρά-
ψαντι τὰ μετὰ τὸ Περὶ φύσεως ἀνθρώπου μέχρι δεῦρο πάντα, νυνὶ
δὲ μέμφονται καὶ διὰ τοῦτο αὐτοῖς οὐκέτι δοκεῖ τὸ βιβλίον Ἱππο-
κράτους εἶναι. Σαβίνου δὲ καὶ τῶν πλείστων ἐξηγητῶν ἔτι καὶ
τοῦτ' ἄν τις θαυμάσειεν, ὅτι τὰ παρεγγεγραμμένα πάντα ἐπαινοῦντες
ἀεὶ θαυμασίως εἰρῆσθαι τόδε τι τἀνδρὶ καὶ δαιμονίως τόδε τι καὶ θείως
τόδε τι, νῦν ἐξαίφνης ἐκείνων μὲν ἁπάντων ἐπελάθοντο, διὰ μίαν δ'
ἐναντιολογίαν οὐκέτ' αὐτοῖς Ἱπποκράτους εἶναι δοκεῖ τὸ βιβλίον,
ἀλλὰ μετακινοῦσιν ἐπὶ | Πόλυβον, ὡς αὐτοὶ μὲν ἀνεγνωκότες τοὺς **172**
Ἀφορισμοὺς καὶ τὸ πρῶτον τῶν Ἐπιδημιῶν, οὐκ ἀνεγνωκότος δὲ ταῦτα
Πολύβου, ὃν ἀδύνατον ἦν μαθητὴν Ἱπποκράτους ὄντα μὴ οὐ
πολλάκις μὲν ἀκηκοέναι παρ' αὐτοῦ περὶ τῆς διαφορᾶς τῶν πυρετῶν,
ἀνεγνωκέναι δὲ οὐκ ὀλιγάκις αὐτοῦ τὰ συγγράμματα σὺν τῷ καὶ αὐτὸν
ἐπὶ τῶν ἀρρωστούντων τεθεᾶσθαι ταχυκρίσιμον μὲν τὸν τριταῖον, χρονί-

11 φλεβῶν ἀνατομῆς] *p. 67, 14 sqq.* 23 τοὺς Ἀφορισμοὺς καὶ τὸ πρῶτον τῶν Ἐπιδημιῶν] *cf. supra p. 85, 28.*

1 γίνεσθαι L: γίνεται VR 2 ταῖς αὐτῶν (αὑτῶν *corr. Diels*) διαφοραῖς VR: ταῖς διαφοραῖς αὐτῶν L 3 δὴ *scripsi*: δ' *codd.* 4 τε *om.* VR 5 β̄ V ἕχει *codd.*: *correxi*: 'obtinebit' *bene iam Rasarius* τρίτον, *sed ipse corr.* R 6 δ̄ V: τέταρτον, *sed ipse corr.* R 7 δὲ *om.* L 8 τρίται LR^2: γ̄ V: τρίτον R 9 τέταρται LR^2: δ̄ V: τέταρτον R ὅσον LR^2: ὅσα VR μὲν *om.* L 12 *ante* ψευσάμενος *ras. unius litt.* R 13 τὸ *etiam* L: τῷ L^1 13. 14 εἰρῆσθαι ἀληθῶς L 15 ὅπως VR: ὅτι L ἐμέμψαντο R: '*so ist es wunderbar, daß die Erklärer ihn nicht ... getadelt haben*' *bene* H: ἐμέμψατο LV; *at vix potest Sabinus (p. 85, 19; sed cf. infra v. 18) subiecti esse loco* 16 φύσιος R^2 νῦν L 17 μέμφεται *codd.*: *corr. Cornarius* αὐτῷ LR^2: αὐτὸ VR: *corr. Cornarius (tollitur hiatus)*; '*sie sagen, daß dieses Buch nicht von Hipp. sei*' H 18 σαβῖνος *et supr.* ος *scr.* ου R 19 προγεγραμμένα VR *post* ἐπαινοῦντες *excidisse putat* καὶ φάσκοντες *Schoene* 20 τὸ δέ τι *hic et v. 21 codd.*: *mutavit Cobet, Mnemosyne N. S. 13 (1885), 230* 21 μὲν LR^2: *om.* VR 22 ἀντιλογίαν VR αὐτοῖς LR^2: αὐτοῖς οὐχ VR τὸ βιβλίον δοκεῖ VR 23 ἐπὶ LR^2: καὶ ἐπὶ VR πόλυβον LR^2: πόλιβον VR 24 ἐπιδημίων L δὲ LR^2: *om.* VR 26 αὐτῶν V περὶ LR: ἐπὶ V 27 αὐτοῦ LR: αὐτῆς V 28 ἀρρώστων VR τεθεωμένων V τὸν *om.* L τριταῖον] *primas litt. in ras., fuerat* τεταρταῖον L

ζοντα δὲ τὸν ἀμφημερινόν. οὐ γάρ δὴ τῶν ἐπὶ τῆς Ἀλεξανδρείας προφητευσάντων εἷς τις ἦν ὁ Πόλυβος, οἳ μηδένα πώποτε θεασάμενοι νοσοῦντα στοχαστικοῖς ἐπέτριβον οὐδὲν ὑγιὲς λέγοντες οὐδ᾽ ὧν οἱ τρίβωνες ὁρῶσι φαινομένων ἐναργῶς ἐπὶ τῶν ἀρρωστούντων. ὥσθ᾽ ὁ ταῦτα γράψας ἢ τοιοῦτος ἦν σοφιστὴς ἢ πανοῦργος ἄνθρωπος, ὡς ἔοικεν, παρεγγράψας τὸ ψεῦδος ἕνεκα τοῦ προστρίψασθαι ψόγον τῷ παλαιῷ. τοῦ δὲ νεώτερον εἶναι τὸν παρεγγράψαντα ταῦτα καὶ ἡ τοῦ συνόχου προσηγορία τεκμήριόν ἐστιν· οὐδαμόθι γὰρ οὔθ᾽ Ἱπποκράτης οὔτε τις ⟨ἄλλος⟩ τῶν παλαιῶν τὸν συνεχῆ πυρετὸν ὠνόμασε σύνοχον, ὥσπερ οὐδὲ "οὐρήματα" τὰ οὖρα, ἀλλὰ ταῦτα ὀνόματα
173 νεω|τέρων ἐστὶν ἰατρῶν, ὅσοι τὴν παλαιὰν λέξιν ἠγνόησαν.

ἀπολιπόντες οὖν ἤδη τὰ παρεγγεγραμμένα ταῦτα μεταβῶμεν ἐπὶ τὸ Περὶ διαίτης ὑγιεινῆς, ὃ Πολύβου φασὶν εἶναι σύγγραμμα.

10 οὐρήματα] *cf. supra p. 83, 27 sqq.*

2 εἷς LR^{2}V: οἷς R πόλιβος V 3 στοχαστικοῖς L: σχολαστικοῖς R^2: χαλαστικοῖς VR: '*über Dinge, die logisch nicht richtig sind*' H 4 οἱ LR^{2}V: οὐ R τρίβοντες, *sed corr. ipse* R: *rurs. corr.* R^2 ἀρρώστων VR ὥσθ᾽ LR^{2}V: ὡς R 5 ἢ τοιοῦτος LVR: ἤτοι οὗτος R^2 6 παραγράψας VR 7 παραγράψαντα R^{2}V: περιγράψαντα R 8 συνέχον R: *corr.* R^2 ἐστιν *om.* L οὐδαμόθι L: οὐδαμόθεν VR 9 ἄλλος *(coll. Gal. XVII A 219 sq.) add. Guil. Herbst, Gal. de atticiss. stud. 1911 p. 118* 10 σύνοχον LR^{2}V: συνέχον R ταῦτα τὰ L 12 παραγεγραμμένα R^{2}V: περιγεγραμμένα R ταυτὶ VR 13 φησὶν, *supr.* η *scr.* α R

ΓΑΛΗΝΟΥ 174
ΕΙΣ ΤΟ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΥΓΙΕΙΝΗΣ ΙΠΠΟΚΡΑΤΟΥΣ

Ἓν τοῦτ᾽ ἐστὶ βιβλίον ἰδίαν ἐπαγγελίαν ἔχον, ὥςπερ τὸ πρῶτον μέρος ὅλου τοῦ προκειμένου βιβλίου, καθ᾽ ὃ περὶ φύσεως ἀνθρώπου διαλέγεται· συντετέλεσται γὰρ ἐν ἐκείνῳ τὸ ἐπαγγελθὲν οὐδεμιᾶς ἔτι προσθέσεως δεόμενον. ἐν τούτῳ δὲ πάλιν ἃ προὔθετο διδάσκει δι᾽ ὅλου τοῦ βιβλίου, καὶ διὰ τοῦτο τῶν | μεταξὺ τῶν δύο βιβλίων τούτων ἐξαιρεθέντων 175 προσηκούσης ἐπιγραφῆς ἰδίας ἔτυχε τὸ σύμπαν, ἣν ἐπέγραψάν τινες αὐτῷ, Περὶ φύσεως ἀνθρώπου καὶ διαίτης. ὥςπερ δὲ ἄμεμπτον μέν ἐστι πάντῃ τὸ Περὶ φύσεως ἀνθρώπου, μεμπτὰ δὲ πάντῃ τὰ παρεγγεγραμμένα μεταξὺ τῶν δύο βιβλίων, οὕτω τὸ Περὶ διαίτης ὑγιεινῆς ἐν τοῖς πλείστοις μὲν ἄμεμπτόν ἐστιν, ἐχόμενον ἀεὶ τῆς Ἱπποκράτους στοιχειώσεως, ἔν τισι δ᾽ ἄν τις αὐτῷ μέμψαιτο παντελῶς ὀλίγοις. ὑποκείσθω δ᾽ εἶναι Πολύβου, καθότι πολλοῖς ἔδοξε.

III 1 [1. VI 72, 2 L.] Τοὺς ἰδιώτας ὧδε χρὴ διαιτᾶσθαι.

Τίνας ἰδιώτας λέγει, παραλελοίπασιν οἱ ἐξηγησάμενοι τὸ βιβλίον, οἷς γε δὴ παρέτυχον ὑπομνήμασιν· οὐ μὴν οὐδ᾽ ἐπεζήτησά ποτε κατὰ τὴν παρὰ τοῖς διδασκάλοις ἀνάγνωσιν τοῦ βιβλίου. νυνὶ δὲ γράφειν ἐξήγησιν αὐτοῦ προ|θέμενος ἐπενόησα κακῶς παραλελεῖφθαι τοῖς τε 176 διδασκάλοις ἡμῶν καὶ τοῖς ἐξηγηταῖς ἐπισκέψασθαι, τίνας ἰδιώτας λέγει. δῆλον γὰρ δὴ ὅτι τὴν ἐφεξῆς γεγραμμένην δίαιταν οὐ πᾶσι τοῖς ἀνθρώποις, ἀλλὰ μόνοις τοῖς ἰδιώταις συνεβούλευσεν ὁ Πόλυβος. καὶ μὴν εἰ μόνοις τοῖς ἰδιώταις ὑποθήκας ἔγραψεν, οὐκ ὀρθῶς οἱ ἐξηγη-

1 γαληνοῦ εἰς τὸ περὶ διαίτης ὑγιεινῆς ἱπποκράτους L: γαληνοῦ . . . ἱπποκράτους ὑπόμνημα R^2: γαληνοῦ . . . ἱπποκράτους ἐξήγησις, ὃ πολύβου λέγεται τοῦ ἱπποκράτους μαθητοῦ U: *tit. om.* VR 3 ἓν LR^2: ἐὸν VR: πέμπτον *supr. scr.* R ἐπαγγελλίαν] ί *in ras.* R^2 4 φύσιος *hic et v. 9 et 10* R^2 5 συντετέλευται, *sed supr.* ευται *scr.* εσται R 6 προσθέσεως U: '*kein Bedürfnis zur Hinzusetzung*' H: προφάσεως LVR 7 τῶν *(prius)* LVR: τὰ U δύο LUR: β̄ V ἐξαιρεθέντων LR^2V: ἐξηρεθέντων R: ἐξαιρεθέντα U 8 ἢ U 9 τινες *om.* L 10 μέν *om.* L μεμπτὰ R^2UV: μεμπτὸν R: πεμπτὰ L 11 παρεγγεγραμμένα LR^2U: παραγεγραμμένα V: περιγεγραμμένα R βιβλιδίων U 14 ὀγοις *(sic)* U πολύβου UR: πολυβούλου V: *om.* L 16 τίνας δὲ R 17 οὐδέποτ᾽ U ποτε *om.* U 19 προθέμενος L: προὐθέμενος UVR παρελεῖφθαι U 21 ἐξῆς *(sic)* V

cάμενοι τὸ βιβλίον ἀδιορίcτωc ἤκουcαν, ὡc κοινῇ πᾶcι τοῖc ἀνθρώποιc εἰρημένων αὐτῶν. εὑρίcκων γὰρ δὴ παρὰ τοῖc Ἕλληcιν ἰδιώταc ὀνομαζομένουc οὐχ ἁπλῶc, ἀλλ᾽ ἐν τῷ πρόc τι, (τὸν μὲν γάρ τινα λέγουcιν ἰδιώτην εἶναι τῆcδε τῆc τέχνηc, τὸν δέ τινα τοῦδε τοῦ ἐπιτηδεύματοc, ἐνίοτε δὲ πρὸc τοὺc ἔθνοc ἢ πόλιν διοικοῦνταc ἢ ὅλωc πράττοντάc τι δημόcιον ἀντιδιαιρούμενοι τοὺc οἷον ἰδιοπραγοῦνταc ὠνόμαcαν ἰδιώταc), ἐπιcκεπτομένῳ δή μοι, τίναc τούτων νῦν ὁ Πόλυβοc ἰδιώταc εἴρηκε, τοὺc μὲν ἀθλητικοὺc ἄντικρυc ἐδόκει τῶν ἄλλων ἀνθρώπων ἀποκρίνειν, ἐπειδὴ μίαν ἔχουcιν ἐκεῖνοι δίαιταν ὡριcμένην ἐν ἄρτων καὶ κρεῶν
177 ἐδωδῇ, τούτων δ᾽ ἑξῆc ὅcοι | πολεμοῦcιν ἢ ὁδοιποροῦcιν ἢ καὶ μάχονται· καὶ γὰρ τούτοιc οὐκ ἐγχωρεῖ διακρίνειν ἃ χρὴ προcφέρεcθαι καὶ μὴ προcφέρεcθαι cιτία· χρῆcθαι γὰρ ἀναγκαῖον αὐτοῖc, οἷc ἂν εὐπορήcωcιν ἕκαcτοc. τάχα δὲ καὶ τοὺc ὁπωcοῦν ἐcπευcμέναιc ὁδοιπορίαιc χρωμένουc ἀδύνατόν ἐcτιν ὡc ὁ Πόλυβοc κελεύει διαιτᾶcθαι καὶ ὅλωc τοὺc ἐν ἀcχολίαιc πολιτικαῖc ὄνταc ἢ τῷ καλουμένῳ περιcτατικῷ βίῳ. μόνοιc οὖν τοῖc τὰ ἴδια πράττουcιν, οὓc ὀνομάζουcιν ἰδιοπραγοῦνταc, ἡ ῥηθηcομένη δίαιτα γράφεται.

III 2 [1. VI 72, 2—6 L.] Τοῦ μὲν χειμῶνοc ἐcθίειν ὡc πλεῖcτα, πίνειν δὲ ὡc ἐλάχιcτα. εἶναι δὲ χρὴ τὸ πόμα οἶνον ὡc ἀκρητέcτατον, τὰ δὲ cιτία ἄρτον, τὰ δὲ ὄψα ὀπτὰ πάντα. λαχάνοιcι δὲ ὡc ἐλαχίcτοιcι χρῆcθαι ταύτην τὴν ὥρην· οὕτω γὰρ ἂν μάλιcτα τὸ cῶμα θερμόν τε εἴη καὶ ξηρόν.

178 Τὸ κεφάλαιον εἰπὼν τῆc ὅληc διαίτηc ὀρθῶc ἐποίηcε | προcγράψαc ἐπὶ τῇ τελευτῇ τῆc ῥήcεωc, διὰ τί τῶν εἰρημένων ἕκαcτον αἱρεῖται· θερμαίνειν μὲν γὰρ ἀξιοῖ τὸ cῶμα καὶ ξηραίνειν διὰ τὴν ἀμετρίαν τῆc κατὰ τὴν ὥραν κράcεωc, ὡc, εἴ γε ἦν cύμμετρον, ὡc κατὰ τὸ ἔαρ ἐcτί, cύμμετρον ἂν ἐκέλευcε καὶ τὴν δίαιταν ποιεῖcθαι. φυλάττειν μὲν γὰρ προcήκει τὰ cυμμέτρωc διακείμενα, μεταβάλλειν δὲ τὰ ἀμέτρωc. μεταβολὴ δὲ οὐκ ἄλλωc ἂν ἢ ἐκ τῶν ἐναντίων ἀμετριῶν γίνοιτο. τὸ μὲν γὰρ ἀμετρότερον ἢ τεθερμαcμένον ἢ θερμαινόμενον cῶμα ψύχειν προcήκει, τὸ δὲ ἐψυγμένον ἢ ψυχόμενον θερμαίνειν· ὡcαύτωc δὲ κἀπὶ τῆc

1 κοινῇ LR^{2}U: κοινῶν VR πᾶcιν ἀνθρώποιc U 2 εἰρημένον U αὐτῷ U εὑρίcκομεν R δὴ γὰρ U 3 ἀλλ᾽ . . . δὲ *(5) om.* V γὰρ λέγουcί τινα U τινα *om.* L 4 τοῦ *om.* R: *add.* R^2 5 ἐνίτε *(sic)* U: *corr.* U^1 6 ὠνόμαcεν V 7 δέ μοι L: δήμω V πόλυβοc LR^{2}U: πολύβουλοc VR: *supra* βουλοc *scr.* βοc R 8 ἀθλητὰc VR ἀποκρίναc R: *corr.* R^2 9 ἄρτῳ *omnes praeter* L 11 οὐκέτ᾽ L τε καὶ UV 12 ἀναγκαῖκαῖον R: *corr.* RR^2 εὐπορίcωcιν L 13 εὐπεμμέναιc V: εὐπευμμένουc *(sic) in textu,* ἐcπευcμέναιc *in mg.* R 15 πολιτικοὺc V: πολίταc, *sed supr. scr.* πολιτικαῖc R περιcτατεῖ, *sed supr. scr.* ικῷ R 17 γράφεται] γίνεται *codd.*: *correxi* 19 πίνειν . . . ὥρην *(21) non exar.* R ὡc *(alt.) om.* U 20 ἀκρητέcτερον U 21 ὥραν V 22 ἂν LU: καὶ VR εἴη] ἢ *codd.*: *corr. Chartier* 24 ῥήcεωc] φύcεωc V διαιρεῖται V 25 μὲν *om.* LU 26 κα ὰ τὴν ὥραν *in ras.* U τὴν] τῆc, *sed ipse corr.* R 27 ἂν] δὲ R: *corr.* R^2 28 τὰ *(prius)*] τῷ, *sed ipse supr. scr.* τὰ R διακειμένῳ R: *corr.* R^2 τὰ ἀμέτρωc] τὰc ἀμετρίαc U 29 ἀμετρίων LR 30 *post* ἢ *(prius) add.* χρὴ L 31 δὲ *(prius)* LR^{2}U: *om.* VR

κατὰ τὸ ὑγρόν τε καὶ ξηρὸν ἀμετρίας διὰ τῆς τῶν ἐναντίων προσφορᾶς τὰς νοσαζούσας ὑπερβολὰς καθαιρεῖν χρή, τὴν ἐναντίαν ἀμετρίαν προσφέροντας τοσοῦτον ἀπέχουσαν τοῦ μέσου τε καὶ συμμέτρου, ὅσον ἀφέστηκεν ἡ νοσάζουσα. κατὰ τοῦτο γοῦν ἐν τῷ χειμῶνι ψυχρῷ καὶ ὑγρῷ τὴν κρᾶσιν ὄντι συμφέρει ἐσθίειν μὲν ὡς πλεῖστα, πίνειν δὲ ὡς ἐλάχιστα. πλεῖστα δ' ἀκουστέον οὐχ ὡς πρὸς τὴν δύναμιν, ἀλλ' ὡς πρὸς τὰς ἄλλας ὥρας· ὡσαύ|τως δὲ καὶ πίνειν ὡς ἐλάχιστα 179 πρὸς τὰς ἄλλας ὥρας ἀναφέροντα τὴν παραβολήν. ὁμοίως δὲ εἴρηται καὶ τὸ τὸν οἶνον ἀκρητέστατον εἶναι δεῖν ὡς πρὸς τὴν ἐν ταῖς ἄλλαις ὥραις κρᾶσιν αὐτοῦ. τῷ μέντοι πρὸς τὴν δύναμιν μέτρῳ καὶ τῷ πρὸς τὴν ἐνεστῶσαν ὠφέλειαν προσέχων τὸν νοῦν ἀεὶ τὸ σύμμετρον οἴνου τε καὶ σιτίου δώσεις, ὥσπερ γε καὶ ὕπνου καὶ γυμνασίων καὶ πάντων ἁπλῶς τῶν καλουμένων ὑπὸ τῶν ἰατρῶν 'ἐπιτηδευμάτων.' ὅτι δ' οἶνος ὁ ἀκρητέστατος ⟨θερμότατος καὶ ξηρότατος⟩ καὶ ὅτι τὰ ὀπτὰ κρέα θερμαίνει καὶ ξηραίνει παραβαλλόμενα μάζῃ τε καὶ λαχάνοις, οὐδεὶς ἀγνοεῖ. παραπλησίως δὲ καὶ ὁ ἄρτος, εἰ παραβάλλοιτο μάζῃ, θερμαίνειν τε καὶ ξηραίνειν λεχθήσεται. ταῦτα οὖν ὡς παραδείγματα νομιστέον εἰρῆσθαι τἀνδρί. σὺ δὲ καὶ τῶν ὀσπρίων ἐπιλέξῃ τὰ θερμαίνοντα καὶ ξηραίνοντα, καθάπερ τὴν φακῆν, ἀλλὰ καὶ τῶν λαχάνων ὅσα ταύτην ἔχει τὴν δύναμιν, ὥσπερ ἡ κράμβη, καὶ τῶν κρεῶν ὡσαύτως, οἷα τὰ τῶν ἀγρίων συῶν ἐστι καὶ τὰ ταριχευθέντα. ταῦτα δὲ λέλεκται κἀμοὶ | πάντα παραδείγματος ἕνεκεν. ἡ δὲ σύμπασα 180 κατὰ μέρος ὕλη τῶν τροφῶν ἐν τρισὶν ὑπομνήμασι σύγκειται τήνδε ⟨τὴν⟩ ἐπιγραφὴν ἔχουσι· Περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων.

ὥσπερ οὖν ταῦτα καλῶς εἴρηται περὶ τῆς κατὰ τὰς ποιότητας αἱρέσεως τε καὶ φυγῆς τῶν σιτίων, οὕτω καὶ τὰ περὶ τῆς τῶν σιτίων ποσότητος. ἐσθίειν γὰρ ὡς πρὸς τὰς ἄλλας ὥρας πλεῖστα συγχωρητέον ἐν χειμῶνι, μεμαθηκότας ἐν Ἀφορισμοῖς ὀρθῶς εἰρῆσθαι· "θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι, χειμῶνος ῥῆιστα, ἦρος δεύτερον." εἰ δὲ καὶ διὰ τί γίνεται ταῦτα μαθεῖν ἐθέλοι τις, ἐδίδαξε

18 *sqq. schol. in mg.* U: ση(μείωσαι), ὅτι τῶν ὀσπρίων ἡ φακῆ θερμαίνει καὶ ξηραίνει καὶ τῶν λαχάνων ἡ κράμβη καὶ τῶν κρεῶν τὰ τῶν ἀγρίων συῶν καὶ τὰ ταριχευθέντα 24 Περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων] *VI 453—748 K.; seorsum ed. G. Helmreich. Ansbach 1905—1909* 28 ἐν Ἀφορισμοῖς] *I 18 (IV 468, 3 L.)*

2 καθαίρειν U τὴν . . . προσφέροντας *post* συμμέτρου *(3) transp.* U προσφέροντος VR 4 γοῦν] οὖν U 7 ὡσαύτως . . . ὥρας *(8) om.* L 9 τὸ VR: τῷ U: *om.* L ἀκρητέστατον L: ἀκρατέστατον VR: ἀκρατέστερον U δεῖν εἶναι L πρὸς] *inter* π *et* ρ *ras. unius litt.* (υ) *in* R 10 μετρίῳ L 12 σιτίου LR²U: σίτου VR δεήσεις V γε] γὰρ U γυμνασίων καὶ ὕπνου V γυμνασίαν, *sed ipse corr.* R 14 ἀκρητέστατος L: ἀκρατέστερος UVR θερμότατος καὶ ξηρότατος *addidi* 15 θερμαίνει καὶ ξηραίνει LR²U: θερμᾶναι καὶ ξηρᾶναι VR 17 ξηραίνειν τε καὶ θερμαίνειν LU 18 σὺ δὲ] οὐδὲ R: *corr.* R² 19 φακὴν R ἀλλὰ *om.* L 21 συῶν LU: ζῴων R; σώματα V 22 παραδείγματα V 23. 24 τήνδε τὴν *scripsi*: τήνδ' L: τὴν δὲ VR: τὴν U 24 ἔχουσι LR²U: ἔχουσαν VR 25 ὥσπερ LR²U: ὥστε VR τὰς *om.* L 26 τῶν *(prius) om.* VR σιτίων *(alt.)*] σίτων V 27 ποσότητας, *sed ipse corr.* R τὰς *om.* L 29 σίτον *(sic)* V δυσφορώτατον V φέρουσι *om.* V 30 ἐθέλοι τις LR²: ἐθέλοιτε UVR

καὶ τοῦτο κατὰ τοὺς Ἀφορισμοὺς εἰπών· “αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει”, διότι τὸ περιέχον ψυχρὸν ὂν ἐναποστέγει στεγανοῦν καὶ κατακλείει τὸ ἔμφυτον θερμὸν ἐν τῷ βάθει τοῦ σώματος. ἐν δὲ τῷ θέρει διαφορεῖται μὲν τοῦτο διὰ τῆς διαπνοῆς, διὰ τῆς ἀναπνοῆς δ' ἕλκεται τὸ περιέχον θερμόν· ὀνομάζω δὲ ἀναπνοὴν μὲν τὴν διὰ τοῦ στόματος ἔξω τε καὶ εἴσω φορὰν τοῦ πνεύματος, διαπνοὴν δὲ τὴν δι' ὅλου τοῦ σώματος ὁμοίως γιγνομένην. |

181 **III 3** [1. VI 72, 6—16 L.] Ὅταν δὲ τὸ ἔαρ ἐπιλαμβάνῃ, τό τε πόμα χρὴ πλέον ποιεῖσθαι καὶ ὑδαρέστερον καὶ κατ' ὀλίγον καὶ τοῖσι σιτίοισι μαλθακωτέροισι χρῆσθαι καὶ ἐλάσσοσι καὶ τῶν ἄρτων ἀφαιρέοντα μάζαν προστιθέναι καὶ τὰ ὄψα κατὰ τὸν αὐτὸν λόγον ἔκ τε τῶν ὀπτῶν ἑφθὰ ποιεῖσθαι καὶ λαχάνοισιν ἤδη χρῆσθαι τοῦ ἦρος ὀλίγοισιν, ἕως εἰς τὴν θερινὴν καταστήσεται ὁ ἄνθρωπος, τοῖσί τε σιτίοισι πᾶσι μαλακοῖσι χρώμενος καὶ τοῖσιν ὄψοισιν ἑφθοῖσι καὶ λαχάνοισιν ὠμοῖσι καὶ ἑφθοῖσι καὶ τοῖσι πόμασιν ὡς ὑδαρεστάτοισι καὶ πλείστοισι καὶ ὅκως μὴ μεγάλη ἡ μεταβολὴ ἔσται ἐξαπίνης χρωμένῳ.

Πλεῖον εἶπε καὶ ὑδαρέστερον, οὐ πλεῖστον οὐδὲ ὑδαρέστατον ἐν τῷ ἦρι τὸ πόμα προσφέρεσθαι· τὸ γὰρ πλεῖστον καὶ ὑδαρέστατον ἐν τῷ θέρει κελεύει πίνειν ὡς ἐναντίαν ἔχοντι τὴν κρᾶσιν ἧς ὁ χειμὼν ἔχει. τὸ δὲ ἔαρ, ὥσπερ ἐν τῷ μεταξὺ τῶν ἄκρων ἔχει τὴν κρᾶσιν,
182 οὕτω καὶ | τῆς διαίτης μέσης δεῖται, ψυχροτέρας μὲν καὶ ὑγροτέρας ὡς πρὸς τὸν χειμῶνα, θερμοτέρας δὲ καὶ ξηροτέρας ὡς πρὸς τὸ θέρος. ἐκ τούτων οὖν δῆλόν ἐστιν ὅπως ἀκούειν χρὴ τῆς κατὰ τὸ θέρος τε καὶ φθινόπωρον εἰρημένης ὑπ' αὐτοῦ διαίτης· ὥστ' ἐμοὶ μὲν ὑπερβαίνειν αὐτὸ προσήκει, τοῖς δ' ἀναγινώσκουσι πολλάκις ἐπιμελῶς τε προσέχουσι τὸν νοῦν εἴρηται πάντα σαφῶς, ὡς μηδεμιᾶς ἐξηγήσεως δεῖσθαι παρὰ τὰς ἄχρι δεῦρο λελεγμένας.

1 κατὰ τοὺς Ἀφορισμοὺς] *I 15 (IV 466, 13 L.)*

2 θερμότητος U: *corr.* U¹ φύσει] φησι V ὂν *om.* U 3 στεγανοῦν] τοιγαροῦν U 4 διὰ τῆς διαπνοῆς *om.* U 4. 5 διὰ δὲ τῆς ἀναπνοῆς *colloc.* L 5 ὀνομάζων VR 8. 9 τό τε ... πλείστοισι *(17) non exar.* R 9 ὑδαρέστατον, *deinde mut. in* ὑδαρέστατερον *(sic)* U 10 τοῖς σιτίοις μαλθακωτέροις U ἐλάσσοσι *(o e corr.)* U: ἐλάττοσι L: ἐλάσσουσι V 11 τὸν ἄρτον V ἄρτων ἂν U μᾶζαν UV 13 ἤδη] ἠδὲ V εἰς *(sic)* L 14 καταντήσεται U τε *e* τοι *corr.* U πᾶσι *om.* U 15 τοῖς ὄψοις U λαχάνοις U 16 τοῖς U 17 μὴ] μὲν R ἡ *om.* U ἔσται UV: ἔξαι *(sic)* L: ἐστι R: ἔσοιτο *supr. scr.* U¹ 18 χρωμένοις U 20 ὑδαρέστερον U 21 ὡς] καὶ V 23 δεῖται LR²U: διαιτᾶται VR ψυχρότερον μὲν καὶ ὑγρότερον R: *corr.* R² 24 ὡς πρὸς] ὥσπερ, *sed supr.* περ *scr.* πρὸς *bis eodem v.* R δὲ *om.* V 26 αὐτοῦ LR²U: αὐτῶν V: αὐτῆς R 27 αὐτῷ U τοῖς] τῶν V 28 μηδεμιᾶς LR²UV: νῦν δὲ μέσης, *sed inter* νῦν δὲ *supr. scr.* μή, *pro* μέσης *in mg.* μιᾶς R 29 παρὰ LU: περὶ VR τὰς LR²U: τῆς VR λελεγμένας LR²U: λελεγμένης VR

III 4 [1. VI 72, 16—74, 13 L.] Τοῦ δὲ θέρεος τῇ τε μάζῃ μαλακῇ καὶ τῷ ποτῷ ὑδαρεῖ καὶ πολλῷ καὶ τοῖcιν ὄψοιcιν ἑφθοῖcι πᾶcι· δεῖ γὰρ χρέεcθαι τουτέοιcιν, ὅταν τὸ θέροc ᾖ, ὅκωc ψυχρὸν ᾖ τὸ cῶμα καὶ μαλακόν· ἡ γὰρ ὥρη θερμή τε καὶ ξηρὴ καὶ παρέχεται τὰ cώματα καυματώδεα καὶ αὐχμηρά· δεῖ οὖν τοῖcιν ἐπιτηδεύμαcιν ἀλέξεcθαι. κατὰ δὲ τὸν αὐτὸν λόγον, ὥcπερ ἐκ τοῦ χειμῶνοc ἐc τὸ ἦρ, οὕτωc ἐκ τοῦ ἦροc εἰc τὸ θέροc καταcτή|cεται τῶν μὲν cιτίων ἀφαιρέων, τῷ δὲ ποτῷ 183 προcτιθείc, οὕτω δὲ τὰ ἐνιαύcια ποιέοντα καταcτῆcαι ἐκ τοῦ θέρεοc εἰc τὸν χειμῶνα. ἐν δὲ τῷ φθινοπώρῳ τὰ μὲν cιτία πλείω ποιεύμενον καὶ ξηρότερα καὶ τὰ ὄψα κατὰ λόγον, τὰ δὲ ποτὰ ἐλάccω τε καὶ ἀκρητέcτερα, ὅκωc ὅ τε χειμὼν ἀγαθὸc ἔcται καὶ ὥνθρωποc διαχρήcεται τοῖcί τε πόμαcι καὶ ἀκρητεcτέροιcι καὶ ὀλίγοιcι καὶ τοῖcι cιτίοιcιν ὡc πλείcτοιcί τε καὶ ξηροτάτοιcιν· οὕτω γὰρ ἂν καὶ ὑγιαίνοι μάλιcτα καὶ ῥιγῴη ἥκιcτα· ἡ γὰρ ὥρη ψυχρή τε καὶ ὑγρή.

III 5 [2. VI 74, 14—16 L.] Τοῖcι δὲ εἴδεcι τοῖcι cαρκώδεcι καὶ μαλακοῖcι καὶ ἐρυθροῖcι cυμφέρει τὸν πλείω χρόνον τοῦ ἐνιαυ|τοῦ ξηροτέροιcι τοῖcι διαιτήμαcι χρῆcθαι· ὑγρὴ γὰρ ἡ 184 φύcιc τῶν εἰδέων τούτων.

Ὥcπερ αἱ διαφοραὶ τῶν ὡρῶν ἐνδείκνυνται διάφορον δίαιταν, οὕτω κἂν τοῦ cώματοc αἱ ἕξειc, ἐφ᾽ ἃc νῦν ἧκε cυντελέcαc τὸν περὶ τῶν ὡρῶν λόγον. ὥcπερ δὲ ἐν ταῖc ὥραιc ἐνεδείκνυτο τὴν προcήκουcαν δίαιταν, οὕτω κἀν ταῖc τοῦ cώματοc ἰδέαιc. οἱ μὲν γὰρ cαρκώδειc καὶ μαλακοὶ καὶ ἐρυθροὶ διὰ τὴν τῆc κράcεωc ὑγρότητα τοιοῦτοι γεγόναcιν, οἱ δὲ ἐναντίωc αὐτοῖc διακείμενοι, περὶ ὧν ἐφεξῆc ἐρεῖ, διὰ τὴν ξηρότητα. προcήκει τοιγαροῦν τοὺc μὲν ὑγροὺc ξηροτέρᾳ χρῆcθαι διαίτῃ, τοὺc δὲ ξηροὺc ὑγροτέρᾳ. καὶ εἴπερ ταῦτα ἀληθῶc εἴρηται, πρόδηλον ὅτι καὶ τοὺc εὐκράτουc εὐκράτῳ χρῆcθαι προcήκει τῇ διαίτῃ· λέγω δὲ εὐκράτουc, οὓc οὔτε cαρκώδειc οὔτε ἀcάρκουc, ἀλλ᾽ εὐcάρκουc ὀνομάζουcι.

26. 27 ἐφεξῆc ἐρεῖ] *infra p. 94, 1 sqq.*

1 τοῦ δὲ . . . ὑγρή *(16)* L: *om.* UVRH 1. 2 *post* μαλακῇ *add.* τρέφεcθαι *deteriores codd. Hipp.* 3 ὅκωc . . . cῶμα *(4)* *om* L: *ex Hipp. add. Aldina* 9 ἐναύcια L: *corr. ex Hipp. Aldina* 13 ὥνθρωποc *scripsi*: ὤνθρωποc L 16 *post* ὑγρὴ *commentarii loco* τὰ παρόντα δὴ ταῦτα τεμάχια οὔτε τινὸc ἐξηγητοῦ δέονται πᾶcι δῆλα τοῦ πολύβου ποιήcαντοc οὔτε τινὰ μέθοδον ἀκραιφνῆ ζητοῦντοc, ἀλλὰ καθὰ κεῖται, αὐτὰ καὶ μόνα δῆλα καθεcτήκαcι *add.* R², *i. e. Opizo, Aldinae auctor, quem ipsum arbitror ista finxisse; cf. Galeni verba p. 92, 26 sqq.* 18 καὶ *(alt.)* . . . χρῆcθαι *(19)* *non exar.* R χρόνον] χρώμενον V 22 κἂν L: καὶ UVR αἱ . . . cώματοc *(24)* *om.* L 23 λόγον LR²U: λόγον νῦν VR 25 καὶ *(prius)* *om.* U 26 αὐτοῦ V 28 ἀληθῶc LVR: ὀρθῶc U

III 6 [2. VI 74, 16—19 L.] Τοὺϲ δὲ ϲτρυφνοὺϲ καὶ προϲεϲταλ-
185 μένουϲ καὶ πυρροὺϲ καὶ | μέλαναϲ τῇ ὑγροτέρᾳ διαίτῃ χρὴ τὸν
πλείω διαιτᾶϲθαι χρόνον· τὰ γὰρ ϲώματα ταῦτα ὑπάρχει ξηρά.

Τὰ τῶν κράϲεων γνωρίϲματα γέγραπταί μοι τελέωϲ ἐν τοῖϲ Περὶ κράϲεων ὑπομνήμαϲιν, ἐν οἷϲ ὅτι μὲν οἱ ϲτρυφνοί, τουτέϲτιν οἱ ϲκληροί, καὶ οἱ προϲεϲταλμένοι, τουτέϲτιν οἱ ἰϲχνοί, ξηροτέραϲ εἰϲὶ κράϲεωϲ [ὡϲ] ἐδιδάξαμεν, ὥϲπερ γε καὶ οἱ μέλανεϲ. οὐ μὴν τούϲ γε πυρροὺϲ ἔφαμεν εἶναι ξηροὺϲ τὴν κρᾶϲιν, ἀλλὰ τοὺϲ πληϲιάζονταϲ αὐτοῖϲ κατὰ τὴν χροιάν, οὓϲ 'ξανθοὺϲ' ὀνομάζουϲιν, ἐπεί γε καὶ ἡ ξανθὴ χολὴ τὴν κρᾶϲιν ξηρά ἐϲτι. χρώμενοι δὲ ἐνίοτε τοῖϲ ὀνόμαϲιν οὐκ ἀκριβῶϲ ἔνιοι τῶν βιβλία γραψάντων τὴν τῶν πραγμάτων διδαϲκαλίαν ταράϲϲουϲιν. οὕτω γοῦν τινεϲ ὀνομάζουϲι τοὺϲ Γερμανοὺϲ ξανθούϲ, καίτοι γε οὐκ ὄνταϲ ξανθούϲ, ἐὰν ἀκριβῶϲ τιϲ ἐθέλῃ καλεῖν, ἀλλὰ πυρρούϲ. τὰ δ' ἄλλα τῆϲ προκειμένηϲ ῥήϲεωϲ ἀληθῶϲ τε ἅμα καὶ ϲαφῶϲ εἴρηται.

III 7 [2. VI 74, 19—76, 1 L.] Καὶ τοῖϲι νέοιϲι τῶν ϲωμάτων
186 ξυμφέρει μαλακωτέροιϲι | καὶ ὑγροτέροιϲι χρῆϲθαι τοῖϲ διαιτήμαϲιν· ἡ γὰρ ἡλικίη ξηρὰ καὶ τὰ ϲώματα πέπηγεν ἔτι. τοὺϲ δὲ πρεϲβυτέρουϲ τῷ ξηροτέρῳ χρὴ τρόπῳ τὸ πλέον τοῦ χρόνου διάγειν· τὰ γὰρ ϲώματα ἐν ταύτῃ τῇ ἡλικίῃ ὑγρὰ καὶ μαλακὰ καὶ ψυχρά.

Ἐπὶ τὰϲ ἡλικίαϲ μεταβὰϲ ἐλλιπῆ τὸν διοριϲμὸν ἐπ' αὐτῶν ἐποιήϲατο μὴ τεμὼν εἰϲ τέϲϲαραϲ διαφορὰϲ αὐτάϲ, ἀλλ' εἰϲ δύο μόναϲ. ἐχρῆν δ' εἴπερ ἀπὸ τῶν κατὰ τὰϲ ἡλικίαϲ κράϲεων ἔνδειξιν ἔμελλε λήψεϲθαι τοῦ τρόπου τῆϲ διαίτηϲ, ὥϲπερ αἱ κράϲειϲ τέϲϲαρέϲ εἰϲιν, οὕτω καὶ τὰ τῆϲ ἡλικίαϲ εἰϲ τέϲϲαρα τεμεῖν, ὑγρὰν μὲν καὶ θερμὴν τὴν τῶν παίδων εἰπόντα, ξηρὰν δὲ καὶ θερμὴν τὴν τῶν ἀκμαζόντων, καὶ ξηρὰν μὲν καὶ ψυχρὰν τὴν τῶν παρακμαζόντων, ὑγρὰν δὲ καὶ ψυχρὰν

4. 5 Περὶ κράϲεων] *I 509—694 K.; seorsum ed. G. Helmreich. Lipsiae 1904*

1 δὲ L: μὲν UVR   ϲτεριφοὺϲ U   καὶ . . . χρόνον *(3) non exar.* R   2 πυροὺϲ LU   ὑγροτέρῃ U   4 τὰ δὲ LU   5 κράϲεων LR^{2}U: κράϲεωϲ VR   οἱ *(prius)* LR^{2}U: *om.* VR   τουτέϲτιν οἱ ϲκληροὶ *om.* L   6 οἱ *(alt.)* *om.* U   7 ὡϲ *del. Cornarius*   μήν γε τούϲ γε R   8 πυροὺϲ LUV   εἶναι ἔφαμεν VR   ἀλλὰ . . . χροιὰν *(9) post* κρᾶϲιν *(10) iterav., sed uncis incl.* V   9 χρόαν L   γε *om.* L   10 ξηρὰ τὴν κρᾶϲιν U   11 τῶν τὰ βιβλία U   12 ταράϲϲουϲιν LR^{2}U: πράττουϲιν VR   τινεϲ *om.* L   13 ἐθέλει V: ἐθέλοι R^{2} 13. 14 ἀλλὰ πυρρούϲ *om.* L   14 πυρούϲ V *et e ras.* U   16 τοῖϲιν ἑορϲι *(sic)* VR   17 ξυμφέρει . . . διάγειν *(20) non exar.* R   μαλακοτέροιϲι V   χρέεϲθαι U   τοῖϲι U   18 ξηρὰ, *supra* ὰ *scr.* ὴ U   τὸ ϲῶμα V   18. 19 ἔτι δὲ τοὺϲ U   20 ἡλικίᾳ R   22 τὰϲ] τῆϲ V   ἐπ' αὐτῶν U: *om.* LVR   24 ἔμε-|λε R: *corr.* R^{2} 25 κρᾶϲιϲ, *sed ipse corr.* R   26 τὰ τῆϲ L: τὰϲ UVR   27 παίδων . . . τῶν *om.* U   *post* παίδων *add.* εἰ παίδων, *sed ipse del.* R: *rurs. del.* R^{2} εἰπόντεϲ R: *corr.* R^{2} καὶ *(alt.)* . . . παρακμαζόντων *(28) om.* U   28 παρακμαζόντων LR^{2} *et in mg.* R: ἀκμαζόντων V *et in text.* R

τὴν τῶν γερόντων. ἀλλὰ τὴν μὲν τῶν παιδίων ὑγρὰν καὶ θερμὴν εἶναι προϲήκει, μὴ δυναμένηϲ γε τῆϲ αὐξήϲεωϲ ἐν ἑτέρᾳ κράϲει γενέϲθαι· τὴν δὲ τῶν ἀκμαζόντων, ἐπειδὴ παρὰ τὸ προϲῆκόν γέ ἐϲτι θερμοτέρα καὶ ξηροτέρα, ϲυμφέρει τοῖϲ ἐναντίοιϲ διαιτήμαϲι χρῆϲθαι, καθάπερ γε καὶ τὴν τῶν | παρακμαζόντων· ἐπὶ δὲ τῆϲ τῶν γερόντων ἡλικίαϲ οὐ ϲμι- 187
κρόν ἐϲτι ζήτημα ϲχεδὸν ἅπαϲιν ἠμελημένον, ὑπὲρ οὗ μικρὸν ὕϲτερον ἐρῶ τὸν περὶ τῶν ἔμπροϲθεν ἡλικιῶν ϲυντελέϲαϲ λόγον.

εἰ γὰρ ὡμολόγηται τὰ παιδία πλέον μὲν ἔχειν ὑγρότητοϲ ἢ ϲυμφέρει τοῖϲ ἀβλαβῶϲ ὑγιαίνουϲι, πλέον δὲ θερμότητοϲ (οὐ γὰρ ἁπλῶϲ ἐϲτι θερμὰ καθάπερ οἱ ἀκμάζοντεϲ, ἀλλὰ κατὰ τὴν ἔμφυτον θερμαϲίαν, ἥτιϲ εὔκρατόϲ ἐϲτιν ἐν αἵματι χρηϲτῷ τὴν ὕπαρξιν ἔχουϲα), τὸ μεταξὺ τῶν παιδίων τε καὶ τῶν ἀκμαζόντων, ὅπερ ἔϲτιν ἐφήβων τε καὶ μειρακίων, εἴη ἂν ἐν τῇ ἀρίϲτῃ κράϲει. τῆϲ δ᾽ ἀρίϲτηϲ μέϲηϲ οὔϲηϲ καὶ τὰ διαιτήματα μέϲα τῇ κράϲει προϲήκει ποιεῖϲθαι, μήθ᾽ ὑ γ ρ ό τ ε ρ ο ν ἐργαζόμενα μήτε ξηρότερον ἢ θερμότερον ἢ ψυχρότερον αὐτῶν τὸ ϲῶμα. τὸ μέντοι τῶν παιδίων, εἰ καὶ πλεῖον ὡϲ πρὸϲ ὑγιεινὴν ἕξιν ἔχει τὸ ὑγρόν, ὅμωϲ οὐ χρὴ ξηραίνειν· ἀναυξῆ γὰρ αὐτὰ ποιήϲομεν.

ἐπὶ δὲ τῶν γερόντων, ἐπειδή τινεϲ μὲν αὐτοὺϲ ὑγροὺϲ εἶναι λέγουϲι, τινὲϲ δὲ ξηρούϲ, ἀδιορίϲτωϲ ἑκάτεροι, διοριϲτέον ἡμῖν ἐϲτι κατά τι μὲν ὄνταϲ αὐτοὺϲ ξηρούϲ, κατά τι δὲ ὑγρούϲ· | ἐδείχθη δὲ τοῦτο ἐν 188
τοῖϲ Περὶ κράϲεων. αὐτοῖϲ μὲν γὰρ τοῖϲ ϲτερεοῖϲ τοῦ ϲώματοϲ μορίοιϲ ἐδείχθηϲαν ὄντεϲ ξηροί, περιττώματα δ᾽ ἔχοντεϲ διὰ τὴν ψυχρότητα τῆϲ κράϲεωϲ πολλὰ καὶ δι᾽ αὐτὰ ὑγροὶ λεγόμενοι. κατὰ λόγον οὖν ἔνδειξιϲ ἐναντία τε καὶ διττὴ γίνεται τοῖϲ ἰατροῖϲ ἐπὶ τῆϲ ἡλικίαϲ ταύτηϲ, διὰ μὲν τὴν ξηρότητα τῆϲ τῶν ϲτερεῶν κράϲεωϲ ὑγραίνεϲθαι δεομένων αὐτῶν, διὰ δὲ τὴν περιουϲίαν τῶν ὑγρῶν ξηραίνεϲθαι. πῶϲ μὲν οὖν ἀμφοτέρων ἄν τιϲ ϲτοχάζοιτο, τελέωϲ εἴρηται κατὰ τὴν Ὑγιεινὴν πραγματείαν, ἐν δὲ τῷ παρόντι λόγῳ τὸ κεφάλαιον ὧν ἐν ἐκείνῃ γεγρά-

7 ἐρῶ] *infra v. 18 sqq.* 21 Περὶ κράϲεων] *I 580 sqq. K.* 27 Ὑγιεινὴν πραγματείαν] *VI 319 sqq. K.*

1 παιδίων U: παίδων LVR καὶ θερμὴν U: *om.* LVR 2 γε] LVR: τε U ἑτέρῳ R: *corr.* R² 3 περὶ *et supr. scr.* παρὰ R: *illud del.* R² γέ] τέ *codd.*: *correxi* θερμότηϲ V τε καὶ U 4 ξηρότηϲ V χρῆϲθαι *post* ϲυμφέρει *transp.* VR 5 ἀκμαζόντων, *sed ipse corr.* U μικρόν L 8 ὑγρότητοϲ LR²U: ὑγρότητα VR 9 θερμότητοϲ LR²U: θερμότητα VR 10 ἐϲτι] εἰϲι L 12 παιδίων L: παίδων UVR ἐϲτιν LR²: ἐπ᾽ UVR 14 ἐργαζόμενα L: ἐργαζομένουϲ UVR 16 πλείων V ἔχοι VR 18 ὑγροὺϲ LR²U: ὑγροὺϲ μὴ V: ὑγροὺϲ μὲν R 19 λέγουϲιν, ἔνιοι L 20 αὐτοὺϲ ὄνταϲ VR 21 αὐτῶν V τῶν ϲτερεῶν V τοῖϲ *in ras. ante* τοῦ *add.* V 22 ὄντωϲ U 23 γοῦν U ἔνδειξιν R: *corr.* R² 24 ἐπὶ *scripsi*: ἀπὸ *codd.* 25 κράϲεωϲ] καύϲεωϲ V 26 μὲν *om.* L 27 ἄν τιϲ ἀμφοτέρων LU εἴρητο U

---

tabula aetatum anni et hominis

ἔαρ	παιδίον	θερμὸν καὶ ὑγρόν
θέροϲ	ἀκμάζων	θερμὸν καὶ ξηρόν
φθινόπωρον	παρακμάζων	ψυχρὸν καὶ ξηρόν
χειμών	γέρων	ψυχρὸν καὶ ὑγρόν

φαμεν εἰπεῖν ἀρκέcει· τὰ μὲν cιτία καὶ ποτὰ καὶ τἆλλα πάντα cκοπὸν ἐχέτω τό θ᾽ ὑγρὸν καὶ τὸ θερμόν, ὡc δέον ὑγραίνειν τε καὶ θερμαίνειν τῶν γερόντων τὰ cτερεὰ μόρια τοῦ cώματοc, ἅπερ καὶ μόνα κυρίωc ὀνομαζόντων ἐcτὶ μόρια, προνοητέον δ᾽ ἔμπαλίν ἐcτι τῆc τῶν φλεγματωδῶν περιττωμάτων κενώcεωc. εἴπερ οὖν ἐκ μὲν τῆc Περὶ κράcεων πραγματείαc ἀναλέξαιc τε καὶ μάθοιc ἐπιcτημονικῶc ψυχρὰν καὶ ξηρὰν
189 εἶναι τὴν οἰκείαν τῶν γερόντων κρᾶcιν, ἐπίκτη|τον δὲ ἴcχειν αὐτοὺc ὑγρότητα διὰ τὴν τῶν φλεγματωδῶν περιττωμάτων γένεcιν, ἐλθὼν δὲ ἀπ᾽ ἐκείνων ἐπὶ τὰ τῶν Ὑγιεινῶν ὑπομνήματα προcεπιμάθοιc, ὅπωc χρὴ διαιτᾶν τοὺc γέρονταc, εὔδηλον ἔcται coι τὸ τῆc νῦν προκειμένηc ῥήcεωc ἀδιόριcτον. οὔτε γὰρ εἰc δύο ἐχρῆν διαιρεῖcθαι τὸν ἀνθρώπινον βίον οὔτε ἐπὶ τῶν γερόντων ὑγρὰ καὶ μαλακὰ cώματα εἰρῆcθαι οὔθ᾽ ὅτι ξηροῖc τὴν κρᾶcιν ἐδέcμαcι διαιτητέον αὐτούc.

τοὺc μέντοι νέουc πεπηγότα φήcαc ἔχειν τὰ cώματα καὶ τὴν κρᾶcιν εἶναι ξηροὺc εὔδηλόc ἐcτιν ἐπὶ τῶν ἀκμαζόντων μόνων τὸν λόγον πεποιημένοc καὶ τούτουc ὀνομάcαc νέουc. παρέλιπεν οὖν τήν τε τῶν παιδίων ἡλικίαν καὶ τὴν τῶν παρακμαζόντων, ὡc δὲ ἐγώ φημι, καὶ τὴν εὐκρατοτάτην γε, ἥτιc ἐcτὶν ἐν τῷ μεταξὺ τῶν παιδίων καὶ τῶν ἀκμαζόντων. εὔδηλοc δέ ἐcτι καὶ αὐτὸc ὑποπτεύων τὸν ἑαυτοῦ λόγον· οὐ γὰρ ἁπλῶc εἶπε· τοὺc πρεcβυτέρουc τῷ ξηροτέρῳ χρὴ τρόπῳ διαιτᾶν, ἀλλὰ προcέθηκε τὸ πλέον τοῦ χρόνου· τοῦτο δὲ
190 ταὐτόν ἐcτι τῷ φά|ναι ʻμὴ διὰ παντόcʼ, ὅπερ οὔτε ἕξει τοῦ cώματοc οὔτε ἡλικίᾳ προcέθηκεν ἑτέρᾳ· διὰ παντὸc γὰρ χρὴ τὴν οἰκείαν ἑκάcτῳ cώματι δίαιταν αἱρεῖcθαι.

III 8 [2. VI 76, 1—5 L.] Δεῖ οὖν πρὸc τὴν ἡλικίην καὶ τὴν ὥρην καὶ τὰ εἴδεα τὰ διαιτήματα ποιέεcθαι ἐναντιούμενον τοῖcι καθιcταμένοιcι καὶ θάλπεcι καὶ χειμῶcιν· οὕτω γὰρ ἂν μάλιcτα ὑγιαίνοιεν.

Καθόλου ὁ λόγοc οὗτοc εἴρηται πρὸc αὐτοῦ καὶ caφῶc καὶ ἀληθῶc, ἤδη πολλάκιc ἐν πολλοῖc ἡμῖν διηνυcμένοc.

5 Περὶ κράcεων] *cf. supra p. 95, 21* 9 Ὑγιεινῶν] *cf. supra p. 95, 27*

2 δέον LR^2UV: γε R 4 δ᾽ ἔμπαλίν *scripsi*: δὲ πάλιν *codd.* ἐcτι L: ἐπὶ UVR 6 ἀναλέξειc, *sed supra* ει *scr.* αι V 7 εἶναι VR: *om.* L: οὖcαν U 8 ὑγρότητα *om.* L δὲ *om.* V 10 ἔcται coι *om.* L 11 ἐχρῆν εἰc δύο L διαιρεῖν διαιρεῖcθαι U 13 τὴν κρᾶcιν *om.* L ἐδέcμαcι] διαιτήμαcι L 15 εὔδηλόν LV μόνον V 16 παρέλαcεν, *sed supra* αcεν *scr.* ιπεν R 17 τε *om.* U παιδίων LU: παίδων VR τῶν LR^2U: *om.* VR ὡc ἐγὼ δέ V 18 γε] τε R: *corr.* R^2 παιδείων R τε καὶ UVR 21 τρόπῳ *supr. scr.* R: *in* θρόπῳ *(sic) mut.* R^2 δὲ καὶ R^2 22 τῷ] τὸ U τῇ ἕξει VR τοῦ *om.* U 23 τῇ ἡλικίᾳ VR ἕτερα V 24 αἱρεῖcθαι] εἰρῆcθαι, *sed mut. in* αἱρεῖcθαι *(sic)* U 25 ἡλικίαν R καὶ τὴν . . . χειμῶcιν *(27) non exar.* R 26 εἴδεα U: ἴδεα V: εἴδεα καὶ L ποιεῖcθαι U 27 χειμῶνι U 29 οὗτοc *ex* οὕτωc *corr.* U 30 ἡμῖν *in mg.* U διηγημένοc R: *in* διηνηcμένοc *(sic) mut.* R^2

III 9 [3. VI 76, 6—7 L.] Καὶ ὁδοιπορέειν τοῦ μὲν χειμῶνος ταχέως χρή, τοῦ δὲ θέρεος ἡσυχῇ ἢ μὴ δι᾿ ἡλίου ὁδοιπορέειν. |

Πῶς ὁδοιπορεῖν χρὴ διδάσκει καθ᾿ ἑκάστην τῶν ὡρῶν, τοῦ μὲν **191** χειμῶνος αἱρουμένους τὸν ξηραίνοντά τε καὶ θερμαίνοντα περίπατον, τοῦ θέρους δὲ τὸν ἐναντίον ἢ μὴ δι᾿ ἡλίου, φησίν, ὁδοιπορεῖν· τηνικαῦτα γὰρ ἐπείγεσθαι χρὴ θᾶττον ἀπαλλαγῆναι τῆς γινομένης κατὰ τὴν τοιαύτην ὁδοιπορίαν ξηρότητός τε καὶ θερμότητος ἐν τῷ σώματι.

III 10 [3. VI 76, 7—8 L.] Δεῖ δὲ τοὺς μὲν σαρκώδεας θᾶσσον ὁδοιπορεῖν, τοὺς δὲ ἰσχνοὺς ἡσυχέστερον.

Ἡ ταχεῖα κίνησις τὴν θερμασίαν ἐπὶ πλέον αὐξάνουσα τήκει τὸ σῶμα· κατὰ δὲ τὰς βραχείας κινήσεις ἡ σύμμετρος θερμασία καὶ τὴν αἱμάτωσιν καὶ τὴν θρέψιν ἐργάζεται βελτίονα καὶ διὰ τοῦτο συναίρεται τοῖς ζῴοις εἰς εὐτροφίαν. |

III 11 [3. VI 76, 10—11 L.] Ἠμφιέσθαι δὲ χρὴ τοῦ μὲν χει- **192** μῶνος καθαρὰ ἱμάτια, τοῦ δὲ θέρεος ἐλαιοπινέα.

Εἰ μέν τι συνετώτερον ἐνόησεν ὁ γράψας τοῦ τοῖς ἐξηγηταῖς εἰρημένου πᾶσιν, αὐτὸς ἂν εἰδείη· εἰ δὲ τὰ μὲν καθαρὰ διὰ τὸ μᾶλλον θερμαίνειν ἢ καὶ διὰ τὸ τὰς διαπνοὰς μὴ κωλύειν ἀξιοῖ τοῦ χειμῶνος ἀμφιέννυσθαι, τὰ δὲ ἐλαιοπινῆ τοῦ θέρους ἢ διὰ τὸ ψύχειν ἢ ⟨τὸ⟩ τὰς διαπνοὰς ἀποφράττειν, οὐκ ἐπαινῶ τὸν λόγον· καὶ γὰρ τῶν καθαρῶν ἱματίων ὅσα πυκνὴν ἔχει τὴν ὑφήν, καὶ μάλιστα δέ, ἂν ᾖ τριβακά, ψύχει· τούτοις οὖν ἄμεινον ⟨θέρους⟩ χρῆσθαι· τὰ γὰρ ἐλαιοπινῆ ῥυπαρὰ πάντως ἐστίν, οὐδεὶς δὲ τῶν καθαρίων ἀνθρώπων ἀνέχεται ῥυπαρῶν ἱματίων καὶ μάλιστα θέρους. καὶ μέντοι θερμαίνει χρονίσαντα τὰ ἐλαιοπινῆ μᾶλλον τῶν καθαρῶν, εἰ καὶ κατὰ τὴν πρώτην πρόσπτωσιν εἴη ψυχρότατα. |

1 μὲν τοῦ L 2 τοῦ LR: τὸ UV ἡσυχῇ LU: ἡσυχίαν ἔχειν VR: η *supr.* α *scr.* V ἢ L: *om.* UVR 3 ὅπως U ὁδοιπορέειν U 4 αἱρουμένους L: αἱρούμενος UVR: αἱρούμενον R² τὸν LR²U: τὰ VR θερμαίνοντα καὶ ξηραίνοντα L 5 δὲ θέρους L *post* ἐναντίον *add.* σκοπὸν ποιεῖν R² ἢ] ἢν U ὁδοιπορέειν U 6 κατὰ *om.* U 8 θᾶσσον L: θᾶττον UVR 9 *post* ἡσυχέστερον *add.* λουτροῖσι δὲ χρὴ πολλοῖσι χρέεσθαι τοῦ θέρεος, τοῦ δὲ χειμῶνος ἐλάσσοσι. τοὺς στριφνοὺς χρὴ μᾶλλον λούεσθαι τῶν σαρκωδέων *Hipp. codd., quae a Galeno in commentario v. 10 sqq. non respiciuntur* 10 ἡ *om.* L πλεῖον R: πλεῖστον V συντήκει U 11 βραδείας U 15 ἐλαιοπιναῖα U 16 εἰ μέν τι *Schoene*: τί μέν τι L: εἰ δὲ U: τί μὲν VR ἐπενόησεν R² ἡγουμένου, *sed* εἰρημένου *supr. scr.* R 18 ἢ *in ras.* R² διὰ L: *om.* UVR τοῦ LR²U: τοῦ μὲν VR 19 τὸ *inserui* 21 πυκνὴν LR²U: πυκνῶς VR καὶ *om.* L 22 τούτων VR ἄμεινόν ἐστι U θέρους *add. Diels* 23 καθαρείων L 25 ἐλαιοπινᾶ V πρόσπτωσιν LU: πρόπτωσιν R²: στρόπωσιν V: τρόπησιν *in text.*, πρόφασιν *in mg.* R 26 ψυχρότητα V

193 **III 12** [4. VI 76, 12—18 L.] Τοὺϲ παχέαϲ χρὴ ὅϲοι βούλονται λεπτοὶ γενέϲθαι τὰϲ ταλαιπωρίαϲ νήϲτιαϲ ἐόνταϲ ποιέϊϲθαι ἁπάϲαϲ καὶ τοῖϲι ϲιτίοιϲιν ἐπιχειρεῖν ἀϲθμαίνονταϲ καὶ μὴ ἀνεψυγμένουϲ καὶ προπεπωκόταϲ οἶνον κεκρημένον μὴ ϲφόδρα ψυχρὸν καὶ τὰ ὄψα ϲκευάζειν ϲηϲάμοιϲιν ἢ ἡδύϲμαϲι καὶ τοῖϲιν ἄλλοιϲι τοῖϲι τοιουτοτρόποιϲι· καὶ πλέονα δὲ ἔϲτω· οὕτω γὰρ ἂν ἀπό γε ἐλαττόνων πεμμάτων ἀνεμπίπλαιντο.

Τὸ κατὰ τὴν τελευτὴν τῆϲ ῥήϲεωϲ εἰρημένον, τὸ οὕτω γὰρ ἂν ἀπὸ ἐλαττόνων ἀνεμπίπλαιντο, τινὲϲ μὲν ἐπὶ πάντων τῶν προειρημένων εἰρῆϲθαί φαϲι, τινὲϲ δὲ ἐπὶ τῶν ὄψων μόνων, ἃ διὰ ϲηϲάμων τε καὶ τῶν ὁμοίων ϲκευάζεϲθαι κελεύει καὶ ἄλλων τινῶν πολλῶν.

τὰ προειρημένα δέ ἐϲτι τό τε νῆϲτιν γυμνάζεϲθαι (κενοὶ γὰρ φανερῶϲ τοῦτο, καθάπερ πληροὶ τὸ μετὰ τροφήν) ἔτι τε πρὸϲ τούτοιϲ 194 τὸ ἀϲθμαίνονταϲ ἀπὸ τῶν γυμναϲίων ἐϲθίειν οὐδέπω τῆϲ ἐπ᾽ αὐ|τοῖϲ θερμαϲίαϲ διαπεφορημένηϲ οὐδὲ ἀνεψυγμένου τοῦ ϲώματοϲ· ὅπερ ὅτι μὲν αἴτιον γίνεται τοῦ ταχέωϲ ἐμπίπλαϲθαι, ϲαφῶϲ φαίνεται· εἰ δὲ κατ᾽ ἄλλον τινὰ λόγον ὁ τοῦ βιβλίου ϲυγγραφεὺϲ βούλεται λεπτύνειν αὐτό, τοῦθ᾽ ἡμῖν ἄδηλόν ἐϲτιν. ὅτι μέντοι πολλοῖϲ τοῦτο τῶν ἐν τοῖϲ ϲπλάγχνοιϲ ἐμφράξεων αἴτιον ἐγένετο καὶ μάλιϲτα τῶν κατὰ τὸ ἧπαρ, ἀκριβῶϲ οἶδα, καθάπερ γε καὶ τὰ μετὰ τροφὴν ὀξέα γυμνάϲια. καὶ μέντοι καὶ τὰ λουτρὰ τοῖϲ ϲτενὰϲ ἔχουϲι κατὰ τὸ ἧπαρ διεξόδουϲ τῆϲ τροφῆϲ ἐμφράξειϲ ἐργάζεται. λέλεκται δέ μοι περὶ τούτων ἁπάντων ἅμα τοῖϲ οἰκείοιϲ διοριϲμοῖϲ ἐν τῇ τῶν Ὑγιεινῶν πραγματείᾳ.

λοιπὸν δ᾽ ἂν εἴη περὶ αὐτῆϲ τῆϲ λέξεωϲ διαϲκέψαϲθαι, καθ᾽ ἣν φηϲι· καὶ προπεπωκόταϲ οἶνον μὴ πάνυ ψυχρόν. ὡϲ γὰρ ψυχρὸν μὲν εἶναι κελεύων αὐτόν, οὐ πάνυ δὲ ψυχρόν, οὕτωϲ ἐποιήϲατο τὸν

15 ἀϲθμαίνονταϲ] *schol.* U: ἆϲθμα λέγεται ἡ πυκνὴ καὶ ϲυνεχὴϲ ἀναπνοή
24 Ὑγιεινῶν] *VI 81 sqq. K.*

1 *inscriptionis loco* περὶ καθαιρέϲεωϲ ϲαρκῶν καὶ αὐξήϲεωϲ U 2 τὰϲ ... ἐλαττόνων *(7) non exar.* R 5 ϲφόδρα] *infra in comm. v. 26 sqq. Galenus* πάνυ *legit cum vulgaris notae codd. Hipp.* ϲκευάζειν U: παραϲκευάζειν L: παρα *del.* L^1: ϲκευάϲαϲ V ϲιϲάμοιϲιν V ἢ *om.* LU ἡδύϲμαϲι] ὑδ *et post spat. 3 litt.* υγμαϲι V 6 τοῖϲιν V: τοῖϲ LU ἄλλοιϲι τοῖϲι *om.* U τοιουτοτρόφοιϲι L; τοιουτοτρόφοιϲ U καὶ *om.* LU πλείονα V: πίονα *codd. Hipp.* 7 ἀνεμπίπλαιντο *scripsi* (ἀνεμπίμπλαιντο *Cornarius*): ἀνεμπίπλανται V: ἀνεμπίμπλανται R: ἐμπίπλανται L: ἀναπίπλαται U 9 τὸ *(alt.) om.* L ἂν *om.* UVR 10 ἐλαττόνων L: ἐλαχίϲτων UV: ἐλαχίϲτου R ἀνεμπίπλαιντο *scripsi* (ἀνεμπίμπλαιντο *Cornarius*): ἀνεμπίπλαται *(sic)* VR: ἐμπίπλανται LU *post* ἀνεμπίπλαιντο *rep.* τὸ κατὰ τὴν τελευτὴν τῆϲ ῥή, *sed ipse uncum erroris signum pos.* V μὲν *om.* L
11 ϲηϲάμων LR^{2}U: ϲιϲάμων VR 12 ἄλλων τινῶν πολλῶν] ἄλλωϲ εἶναι πλέονα U πολλῶν] πλειόνων L 13 τε] γε L 14 τὴν τροφὴν U 15 ἀκμαίνονταϲ, *sed* ϲθ *supr. scr.* R: *idem rursus pinguiore atramento* R^2 ἐπ᾽] ὑπ᾽ U αὐτῶν U 16 θερμάνϲεωϲ V 17 ἐμπιπλᾶϲθαι VR 18 ϲυγγραφεὺϲ LR^{2}U: *om.* VR βούλεται] οἴεται U αὐτό] *accusat. subiecti loco, scil.* τὸ ἀϲθμαίνονταϲ καὶ μὴ ἀνεψυγμένουϲ ἐϲθίειν 21 τὰ *om.* L γυμνάϲια] ια *in ras. 9 fere litt.* U 25 λέξεωϲ] λ *et* ξ *in ras.* U ϲκέψαϲθαι (ϲκέψ *in ras.*) U
26 οἶνον κεκραμένον U μὴ] καί, *sed* μὴ *supr. scr.* R πάνυ] *in lemmate* ϲφόδρα *legitur* ὡϲ γὰρ ψυχρὸν *in textu om., in mg. add.* R 27 δὲ *om.* U

λόγον. οὐ πάνυ δὲ ὅλως ἀξιοῖ μετὰ τὰ γυμνάσια πίνειν οἶνον εὐθέως, ἀλλ᾽ ὕδωρ πρότερον, ὥςπερ καὶ οἱ ἀθληταὶ ποιοῦςι ταυτὶ τῇ πείρᾳ δεδιδαγμένοι· κεφαλῆς τε γὰρ ἅπτεται ὁ οἶνος καὶ ⟨βλάπτει τὴν γαςτέρα⟩, εἰ μετὰ τὸ βαλανεῖον εὐθέως πίνοιτο πρότερος τῶν ἄλλων | ἁπάντων 195 ἐδεςμάτων τε καὶ πομάτων. οὐ μὴν οὐδὲ ἡ τοῦ ψυχροῦ πόςις ἐπὶ τοῖς γυμναςίοις ἄνευ τοῦ προπιεῖν θερμὸν ἀβλαβές ἐςτι· βλάπτει γὰρ καὶ αὐτὴ ςαφῶς τήν τε γαςτέρα καὶ τὸ ἧπαρ, τινῶν δὲ καὶ τὰ νεῦρα. καὶ μέντοι καὶ τὰς ἕξεις ὁ ψυχρὸς οἶνος ἐπιτονοῖ, βούλεται δὲ ὁ ταῦτα γράψας ἐκλύειν αὐτάς. μή τι οὖν ἑτέρως μὲν ἦν γεγραμμένον, ἥμαρτε δὲ ὁ μεταγραψάμενος αὐτό; πολλὰ γὰρ ὁρᾶται καὶ νῦν τοιαῦτα γινόμενα, καὶ δέον ἀντὶ τοῦ ʽμηδόλως ψυχρόν᾽ αὐτὸν γράψαι ʽμὴ λίαν θερμόν᾽. ὁ γὰρ ἀςθμαίνουςιν ἔτι διδόναι τὴν τροφὴν ἀξιῶν, ἀτμῶν πολλῶν ὄντος μεςτοῦ τοῦ ςώματος, βουλήςεται καὶ δι᾽ οἴνου πόςεως θερμοῦ πληρῶςαι μᾶλλον αὐτούς· πεφυκότος δὲ τοῦ πάνυ θερμοῦ παραπληςίως τῷ ψυχρῷ ςυνάγειν καὶ τονοῦν τὴν γαςτέρα φυλάττεται πρᾶξαι τοῦτο.

III 13 [4. VI 76, 18—19 L.] Καὶ μονοςιτέειν καὶ ἀλουτέειν καὶ ςκληροκοιτέειν καὶ γυμνὸν περιπατεῖν, ὅςον οἷόν τε μάλιςτ᾽ ἂν εἴη. |

Κάλλιον ἦν εἰρῆςθαι πρὸς αὐτοῦ μὴ μονοςιτεῖν, ἀλλ᾽ ὀλιγοςι- 196 τεῖν· ἔνιοι γὰρ τῶν μονοςιτούντων πολὺ πλείω προςφέρονται τῶν δὶς ςιτουμένων. ὥςπερ δὲ τὸ λουτρὸν ἐκθερμαῖνον τὸ ςῶμα καὶ μάλιςτα τοὐκτὸς εἰς ἀνάδοςίν τε τροφῆς καὶ πρόςθεςιν τῶν ἀναδοθέντων ςυντελεῖ, κατὰ τὸν αὐτὸν λόγον ἡ ἀλουςία τοῖς ἐναντίοις ςυναίρεται. καὶ ἡ ςκληροκοιτία δὲ λυπεῖ καὶ ςυνέχει καὶ ςκληρύνει καὶ ςφίγγει τὸ ςῶμα καὶ διὰ τοῦτο τὴν εἰς πᾶν μέρος ἐπίδοςιν αὐτοῦ κωλύει. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὸ γυμνὸν περιπατεῖν· ψύχει μὲν γὰρ ἅπαντα τὰ μετὰ τὸ δέρμα μόρια, ςυνελαύνει δὲ εἰς τὸ βάθος καὶ τὰ ςπλάγχνα τὴν θερμαςίαν, ὡς πέττεςθαι μὲν καλῶς τὰ ςιτία, τὴν δὲ πάντῃ φορὰν αὐτῶν κωλύεςθαι.

14 πεφυκότος κτέ.] *schol. in mg.* U: ὅρα, ὅτι ὁ πάνυ θερμὸς οἶνος ἢ ὕδωρ τὸ ἄγαν θερμὸν παραπληςίως τῷ ψυχρῷ ςυνάγει καὶ τονοῖ τὴν γαςτέρα

1 οὐ πάνυ *coniunge cum* εὐθέως, ὅλως *cum* ἀξιοῖ   ἀξιοῖ LR^2: ἀξιῶ UVR   3 ὁ L: *om.* UVR   βλάπτει τὴν γαςτέρα *add. Schoene; vide* καὶ αὐτὴ *v. 6*   6 προπιεῖν] προ *supr. scr.* V   ἀβλαβής U   βλάπτει LR^2U: βλάπτεται VR   γὰρ] τε U   7 τε γαςτέρα U: γε γαςτέρα VR: γαςτέρα τε LR^2 τινῶν LR^2: τῶν UVR   8 ἐπιτονοῖ] *supr.* τονοῖ *scr.* τείνει L   ἐπιλύειν, *sed supr. scr.* ἐκ V   9 μή τι LR^2V: μήτε R: μήποτ᾽ U   μεταγραψάμενος] μεταγράψας, *sed supra* ς *scr.* μενος L   10 καὶ νῦν τοιαῦτα L: καὶ νῦν τὰ τοιαῦτα U: τοιαῦτα καὶ νῦν VR   11 δέον U: δέος LR^2VR μήθ᾽ ὅλως VR   ψυχρὸν *post* λίαν, θερμὸν *post* μηδόλως *codd.*: *invert. Diels*   αὐτὸν LR^2: αὐτὸ VR: αὐτῷ U   12 διδόναι *post* ἀξιῶν *transp.* L   ὄντος πολλῶν L   13 δὲ καὶ R   14 παραπλήςιον L: *corr.* L^1 15 τε καὶ U   φυλάξεται U   τοῦτο πρᾶξαι U   17 ςκληροκητέειν R   γυμνὸν L: ςυχνὸν UVR   μάλιςτα *omissis* ἂν εἴη U   19 κάλλιον ἂν ἦν VR   αὐτοῦ LU *et e corr.* VR: αὐτῷ R^2 *et primitus* VR   μονοςιτέειν R   20 προφέρονται R   22 τὸ ἐκτὸς L   24 καὶ ςκληρύνει *om.* VR   25 καὶ *om.* L   26 δὲ *om.* V   γὰρ L: *om.* UVR   28 ςπλάγχνα καὶ R^2 29 κωλύεςθαι L: κωλύειν VR: κωλύει U

III 14 [4. VI 76, 20—78, 2 L.] Ὅϲοι δὲ βούλονται λεπτοὶ ἐόντεϲ παχύτεροι γενέϲθαι, τά τε ἄλλα ποιέειν τἀναντία ἐκείνοιϲ καὶ νήϲτιαϲ μηδεμίαν ταλαιπωρίαν ποιέεϲθαι. |

197 Τἀναντία τῶν εἰρημένων τοῖϲ παχέϲιν ἐϲτὶ τὸ μήτε ἀϲθμαίνονταϲ ἐπιχειρεῖν τοῖϲ ϲιτίοιϲ, ἀλλ᾽ ὅταν ἤδη κατὰ φύϲιν ἀναπνέωϲι, μήτε μονοϲιτεῖν, ἀλλ᾽ ἤτοι δὶϲ ἐϲθίειν ἢ καὶ τρίϲ. οὕτω δὲ καὶ ταῖϲ ἀλουϲίαιϲ ὁ τἀναντία ποιῶν λούϲεται δίϲ, ἐξ ἅπαντοϲ μὲν ἐπὶ χρήϲει τροφῆϲ τὸ δεύτερον λουτρὸν παραλαμβάνων, ἐϲθ᾽ ὅτε δὲ καὶ τὸ πρῶτον. οὕτω δὲ καὶ τὰ γυμνάϲια βραχέα τε γυμνάϲεται καὶ βραδέα καὶ μετὰ τροφήν. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὸ μαλακῶϲ κοιμᾶϲθαι καὶ μὴ γυμνὸν ὁμιλεῖν τῷ περιέχοντι τούτοιϲ ἐϲτὶ χρήϲιμον. διὰ τοῦτο γοῦν καὶ οἱ γυμναϲταὶ τὰ μὲν μετὰ τοῦ προϲάπτεϲθαι καὶ τοῦ ϲωματομαχεῖν (οὕτω γὰρ ὀνομάζουϲιν αὐτοί τινα) γινόμενα γυμνάϲια παραλαμβάνουϲιν ἐφ᾽ ὧν ϲαρκῶϲαι θέλουϲι, φυλαττόμενοι γυμνοὺϲ γυμνάζειν αὐτοὺϲ τὸ ϲῶμα καὶ μὴ μετὰ ϲυμπλοκῆϲ· ἔμπαλιν δὲ ὅϲουϲ λεπτῦναι βούλονται, μετὰ τοῦ ταχέοϲ γυμναϲίου καὶ χωρὶϲ τῆϲ πρὸϲ ἕτερον ϲυμπλοκῆϲ γυμνάζουϲιν.

III 15 [5. VI 78, 3—11 L.] Τοῖϲι δὲ ἐμέτοιϲι χρὴ καὶ τοῖϲι
198 κατακλύϲμαϲι τῆϲ | κοιλίαϲ ὧδε χρῆϲθαι· ἓξ μῆναϲ τοὺϲ χειμερινοὺϲ ἐμέειν· οὗτοϲ γὰρ ὁ χρόνοϲ φλεγματωδέϲτεροϲ τοῦ θερινοῦ καὶ τὰ νοϲήματα γίνεται περὶ τὴν κεφαλὴν καὶ τὸ χωρίον τοῦτο τὸ ὑπὲρ τῶν φρενῶν. ὅταν δὲ ᾖ τὰ θάλπεα, τοῖϲι κατακλύϲμαϲι χρῆϲθαι· ἥ γὰρ ὥρη καυματώδηϲ καὶ χολωδέϲτερον τὸ ϲῶμα καὶ αἱ βαρύτητεϲ ἐν τῇ ὀϲφύι καὶ ἐν τοῖϲι γούναϲι καὶ θέρμη γίνεται καὶ ἐν τῇ γαϲτρὶ ϲτρόφοι γίνονται. δεῖ οὖν τὸ ϲῶμα ψύχειν καὶ τὰ μετεωριζόμενα κάτω ὑπάγειν ἀπὸ τῶν χωρίων τούτων.

Τίνα καλεῖ κατακλύϲματα, διὰ τῶν ἐφεξῆϲ ἐδήλωϲεν αὐτὸϲ τά τε ἀπὸ τῶν γαλάκτων εἰπὼν καὶ τὸ ἀπὸ τῶν ἐρεβίνθων ἑψημένων

28 ἐφεξῆϲ] *infra p. 101, 24 sqq.*

1 δὲ *om.* R 2 τὰ ἐναντία L 3 ποιεῖϲθαι U 4 τὰ ἐναντία U τοῖϲ εἰρημένοιϲ, *sed ipse corr.* R 5 ἐπιχειρεῖν] χει *in ras.* R² τοῖϲ *om.* U ἀναπνέουϲι U 6 ἤτοι] ἢ U 7 ἐξ ἅπαντοϲ] *latine „utique"; cf. XVI 619 ex. K.* ἐπὶ χρήϲει τροφῆϲ *Schoene*: ἐπιχειρήϲει τροφῆϲ L: ἐπὶ χρόνου τροφῇ VR: ἐπὶ τροφῇ U: χρόνου ἐπὶ τροφῇ *Cornarius*, ἐπὶ τροφῇ χρόνου *Chartier, neuter recte* 8 παραλαμβάνων LR²U: περιλαμβάνων VR 10 μὴ *om.* L 12 οἱ] αἱ U τοῦ *(alt.)* L: *om.* UVR 13 τινα *om.* U παραλαμβάνουϲιν LR²U: περιλαμβάνουϲιν VR 14 τὸ γυμνοὺϲ R: τὸ *eras.* R² 14. 15 αὐτοὺϲ τὸ ϲῶμα R²U: αὐτοῖϲ τὸ ϲῶμα L: τὸ ϲῶμα αὐτοὺϲ VR 15 μὴ μετὰ] χωρὶϲ U 16 ταχέωϲ U πρὸϲ ἕτερον L: πρότερον UV: πρώτηϲ R 19 κατακλύϲμαϲι] κάτω κλύϲμαϲι U κοιλίηϲ VR ὧδε . . . ὑπάγειν *(27) non exar.* R ἓξ] ϛ̄ V 21 γίνονται LV 22 τὸ *om.* V 24 αἱ *om.* V ἐν *(alt.)* *om.* L 25 τοῖϲ U θερμὴ V 26 γίνονται *om.* U 27 χώρων *(sic)* V 29 ἑψημένον R

ὕδωρ ἅλμην τε καὶ θάλασσαν. ἕτερα γάρ ἐστι τούτων τὰ καθαίροντα φάρμακα κενωτικὰ τοῦ παντὸς ὄντα σώματος. ὥσπερ οὖν τὰ βαλανεῖα κατακλύζειν οἱ βαλανεῖς λέγουσι τῶν ἐν αὐτοῖς λίθων ἀποπλύνοντες τὸν πηλὸν καὶ τὸν ῥύπον, οὕτω καὶ τὰ τῆς γαστρός τε καὶ τῶν | ἐν- **199**
τέρων κατακλύσματα περιπλύνει τὸ φλέγμα καὶ τὴν χολὴν αὐτῶν. ἐπεὶ τοίνυν ἐν τῷ χειμῶνι φλέγμα γεννᾶται κατὰ τὴν κοιλίαν, ἐκκενοῦν αὐτὸ διὰ τῶν ἐμέτων συμβουλεύει, τοῦ θέρους δὲ τὴν ἐπιπολάζουσαν ἄνω χολὴν ἀντισπᾶν κάτω. καθαίρειν μέντοι τὸ σύμπαν σῶμα βουληθέντι σοι θέρους μὲν διὰ τῆς ἄνω, χειμῶνος δὲ διὰ τῆς κάτω κοιλίας φαρμακευτέον, ὡς ἐν Ἀφορισμοῖς εἴρηται· τὰ μὲν γὰρ ἤδη πλεονάζοντα ἡ κάθαρσις ἰᾶται διὰ τῶν χωρίων ᾗ ῥέπει τὴν κάθαρσιν ποιουμένων (ἀκτέα γὰρ ᾗ ῥέπει διὰ τῶν συμφερόντων χωρίων), ὅσα δὲ κωλῦσαι θέλεις αὐξηθῆναι, διὰ τῶν ἀντικειμένων χωρίων ἀντισπᾶν προσήκει.

III 16 [5. VI 78, 11—14 L.] Ἔστω δὲ τὰ κατακλύσματα τοῖσι μὲν παχυτέροισι καὶ ὑγροτέροισιν ἁλμυρώτερα καὶ λεπτότερα, τοῖσι δὲ ξηροτέροισι καὶ προσεσταλμένοισι καὶ ἀσθενεστέροισι λιπαρώτερα καὶ παχύτερα. |

Τὰ τμητικώτερα μὲν ἐπὶ τῶν παχυτέρων προσφέρειν ἀξιοῖ (φλε- **200**
γματικώτεροι γὰρ οὗτοι), τὰ λειότερα δὲ ἐπὶ τῶν ἰσχνῶν ὡς ἂν χολωδεστέρων ὄντων. ὁποῖαι δέ εἰσιν ἑκατέρων αἱ ὗλαι, διὰ τῆς ἐχομένης ῥήσεως ἐδήλωσεν ἐξηγήσεως οὐ δεομένης, διὸ καὶ παραλιπὼν αὐτὴν ἐπὶ τὰ συνεχῆ τρέψομαι.

III 17 [5. VI 78, 14—17 L.] Ἔστι δὲ τῶν κατακλυσμάτων λιπαρὰ καὶ παχέα τὰ ἀπὸ τῶν γαλάκτων καὶ ἀπὸ ἐρεβίνθων ὕδωρ ἑφθὸν καὶ | τῶν ἄλλων τῶν τοιούτων, λεπτὰ δὲ καὶ ἁλμυρὰ τὰ τοιαῦτα, ἅλμη καὶ θάλασσα.

10 Ἀφορισμοῖς] *IV 4 (IV 502, 12 L.)*

1 ἅλμην] η *in ras.* V 2 κενωτὰ R: *corr.* R² σώματος ὄντα VR 6 τὸ φλέγμα L ἐκκαινοῦν, *sed ipse corr.* R 7 θέρους] θερμάναι *(sic)* V δὲ] καὶ U 8 ἄνω LR²U: *om.* VR ἐπισπᾶν L 11 κάθαρσιν] κένωσιν U ποιουμένων LR²: ποιούμενος UVR 12 ἀκτέον U ξυμφερόντων L 15 ἔσται VR τοῖσι . . . ἀσθενεστέροισι *(17) non exar.* R 16 μὲν *om.* U παχυτέροισιν *omissis* καὶ ὑγροτέροισιν U ἁλμυρότερα V 18 λιπανώτερα *(sic), sed* ι *in ras.* V: λιπαρώτερον R παχύτερον R *post* παχύτερα *perperam add.* ἔστι δὲ . . . θάλασσα, *quae infra v. 24—27 secundum* L *a me scripta sunt, ex Aldina edd.*: *utroque loco om.* UVRH 19 τιμητικώτερα R: *corr.* R² ἀξιοῖ προσφέρειν VR φλεγματικοὶ L 21 ἑκάτεραι *primo, deinde* ἑκάτερον R: *corr.* R² 22 δεομένης LR²U: δεομένοις VR αὐτὴν] *scil.* τὴν ἐξήγησιν, *non* τὴν ῥῆσιν 24 ἔστι . . . θάλασσα *(27)* L: *om.* UVRH 26 ἐφθὸν *(sic)* L: ἑφθὸν *ex Hipp. restitui*: ἑφθὲν *ex Aldina edd.*

III 18 [5. VI 78, 17—19 L.] Τοὺς δὲ ἐμέτους ὧδε χρὴ ποιεῖϲθαι· ὅϲοι μὲν τῶν ἀνθρώπων παχεῖϲ εἰϲι, νήϲτιεϲ ἐμούντων δραμόντεϲ ἢ ὁδοιπορήϲαντεϲ διὰ τάχεοϲ κατὰ μέϲον ἡμέρηϲ.

Ἐκτεθερμάνθαι βούλεται τὸ ϲῶμα τοῖϲ παχέϲιν ἐμεῖν μέλλουϲιν
201 ἕνεκα τῆϲ χύϲεωϲ τῶν φλεγματικῶν χυμῶν, οὓϲ | πλείουϲ ἔχουϲιν οἱ παχεῖϲ. ἀλλὰ καὶ ἡ τῶν ἀγγείων ἀναϲτόμωϲιϲ ἁπάντων τε τῶν κατὰ λεπτὸν πόρων ἀραίωϲιϲ οὕτωϲ ἂν μάλιϲτα γένοιτο. χρήϲιμα δὲ ταῦτα πάντα πρὸϲ τὸ ῥαδίωϲ τε καὶ ἀλύπωϲ γίνεϲθαι τὸν ἔμετον.

III 19 [5. VI 78, 19—80, 1 L.] Ἔϲτω δὲ ἡμικοτύλιον ὑϲώπου τετριμμένηϲ ἐν ὕδατοϲ χοεῖ καὶ τοῦτο ἐκπιέτω ὄξοϲ παραχέων καὶ ἅλαϲ παραβάλλων, ὅκωϲ ἂν μέλλῃ ἥδιϲτον ἔϲεϲθαι.

Ὅτι τμητικὸν εἶναι βούλεται τὸ πόμα καὶ δι' ἥντινα αἰτίαν, οὐκ ἄδηλον. ἐπεὶ γὰρ οἱ παχεῖϲ ἄνθρωποι καὶ τοὺϲ χυμοὺϲ ἔχουϲι τοὐπίπαν παχεῖϲ τε καὶ ψυχροὺϲ καί τιναϲ αὐτῶν καὶ γλίϲχρουϲ, διὰ τοῦτο τμητικὸν εἶναι κελεύει τὸ ποτὸν αὐτῶν. ὁπόϲον δέ τι τὸ πλῆθοϲ δίδωϲιν οὗ ϲυντίθηϲι πόματοϲ, οὐκ ἀκριβῶϲ ἔχω φάναι διὰ τὸ τὸ μέτρον ἔϲτιν ὅτε ὃ καλοῦϲι χοέα μὴ τὸ αὐτὸ μέγεθοϲ ἔχειν παρὰ πᾶϲιν. εἰ δὲ τὸν
202 Ἀττικὸν κελεύει πίνειν, οὐ πάνυ τι ϲυντίθεμαι | τῷ πλήθει· πολὺ γὰρ εἶναί μοι δοκεῖ. ϲύνηθεϲ μέντοι τοῖϲ παλαιοῖϲ ἦν, εἴτε ὀρρῷ γάλακτοϲ εἴτε τοιούτῳ τινὶ κατακλύϲματι προείλοντο χρῆϲθαι, πάμπολυ τῷ πλήθει διδόναι πίνειν.

III 20 [5. VI 80, 1 L.] Πινέτω δὲ τὸ μὲν πρῶτον ἡϲυχέϲτερον, ἔπειτα δὲ ἐπὶ θᾶϲϲον.

Ἐὰν μὲν ἐν ἀρχῇ πίῃ λάβρωϲ, εὐθέωϲ ἐμεῖται πρὶν ἐκπιεῖν τὸ πᾶν ἀπορρύψαι τε τοὺϲ ἐν τῇ γαϲτρὶ χυμούϲ, οἷϲ ϲυνεκκενοῦνται καὶ

1 δὲ LU: *om.* VR 2 εἰϲὶ παχεῖϲ εἰϲι *(sic)* VR 3 διὰ *om.* L ταχέοϲ VR: ταχέωϲ LU: *corr. ex Hipp. Chartier* 4 ἡμέρηϲ LV: ἡμέραϲ UR 5 ἐκτεθερμάνθαι L: ἐκτεθερμᾶϲθαι UVR μέλουϲιν U 7 τε καὶ *perperam Cornarius* 7. 8 κατὰ λεπτὸν LVR: κατὰ λεπτῶν U: λεπτῶν *Cornarius* 8 χρήϲιμον R: *corr.* R^2 9 παντὶ R: *corr.* R^2 τε *om.* U 10 ὑϲϲώπου U 11 τετριμμένου VR ὕδατοϲ LR *et e corr.* V: ὕδατι U χόει VR: χοΐ U ἐκπινέτω U 12 καὶ VR: *om.* LU ὅκωϲ] ὡϲ U 13 τιμητικὸν R: *corr.* R^2 τὴν αἰτίαν L 15 τινεϲ *coni. Rasarius* 16 κελεύει *om.* U 17 πόματοϲ L: πόματι U: πόματα VR οὐκ *om.* L: *add.* L^1 τὸ *(alt.) om.* R: *add.* R^2 μέτρον] μετέχον V 17. 18 ἔϲτιν ὅτε *om.* U 18 χοέα LR^2V: χόεα R: χόα U 19 τι VR: *om.* LU ϲυντίθεμαι LR^2U: ϲυντίθεται VR πλήθει] ἔθει R^2 πολλὰ R: *corr.* R^2 20 δοκεῖ LR^2U: δοκῶν V: δοκῶ R μὲν τὰ R: *corr.* R^2 21 προείλοντο R^2U: παρείλοντο VR: εἵλοντο L 22 πίνειν L: *om.* UVR 23 πινέτω δὲ *om.* U μὲν *om.* U πρῶτον] οὖν R 23. 24 ἔπειτα δὲ ἡϲυχέϲτερον *colloc.* U 24 ἐπὶ θᾶϲϲον R: ἐπίθαϲϲον V: ἐπεὶ θᾶϲϲον U: θᾶϲϲον L 25 μὲν *om.* U μὲν οὖν R^2 λάβρωϲ LR^2: λαύρωϲ UVR ἐμεῖται LR^2U *et e corr.* V: ἐμεῖτε VR ἐκπίῃ R

οἱ κατὰ τὰς πρώτας φλέβας. ἐὰν δὲ ἐν ἀρχῇ μὲν ἡσυχέστερον, ὕστερον δὲ πλεῖον πάντως πίῃ, οὕτω δυνήσεται χρόνῳ τε συμμέτρῳ κατασχεῖν ὁρμήσει τε πρὸς ἔμετον ἐν καιρῷ διὰ τὸ πίνειν ἀθροώτερον ὕστερον.

III 21 [5. VI 80, 2—8 L.] Οἱ δὲ λεπτότεροι καὶ ἀσθενέστε-
ροι ἀπὸ σιτίων ποιείσθω|σαν τὸν ἔμετον τρόπῳ τοιῷδε· λου- **203**
σάμενοι θερμῷ προπιέτωσαν ἀκρήτου κοτύλην, ἔπειτα σιτία παντοδαπὰ ἐσθιέτωσαν καὶ μὴ πινέτωσαν ἐπὶ τῷ σιτίῳ μηδὲ ἀπὸ τοῦ σιτίου, ἀλλ᾿ ἐπισχέτωσαν ὡσεὶ τέσσαρα στάδια διελθεῖν. ἔπειτα δὲ συμμίξας οἴνους τρεῖς πίνειν διδόναι, αὐστηρὸν καὶ γλυκὺν καὶ ὀξύν, πρῶτον μὲν ἀκρητέστερον καὶ κατ᾿ ὀλίγον καὶ διὰ πολλοῦ χρόνου, ἔπειτα δὲ ὑδατωδέστερόν τε καὶ θᾶττον καὶ κατὰ πολύ.

Λουσάμενον θερμῷ προπίνειν ἀξιοῖ πόματος ἀκρατεστέρου λογισμῷ τοιῷδε χρώμενος, ὡς ἂν εἰκάσειέ τις· ἐκ τοῦ θερμοῦ λουτροῦ θερμαίνεται πᾶν τὸ σῶμα καὶ οἱ χυμοὶ χέονται καὶ χαλαρὰ γίνεται τὰ ἀγγεῖα· τὰ αὐτὰ δὲ ταῦτα καὶ ὁ ἀκρατέστερος οἶνος ἐργάζεται μετὰ τοῦ καὶ ῥωννύναι τὴν δύναμιν, ἧς μάλιστα φροντίζειν ἔοικεν ἐπὶ τῶν ἰσχνῶν. ἔπειτα, φησί, σιτία παντοδαπὰ ἐσθιέτωσαν. τούτου δὲ λογισμὸν οὐ τὸν αὐτὸν πάντες ἔγραψαν οἱ ἐξηγησάμενοι τὸ βιβλίον· ἐνίοις μὲν γὰρ αὐτῶν δοκεῖ διδόναι παντοδαπά, διότι στασιάζοντα πρὸς
ἄλληλα ῥᾷον εἰς | ἔμετον ὁρμᾷ, τισὶ δὲ ὑπὲρ τοῦ πλεῖον προσενέγκα- **204**
σθαι· τὰ γὰρ ἁπλᾶ καὶ μονοειδῆ ταχέως ἐμπίπλησιν, οὐκ ἐᾷ δὲ πίνειν εὐθέως αὐτούς, ἴσως ἵνα μὴ ταχέως ἐπιπολάσῃ τὰ σιτία, ὃ οὐ βούλεται· διὰ δὲ τὸ μὴ γενέσθαι τοῦτο καὶ χρόνον τινὰ μεταξὺ πρὸς τὴν θρέψιν αὐτάρκη διατρίβειν ὁρίζει καὶ τὸν χρόνον δὲ αὐτὸς εἶπεν· ὅσον τέσσαρα στάδια διελθεῖν. ἐπὶ δὲ τούτοις οὕτω προαχθεῖσι δίδωσι τὸ ποτόν, οἴνους τρεῖς διαφέροντας ἀλλήλων κατὰ ποιότητα· κελεύει γὰρ εἶναι τὸν μέν τινα τῶν οἴνων αὐστηρόν, τὸν δὲ γλυκύν, τὸν δὲ ὀξύν, οὐκ εἰπὼν οὐδὲ ἐνταῦθα τὴν αἰτίαν, δι᾿ ἣν οὕτως ἐκέλευσεν. οἱ δ᾿ ἀπομαντευόμενοι τῆς γνώμης αὐτοῦ φασι τὸν μὲν αὐστηρὸν διδόναι ῥώμης ἕνεκα τῶν ὀργάνων, δι᾿ ὧν ὁ ἔμετος ἔσται, τὸν δὲ

2 δὲ καὶ V πλεῖον LR²: πλείονα VR: πλέονα U 5 δὲ *post* λεπτότεροι *transp.* L 6 ἀπὸ . . . χρόνου *(12) non exar.* R ποιείτωσαν L τρόπῳ *om.* U τοιόνδε U 7 ἀκρήπου *(sic)* V 8 πιέτωσαν U ἐπὶ] ἐν U 9 σιτίου] σκείου *(sic)* V ὡσεὶ] *infra v. 26* ὅσον *codd. ut Hipp.* τέσσαρα LU: ιδ̄ V: δέκα *codd. Hipp.* 13 θᾶσσον καὶ κατὰ πολλὸν *melius omnes codd. infra p. 104, 22 et 25 sq. cum Hipp.* 14 προπίνειν LR²U: πίνειν V: πίνας *(sic)* R ἀκριβεστέρου, *sed verum ipse supr. scr.* R 16 γίνονται R 16. 17 τὰ ἀγγεῖα *ante* χαλαρὰ *transp.* L 17 αὐτὰ δὲ] δ᾿ αὐτὰ U 18 τοῦ καὶ VR: καὶ τοῦ L: καὶ *om.* U ἧς] οἷς U 19 ἐσθιέτω LU 20 ἅπαντες U 21 ἐνίων R: *corr.* R² σταδιάζοντα R 22 πλέον L προσενεγκᾶσθαι *(sic)* U: προσενέγκεσθαι *(sic)* R 23 μονοειδοῦς V 24 ἴσως LU: *om.* VR ὃ οὐ UR: ἃ οὐ V: *om.* L 26 διατρίβειν *om.* U αὐτὸν R 27 δ̄ V: τεσσάρων R σταδίων R προαχθεῖσι VR: πραχθεῖσι LU 28 τὸ] τὸν U 29 εἶναι *post* ὀξὺν *(30) transp.* L 30 ἐκέλευσαι V 31 αὐτοῦ LR²U: αὐτῷ VR φασι LR²U: φησι VR

γλυκύν, ἵνα εἰς ἔμετον ὁρμήσῃ καὶ διὰ τὸ χέειν τοὺς χυμοὺς τὸν γλυκὺν οἶνον, τὸν δὲ ὀξύν, ἵνα ἀπορρύψῃ τὰ ἐμπεπλασμένα τῇ γαστρί. τάχ᾽ οὖν καὶ τὰ σιτία παντοδαπὰ κατὰ τὰς ποιότητας ἐκέλευσε λαμβάνειν αὐτούς, ἵνα τὰ μὲν ῥώσῃ τὴν γαστέρα, τὰ δὲ εἰς ἔμετον παροξύνῃ, τὰ δὲ ἀπορρύψῃ τοὺς ἐμπεπλασμένους χυμούς. |

205 ὅπερ δὲ λέγω πολλάκις ἐν ταῖς πρὸς τοὺς ἑταίρους τε καὶ τοὺς ἄλλους φίλους συνουσίαις, ἐρῶ καὶ νῦν. οὐ σμικρά μοι δοκοῦσιν ἁμαρτάνειν οἱ τὴν δογματικὴν αἵρεσιν ἄνδρες πρεσβεύοντες, ἄνευ τοῦ τὸν λογισμὸν εἰπεῖν ὧν συμβουλεύουσιν ἀποφαινόμενοι καθάπερ τινὰ προστάγματα βασιλικά. βέλτιον γὰρ ἦν ἑκάστου τῶν προσταττομένων αὐτὸν τὸν γράψαντα τὸ βιβλίον εἰπεῖν τὴν δύναμιν, ὡς Ἱπποκράτης ἐποίησεν ἐν τῷ Περὶ διαίτης ὀξέων ἐπὶ τῆς πτισάνης εἰπών· "τὸ γὰρ γλίσχρασμα αὐτῆς λεῖον καὶ προσηνὲς καὶ συνεχές ἐστι καὶ ὀλισθηρὸν καὶ πλαδαρὸν μετρίως καὶ ἄδιψον καὶ εὐέκπλυτον, εἴ τι καὶ τούτου προσδέοι, καὶ οὔτε στύψιν ἔχον οὔτε ἄραδον κακὸν οὔτε ἀνοιδίσκεται ἐν τῇ κοιλίᾳ." οὕτως δὲ καὶ περὶ μελικράτου καὶ οἴνου καὶ ὀξυμέλιτος ἔτι τε λουτρῶν ἔγραψεν, ὥστε ἀρχὴν ἔχειν ἡμᾶς τῆς ὁδοῦ, καθ᾽ ἣν ἀκολούθως τῷ συγγραφεῖ τῶν οὐκ εἰρημένων ὑπ᾽ αὐτοῦ προσθῶμέν τινα. καὶ νῦν οὖν εἰρηκότος αὐτοῦ τἄλλα χωρὶς τοῦ τῆς αἰτίας λογισμοῦ καὶ μέντοι καὶ ὡς ἐπιπίνειν ἔνεστι τὸν οἶνον πρῶτον μὲν ἀκρητέστερον καὶ κατ᾽ ὀλίγον καὶ διὰ πολλοῦ, ἔπειτα δὲ
206 ὑδαρέστερόν τε καὶ θᾶσσον καὶ κατὰ πολλόν, ἡμᾶς | δεῖ στοχάζεσθαι τῆς γνώμης αὐτοῦ, καθ᾽ ἣν ἔγραψεν. ἔστι δὲ καὶ ἄλλως μὲν ἅπας στοχασμὸς ἀμφίβολον πρᾶγμα, μάλιστα δ᾽ ὅταν ἔτ᾽ ἀνθρώπου γνώμη ἀγνοῆται. τὸ μὲν οὖν ὑδαρέστερον πίνειν τὸν οἶνον καὶ θᾶσσον καὶ κατὰ πολλὸν εἰκότως ἂν εἰρῆσθαι δόξειεν ἐπὶ τῶν ἐμεῖν ἐθελόντων, εἴπερ γε καὶ τἀναντία τοῖς κατασχεῖν βουλομένοις καὶ πέψαι τὴν τροφήν ἐστιν ἐπιτήδεια, τό τε ἀκρατέστερον καὶ κατ᾽ ὀλίγον καὶ διὰ πολλοῦ. διὰ τί δ᾽ ὅλως τὰ πρὸς τὸ κατασχεῖν ἁρμόττοντα πρῶτα παρέλαβεν ἐπὶ τοῦ μέλλοντος ἐμεῖν ὀλίγον ὕστερον, οὐκ ἔχομεν εἰπεῖν τι

12 Περὶ διαίτης ὀξέων] *4 (II 244, 9 sqq. L.)* 16 περὶ μελικράτου . . . λουτρῶν *(17)*] *cf. Hipp.* Π. διαίτ. ὀξ. *6 (II 264, 12 sqq. L.)*

3 τάχα γοῦν VR 5 παροξύνῃ, τὰ δέ] παροξύνηται, *sed* τὰ δὲ *ipse supra* ται *scr.* R ἀπορρύψαι V: ἀπορρύψας, *sed ipse corr.* R: *rursus corr.* R² ἐμπεπλησμένους L 6 δὲ *om.* U πολλάκις *om.* L ἑτέρους VR 7 μικρά L 9 ὧν LU: ὃν VR 9. 10 βασιλικά τινα προστάγματα L: τινὰ βασιλικὰ προστάγματα U 10 πραττομένων VR 11 αὐτῶν U 12 πτισάνης R²UV: πτισσάνης LR 13 γλίσχρασμα LU: γλίσχρον VR 14 εὐέκπλυτον LR²: εὐέπλυτον *(sic)* VR: εὐέκκριτον U 15 ἄραδον LV: ἄρμον, *sed supra* μ *ipse scr.* αδ R: ἄρανδον *(sic)* U 16 κοιλίῃ U 17 λουτρῶν . . . εἰρημένων *(18) om.* V 18 προστιθῶμεν L: προστίθεμεν U 20 καὶ *(alt.)* L: *om.* UVR ἐπιπίνειν *scripsi*: ὅτι πίνειν L: *idem, sed* πίνειν *post* πρῶτον *transp.* U: ἤτοι πίνειν VR μὲν *om.* U 21 ἀκρατέστερον, *sed ipse corr.* R τε καὶ U καὶ κατ᾽ ὀλίγον *bis, sed alterum del.* R κατ᾽] μετ᾽ V 22 πολὸν *(sic)* L 23 ἄλλος U 24 στοχασμὸς ἅπας U 25 γνώμη *post* ὅταν *transp.* L: γν *in ras.* V ἀγνοῆται] ἠγνόηται *codd.*: *corr. Schoene coll. Gal. XVI 823, 6 K.*: '*und besonders, wenn deine Untersuchung auf eine Ansicht ist, die jemand von den Leuten hat*' H; *hinc videtur* ἰχνεύηται *offerri* 26 πολὸν L 27 γε *om.* U 29 τί δ᾽ LR²U: τόδ᾽ VR παρέλαβον U

πιθανόν. ἴϲωϲ δ᾿ ἐκείνῳ τῷ γράψαντι ταῦτα πιθανὸν ἐδόκει τὸ καὶ τῶν ἐξηγητῶν ἐνίοιϲ ἀρέϲκον· ἐπειδὴ βούλεται μὴ καταλύεϲθαι τὴν δύναμιν τῶν λεπτῶν ἀνθρώπων, ὑπὲρ ὧν ταῦτα γράφει, διὰ τοῦτ᾿ οὖν πρώτην ἐκείνην ῥώννυϲιν, εἶθ᾿ οὕτωϲ ἐπὶ τὰ τὸν ἔμετον κινοῦντα παραγίνεται. ἀλλ᾿ εἰϲ τὸ ῥωϲθῆναι τὴν δύναμιν αὐτάρκηϲ ἦν ὁ ἐπὶ τῇ τῶν ϲιτίων προϲφορᾷ χρόνοϲ. ἄλλο δὲ ἄλλῳ πιθανόν, ὡϲ ἔφην, ἐϲτίν, οὐκ ἀποτετμημένον ὥϲ ἕν τι καθάπερ τὸ ἀναγκαῖον, ὃ κατὰ τὰϲ ἐπιϲτημονικὰϲ ἀποδείξειϲ βεβαιοῦται. |

III 22 [5. VI 80, 9—11 L.] Ὅϲτιϲ δὲ εἴωθε τοῦ μηνὸϲ δὶϲ 207
ἐμέειν, ἄμεινον ἑξῆϲ ποιεῖϲθαι τοὺϲ ἐμέτουϲ ἐν δυϲὶν ἡμέρῃϲι μᾶλλον ἢ διὰ πεντεκαίδεκα. οἱ δὲ πᾶν τοὐναντίον ποιοῦϲι.

Καὶ τούτων τὸν λογιϲμὸν αὐτὸν ἔδει τὸν γράψαντα προϲτεθεικέναι, μάλιϲτα ἐπειδὴ καὶ χωρὶϲ διοριϲμοῦ περὶ τῶν δὶϲ ἐμούντων εἶπεν ἐν τῷ μηνί. τινὰϲ μὲν γὰρ ὁρῶ κενώϲεωϲ ἕνεκεν ἐμοῦνταϲ, ὥϲπερ καὶ νηϲτεύονταϲ ἄλλουϲ ἐν τῷ μηνὶ μίαν ἡμέραν, ἐνίουϲ δὲ τοῦ τὸν ἐνιζηκότα τῇ γαϲτρὶ χυμὸν ἢ γλίϲχρον ἢ παχὺν ἐκκαθᾶραι. κωλύει δ᾿ οὐδὲν ἀμφοτέρουϲ ἐκ διαλειμμάτων αὐτὰ ποιεῖν, οὐκ ἐφεξῆϲ ἡμέραιϲ δύο.

III 23 [5. VI 80, 11—17 L.] Ὅϲοι μὲν ἀνεμεῖν ἐπιτήδειοι τὰ ϲιτία ἢ ὅϲοιϲ αἱ κοιλίαι οὐκ εὐδιέξοδοι, τούτοιϲι πᾶϲι ξυμφέρει πολλάκιϲ τῆϲ ἡμέραϲ ἐϲθίειν καὶ παντοδαποῖϲι βρώμαϲι |
χρέεϲθαι καὶ ὄψοιϲι πάνταϲ τρόπουϲ ἐϲκευαϲμένοιϲι καὶ οἴνουϲ 208
πίνειν διϲϲοὺϲ καὶ τριϲϲούϲ. ὅϲοι δὲ μὴ ἀνεμέουϲι τὰ ϲιτία ἢ καὶ κοιλίαϲ ἔχουϲιν ὑγράϲ, τούτοιϲι πᾶϲιν ἐναντίον τούτου τοῦ τρόπου ξυμφέρει ποιέειν.

Ἐπιτήδειον μὲν ἀνεμεῖν τὰ ϲιτία τοῖϲ ἤτοι διαρρύψαι βουλομένοιϲ τὴν κοιλίαν ἢ κένωϲιν μετρίαν ποιήϲαϲθαι τοῦ παντὸϲ ϲώματοϲ. ἀξιοῖ δὲ τούτουϲ ἐϲθίειν τε πολλάκιϲ καὶ ποικίλα καὶ οἴνουϲ πλείοναϲ

6 ἔφην] *cf. supra p. 104, 23 sqq. et 29 sqq.*

4 πρῶτον U 5 παραγίνεται, *sed in mg.* περι U ὁ LR²U: *om.* VR 6 ἄλλῳ δὲ ἄλλο L: ἄλλῳ δ᾿ ἄλλῳ U 7 ἀπηριθμημένον *Cornarius, haud necessarium* ὡϲ] εἰϲ L ὃ] καὶ L 9 εἴωθε] εἴθε *(sic)* U: εἴθιϲται U¹ 10 ἐμεῖν R ἄμεινον . . . πεντεκαίδεκα *(11) non exar.* R 11 διὰ *om.* U πεντεκαίδεκα] ιε̅ V 12 τούτων L: τοῦτον UVR 13 τῶν] τοῦ V εἶπεν ἐμούντων L 14 τινὰϲ μὲν] ὥϲπερ U 15 ἐνίουϲ U: ἐνίοιϲ LVR τοῦ τὸν UV: τοῦτον R: τούτων L 17 ἀμφοτέρουϲ LU: ἀμφοτερ *(sic) cum spatiolo* V: ἀμφότερον R: ἀμφότερα R² διαλείμματα VR: διαλείμματοϲ *e corr.* R 18 ἂν ἐμεῖν U 19 ἢ . . . ἐναντίον *(23) non exar.* R τούτοιϲι L: τούτοιϲ UV ϲυμφέρει L 21 τρόπουϲ πάνταϲ U 22 διττοὺϲ U καὶ LU: ἢ καὶ V ϲίτα *(sic) primum, deinde mut. in* ϲιτία V 23 καὶ L: *om.* UV ὑγρὰϲ V: ὑγρέαϲ *(sic)* L: ὑγιέαϲ U τούτοιϲ U πᾶϲι τοὐναντίον U 25 ϲίτα *(sic) primum, sed corr.* V διαθρύψαι L 26 ϲώματοϲ παντὸϲ L ἄξιον *(sic), sed statim corr.* R: *rurs. corr.* R² 27 τε *om.* U

πίνειν, ἔμπαλιν δὲ τοὺς μήτε ἐμεῖν βουλομένους ὑγροτέρας τε τοῦ προσήκοντος ἔχοντας κοιλίας, ὡς ἐπισχέσεως δεῖσθαι, μήτε πολλάκις ἐσθίειν μήτε πολυειδῆ σιτία τε καὶ οἴνους προσφέρεσθαι. τὸ μὲν γὰρ ἅπαξ φαγεῖν ἕν τι μονοειδὲς ἕνα τε πίνειν οἶνον εἰς τὸ κατασχεῖν αὐτὰ τὴν γαστέρα τε καὶ πέψαι συντελεῖ, τὰ δὲ ἐναντία πεφθῆναί τε δυσχερέστερα καὶ μεῖναι κατὰ τὴν γαστέρα. παρὰ δὲ τὴν ποιότητα τῶν
209 προσενηνεγμένων καὶ | τὴν τάξιν τῆς προσφορᾶς ἤτοι γ' ἐπιπολάζειν αὐτὰ ἢ ὑπέρχεσθαι κάτω συμβαίνει.

III 24 [6. VI 80, 18—82, 2 L.] Τὰ παιδία χρὴ τὰ νήπια βρέχειν ἐν θερμῷ ὕδατι πολὺν χρόνον καὶ πίνειν ὑδαρέα τὸν οἶνον διδόναι καὶ μὴ ψυχρὸν παντάπασι. τοῦτον δὲ διδόναι, ὃς ἥκιστα τὴν γαστέρα μετεωριεῖ καὶ φῦσαν παρέξει. ταῦτα δὲ ποιέειν, ὅκως οἵ τε σπασμοὶ ἧσσον ἐπιλαμβάνωσι καὶ μείζονα γίνηται καὶ εὐχροώτερα.

Αὐτὸς εἶπε τοὺς σκοποὺς τῆς εἰρημένης διαίτης. ἵνα γὰρ οἵ τε σπασμοί, φησίν, ἧσσον ἐπιλαμβάνωσι καὶ μείζονα γίνηται καὶ εὐχροώτερα. τὰ γὰρ ἐν ὕδατι θερμῷ βρεχόμενα παιδία πλείονα χρόνον μαλακὰ διαμένει, τοῦτο δὲ εἰς τὸ μὴ σπᾶσθαι συντελεῖ· τοὺς γὰρ σπασμοὺς αὐτὸς ὁ Ἱπποκράτης τοῖς ἐντεταμένοις σώμασι μᾶλλον γίνεσθαί φησι τῶν ἀνιεμένων καὶ χαλαρῶν. αὔξεται δὲ τὰ μαλακώτερα
210 σώματα | ῥᾷον, ἐπειδὴ καὶ πάντῃ τὴν διάτασιν εὐκολωτέραν ἴσχει. ὅτι δὲ τὰ μήτε σπασμοῖς ἁλισκόμενα καὶ καλῶς αὐξανόμενα τὴν ὅλην ἕξιν ὑγιεινὴν ἴσχει, πρόδηλον παντί. τοῦτ' οὖν αὐτῷ δεδήλωται δι' ἑνὸς γνωρίσματος οὐ σμικροῦ, τῆς εὐχροίας. ἀλλὰ καὶ τὸν οἶνον ὑδαρῆ κελεύει πίνειν αὐτὰ μὴ βουλόμενος ὑπερθερμαίνεσθαι καὶ μάλιστα διὰ τὸ σπᾶσθαι πολλάκις, ὃ πάλιν αὐτοῖς διὰ τὴν τῶν νεύρων ἀσθένειαν γίνεται καὶ διὰ τὴν ἀδδηφαγίαν. διὰ τοῦτ' οὖν αὐτὸν καὶ μὴ ψυχρὸν

19 Ἱπποκράτης] *Mochl. 33 (IV 376, 11 L.)*

2 ἔχοντας R²U: ἔχον τὰς VR: *om.* L 3 σίτα *(sic)* V τε *om.* L 4 οἶνον] ὕδωρ *scripserat, sed indux. et scr.* οἶνον R καταχεῖν V 5 τε *(prius) om.* LU συντελεῖ] συντλὰς V τε] τὰ U 6 δισχερεστέρα *(sic)* R παρὰ] περὶ V 8 αὐτὸ LVR: αὐτῷ U: *corr. Cornarius* συμβῆναι R: *corr.* R² 9 τὰ δὲ U 10 θερμῷ] τῷ L καὶ . . . ἐπιλαμβάνωσι *(13) non exar.* R οἰδαρέα V 11 διδόναι *(prius) ante* ὑδαρέα *(10) transp.* U τοῦτον] τοιοῦτον V 12 ὃς] ὡς V μετεωριῇ V καὶ] ὡς V φύσσαν L 13 ἐπιλαμβάνουσι V μεῖζον VR 14 γίνηται L: γίνεται UVR εὐχροώτερον VR 15 ἵνα] ἐὰν, *sed* ἵνα *supr. scr.* R 16 φησὶν U: *om.* LVR γίνεται U 17. 18 πλείονα χρόνον L: πλείονι χρόνῳ UVR 18 μὴ *supr. scr.* R 20 αὔξει R: *corr.* R² μαλακότερα U: μαλακὰ VR 21 τὴν LR²U: τε VR διάστασιν *codd.*: *corr. Cornarius; cf. supra p. 79, 25 sqq.*: '*wegen ihrer Nachgiebigkeit gegen die Ausstreckung nach allen Seiten*' H ἴσχει U: ἴσχῃ VR: ἔχει L ὅτι LU: ὅτε VR 23 ὑγιεινὴν LR²U: ὑγιεινὰ VR αὐτῷ LR²: αὐτὸ UVR 24 σμικροῦ U: μικροῦ LVR 25 κελεύειν U 26 πολλάκις αὐτὰ R² διὰ L: *om.* UVR 27 ἀδδηφαγίαν LR²U: ἀδηφαγίαν VR αὐτὸν UR: αὐτὸ LV: αὐτὸς R²

αὐτὰ πίνειν κελεύει. τὸ δὲ τοιοῦτον εἶναι τὸν οἶνον, ὃς ἥκιστα φυσώδης ἐστίν, ἅπασι κοινῇ συμφέρει τοῖς ἀνθρώποις, οὐ μόνον τοῖς νηπίοις.

III 25 [6. VI 82, 2—6 L.] Τὰς γυναῖκας χρὴ διαιτᾶσθαι τῷ ξηροτέρῳ τρόπῳ· καὶ γὰρ τὰ ξηρὰ σιτία ἐπιτηδειότερα πρὸς τὴν μαλθακότητα τῶν σαρκῶν καὶ τὰ πόματα ἀκρητέστερα ἀμείνω πρὸς τὰς ὑστέρας καὶ τὰς κυοτροφίας. |

Τὰς γυναῖκας ἀξιώσας διαιτᾶσθαι τῷ ξηροτέρῳ τρόπῳ ὁποῖός **211**
τίς ἐστιν οὗτος αὐτὸς ὑπέγραψεν. ἔχει δὲ ἀντιλογίαν ἡ δόξα τἀνδρός. εἰ μὲν γὰρ παρὰ φύσιν ἦν ταῖς γυναιξὶν ὑγραῖς εἶναι, καθάπερ ἐπί τε τῶν δυσκράτων φύσεων καὶ τῶν νοσούντων ὑγρὸν νόσημα, καλῶς ἂν αὐτὰς ἐξήραινεν· ἐπειδὴ δὲ κατὰ φύσιν αὐταῖς ἐστι τοῦτο, φυλάττειν αὐτὸ χρή, πλὴν εἰ τὴν ὑγιεινήν ποτε συμμετρίαν ὑπερβαίη. ἀλλὰ τοῦτό γε κἀπὶ τῶν ἀνδρῶν σκοπούμεθα· καὶ γὰρ καὶ τούτοις ξηροτέροις μὲν εἶναι τῶν γυναικῶν κατὰ φύσιν ἐστίν· ἐπειδὰν δὲ τῆς προσηκούσης ξηρότητος ἐπὶ πλέον προέλθωσι, τότ᾽ αὐτῶν τὴν δυσκρασίαν ἐπανορθούμεθα διὰ τῶν ἐναντίων.

III 26 [7. VI 82, 7—9 L.] Τοὺς γυμναζομένους χρὴ χειμῶνος καὶ τρέχειν καὶ παλαίειν, τοῦ ⟨δὲ⟩ θέρους παλαίειν μὲν ὀλίγα, τρέχειν δὲ μή, περιπατεῖν δὲ πολλὰ κατὰ ψῦχος. |

Γυμνασίων διαφορὰς οἰκείων ταῖς ὥραις διδάσκει τοῦ μὲν χειμῶνος **212**
θερμαίνειν καὶ ξηραίνειν δυναμένων, τοῦ δὲ θέρους ἔμπαλιν.

III 27 [7. VI 82, 9—12 L.] Ὅσοι κοπιῶσιν ἐκ τῶν δρόμων, τούτους παλαίειν χρή· ὅσοι δ᾽ ἂν παλαίοντες κοπιῶσι, τούτους χρὴ τρέχειν· οὕτως γὰρ ἂν ὁ ταλαιπωρέων τῷ κοπιῶντι τοῦ σώματος διαθερμαίνοιτο καὶ συνιστῷτο καὶ διαναπαύοιτο μάλιστα.

Εἰ οὕτως ἐγέγραπτο πάντα τοῖς δογματικοῖς ἰατροῖς, οὐκ ἂν

1 αὐτὰ LR: αὐτοὺς U: αὐτὸ V   πίνειν αὐτὰ L   κελεύει πίνειν, *sed* α β *supr. scriptis ipse transp.* R   εἶναι L: δεῖν εἶναι R²U: δεῖ εἶναι R: εἰ εἶναι V   φυσσώδης L   4 καὶ . . . ἀκρητέστερα *(5) non exar.* R   σίτα *(sic), sed ipse corr.* V   5 μαλακότητα UV   *post* πόματα *add.* τὰ L: αὐτῶν *add.* V   ἀκρητέστερον V   6 κυοτροφίας L: κυητροφίας U: οἰκιατροφίας VR   8 τίς L: τέ VR: *om.* U   τοῦ ἀνδρὸς L   11 ἐξήρανεν VR   ἐπεὶ L   τοῦτο *ante* κατὰ *transp.* VR   12 ὑπερβαίνει, *sed ipse corr.* R   13 ἐσκοπούμεθα *codd.: corr. 'spectamus' vertens Rasarius*   ξηροτέροις LR²U: ξηρότερον VR   14 δὲ *om.* R: *add.* R²   15 προσέλθωσι U   18 καὶ *(prius)* . . . μή *(19) non exar.* R   δὲ *ex Hipp. codd. recepi*   παλαίειν *om.* U   19 κατὰ] καὶ τὸ U   21 *post* ἔμπαλιν *in medio versu, tamquam si finis sit opusculi, deficit* L   22 ὅσοι U: ὁκόσοι VR   23 τούτους *(prius)* . . . συνιστῷτο *(25) non exar.* R   ὅσοι U: ὁκόσοι V   ἂν U: αὖ V   24 τρέχειν μᾶλλον V   25 καὶ συνιστῷτο *nonnulli codd. Hipp.*: καὶ συνίστοιτο V: *om.* U   διαναπαύοιτο] δι *supr. scr.* V   27 πάντα *om.* U   ἰατρικοῖς R: *corr.* R²

εἶχον ἀφορμὴν πολυλογίας οἱ ἐξηγηταί. λέγω δ' οὕτως ὡς προσθεῖναι τὴν αἰτίαν, δι' ἣν ὧδέ πως ἐκέλευσε πράττειν ἡμᾶς, ὅπερ νῦν ἐποίησεν ὁ Πόλυβος.

III 28 [7. VI 82, 12—84, 4 L.] Ὁκόσους μάλιστα γυμναζομένους διάρροιαι λαμβάνουσι καὶ τὰ ὑποχωρήματα σιτώδεα
213 καὶ ἄπεπτα, τούτοισι τῶν τε | γυμνασίων ἀφαιρεῖν μὴ ἔλασσω
τοῦ τρίτου μέρεος καὶ τῶν σιτίων τοῖσιν ἡμίσεσι χρῆσθαι. δῆλον γὰρ ὅτι ἡ κοιλίη ξυνθάλπειν οὐ δύναται, ὡς πέσσεσθαι τὸ πλῆθος τῶν εἰσιόντων σιτίων. ἔστω δὲ τούτοισι τὰ σιτία ἄρτος ὡς ἐξοπτότατος ἐν οἴνῳ ἐντεθρυμμένος καὶ τὰ πόματα ὡς εὐκρητέστατα καὶ ἐλάχιστα καὶ περιπάτοισι μὴ χρήσθωσαν ἀπὸ τοῦ σιτίου· μονοσιτεῖν δὲ χρὴ ὑπὸ τοῦτον τὸν χρόνον· οὕτω γὰρ ἂν μάλιστα συνθάλποιτο ἡ κοιλίη καὶ τῶν εἰσιόντων ἐπικρατέοι. γίνεται δὲ ὁ τρόπος οὗτος τῆς διαρροίης τῶν σωμάτων μάλιστα τοῖσι πυκνοσάρκοισιν, ὅταν ἀναγκάζηται ὁ ἄνθρωπος κρεηφαγεῖν τῆς φύσιος ὑπαρχούσης τοιαύτης· αἱ γὰρ φλέβες πυκνωθεῖσαι οὐκ ἀντιλαμβάνονται τῶν σιτίων τῶν εἰσιόντων.

Οὐ περὶ τῶν τῆς ὑγείας ἕνεκα γυμναζομένων ἔοικε ποιεῖσθαι τὸν λόγον νῦν, ἀλλὰ περὶ τῶν γυμναστικῶν τι μετιόντων ἐπιτηδευμάτων καὶ μήτε παύεσθαι τελέως αὐτοῦ δυναμένων μήτε εἰς πάνυ βραχὺ
214 συστεῖλαι· διὰ τοῦτο | αὐτῶν ἀφαιρεῖ τοῦ μὲν γυμνασίου τὸ τρίτον
μέρος, τῶν δὲ σιτίων τὸ ἥμισυ· τοσούτῳ γὰρ ἐλπίζει κρατήσειν αὐτούς, ὡς μηκέτι ἀπεπτεῖν τε καὶ διαρροΐζεσθαι. ὀρθῶς δ' ἐποίησε κἀνταῦθα προσγράψας αὐτὸν τὸν λογισμόν, ᾧ χρώμενος αὐτά τε ταῦτα καὶ τὰ τούτοις ἑπόμενα συνεβούλευσε. γίνεται γάρ φησιν ὁ τρόπος οὗτος τῆς διαρροίης τοῖς πυκνοσάρκοις, ὅταν κρεηφαγεῖν ἀναγκάζωνται, δηλώσας ἐνταῦθα περὶ τῶν γυμναστικῶν εἶναι τὸν λόγον αὐτῷ· κρεηφαγεῖν γὰρ ἀναγκάζουσι τούτους.

εἶτ' ἐφεξῆς φησιν· αἱ γὰρ φλέβες πυκνωθεῖσαι οὐκ ἀντιλαμβάνονται τῶν σιτίων τῶν ἐσιόντων. ἀσαφῶς δὲ εἶπε τοῦτο, καὶ

2 ὧδέ UR: ἐπί V 3 πόλιβος V 4 ὁκόσοισι U γυμναζομένους μάλιστα VR: μάλιστα γυμναζομένοις U 5 καὶ τὰ . . . ἀντιλαμβάνονται *(17) non exar.* R τὰ V: *om.* U 6 τουτέοισι V τε *om.* V ἔλασσω V *et Hipp.*: ἔλασσον U 7 μέρεος U *et e corr.* (*ex* μέρους) V τοῖσιν . . . σιτίων *(9)* U: *om.* V 8 ὡς U: ὥστε *codd. Hipp.* πέσσεσθαι *om.* U: *add. ex Hipp. Chartier* 9 τουτέοισι V 10 ἐντεθρυμμένος U: συνεντεθραμμένος V: ἐντετριμμένος *ex Hipp. Aldina* 11 ὡς V: *om.* U ἐλάχιστα καὶ εὐκρητέστερα V 12 σιτίου U: σίτου V μονοσιτέειν V δὲ *om.* V ὑπὲρ U 13 κοιλία V 17 πυκνοθεῖσαι U: πυκνωθεῖσαι, *sed post* εἰσιόντων *(18) transp.* VR οὐκέτι λαμβάνονται V 19 τῶν VR: *om.* R^{2}U τῆς R^{2}U: *om.* VR 20 νῦν *ante* ποιεῖσθαι *transp.* U γυμναστικῶν R^{2}U: γυμναστικὸν VR τι R^{2}UV: *om.* R ἐπιτηδευμάτων R^{2}U: ἐπιτήδευμα τῶν VR 21 αὐτοῦ R^{2}U: αὐτῶν VR 23 τοσούτῳ U: τοσοῦτο R: τοσοῦτον V αὐτοῦ *codd.*: *correxi* 25 προγράψας V αὐτὸν U: αὐτῶν VR 26 ἑπόμενα *scripsi*: εἰρημένα *codd.* φησιν R^{2}U: *om.* VR 27 διαρροίας R τοῖς πυκνοσάρκοις R^{2}U: τῆς πυκνοσάρκης VR κρεοφαγεῖν *hic et v. 29* U 29 αὐτοῦ VR τούτους *supr. scr.* R 30 γὰρ *om.* VR ἐπιλαμβάνονται V 31 τῶν σιτίων R^{2}U: *om.* VR ἐσιόντων U: εἰσιόντων VR

διὰ τοῦτο ἠναγκάσθησαν ὑπολαβεῖν οἱ ἐξηγηταὶ τὸ τὰς πυκνωθείσας αὐτὸν λέγειν ἀντὶ τοῦ σκληρὰς γενομένας καὶ δυσεπεκτάτους, ὡς μὴ παραδέχεσθαι τὴν τροφήν, καὶ σημαίνεσθαι τοῦτό φασιν ἐκ τοῦ οὐκ ἀντιλαμβάνονται τῶν σιτίων. ἀλλὰ τοῦτό γε τὴν ἀνάδοσιν μᾶλλον, οὐ τὴν πέψιν εἴωθε βλάπτειν, ὥστε διαχωρεῖν αὐτοὺς ὑγρὰ μέν, οὐ μὴν ἄπεπτα. προείρηται δὲ ὑπ᾿ αὐτοῦ σιτώδη καὶ ἄπεπτα τοὺς τοιούτους διαχωρεῖν. ὁπόταν δὲ προσγράψαντος αὐτοῦ τὸν λογισμόν, ᾧ πιστεύσας συνε|βούλευσεν ἃ συνεβούλευσεν, ὅμως ἀπορία τις ὑπολείπηται, τί χρὴ **215** νομίζειν γίνεσθαι κατ᾿ ἐκείνους τῶν λόγων, ἐν οἷς οὐ προσέγραψε τὴν αἰτίαν ὧν κελεύει ποιεῖν ἡμᾶς; ἐγὼ δέ, εἰ μὲν μὴ προσεγεγράφει περὶ τῶν πυκνοσάρκων, ὡμολόγουν ἂν ἀπορεῖν παντάπασιν ὡς ἐπὶ πολλῶν ἄλλων, ἐν οἷς οὐδὲν τοιοῦτον προστιθέντος τοῦ συγγραφέως ἀποφαίνονται τολμηρότατα τὸ ἐπελθὸν αὐτοῖς οἱ ἐξηγηταί· ἐπεὶ δὲ αὐτὸς ἐμνημόνευσε τῶν πυκνοσάρκων, ἀφορμὴν ἔδωκε τοῦ γράψαι τι καὶ αὐτοὺς χρήσιμον ἐπὶ τῶν τοιούτων φύσεων. ἀθροίζουσι γὰρ οὗτοι τάχιστα ⟨χυμῶν⟩ πλῆθος ἐλλιπῶς διαπνεόμενοι, καὶ διὰ τοῦτο τῆς ἀναδόσεως ἰσχομένης αὐτοῖς ὑγρὰ μὲν πάντως γίνεται τὰ διαχωρήματα, ποτὲ δ᾿ οὐχ ὑγρὰ μόνον, ἀλλὰ καὶ λεπτὰ καὶ μάλιστα ἐπὶ τῶν ἀδδηφαγούντων. ὅταν μὲν γὰρ ἀναδίδωταί τι τῶν καταποθέντων, ἑτοιμότερον ἡ γαστὴρ πέττει τὰ κατάλοιπα· διαμένοντος δὲ ἐν αὐτῇ τοῦ πλήθους τῶν σιτίων, ὅταν ποτὲ βαρύνηται πρὸς αὐτῶν, ἀποτρίβεται πάντα πρὶν πεφθῆναι. ἴσως δὲ καὶ διὰ τὴν σκληρότητα τῶν φλεβῶν ἡ τῆς τροφῆς ἀνάδοσις ἐκωλύετο | μὴ δυναμένων αὐτῶν ἐπὶ πλέον διαστέλλεσθαι. ἀλλὰ τήν γε **216** τῶν τοιούτων φύσεων ἐπιμέλειαν ἐχρῆν αὐτὸν γεγραφέναι διὰ τῆς εἰς τοὐναντίον ἀγωγῆς. ἀραίωσίς τε γὰρ καὶ μάλαξις ὅλης τῆς ἕξεώς εἰσιν οἱ σκοποὶ διὰ μαλακῆς τρίψεως καὶ λίπους πολλοῦ καὶ τοῦ χρονίζειν ἐν ταῖς πυέλοις γιγνόμεναι. ὁ δέ γε πρὸς τὸ σύμπτωμα μόνον ἵσταται παραλιπὼν αὐτοῦ τὴν οἷον ῥίζαν ἐκκόψαι.

λέλεκται δὲ κατὰ τὴν προκειμένην ῥῆσιν καὶ τοῦτο αὐτῷ· δῆλον γὰρ ὅτι ἡ κοιλίη συνθάλπειν οὐ δύναται. καὶ μὴν εἴπερ ἀληθῶς ᾐτιάσατο τὴν πυκνότητα τῆς ἕξεως καὶ τὰς φλέβας οὐκ ἀντιλαμβανομένας τῆς

6 προείρηται] *p. 108, 5 sq.*

2 ἀντὶ UR: ἐπὶ V γινομένας VR 3 ἐπιλαμβάνονται V 4 γε R²U: *om.* VR 5 εἴωθεν ἐνάπτειν V μέν *hic* R²U: *post* διαχωρεῖν *transp.* VR 8 ἃ συνεβούλευσας V ὑπολείπηται *scripsi*: ὑπολείπεται *codd.* 9 γίνεσθαι UR: γράφειν V κατ᾿ . . . προσεγεγράφει *(10) om.* V προσέγραψαν R 10 κελεύειν, *sed* ν *nunc eras. in* R δὲ R²U: γὰρ R προσεγεγράφει R²U: προσεγεγράφειν R περὶ] ἐπεὶ V 12 προστιθέντος U: προστεθέντος VR: προσθέντος *coni. Cobet, Mnemos. N. S. 13 (1885), 230* 13 τολμηρότατα U: τολμηρότατον R: τολμηρότατοι V 14 ἔδωκε R²U: δέδωκε VR τι] τε R 16 χυμῶν *addidi; 'es eilt die Ansammlung der Säfte in ihnen in Menge'* H 18 ἀδηφαγούντων R: *corr.* R² 19 ἀναδίδοται U καταποθήτων V *et supr. scr.* R: κατὰ ποσότητα *primo* R 20 πέττη U 23 ἐκκωλύετο *(sic)* R: κωλύεται U διαστέλεσθαι *(sic)* V: διαστείλεσθαι R 24 φάσεων V: φάσεως, *sed ipse mut. in* φύσεων R 25 τε γὰρ R²U: δὲ VR 26 λίπου V καὶ τοῦ χρονίζειν U: *om.* VR 27 τοῖς U πύλαις R: *corr.* R² ὁ δέ γε *bis, sed alt. ipse del.* R: *rurs. del.* R² 30 κοιλία VR συνθάπτειν, *sed verum ipse supr. scr.* R

τροφῆς, οὐκ ὀρθῶς αἰτιᾶται τὴν κοιλίαν. εἰ μὲν ⟨οὖν⟩ τις αὐτῷ συγχωρήσειεν ἀληθεύειν ἐν τούτῳ, συγχωρήσει καὶ τὴν ἐφεξῆς γεγραμμένην δίαιταν ὀρθῶς εἰρῆσθαι, τὸν ἔξοπτον ἄρτον καὶ τὸ ποτὸν εὔκρατον, ἔλαττον δὲ καὶ τὴν μονοσιτίαν καὶ τὸ μὴ περιπατεῖν ἐπὶ τοῖς σιτίοις.

III 29 [7. VI 84, 4—6 L.] Ἔστι δὲ αὕτη μὲν ἡ φύσις ὀξείη
217 καὶ τρέπεται ἐφ᾽ ἑκάτερα, | καὶ ἀκμάζει ὀλίγον χρόνον ἡ εὐεξίη ἐν τοῖσι τοιουτοτρόποισι τῶν σωμάτων.

Ὀξεῖαν εἶπε τὴν τῶν πυκνοσάρκων φύσιν ἐν ἴσῳ τῷ ταχείας ποιουμένην τὰς μεταβολάς· ἐπιφέρων γοῦν ἐρεῖ καὶ τρέπεται ἐφ᾽ ἑκάτερα, τουτέστιν ἐπί τε τὴν εὐεξίαν καὶ τοὐναντίον. ἐφεξῆς δ᾽ ἔτι φησί· καὶ ἀκμάζει ὀλίγον χρόνον ἡ εὐεξία ἐν τοῖσι τοιουτοτρόποισι τῶν σωμάτων. ἐδείχθη γὰρ ἐν τοῖς Εἰς τοὺς ἀφορισμοὺς ὑπομνήμασιν ἡ τῶν γυμνασίων εὐεξία μετὰ ⟨ἀμέτρου⟩ πληρώσεως αἵματός τε καὶ σαρκῶν τὴν ῥώμην φυλάττουσα τῶν φυσικῶν δυνάμεων. ἀλλ᾽ ὥσπερ ἐκεῖ τὴν ἐπ᾽ ἄκρον εὐεξίαν ἐδείκνυμεν εἶναι σφαλεράν, οὐ ταχέως γινομένην ἐν τοῖς ἀραιοῖς σώμασιν, οὕτως ἐπὶ τῶν πυκνοσάρκων, ἐπεὶ τάχιστα γίνεται, διὰ τὸ δυσδιαφόρητον ἀναγκαζομένη δηλονότι μεταπίπτειν εὐθέως, ὀξεῖαν ποιεῖται τὴν γένεσιν καὶ τὴν λύσιν. |

218 **III 30** [7. VI 84, 6—8 L.] Τὰ δὲ ἀραιότερα τῶν εἰδέων καὶ δασύτερα καὶ τὴν κρεηφαγίην δέχεται καὶ τὰς ταλαιπωρίας μᾶλλον, καὶ χρονιώτεραι γίνονται αὐτέοισιν αἱ εὐεξίαι.

Ὅτι τὰ δασύτερα τῶν σωμάτων ἀραιότερον ἔχει τὸ δέρμα καὶ τὸ σαρκῶδες γένος, ἐμάθομεν ἐν τοῖς Περὶ κράσεων. ταῦτ᾽ οὖν εἰκότως φησὶ καὶ τὴν κρεηφαγίαν ἀνέχεσθαι μᾶλλον, ὡς ἂν διαπνεόμενα, καὶ τὰς ταλαιπωρίας· ἧσσον γὰρ ἁλίσκεται κόποις (ἐμάθομεν γὰρ καὶ τοῦτο ἐν τοῖς Ὑγιεινοῖς)· εἰ δὲ ταῦτα, καὶ τὰς εὐεξίας ἕξει χρονιωτέρας ὡς ἂν μὴ εἰς ἄκρον ἀφικνουμένας ἑτοίμως.

2 ἐφεξῆς] *supra p. 108, 9 sqq.* 12 ἐν τοῖς Εἰς τοὺς ἀφορισμοὺς ὑπομνήμασιν] *Gal. XVII B 361 sqq. K.* 23 Περὶ κράσεων] *I 599 sqq. et 611 sq. K.* 26 Ὑγιεινοῖς] *VI 190 sqq. K.*

1 οὖν *addidi* 2 συγχωρήσειε R 3 ἄκρατον *haud recte Cornarius; cf. supra p. 108, 11* 4 ἐπὶ R²U: ἐν VR 5 μὲν *om.* U ὀξείη ἡ φύσις VR 6 καὶ *(prius)* . . . χρόνον *non exar.* R 7 τοῖς U 8 ὀξεῖαν U: εὐεξίαν VR 10 ἑκάτερον R: *corr.* R² εὐεξίαν U: εὐεξίην VR δ᾽ ἔτι R²: δέ τι U: δέ τοι VR 11 φασὶ V εὐεξίη R² τοῖς U 13 ὅτι ἡ R² γυμναστικῶν *coni. Cornarius; at cf. etiam* ἡ γυμναστικὴ εὐεξία *Gal. XVII B 362 K.* ἀμέτρου *addidi; cf. Gal. XVII B 362. 363. 364 K.* πληρώσεως R²UV *et in mg.* R: πλείονος *in text.* R 14 τε *om.* U 16 ἠγνοημένην V ἀραιοῖς R²UV: ἀρχαίοις R καὶ ἐπὶ R² 17 δυσφόρητον VR 19 τὰ δὲ] καὶ τὰ U: τὸ δὲ VR: *ex Hipp. corr. Aldina* ἀραιότερον VR εἰδέων U: σωμάτων VR καὶ . . . γίνονται *(21) non exar.* R 20 δασύτερα] δυς *et lac. quinque litt.* V κρεηφαγίην V *(cf. v. 24)*: ἀδηφαγίαν U 21 αὐτέοισιν VR: αὐτοῖς U 22 δυσέντερα V *post* τὸ *add.* τε R² 24 φησὶ R²U: φασὶ VR διαπνεομένων R: *corr.* R² 25 εἰ *ante* ἐμάθομεν *add.* R: *del.* R² γὰρ U: *om.* VR 26 ἔχει *in textu,* ἕξει *in mg.* U 27 μὴ εἰς ἄκρον VR: εἰς ἄκρον οὐκ U

III 31 [7. VI 84, 8—15 L.] Καὶ ὅcοι τὰ cιτία ἀνερεύγονται τῇ ὑcτεραίῃ καὶ τὰ ὑποχόνδρια μετεωρίζεται αὐτέοιcιν ὡc ἀπέπτων τῶν cιτίων ἐόντων, τούτοιcι καθεύδειν μὲν πλείω χρόνον | cυμφέρει, τῇ δὲ ἄλλῃ ταλαιπωρίῃ ἀναγκάζειν χρὴ αὐτῶν 219 τὰ cώματα, καὶ τὸν οἶνον ἀκρητέcτερον πινόντων καὶ πλείω, καὶ τοῖcι cιτίοιcιν ἐλάccοcι χρῆcθαι ὑπὸ τοῦτον τὸν χρόνον. δῆλον γὰρ δὴ ὅτι ὑπὸ ἀcθενείηc καὶ ψυχρότητοc ἡ κοιλίη οὐ δύναται τὸ πλῆθοc τῶν cιτίων καταπέccειν.

Καλῶc ἐποίηcεν ἐνταῦθα προcθεὶc αὐτὸc ἐπὶ τῷ τέλει· δῆλον γὰρ δὴ ὅτι ὑπὸ ἀcθενείαc καὶ ψυχρότητοc ἡ κοιλίη οὐ δύναται τὸ πλῆθοc τῶν cιτίων καταπέccειν· ὡc πρὸc τοῦτον γὰρ ἀποβλέπων τὸν cκοπὸν ἐκθερμαίνειν αὐτὴν πειρᾶται καὶ κατὰ τοῦτο καθεύδειν τε πλείω χρόνον αὐτοῖc cυμβουλεύει καὶ γυμνάζεcθαι καὶ τὸν οἶνον ἀκρητέcτερον πίνειν καὶ πλείονα καὶ τοῖcι cιτίοιcιν ἐλάττοcι χρῆcθαι κατ᾽ ἐκεῖνον τὸν χρόνον, καθ᾽ ὃν ἂν ἠπεπτηκότεc τυγχάνωcιν, ὡc, ἔν γε τῷ λοιπῷ γυμναζόμενοί τε καὶ κινούμενοι καὶ πίνοντεc τὸν οἶνον, ὡc εἰρήκαμεν, οὐδέν τι δέονται τῆc cυμμέτρου ποcότητοc τῶν cιτίων ἀφαιρεῖν. |

III 32 [7. VI 84, 15—17 L.] Ὅcουc δὲ δίψαι λαμβάνουcι, 220 τούτοιcι τῶν τε cιτίων καὶ τῶν ταιλαιπωριῶν ἀφαιρεῖν, καὶ τὸν οἶνον πινόντων ὑδαρέα τε καὶ ὡc ὅτι ψυχρότατον.

Νῦν μὲν οὕτωc εἴρηται τὸ γνώριcμα τῶν θερμῶν φύcεων, ἐν δὲ τῷ ἕκτῳ τῶν Ἐπιδημιῶν κατὰ τήνδε τὴν ῥῆcιν· "ἐνθέρμῳ φύcει ψυχρὸν ποτὸν ὕδωρ, ἐλινύειν"· αὐτὴν γὰρ ὀνομάcαc τὴν κρᾶcιν τοῦ cώματοc ἐφεξῆc ἔγραψε τὴν δίαιταν, ἧc χρῄζουcιν οἱ οὕτω διακείμενοι, κεφάλαιον μὲν ἔχουcαν τὴν ψῦξιν, ἐν δὲ τῷ κεφαλαίῳ τούτῳ

17 εἰρήκαμεν] *supra p. 108, 22 sqq.* 22. 23 ἐν τῷ ἕκτῳ τῶν Ἐπιδημιῶν] *VI 4, 13 (V 310, 8 L.)*

2 ὑcτεραίῃ VR: ὑcτέρῃ U αὐτοῖc U ὡc . . . κοιλίη *(7) non exar.* R ὡc] ἴcωc U: *om.* V: *corr. ex Hipp. Aldina* ἀπέττων V 3 τουτέοιcι V χρόνῳ U 4 ἀναγκάζονταc V αὐτοῖcι V 5 τὰ . . . τοῖcι *(6) om.* V ἀκρητέcτερον *infra v. 14, hic* ἀκρατέcτερον U 6 ἐλάccονι V 7 ἀcθενείαc U ψυχροτάτητοc V ἡ κοιλίη καὶ ψυχρότητοc *colloc.* U: *cum* V *facit Hipp.* 8 καταπέπτειν, *sed mut. in* καταπέττειν U 9 καλῶc . . . τέλει *in mg. suppl.* U 10 ἡ κοιλίη καὶ ψυχρότητοc U; *cf. ad v. 7* ἡ κοιλίη U: ἡ κοιλία R²: *om.* VR 11 καταπέπτειν, *sed mut. in* καταπέττειν U 12 αὐτὴν R²U: αὐτὸν VR 13 τε VR: τὸν U 14 ἀκρατέcτερον VR καὶ πλείονα πίνει *(sic) coll.* U τοῖcι *primo, sed* ι *nunc eras.* R cιτίοιc VR 15 ἠπεπτηκότεc R²U: ἢ πεπτηκότεc R: πεπτηκότεc V 16 ἔν U: ἄν VR 17 cυμμέτραc *(sic)* R 19 ὀκόcουc R: ὀκόcοι V δίψη U 20 τούτοιcι U: τουτέοιcι V: *idem* (τέοιcι *in ras.*), *sed primo* τὰ cιτία R τῶν *(prius)* . . . ἀφαιρέειν (*sic* VR) *in ras.* R 21 ὑδαρέα . . . ψυχρότατον VR: ὅτι ψυχρότερον ἢ ὑδαρέα U 23 ἕκτῳ] ϛ V ἐνθέρμῳ UV: ἐν θερμῷ R 24 ἐλλινύειν U: ἐλιννύειν VR: *corr. Kühn* αὐτὸc VR 25 ἔγραφε R ἧc VR: οἷc U οἱ] οἷον V 26 ἔχουcα *codd.*: *corr. Chartier* τῷ κεφαλαίῳ δὲ *coll.* V

τῆς διαίτης τὰ δραστικώτερα ἥ τε ὑδροποσία ἐστὶ καὶ ἡ ἀγυμνασία. κατὰ δὲ τὴν προκειμένην ῥῆσιν τὸ μὲν "ἐλινύειν" ἑτέρως ὠνόμασεν εἰπὼν καὶ τῶν ταλαιπωριῶν ἀφαιρέειν, ἀντὶ δὲ τοῦ πίνειν ὕδωρ γράψας καὶ τὸν οἶνον πινόντων ὑδαρέα τε καὶ ὡς ὅτι ψυχρότατον. καί μοι δοκεῖ κάλλιον ἐνταῦθα παραινέσαι· τὸ γὰρ ὑδαρὲς πόμα καὶ ψυχρὸν οὐκ ἐστέρηται μὲν τοῦ ἐμψύχειν, προσείληφε δὲ καὶ τὰς ἐκ τοῦ οἴνου ὠφελείας. |

221 **III 33** [7. VI 84, 17—22 L.] Ὅσοισι δὲ ὀδύναι γίνονται τῶν σπλάγχνων ἢ ἐκ γυμνασίης ἢ ἐξ ἄλλης τινὸς ταλαιπωρίης, τούτοισι συμφέρει ἀναπαύεσθαι ἀσίτοισι, πόμασι δὲ χρῆσθαι ὅ, τι ἐλάχιστον ἐς τὸ σῶμα εἰσελθὸν πλεῖστον οὖρον διάξει, ὅπως αἱ φλέβες αἱ διὰ τῶν σπλάγχνων πεφυκυῖαι μὴ κατατείνωνται πληρούμεναι· ἐκ γὰρ τῶν τοιούτων τὰ φύματα γίνονται καὶ οἱ πυρετοί.

Περὶ πασῶν τῶν ὑποθηκῶν ἐν τῇ τῶν Ὑγιεινῶν πραγματείᾳ τελέως διελήλυθα, καὶ νῦν ὅσον ὑπομνήσεως ἕνεκα καθάπερ ἐν τοῖς ἔμπροσθεν, οὕτως καὶ κατὰ τήνδε τὴν ῥῆσιν εἰρήσεται. πολλοῖς γὰρ τῶν ἀπυρέτων ὀδύναι ἐπιγίγνονται κατὰ τὰ σπλάγχνα καὶ μάλιστα κατὰ τὸ ἧπαρ, ὅταν ἐπὶ σιτίοις γυμνασάμενοι τύχωσιν ἢ λουσάμενοι, καὶ γίνεται τοῦτο διὰ στενοχωρίαν μὲν τῶν ἐν τῷ σπλάγχνῳ διεξόδων, πάχος δὲ τῶν ἀναφερομένων χυμῶν. ἐμφραττόμενοι γὰρ καὶ ἐνισχό-
222 μενοι τοῖς στενοῖς πέρασι τῶν φλεβῶν, | καθ' ἃς ἡ μετάληψις γίνεται τοῦ αἵματος ἐκ τῶν σιμῶν τοῦ ἥπατος εἰς τὰ κυρτά, κωλύουσι μὲν τὰς διεξόδους, διατείνουσι δὲ δηλονότι τὰς κατὰ τὰ σιμὰ τοῦ ἥπατος φλέβας, ἐφ' αἷς οὕτω πασχούσαις ὀδυνῶνται χωρὶς τοῦ πυρέττειν. ἀναπαύεσθαι δὲ τούτους χρὴ καθ' ὃν ἂν ἀλγῶσι χρόνον καὶ πίνειν τι τῶν οὐρητικῶν καὶ τὸ ἧπαρ ἐκφραττόντων· ἂν γὰρ μὴ οὐρήσωσι, φύματα καὶ πυρετοὶ ταῖς τοιαύταις προφάσεσιν ἐπιγίνονται.

15 Ὑγιεινῶν] *passim per libros II—IV (VI 81 sqq. K.)*

1 τὰ δραστικώτερα τῆς διαίτης U 2 ἐλλινύειν U: ἐλιννύειν VR: *corr. Kühn* ἑτέρως *Marcian. 277*: ἕτερον UR: *spat. 6 fere litt.* V ὠνόμασαν V 3 ἀντὶ UR: ἐπὶ V ὕδωρ R²U: οἶνον VR 4 καὶ . . . πινόντων *om.* U ὑδαρέα . . . ψυχρότατον VR: ὅτι ψυχρότατα καὶ ὑδαρέα U 5 παρήνεσε *(sic)* U 6 καὶ *om.* U 8 ὁκόσοισι VR ἐκ τῶν VR 9 ἢ *(prius)* . . . εἰσελθὸν *(11) non exar.* R ταλαιπωρίης] ὁδοιπορίης *codd.*: *corr. ex Hipp. Cornarius* 10 τουτέοισι V ξυμφέρει V *post* ἀσίτοισι *add.* τοῦτον τὸν χρόνον V πόματα V 11 εἰ *primo, sed mut. in* ἐς U: εἰς V 15 πασῶν δὲ VR 17 εἰρήσεται R²U: εἴρηται VR 18 ἀπυρέτων] πυρετῶν V 20 τῶν] τοῦ V 21 δὲ] τε R² 22 ἃ *codd.*: *correxi* 23 αἵματος] σώματος, *sed supra* σώ *scr.* αἵ U ἐκ τῶν σιμῶν R²U: *om.* VR 24 σιμὰ UR: σις (μ supra) *(sic)* V 25 πυρέσσειν VR 26 ἂν *om.* U ἀλγοῦσι U 27 γὰρ μὴ] οἱ ἁρμοὶ V

III 34 [8. VI 84, 23—86, 6 L.] Οἷσιν αἱ νοῦσοι ἀπὸ τοῦ ἐγκεφάλου γίνονται, νάρκη πρῶτον ἴσχει τὴν κεφαλὴν καὶ οὐρέει θαμινὰ καὶ τὰ ἄλλα πάσχει, ὅσαπερ ἐπὶ στραγγουρίῃ· οὗτος ἐφ᾽ ἡμέρας ἐννέα τοῦτο πάσχει· καὶ ἢν μὲν ῥαγῇ κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα ὕδωρ ἢ καὶ βλέννα, ἀπαλλάσσεται τῆς νόσου καὶ τῆς στραγγουρίης παύεται. οὐρέει δὲ ἀπόνως πολὺ καὶ λευκόν, ἔστ᾽ ἂν εἴκοσιν ἡμέρας παρέλθῃ, καὶ ἐκ τῆς κεφαλῆς ἡ ὀδύνη ἐκλείπει τῷ ἀνθρώπῳ, ἐσορέοντι δὲ κλέπτεταί οἱ ἡ αὐγή. |

Εἰκότως ὑπωπτεύκασι ταύτην τὴν ῥῆσιν, ἔνιοι δὲ καὶ τελέως κατ- 223
εγνώκασιν ὡς οὔτε Πολύβου γεγραφότος αὐτὴν οὔτε πολὺ μᾶλλον Ἱπποκράτους· ἥ τε γὰρ ἀρχὴ τοῦ λόγου παντάπασιν ἀδιόριστος ἀξιοῦσα τὰς ἀπὸ τοῦ ἐγκεφάλου νόσους νάρκην τε καὶ στραγγουρίαν ἐπιφέρειν οὔτε, εἴπερ ἡγήσαιτό τις αὐτὸν οὐ πάσας τὰς ἀπὸ τοῦ ἐγκεφάλου νόσους ἀποφαίνεσθαι τοιαύτας ὑπάρχειν, ἀλλὰ μόνας ἐφ᾽ ὧν κατὰ τὰ ὦτα καὶ τὰς ῥῖνας ὕδωρ καὶ βλέννα ῥυεῖσα τὴν νόσον ἔπαυσεν, ἀληθὲς τὸ λεγόμενον· οὔτε γὰρ ἀεὶ φαίνεται τοῦτο γινόμενον οὔθ᾽ ὡς ἐπὶ τὸ πολύ.

1 οἷσιν . . . αὐγή *(9)*] *eadem leguntur in Hipp.* Π. νούσων *II 12 (VII 18, 19—20, 4 L.); cf. J. Ilberg, Griech. Stud. Lipsius dargebr. 1894 p. 37 et C. Fredrich, Hipp. Unters. 1899 p. 20*

1 ἀπὸ τοῦ ἐγκεφάλου αἱ νοῦσοι VR 2 νάρκη . . . δὲ *(8) non exar.* R νάρκα U 3 οὐρέη *(sic), sed corr.* U ὁκόσαπερ V στραγγουρίαις U 4 οὗτος V: τοῦτ᾽ U ἐννέα U: θ̄ V τοῦτο *om.* U πάσχειν, *sed corr.* U 5 ὕδωρ θερμὸν V 6 καὶ τὰ V στραγγουρίας V οὐρέει U: οὐδὲν εἰ V 8 ἡ *om.* U ἐκλίπῃ V ἐσορέοντι] ἐσρέοντι V: ὀρέοντι *(sic)* U: *corr. ex Hipp. Aldina* 9 οἱ *om.* U *post* αὐγή *add.* ἄνδρα δὲ χρή, ὅστις ἐστὶ συνετός, λογισάμενον ὅτι τοῖσιν ἀνθρώποισι πλείστου ἄξιόν ἐστιν ἡ ὑγείη, ἐπίστασθαι ἐκ τῆς ἑωυτοῦ γνώμης ἐν τῇσι νούσοισιν ὠφελέεσθαι *codd. Hipp. (VI 86, 7—9 L.); sed Gal. ea hoc loco non apposuisse e comm. apparet; est initium libri* Περὶ παθῶν *(VI 208 L.)* 10 ὑποπτεύκασι R τελείως VR 11 γράφοντος R: *corr.* R² 13 νάρκην *(sed* νάρκαν *ut v. 2)* . . . νόσους *(15)* U: *om.* VR: νάρκην . . . ἐγκεφάλου *ante* νόσους *v. 13 inser.* R² στραγγουρίας U 15 ἀποφαίνεσθαι R²U: *om.* VR 16 βλέννα R²: βλένα U: βλένναν VR 18 ἐπὶ *om.* U τέλος τῆς περὶ φύσεως ἀνθρώπου *subscr.* R: *om.* R²UV

GALENI

IN HIPPOCRATIS DE VICTV ACVTORVM COMMENTARIA QVATTVOR

EDIDIT

GEORGIVS HELMREICH

CONSPECTVS CODICVM

A = *Athous Laurae Ω 70; s. XIV. f. 1ʳ—120ʳ*
M = *Monacensis 469; s. XIV. f. 1ʳ—76ᵛ*
S = *Scorialensis Σ II 5; s. XV. f. 73ʳ—183ᵛ*

B = *Athous Iberon 4304. 184; s. XIV. f. 130ʳ—266ʳ*
T = *Trivultianus 685; s. XIV. f. 122ᵛ—193ʳ*

C = *Athous Iberon 4309. 189; s. XIV. f. 42ʳ—173ᵛ*
D = *Mosquensis 465, olim Athous; s. XV. f. 33ʳ—80ᵛ*
R = *Reginensis 173; s. XV. f. 73ᵛ—184ᵛ. 353ʳ—355ᵛ*
U = *Marcianus App. class. V 5; s. XV. f. 89ʳ—243ᵛ*

V = *Marcianus 281; s. XV. f. 2ʳ—46ᵛ*

P = *Parisinus 2165; s. XVI. f. 258ʳ—327ʳ*
A^1, B^1, C^1 . . . V^1 *correctoris manus*

Numeri in marginibus pinguius adscripti Kuehnianae editionis (vol. XV 418—919, Lips. 1828) paginas indicant. Hippocratei libri paginae sunt editionis Littraeanae (Œuvres complètes d'Hippocrate, II 192—529, Paris. 1840). Lemmatum numero capitula Hippocratei libri cancellis saepta ita addidi, ut priorem libri partem, quam genuinam veteres existimabant, numero I, alteram, quam Hippocratis esse negabant, numero II significarem.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΠΡΩΤΟΝ XV 418

I 1 [I 1. II 224, 2 L.] Οἱ συγγράψαντες τὰς Κνιδίας καλεο-
μένας γνώμας ὁκοῖα μὲν πάσχουσιν οἱ κάμνοντες ἐν ἑκάστοισι
τῶν νοσημάτων ὀρθῶς ἔγραψαν καὶ ὁκοίως ἔνια ἀπέβαινεν
αὐτῶν, καὶ ἄχρι μὲν τουτέων καὶ μὴ ἰητρὸς δύναιτ᾽ ἂν ὀρθῶς
συγγράψαι, εἰ εὖ παρὰ τῶν καμνόντων ἑκάστου πύθοιτο, ὁκοῖα
πάσχουσιν· ὁκόσα δὲ προσκαταμα|θεῖν χρὴ τὸν ἰητρὸν μὴ λέ- 419
γοντος τοῦ κάμνοντος, τουτέων [τὰ] πολλὰ παρεῖται, ἄλλα ἐν
ἄλλοισι καὶ ἐπίκαιρα ἔνια ἐόντα ἐς τέκμαρσιν.

Οὐ μόνον οὐδὲν ὧν οἱ κάμνοντες πάσχουσι παρέλιπον οἱ τὰς Κνιδίας γράψαντες γνώμας, ἀλλὰ καὶ περαιτέρω τοῦ προσήκοντος ἐνίων ἐμνημόνευσαν, ὡς ὀλίγον ὕστερον δείξω. καὶ οὔπω τοῦτο τῆς τέχνης ἔργον, εἰ μηδὲν παρέλιπον τῶν καὶ τοῖς ἰδιώταις γνωσθῆναι δυναμένων, (οὐ γὰρ οὗτος ὁ σκοπὸς τοῖς τεχνίταις ἐστίν), ἀλλὰ τὸ τὰ χρήσιμα πρὸς τὴν θεραπείαν ἅπαντα γράφειν, ὥστε καὶ προσθεῖναί τινα δεήσει πολλάκις, ὧν μὴ γινώσκουσιν οἱ ἰδιῶται πάντως, ἀφελεῖν τε πολλὰ τῶν γινωσκομένων αὐτοῖς, ἐὰν μηδὲν φαίνηται συνεργοῦντα πρὸς τὸ τῆς τέχνης τέλος.

καὶ ἐπίκαιρα ἔνια ἐόντα ἐς τέκμαρσιν. τέκμαρσίς ἐστιν ἡ διὰ τεκμηρίου γνῶσις, τεκμήριον δ᾽ ὀνομάζουσιν οἱ παλαιοὶ τὸ συλλο-

6 καὶ ἄχρι] *cf. Gal. VII 416 K.*: τὸ πρὸς Ἱπποκράτους εἰρημένον, ὡς μέχρι μὲν τούτου καὶ μὴ ἰατρὸς ἂν δύναιτο γινώσκειν ὀρθῶς   13 ὀλίγον ὕστερον] *p. 121, 21sqq.*

1 Γαληνοῦ ὑπόμνημα εἰς τὸ περὶ διαίτης ὀξέων νοσημάτων Ἱπποκράτους λόγος πρῶτος CR: Γ. ὑπόμν. εἰς τὸ π. δ. ὀξ. ἤγουν π. πτισάνης PS: Γ. ἑρμηνίαι εἰς τὸ ἱππ. π. δ. ὀξ. ἢ π. πτισάνης M: Γ. τμῆμα πρῶτον εἰς τὸ π. δ. ὀξ. ἤγουν εἰς τ. π. πτισάνης Ἱπποκράτους ὑπόμνημα α̅ T: Γ. εἰς τὸ π. δ. ὀξ. νοσημάτων ἱπποκράτους D: *defic.* A   3 ξυγγρ. MPR   κνιδείας AM   4 ὁκόσα *codd.; at cf. v. 7*   5 νουσημάτων *a Basil. edd.*   6 αὐτῶν M: αὐτέων *cett.*   καὶ μὴ BSV: καὶ μηδὲ CR: *defic. (ut in proximis interdum, cf. praef.)* A: καὶ ὁ μὴ *Wilamowitz*   δύναιτ᾽ MRS: δύναιτο τις V   7 ξυγγρ. MP   ἕκαστα S   πύθοιτο MRS: πυθοίατο BV   8 ὁπόσα T   προσκαταμαθεῖν AMS: προκ. R   ἰατρὸν B   9 πολλὰ *Hipp. cod. A*: τὰ πολλὰ *codd.; sed cf. p. 118, 4. 8. 119, 12*   10 ἄλλοις R   11 *commentarium om.* T   12 κνιδείας AR   13 τῆς τέχνης S: τῆς *om. cett.*   14 εἰ *om.* S   16 τὴν *om.* B   17 πάντες B   18 φαίνηται AMRS: φαίνοιτο V   20 ἐόντα *om.* S   ἐς AMS: εἰς RV   τέκμαρσις] τοῦτ᾽ S   21 παλαιοὶ] πολλοὶ B: Ἕλληνες M

420 γιστικὸν cημεῖον, οὐχ ἁπλῶc ἅπαν cημεῖον, | ὡc ἐν τῷ περὶ τεκμηρίου καὶ cημείου δέδεικται λόγῳ. τὰ οὖν εἰc τὴν τοιαύτην γνῶcιν ἀναγκαῖά τε καὶ χρήcιμα τοῖc ἰατροῖc οὐχ ἅπαντά φηcι γεγράφθαι κατὰ τὰc Κνιδίαc γνώμαc, ἀλλὰ παραλελεῖφθαι πολλά.

I 2 [I 1. II 224, 9 L.] Ὁκόταν δὲ ἐc τέκμαρcιν λέγηται, ὡc χρὴ ἕκαcτα ἰητρεύειν, ἐν τούτοιcι πολλὰ ἑτεροίωc γινώcκω ἢ ὡc ἐκεῖνοι ἐπεξῄεcαν.

Ἐπειδὴ πολλὰ παραλελεῖφθαι τοῖc Κνιδίοιc ἰατροῖc εἶπεν εἰc τέκμαρcιν χρήcιμα, τίνα λέγει τέκμαρcιν αὐτὸc ἐφεξῆc ἐδίδαξεν εἰπὼν ὡc χρὴ ἕκαcτα ἰητρεύειν· εἰc γὰρ τὴν τούτων εὕρεcιν ὅ τί περ ἂν ᾖ χρήcιμον, ἐκ τῆc τέχνηc ἐcτίν. ἴcωc οὖν τιc δόξει παραλελεῖφθαι τὰ πρὸc τὴν διάγνωcίν τε καὶ πρόγνωcιν διαφέροντα τεκμήρια· τὸ δ' οὐχ οὕτωc ἔχει· περιέχεται γὰρ ἐξ ἀνάγκηc ταῦτα τοῖc εἰc θεραπείαν
421 διαφέρουcιν, ὡc, εἴ γε μηδὲν εἰc τὴν τῆc ἀρίcτηc | θεραπείαc εὕρεcιν ἡ διάγνωcιc τῶν νοcημάτων ἢ ἡ πρόγνωcιc τῶν ἀποβηcομένων cυνετέλουν, παντάπαcιν ἂν ἦcαν περιτταί, νυνὶ δ' ὅτι cυντελοῦcι, διὰ τοῦτ' εἰcὶ χρήcιμοι.

ὅτι μὲν οὖν ἡ διάγνωcιc τῶν παθῶν ἀναγκαιοτάτη πρὸc τὴν θεραπείαν ἐcτίν, οὐδὲ λόγου δεῖται· πρῶτον γὰρ διαγνῶναι χρή, τί ποτ' ἐcτὶ τὸ πάθοc, εἶθ' οὕτωc ἐπιχειρεῖν αὐτὸ θεραπεύειν. ὅτι δὲ καὶ ἡ πρόγνωcιc εἰc τὴν θεραπείαν χρήcιμοc, κατὰ τὸ προοίμιον αὐτὸc ἐδίδαξε τοῦ Προγνωcτικοῦ. ὥcτ' ἐάν τιc λέγῃ πάντα τὰ κατὰ τὴν ἰατρικὴν ἤτοι γ' εἰc διάγνωcιν ἢ εἰc πρόγνωcιν ἢ εἰc θεραπείαν εἶναι χρήcιμα, δυνάμει λέγει ταὐτόν· ἡ μὲν γὰρ θεραπεία δι' ἑαυτὴν ἀcκεῖται τοῖc ἰατροῖc, ἡ δὲ πρόγνωcιc καὶ ἡ διάγνωcιc ἕνεκα τῆc θεραπείαc· ὅθεν οὐδὲ τὸ τέλοc τῆc τέχνηc διάγνωcιν ἢ πρόγνωcιν εἶπεν εἶναί τιc ὥcπερ τὴν θεραπείαν. ἄκουε δὲ νῦν θεραπείαν τὴν τῶν νοcημάτων ἀναίρεcιν ἤδη γεγενημένην, οὐ γινομένην ἔτι. γέγραπται δὲ περὶ τούτων ἀπάν-

1. 2 ἐν τῷ περὶ τεκμηρίου καὶ cημείου λόγῳ] *De coniectura et signo Galenum aut in libris quibus* Περὶ ἀποδείξεωc *disputavit aut in libro quem* Περὶ τῶν ἰατρικῶν ὀνομάτων *inscripsit disseruisse verisimile est* 22 Προγνωcτικοῦ] *II 110 L. I 78 Kühl.* 27 θεραπείαν κτέ.] *cf. Ps.-Gal. XIX 396* θεραπεία ἐcτὶν ἡ τῶν νοcημάτων ἀναίρεcιc ἤδη γεγενημένη, οὐ γινομένη ἔτι

1 *post* cημεῖον *iterant* τεκμήριον δὲ ABR *et in mrg.* M¹: *om.* MS cημεῖον ἅπαν S 2 γοῦν MS τὴν *om.* R 5 εἰc B 6 ἰατρεύειν S, *item v. 10* τούτοιcι BV: τούτοιc R: τουτέοιcι *cett.* ὧν ἑτεροίωc γινώcκουcιν S 7 ἐπεξῄεcαν ABRT: ἐπεξίεcαν MS 8 *commentarium om.* T 9 εἰπὼν *post* χρὴ *transp.* R: *post* ἕκαcτα B: *supra* χρὴ *iterat* M¹ 10 ἰατρεύειν S 11 ἔκ τε τ. M οὖν *om.* S δόξει καὶ R: δόξειε *cett.*: *correxi* 12 τὰ δ' S 14 εἰc] ἐπὶ M 15 τῶν ἀποβηcομένων *om.* AMS: *add.* M¹ *in mrg.* cυνετέλουν *superscr.* ει M: cυνετέλει R 17 χρήcιμοι ACS: χρήcιμαι RV: *obscur.* M 18 ἡ *codd.*: *om. Chartier* 19 δεῖται M: δεῖ BRS: *defic.* A 21 καὶ κατὰ M αὐτὸc ἐδ. AMS: ἐδ. αὐ. R 22 πάντα ταῦτα M τὴν *om.* AS 23 δ. καὶ (καὶ [ἢ A¹M¹] εἰc A¹M) πρόγν. AMS ἢ εἰc πρόγν. *post* χρήcιμα *transp.* V 25 ἡ διάγν. *codd.*: διάγν. *ab Aldo edd.* ὅθεν . . . θεραπείαν *om.* S 27 δὲ ACMS: δὴ R νῦν τὴν θεραπείαν C 28 γεγενημένων *Chartier* ἀλλ' οὐ AMS γινομένων *Chartier*

των ἱκανῶς ἐν τῷ Περὶ τοῦ τέλους τῆς ἰατρικῆς βιβλίῳ καὶ νῦν οὐ χρὴ τὸ πάρεργον ἔργον ποιεῖςθαι, τὴν | γνώμην τοῦ παλαιοῦ κατα- **422** νοήσαντας ἤδη καὶ χωρὶς τῆς περὶ τοῦ τέλους ἀκριβολογίας.

γεγραμμένης δὲ τῆς προκειμένης ῥήσεως καὶ καθ' ἕτερον τρόπον ἐν πολλοῖς τῶν ἀξιοπίστων ἀντιγράφων οὐκ ἄκαιρόν ἐστι κἀκείνης μνημονεῦσαι· διαφέρει δὲ τῆς προγεγραμμένης ἑνὶ γράμματι τῷ η̅ κατὰ τόνδε τὸν τρόπον ἔχουσα· ὁκόταν δὲ ἐς τέκμαρσιν λέγηται ἢ ὡς χρὴ ἕκαστα ἰητρεύειν. οἱ δ' οὕτω γράφοντες τέκμαρσιν μὲν τὴν διάγνωσίν τε καὶ πρόγνωσιν ἀκούουσι, τὸ δ' ὡς χρὴ ἕκαστα ἰατρεύειν τὴν θεραπείαν, οὐ βουλόμενοι ταύτην τῷ τῆς τεκμάρσεως ὀνόματι περιέχεσθαι. εἰ δέ γε τοῦθ' οὕτως ἔχει, κατὰ τὴν προγεγραμμένην ῥῆσιν, ἐν ᾗ φησι πολλὰ παρεῖσθαι "ἄλλα ἐν ἄλλοισι καὶ ἐπίκαιρα ἔνια ἐόντα ἐς τέκμαρσιν", οὐκ ὀρθῶς ἔσται παραλελοιπὼς τὸ θεραπευτικὸν μέρος τῆς τέχνης. εὔδηλον δ' ὅτι φήσουσιν ἐκεῖνοι δι' αὐτὸ τοῦτο πάλιν ἐπαναλαβεῖν καὶ γράψαι τὴν ἑξῆς ῥῆσιν, ἵνα προσθῇ καὶ τὸ θεραπευτικόν. ἔνθα δ' οὐκ ἔστι περὶ πράγματος εἰς θεραπείαν χρησίμου διαφωνία, πε|ριττὸν τὸ μακρολογεῖν· ἐπ' ἐκεῖνα τοίνυν σπεύσωμεν, ἐν **423** οἷς διδάσκει τὰ πρὸς τὴν θεραπείαν χρήσιμα.

I 3 [I 1. II 226, 1—8 L.] Καὶ οὐ μόνον διὰ τοῦτο οὐκ ἐπαινέω, ἀλλ' ὅτι καὶ ὀλίγοισι τὸν ἀριθμὸν τοῖσιν ἄκεσιν ἐχρέοντο· τὰ γὰρ πλεῖστα αὐτέοισιν εἴρηται, πλὴν τῶν ὀξέων νούσων, φάρμακα ἐλατήρια διδόναι καὶ ὀρὸν καὶ γάλα ἐς τὴν ὥρην πιπίσκειν. εἰ μὲν οὖν ταῦτ' ἦν ἀγαθὰ καὶ ἁρμόζοντα τοῖσι νοσήμασιν, ἐφ' οἷσι παρῄνεον διδόναι, ἔτι ἂν ἀξιώτερα ἐπαίνου ἦν, ὅτι ὀλίγα ἐόντα αὐτάρκεά ἐστιν· νῦν δὲ οὐχ οὕτως ἔχει.

Καὶ ὀλίγοις τὸν ἀριθμὸν τοῖς ἰάμασιν αὐτούς φησι κεχρῆσθαι πλὴν τῶν ὀξέων νοσημάτων, ὡς ἐν τούτοις εἰρηκότων πολλά· καὶ γὰρ ὄντως

1 ἐν τῷ Περὶ τοῦ τέλους τῆς ἰατρικῆς βιβλίῳ] *De hoc libro aliunde nihil notum* 19 Καὶ οὐ . . . ἐχρέοντο] *affert Gal. V 763 K. (p. 779 Müll.)*

1 ἱκανῶς ἀπ. M 2 τὴν γὰρ M¹ τοῦ *om.* BS 3 καὶ *om.* AS: *del.* M 6 δὲ] γὰρ R τῷ ἦτα ABR 7 ἐς AMRV: εἰς S 8 ἰατρεύειν BS 9 ἰατρεύειν BMS: ἰητρ. *cett.* 10 ταύτην *om.* BV τῷ AMS: ἐν τῷ R 11 περιέχεσθαι *post* ταύτην *transp.* R: *superscr.* M¹ 12 παρεῖσθαι AMS: παρεῖται R ἄλλοις ABRS 13 ἐόντα *om.* BRV 14 δ' *om.* S 16 ἐς S 17 μικρολογεῖν S 18 καὶ *ante* διδάσκει *add.* BRM: *om.* AS: *del.* M¹ τὴν *om.* S ἐπαινῶ C¹S 20 ὀλίγον S ἄκεσιν DV: ἀκέεσιν *cett.* ἐχρέωντο MT 21 εἴρηται ABRT: ἐξεύρηται S: εἰρέαται P: *obscur.* M ὀξέων] *cf. Hipp. ed. Kuehlewein I p. LXXXVI* 22 ὀρὸν AM: ὀρρὸν BRS ἐς AMS: εἰς RPV (*del.* P¹) 23 εἰ μὲν . . . οὕτως ἔχει *om. omnes codd. praeter* M 24 νουσ. *a Basil. edd.* διδόναι *ex Hipp. add. Aldus*: *om.* M ἔτι M: πολὺ *edd.* 25 ἦν ἐπαίνου *edd.* ὀλίγα M: ὀλίγιστα *edd.* 27 *comment. om.* T ὀλίγων S χρῆσθαι R 28 καὶ γὰρ καὶ M: *alterum* καὶ *del.* M¹ ὄντως AMRS: οὕτως C

424 εἰρήκασι· τὰ δ᾽ ἐπὶ τῶν χρο|νίων τοὔμπαλιν· καὶ γὰρ καὶ ταῦτα δι᾽ ἐλατηρίων καὶ ὀροῦ καὶ γάλακτος ὡραίως πινομένων αὐτοῖς περαίνεται.

I 4 [I 1. II 226, 8 L.] Οἱ μέντοι ὕστερον ἐπιδιασκευάσαντες ἰητρικώτερον δή τι ἐπῆλθον περὶ τῶν προσοιστέων ἑκάστοισιν.

Ἐπιδιεσκευάσθαι λέγεται βιβλίον ἐπὶ τῷ προτέρῳ γεγραμμένῳ τὸ δεύτερον γραφέν, ὅταν τὴν ὑπόθεσιν ἔχον τὴν αὐτὴν καὶ τὰς πλείστας τῶν ῥήσεων τὰς αὐτὰς τινὰ μὲν ἀφῃρημένα τῶν ἐκ τοῦ προτέρου συγγράμματος ἔχῃ, τινὰ δὲ προσκείμενα, τινὰ δ᾽ ὑπηλλαγμένα· παράδειγμα δ᾽ εἰ βούλει τούτου σαφηνείας ἕνεκα, τὸν δεύτερον Αὐτόλυκον Εὐπόλιδος ἔχεις ἐκ τοῦ προτέρου διεσκευασμένον. οὕτω δὲ καὶ τὰς Κνιδίας γνώμας ἐπὶ ταῖς προτέραις δευτέρας ἐξέδοσαν οἱ ἀπὸ τῆς Κνίδου ἰατροί, τινὰ μὲν ἐχούσας τὰ αὐτὰ πάντῃ, τινὰ δὲ προσκείμενα, τινὰ δὲ ἀφῃρημένα, καθάπερ γε καὶ ὑπηλλαγμένα· τοῦτ᾽ οὖν τὸ δεύτερον
425 βι|βλίον ὁ Ἱπποκράτης ἰατρικώτερον συγκεῖσθαί φησι τοῦ προτέρου.

I 5 [I 1. II 226, 9—11 L.] Ἀτὰρ οὐδὲ περὶ διαίτης οἱ ἀρχαῖοι συνέγραψαν οὐδὲν ἄξιον λόγου, καίτοι μέγα τοῦτο παρῆκαν.

Ἡ διὰ τῶν συνήθων ὑλῶν ἀγωγὴ τῆς θεραπείας ὀνομάζεται δίαιτα, καθάπερ ἡ διὰ τῶν συνήθων τομῶν τε καὶ καύσεων καὶ τῶν ἄλλων, ὅσα διὰ τῶν χειρῶν ἐνεργεῖται, χειρουργία, καὶ τρίτη γ᾽ ἐπ᾽ αὐταῖς μοῖρα τῆς ἰατρικῆς ἐστιν ἡ φαρμακευτικὴ διὰ φαρμάκων καὶ αὐτὴ περαινομένη. μέμφεται δὲ τοῖς ἔμπροσθεν αὑτοῦ ὁ Ἱπποκράτης, ὡς οὐδὲν ἄξιον λόγου περὶ διαίτης γεγραφόσι· τοῦτο δ᾽ εἶπεν, οὐχ ὡς οὐδὲν αὐτῶν συγγραψάντων διαιτητικὸν θεώρημα, (γεγράφασι γάρ), ἀλλ᾽ ὡς οὐκ ἄξιον λόγου· δείξει δ᾽ αὐτός, ὁποῖόν τι τὸ ἄξιον λόγου, διὰ τῶν ἐφεξῆς. |

426 **I 6** [I 1. II 226, 11 L.] Τὰς μέντοι πολυτροπίας τὰς ἐν ἑκάστῃσι τῶν νούσων καὶ τὴν πολυσχιδίην αὐτῶν οὐκ ἠγνόουν ἔνιοι.

9. 10 Αὐτόλυκον Εὐπόλιδος] *Fragm. Comic. gr. II 440—46 Meineke*
26 Τὰς . . . ἔνιοι] *affert Gal. V 763 K. (p. 779 Müll.)*

1 τοὔμπαλιν· καὶ γὰρ καὶ ταῦτα δι᾽ M: ἔμπαλιν· καὶ γὰρ δι᾽ A: νοσημάτων ἔμπαλιν· καὶ γὰρ δι᾽ R: γράφεται τὰ δὲ ἐπὶ τῶν χρονίων ὄντως πάλιν καὶ ταῦτα R[1] *in mrg.*: νοσημάτων τοῦτο λέγει· καὶ γὰρ δι᾽ ἐλατηρίων ὄντως πάλιν καὶ ταῦτα δι᾽ ἐλατηρίων S: ὄντων ἔμπαλιν καὶ ταῦτα δι᾽ B 2 ὀρροῦ BMS 3 διασκευάσαντες S 4 ἰατρ. S 5 ἐπιδιασκευάσασθαι S πρότερον M 8 γράμματος R τινὰς δ. προσκειμένας τινὰς δ᾽ ὑπηλλαγμένας R 11 κνιδείας ARS δεύτερον S 12 ἔχουσι S 14 ἰατρικώτατον R φησὶ συγκεῖσθαι T συγκεῖσθαι *om.* R 15 αὐτὰρ R 18 τῶν συν. *om.* T τε *om.* ASV 19 αὐταῖς D: αὐτῆς M: αὐτοῖς *cett.* 20 αὕτη AMS *post* αὐτὴ *add.* δηλονότι RS: *om.* AM 21 τοῖς ἔμπροσθεν αὑτοῦ AMS: τοῖς ἑαυτοῦ πρόσθεν *cett.*: *correxi* 22 οὐδὲν] δ᾽ οὐκ S ἔγραψαν A 23 γεγράφασι γάρ *Schoene*: γράφουσι γάρ *codd.*: *incl. Kühn* 24 αὐτὸς] αὖ S τι *om.* R 26 ἑκάστῃ U *et cod. Hipp. A* 27 πολυσχεδίην ATV: πολυσχεδίαν M αὐτέων M 28 ἔνιοι *add.* P[1]: *om. cett.*

Οὐ μόνον οὐκ ἠγνόουν τὰς πολυτροπίας τῶν νοσημάτων, ἀλλὰ καὶ περαιτέρω τοῦ προσήκοντος ὑπὲρ αὐτῶν ἔγραψαν, ὡς ἐφεξῆς δείξω.

I 7 [I 1. 2. II 228, 1—232, 9 L.] Τοὺς δ' ἀριθμοὺς ἑκάστου τῶν νοσημάτων σάφα ἐθέλοντες φράζειν οὐκ ὀρθῶς ἔγραψαν. μὴ γὰρ οὐκ εὐαρίθμητον ᾖ, εἰ τουτέῳ τις σημαίνεται τὴν τῶν καμνόντων νοῦσον, τῷ ἕτερον ἑτέρου διαφέρειν τι, μὴ τωὐτὸ δὲ νόσημα δοκέειν εἶναι, ἢν μὴ τὠυτὸ ὄνομα ἔχῃ. ἐμοὶ δὲ ἁνδάνει μὲν [ἐν] πάσῃ ⟨τῇ⟩ τέχνῃ προσέχειν τὸν νόον· καὶ γὰρ ὁκόσα ἔργα καλῶς ἔχει ἢ ὀρθῶς, καλῶς ἕκαστα χρὴ ποιεῖν καὶ ὀρθῶς, καὶ ὁκόσα ἔργα ταχέως, ταχέως, καὶ | ὁκόσα καθα- 427
ρίως, καθαρίως, καὶ ὁκόσα ἀνωδύνως δεῖ διαχειρίζεσθαι, ὡς ἀνωδυνώτατα ποιεῖν, καὶ τὰ ἄλλα πάντα τὰ τοιουτότροπα διαφερόντως τῶν πέλας ἐπὶ τὸ βέλτιον ποιεῖν χρή. μάλιστα δὲ ἂν ἐπαινέσαιμι ἰητρόν, ὅστις ἐν τοῖσιν ὀξέσι νοσήμασιν, ἃ τοὺς πλείστους τῶν ἀνθρώπων κτείνει, ἐν τούτοισι διαφέρων τι τῶν ἄλλων εἴη ἐπὶ τὸ βέλτιον. ἔστι δὲ ταῦτα ὀξέα, ὁκοῖα ὠνόμασαν οἱ ἀρχαῖοι πλευρῖτιν καὶ περιπνευμονίην καὶ φρενῖτιν [καὶ λήθαργον] καὶ καῦσον καὶ τὰ ἄλλα νοσήματα, ὁκόσα τούτων ἐχόμενά [ἐστιν], ὧν οἱ πυρετοὶ τὸ ἐπίπαν συνεχέες [ὄντες κτείνουσιν].

Εἶπον ὀλίγον ἔμπροσθεν κατ' ἀρχάς, ὅτι ἔγραψαν οἱ ἀπὸ τῆς Κνίδου * * * "χολῆς νοῦσοι ἑπτά", κατὰ δὲ τὸν αὐτὸν τρόπον πάλιν κατωτέρω "ἀπὸ τῆς κύστεως νοῦσοι δώδεκα", καὶ πάλιν ἔτι κατωτέρω

3 Τοὺς . . . ἔχῃ] *affert Gal. l. l.* 16 ἔστι δὲ . . . συνεχέες] *affert Gal. VII 937 K.* 19 ὧν . . . συνεχέες] *affert Gal. paulo infra p. 135, 16* 21 ἔμπροσθεν] *p. 117, 11* 23 *sq. cf. Gal. XV 363. 364 K.*

2 ἐφεξῆς] ὕστερον M 3 Τοὺς δ' *codd.*: Ἔνιοι δὲ τοὺς *a Basil. edd.* 4 νουc. V σαφῶς M 5 *post* γὰρ *add.* ὡς R: καὶ *Gal. l. c.* ᾖ *Gal. l. c.*: εἴη *codd.* σημαίνεται P¹: σημανεῖ *cett.*: σημανεῖται *Gal. l. l.* 6 τοῦ ἑτέρου MS: τοῦ *om. cett.* 7 ἐμοὶ δὲ . . . ὄντες κτείνουσιν *(20) om. codd. praeter* P¹, *qui haec in mrg. addit. Ab ipso scriptore haec verba omissa esse ex plurimorum codicum consensu suspicari possis; sed haec suspicio eo refutatur, quod Galenus p. 135, 16 ad extrema huius loci verba respicit, cum dicat*: ὡς αὐτὸς εἶπεν ὀλίγον ἔμπροσθεν· "ὧν οἱ πυρετοὶ τοὐπίπαν εἰσὶ συνεχεῖς." 8 ἐν *del. Gomperz* τῇ *add. codd. Hipp.* 9 καλῶς ἔχει ἢ ὀρθῶς, καλῶς ἕκαστα P¹: διήκει καλῶς, ἕκαστα *a Basil. edd.* 10 καθαρίως καθαρίως *Hipp. vulg.*: καθαριότητος καθαρίως P¹ 14 νοσήμασιν P¹: νουc. *a Basil. edd.* 18 καὶ λήθαργον *om. Gal. l. l. et cod. Hipp. A: del. Cornarius* νοσήματα P¹, *Gal. l. l.*: νουc. *a Basil. edd.* 19 ἐστιν *om. Gal. l. l.* 20 ὄντες κτείνουσιν *om. Gal. l. l.* 21 εἶπον PR: εἰπὼν V: εἶπεν BDMS: *defic.* A: *'Iam dixi paulo ante' interpres lat. post* ἀρχὰς (*post* ἔγραψαν S) *add.* εὐθέως BRSV: *om.* AM ὅτι (ὃ ST) *ante* κατ' *transp. codd.*: *om.* M: *restitui* ὑπὸ R τῆς M: *om. cett.* 22 Κνίδου] *totus hic locus verbis omissis misere turbatus est, ut restitui non possit; Charterius interpretem latinum secutus lacunam explevisse sibi visus est ipsius Galeni verbis* (ἰατροὶ περὶ νοσημάτων περαιτέρω τοῦ προσήκοντος) *e p. 117, 12 huc translatis; sed sic quoque hiat oratio; desideratur enim vocabulum, unde Cnidiorum medicorum verba a scriptore allata apta sint* δὲ *post* αὐτὸν *transp.* BRT: *om.* A 22. 23 πάλιν κατωτέρω M: κ. π. AS: καὶ κ. π. *cett.*

“νεφρῶν νοσήματα τέσσαρα”, καὶ μετὰ τοῦτο πάλιν “ἀπὸ τῆς κύστεως 428 νοῦσοι στραγγουριῶν τέσσαρες”, εἶτα | πάλιν ἐφεξῆς “τέτανοι τρεῖς”, καὶ μετὰ ταῦτα πάλιν “ἴκτεροι τέσσαρες”, εἶτα μετὰ τοῦτο “φθίσιες τρεῖς”. εἰς γὰρ τὰς τῶν συμπτωμάτων ποικιλίας ἔβλεπον ὑπὸ πολλῶν αἰτίων ἐξαλλασσομένας παρέντες σκοπεῖσθαι τῶν διαθέσεων τὴν ταυτότητα, καθάπερ ὁ Ἱπποκράτης ἐποίησε μεθόδῳ χρησάμενος εἰς τὴν εὕρεσιν αὐτῶν, ᾗ μόνον δυνατόν ἐστιν ἀριθμὸν εὑρεῖν νοσημάτων. ἐπιδέδεικται δ' ἡμῖν ἡ μέθοδος αὕτη κατ' ἀρχὰς εὐθέως τῶν τῆς Θεραπευτικῆς μεθόδου βιβλίων, εἴρηται δὲ κἀν τῷ Περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐπ' ὀλίγον, ἐν συντόμῳ δὲ λόγῳ Περὶ τῆς τῶν νοσημάτων διαφορᾶς ἓν ἔχεις ὑπόμνημα ἡμέτερον. νυνὶ δ' ἀκολουθεῖν προσήκει ταῖς ῥήσεσιν· οὗτος γὰρ ὁ σκοπὸς τῆς ἐξηγήσεως, ὥς, εἴ γέ τις ἐν ταῖς ἐξηγήσεσι τὰς ἀποδείξεις γράφοι, μακρὸν ἀνύσας λόγον, ἕνεκα τῆς τῶν νοσημάτων ἰάσεως, τὸ κυριώτατον ἀφεὶς ἔσται μέρος ὅ τί περ ἂν εἰς τὴν ἴασιν τῶν ὀλεθριωτάτων νοσημάτων διαφέρῃ. τὸ μὲν οὖν κεφάλαιον τῆς προκειμένης ῥήσεως τοῦτ' ἔστι, τὰ δὲ κατὰ μέρος τῆς λέξεως ἐφεξῆς δίειμι. |

429 **I 8** [I 2. II 232, 9 L.] Ὅταν γὰρ μὴ λοιμώδεος νούσου τρόπος τις κοινὸς ἐπιδημήσῃ, ἀλλὰ σποράδες ἔωσιν αἱ νοῦσοι καὶ παραπλήσιοι, ὑπὸ τούτων τῶν νοσημάτων ἀποθνῄσκουσι πλείους ἢ ὑπὸ τῶν ἄλλων τῶν συμπάντων.

Δηλοῖ διὰ τοῦ λόγου τούτου τὰ μέν τινα πολλοῖς γίνεσθαι νοσήματα καθ' ἕνα χρόνον, ἅπερ ὅταν μὲν ὀλέθρια γένηται, λοιμὸν ὀνομάζουσιν, ὅταν δ' ἐπιεικέστερα, ἑτέρᾳ τινὶ προσηγορίᾳ δηλοῦσιν ἐπίδημα καλοῦντες· ὥστ' εἶναι τὸ μὲν ἐπίδημον νόσημα τὸ κατὰ χρόνον τινὰ πλεονάσαν ἔν τινι χωρίῳ, τὸν δὲ λοιμὸν ἐπιδημίαν ὀλέθριον. ἔστι

1 *cf. Hipp.* Περὶ ἐντὸς παθῶν *c. 14—17 (VII 202—210 L.)* 2 *cf. Hipp.* Περὶ ἐντὸς παθῶν *c. 52. 35. 10 (VII 298 sq. 252 sq. 188 sq. L.)* 8 τῆς Θεραπευτικῆς μεθόδου] *I 9 sqq. (X 67 sqq. K.)* 9 Περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων] *3—5 (I 427 sqq. K.)* 10 Περὶ τῆς τῶν νοσημάτων διαφορᾶς] *VI 836—880 K.* 18 Ὅταν . . . συμπάντων] *affert Gal. XVII A 11. 667 K.* 23 *cf. Ps.-Gal. XIX 391*

1 νοσήματα AC^{1}M^{1}RS: γνωρίσματα BCMR^{1}T καὶ μετὰ . . . τέσσαρες *(2) om.* ABCMTV 4 συμπτωμάτων ACMS: σωμάτων RV αἰτιῶν S 6 ὁ *om.* AMS ἐπέρανεν S 7 ἀριθμὸν εὑρ. ν. AMRS: εὑ. ἀ. ν. T 8 ἡμῖν AM: ὑφ' ἡμῶν *cett.* ἀρχὴν T 9 κἀν τῷ] καὶ R: *om.* BT 13 γράφοι ADM^{1}TV: γράφει BR: γράφειν S: γράφων M μακρὸν BDP: μὴ μακρὸν *cett.* 15 διαφέρει *codd.* οὖν ADMS: *om. cett.* 16 τὰ A^{1}CDR: τὸ *cett.* 18 Ὅταν *codd.*: ὁκόταν *edd.* *post* γὰρ *add.* φησι *omnes praeter* ACR λοιμώδεος νούσου *Gal. l. l.*: λοιμώδους νόσου *codd.* 19 σποράδεις M: σποράδην M^1 καὶ μὴ π. CR 20 ὑπὸ τούτων τῶν νοσημάτων ἀποθνήσκουσι πλείους ἢ ὑπὸ τῶν ἄλλων νοσημάτων ξυμπάντων T^1 *in mrg.*: τοὺς πλείστους (τοῖς πλείστοις BRT) συμβέβηκεν ὑπὸ τῶν προειρημένων ἀπόλλυσθαι (ἁλίσκεσθαι M) BCDMPRTV: τ. πλ. σ. ὑπὸ τῶν τοιούτων ἁλίσκεσθαι AP^1 *(in mrg.)* S: γρ. καὶ ὑπὸ τῶν τοιούτων ἁλίσκεσθαι C^{1}R^1 *in mrg.* 22 *post* Δηλοῖ *add.* δὲ A^{1}BM^{1}S πολλοῖς *Chartier*: πολλὰ *codd.; cf. Gal. XVII A 667* 23 γίνηται B 24 δηλοῦσιν *om.* B 25 καλοῦσι T

δὲ καὶ ἄλλο γένος νοσημάτων κοινὸν πολλοῖς, τὰ ἔνδημα καλούμενα. τούτοις δ᾽ ἀντίκεινται πᾶσιν αἱ σποράδες νόσοι, διαφερόντως ἐνοχλοῦσαι τοὺς νοσοῦντας, οὐ κατὰ τὸν κοινὸν τρόπον συνιστάμεναι.

τί ποτ᾽ οὖν ἐστι τὸ λεγόμενον ὑπ᾽ αὐτοῦ ἀλλὰ σποράδες ἔωσιν αἱ νοῦσοι καὶ παραπλήσιοι; τοὐναντίον | γὰρ ἐχρῆν εἰρῆσθαι **430** καὶ μὴ παραπλησίας αὐτὰς ἀλλήλαις ὑπάρχειν, ὅπερ ἐστὶ μὴ ὁμοίας, εἴ γε τῇ τῶν νοσημάτων ὁμοιότητι τὸ ἔνδημον καὶ τὸ ἐπίδημον καὶ τὸ λοιμῶδες ἐκρίνετο. δυοῖν οὖν θάτερον, ἢ βελτίονα νομιστέον τὴν τοιαύτην γραφὴν ἀλλὰ σποράδες ἔωσιν αἱ νοῦσοι καὶ μὴ παραπλήσιοι, ἢ παραπλησίας αὐτὰς εἰρῆσθαι χρὴ δοκεῖν οὐκ ἀλλήλαις, ἀλλὰ ταῖς ἔμπροσθεν εἰρημέναις, τουτέστι ταῖς συνήθεσιν, ἐπειδὴ σπανιώτερον μὲν ἐπίδημά τε καὶ λοιμικὰ γίνεται νοσήματα, τὰ δ᾽ ὑπ᾽ αὐτοῦ καλούμενα σποραδικὰ συνήθως· ὑπὲρ ὧν καὶ νῦν ὁ λόγος αὐτῷ γενήσεται, καθάπερ ὑπὲρ τῶν ἐπιδήμων μὲν ἐν τοῖς τῶν Ἐπιδημιῶν βιβλίοις, τῶν ἐνδήμων δὲ κατὰ τὸ Περὶ ὑδάτων καὶ ἀέρων καὶ τόπων. ἴδιον δὲ οὐδὲν ἐξαίρετον ἐποίησε σύγγραμμα περὶ λοιμωδῶν, ἐπειδὴ τῶν ἐπιδήμων ἓν ὑπάρχον αὐτὸ δι᾽ ἐκείνων ἐδίδαξεν.

I 9 [I 2. II 234, 2 L.] Οἱ μὲν οὖν ἰδιῶται οὐ κάρτα γινώσκουσι τοὺς ἐς ταῦτα διαφέροντας τῶν πέλας. |

Τοὺς εἰς ταῦτα τὰ νοσήματα διαφέροντας τῶν πέλας ἰατροὺς οὐ **431** πάντῃ γινώσκειν τοὺς ἰδιώτας φησίν· δῆλον δ᾽, ὅτι τὰ ὀξέα λέγει, περὶ ὧν προειρήκει.

I 10 [I 2. II 234, 3 L.] Ἑτεροίων τε μᾶλλον ἐπαινέεται ἰημάτων καὶ ψέκται εἰσίν.

Οὐ τῶν προσηκουσῶν οὐδὲ τῶν ἀξίων ἐπαινεῖσθαι θεραπειῶν διαγνωστικοὺς εἶναί φησι τοὺς ἰδιώτας, ἀλλὰ τῶν ἑτέρων μᾶλλον, ὅθεν οὐδ᾽ ἐπαινεῖν αὐτοὺς ὀρθῶς οὐδὲ ψέγειν· εἶτ᾽ ἐφεξῆς ὡς προστιθεὶς ἀπόδειξιν ὧν εἶπε τάδε γράφει·

14 Ἐπιδημιῶν] *II 598—717. III 24—149. V 72—469 L.* 15 Περὶ ἀέρων ὑδάτων τόπων] *II 12—93 L.*

1 *post* πολλοῖς *add.* ὅπερ ἐστὶ τὸ καθ᾽ ὥραν (κατὰ χώραν R) ἐπιγινόμενον *in mrg.* C[1], *in text.* R: *om. cett.* 2 πᾶσιν] πάλιν BM: πᾶσαι T σποράδεις S, *item v. 4* 5 αἱ *om.* S καὶ] μὴ R εἰρῆσθαι ἐχρῆν M 7 τὸ *ante* ἐπίδημον *om.* DM 9 σποράδην S: σποράδεες M παραπλήσιαι CV 10 δοκεῖν *om.* T 11 σπανιώτερα DV 12 ἐπίδημα AMS: ἐπιδήμια RV νοσήμ. γιν. A αὐτῶν S 13 συνήθη S ὑπὲρ] ἐπὶ ST 14 ἐπιδήμων AMRS: ἐπιδημίων TV 16 ἐξαίρετον οὐδὲν A γράμμα C λοιμωδῶν M: λοιμοῦ S: λοιμῶν ABRTV 17 ἐπιδημίων BS[1]TV ὑπάρχον AMRS[1]T: ὑπάρχει S; *cf. infra p. 689, 1 K.* 20 ἐς S 21 πάνυ D φησίν *post* νοσήματα *transp.* RTV 21. 22 περὶ ὧν πρ. *om.* T: περὶ *om.* R 22 προειρήκαμεν S 23 καὶ *ante* μᾶλλον *add.* AMR: *del.* A[1] ἰημάτων (ἰαμ. AS) ἐπ. AMS 25 προσηκόντων ATV 27 αὐτοὺς *om.* S ὀρθῶς *om.* M: *post* ψέγειν *transp.* AS εἶθ᾽ ἑξῆς T

I 11 [I 2. II 236, 1—238, 7 L.] Ἐπεί τοι μέγα cημεῖον τόδε, ὅτι οἱ δημόται ἀcυνετώτατοι αὐτοὶ ἑωυτῶν περὶ τούτων τῶν νοcημάτων εἰcίν, ὡc μελετητέα ἐcτίν· οἱ γὰρ μὴ ἰητροὶ ἰητροὶ |
432 δοκέουcιν εἶναι μάλιcτα διὰ ταύταc τὰc νόcουc. ῥηΐδιον γὰρ τὰ ὀνόματα ἐκμαθεῖν, ὁκοῖα νενόμιcται προcφέρεcθαι πρὸc τοὺc τὰ τοιάδε κάμνονταc· ἢν γὰρ ὀνομάcῃ τιc πτιcάνηc χυλὸν καὶ οἶνον τοῖον ἢ τοῖον καὶ μελίκρητον, ἅπαντα τοῖcι δημότῃcι δοκέουcιν οἱ ἰητροὶ τὰ αὐτὰ λέγειν οἵ τε βελτίουc καὶ οἱ χείρουc· τὰ δὲ οὐχ οὕτωc ἔχει, ἀλλ᾽ ἐν τούτοιcι καὶ πάνυ διαφέρουcιν ἕτεροι ἑτέρων.

Ἐπεὶ ταῖc αὐταῖc ὕλαιc τῶν διαιτημάτων οἵ τε βελτίουc ἰατροὶ καὶ οἱ χείρουc χρῶνται, διὰ τοῦτο τοῖc ἰδιώταιc ἀδιάγνωcτόc ἐcτιν ὁ βελτίων, οὐκ εἰδόcι διακρῖναι, τίνεc μὲν ἐν καιρῷ καὶ μετὰ τῆc δεούcηc ποcότητοc τὰc ὕλαc τῶν βοηθημάτων τοῖc κάμνουcι προcφέρουcι, τίνεc δὲ ἄνευ τούτων. ἀλλ᾽ οὖν ἐνταῦθα περιγράψαc ὁ Ἱπποκράτηc τὸ δεύτερον προοίμιον ἄρχεται τῶν ἐχομένων ἀπὸ τῆc προκειμένηc ῥήcεωc. |

433 **I 12** [I 3. II 238, 8—240, 6 L.] Δοκεῖ δέ μοι ἄξια γραφῆc εἶναι μάλιcτα, ὁκόcα τε ἀκαταμάθητά ἐcτι τοῖc ἰητροῖc, ἐπίκαιρα ἐόντα εἰδέναι, καὶ ὁκόcα μεγάλαc ὠφελείαc φέρει ἢ μεγάλαc βλάβαc. ἀκαταμάθητα οὖν καὶ τάδε ἐcτί, διὰ τί ἄρα ἐν τῇcιν ὀξείῃcι νούcοιcιν οἱ μὲν τῶν ἰητρῶν ἅπαντα τὸν αἰῶνα διατελοῦcι πτιcάναc διδόντεc ἀδιηθήτουc καὶ νομίζουcιν ὀρθῶc ἰητρεύειν, οἱ δέ τινεc περὶ παντὸc ποιέονται, ὅπωc κριθὴν μηδεμίαν καταπίῃ ὁ κάμνων (μεγάλην γὰρ βλάβην ἡγέονται εἶναι), ἀλλὰ δι᾽ ὀθονίου τὸν χυλὸν διηθεῦντεc διδόαcιν· οἱ δὲ αὖ τινεc αὐτῶν οὔτ᾽ ἂν πτιcάνην παχεῖαν δοῖεν οὔτε χυλόν, οἱ μὲν μέχριc ἂν ἑβδομαῖοc γένηται ὁ κάμνων, οἱ δὲ καὶ διὰ τέλεοc, ἄχριc ἂν κριθῇ ἡ νοῦcοc.

17 Δοκεῖ . . . ἡ νοῦcοc *(28)*] *affert Gal. V 764 K. (p. 780 Müll.)*

1 ἐπεί τοι *codd.*: ἔπειτα *a Basil. edd.* 2 οἱ μὲν MR: *sed* μὲν *del.* M¹ τούτων P: τουτέων *cett.* 3 ὡc *Kühlewein*: ὥcτε *codd.* ἐcτίν *Kühlewein*: εἶναι AMRS: *om.* V 4 νόcουc *codd.*: νούcουc *ab Aldo edd.* 5 ἐκμαθεῖν *codd.*: ἐκμανθάνειν *Chartier* *post* ἐκμαθεῖν *add.* ἐcτὶν *omn. praeter* T 6 τοιαῦτα T εἰν M: ἢν M¹ 7 καὶ (*ante* μελ.) *Hipp. cod. A*: ἢ BT: ἢ καὶ *cett.* ἅπαντα *om.* ABMTV 8 τὰ αὐτὰ AST¹: τὰ τ//αυτὰ M: τὰ τοιαῦτα T 9 τὰ δὲ . . . ἑτέρων *om.* ABV ἀλλ᾽ ἐν τούτω δίκαιον πάνυ CR τούτοιcι S: τουτέοιcι M: τούτοιc T *post* τούτοιcι *add.* δὴ MS: *om.* T 10 πάνυ ST: πάνυ μέγα MRS¹ 11 ταῖc τοιαύταιc BTV 14 ποιότητοc R 15 παραγρ. M: *corr.* M¹ ὁ *om.* A 16 ἀπὸ AMRS: ἐπὶ BTV 17 δοκεῖ *Gal. l. c.*: δοκέει *codd.* δὴ T εἶναι ταῦτα *Chartier* 18 ἰατροῖc ASV: ἰατροῖcιν M 20 μὲν οὖν R 21 οἱ μὲν τῶν ἰητρῶν *post* ἄρα *transp.* AMS: *recte cum Hipp. cett.* πάντα *Gal. l. c.* 23 ὅκωc D 24 μηδεμίαν MT: μηδεμίην ARS καταπίοι BT ἡγέονται AT: ἡγοῦνται *cett.* 25 εἶναι *om.* BTV διηθεῦντεc AS: διηθοῦντεc *cett.* 26 αὖ *Hipp.*: *om. codd.* αὐτέων V οὔτ᾽ CR: οὐδ᾽ *cett.* παχεῖαν ACMS: παχείην R 27 μέχριc ἂν *codd.*: μ. ἢν *ab Aldo edd.* 28 τέλουc V ἄχριc ἂν BDRV: μέχριc ἂν *cett.*

Δόξει μὲν εἶναι λογικώτερον τὸ προβεβλημένον ὑπ᾿ αὐτοῦ, δυναμένων ἡμῶν καὶ χωρὶς τῶν τοιούτων σκεμμάτων ἰατρεύειν ὀρθῶς· ἐκ γὰρ τοῦ μαθεῖν τὰ ποιητέα τὸ καλῶς | ἰᾶσθαι τὰς νόσους περιγίνεται **434** τοῖς ἰατροῖς, οὐκ ἐκ τοῦ ζητῆσαι τὴν αἰτίαν τῆς διαφωνίας τῶν διαφόρους θεραπείας γραψάντων ἐπὶ τοῖς αὐτοῖς νοσήμασιν· ἔστι δὲ κατ᾿ ἀλήθειαν οὐ μόνον χρησιμώτατον, ἀλλὰ καὶ πρῶτον ἁπάντων ζητεῖσθαι δεόμενον, ὡς δείξω προϊόντος τοῦ λόγου. πρότερον γάρ, ὅτι τε ζητήσεως ἄξιόν ἐστιν ὃ προβάλλει καὶ ὅπως αὐτὸ λύει, διελθεῖν ἄμεινον. ὅτι μὲν οὖν ἄξιόν ἐστι ζητήσεως, ἐντεῦθεν μαθήσῃ. τῆς μὲν τῶν φιλοσόφων διαφωνίας οὐδὲν ἔχομεν ἐμφανὲς τεκμήριον· οὔτε γὰρ εἰ γενητὸς ὁ κόσμος οὔτ᾿ εἰ φθαρτὸς οὔτ᾿ εἰ μὴ κενόν ἐστιν ἔξωθεν αὐτοῦ οὔτ᾿ εἰ ἄπειρος οὔτ᾿ εἰ μόνος οὗτος εἷς ἐστιν οὔτ᾿ εἰ πλείους οὔτε πόσοι τὸν ἀριθμόν, εἴπερ πλείους, οὔτ᾿ εἰ πλῆθος ἀπερίληπτον ἢ ἄπειρον αὐτῶν, ἐναργεῖ τεκμηρίῳ χρήσασθαι δυνατόν· οὕτω δὲ καὶ ἄλλα πολλὰ τῶν κατὰ φιλοσοφίαν ζητουμένων ἔνια μὲν οὐδ᾿ ὅλως ἐπικρῖναι δυνάμεθα, τινὰ δὲ μετὰ πολλῆς ἐπισκέψεως.

περὶ δὲ τῶν ὠφελούντων ἢ βλαπτόντων τοὺς κάμνοντας οὐχ ὁμοίως ἔχει· | τὸ μὲν γὰρ εὑρεῖν αὐτὰ χρόνου δεῖται μακροῦ διαφέροντός **435** τε τῶν πολλῶν ἀνδρός· ὅσα δ᾿ εὑρηκέναι τινὲς ἐπαγγέλλονται, δόξει ταῦτα ῥᾳδίαν ἔχειν τὴν κρίσιν. εἰ μὲν γὰρ ὠφέλησε προσαχθέντα τοῖς κάμνουσιν, ἐπαινεῖν αὐτὰ χρὴ καὶ προσίεσθαι, βλάψαντα δὲ φεύγειν τε καὶ ἀποτρέπεσθαι, μηδὲν δ᾿ ἀξιόλογον εἰς βλάβην ἢ εἰς ὠφέλειαν ἐργασάμενα τῶν οὐδετέρων ὑπολαμβάνειν· ἀλλὰ καὶ τοὺς ἰατροὺς αὐτοὺς ἐχρῆν ἀφίστασθαι τῶν ἐναργῶς βλαπτόντων. ὅσα μὲν οὖν ὀλίγην ἔχει τὴν διαφοράν, οὐδὲν θαυμαστὸν ἐπιμένειν αὐτοῖς τοὺς ὁπωσοῦν ἐξ ἀρχῆς δοξάσαντας· ὅσα δὲ διέστηκε πάμπολυ, ὡς ἐπαινεῖσθαι μὲν ὑφ᾿ ἑτέρων, ψέγεσθαι δ᾿ ὑπ᾿ ἐνίων, ἐπὶ τούτων ἄν τις θαυμάσειεν ἢ τοὺς ἐπαινοῦντας τὰ μεγάλην ἔχοντα βλάβην ἢ τοὺς ψέγοντας τὰ κατ᾿ ἀλήθειαν ὠφέλιμα. τοῦτ᾿ οὖν ἐστιν αὐτὸ τὸ νῦν προβαλλόμενον ὑφ᾿ Ἱπποκράτους ἐφ᾿ ἑνὸς τῶν κατὰ μέρος ὑποδειγμάτων.

εἴρηται δὲ καὶ ὑπ᾿ Ἐρασιστράτου κατὰ τὸ πρῶτον βιβλίον Περὶ πυρετῶν αὐτό τε καὶ ἡ λύσις αὐτοῦ διὰ ταχέων τε καὶ σαφῶς, ἀκολουθήσαντος αὐτοῦ τῷ Ἱπποκράτει πάντως. | διελθὼν γὰρ ἐν τῷ προ- **436**

31 Ἐρασιστράτου ... Περὶ πυρετῶν] *cf. Gal. XI 155. 176. XVI 39 K. Fuchs Erasistratea p. 16*

1 δόξειε DM 2 τῶν *om.* T 4 τοῦ *om.* R ζητεῖν S 6 καὶ (τῶν D) ζητεῖσθαι *codd.*: ἐζητῆσθαι *Chartier*: *correxi* 7 δεομένων D δεῖξαι M μὲν γὰρ A 8 διελθεῖν *om.* S ἄμεινόν ἐστιν AMRS 9 μὲν γὰρ τῶν DV 10 γενητὸς D: γεννητὸς *cett.* 11 *post* φθαρτὸς *add.* οὔτ᾿ εἰ μὴ φθαρτὸς R 12 ἐστιν εἷς AM: εἷς *om.* R οὔτ᾿ εἰ πόσοι AMT 13 πλείστους M εἰ καὶ AMRS 15 δυνατὸν AM[1] 16 τινὰ μὲν S 17 ἢ βλαπτόντων *om.* DV 20 δόξει δὲ T γὰρ *om.* M 22 δ᾿ *om.* SV 23. 24 αὐτοὺς ἐχρῆν M: ἐχρῆν ACDS: ἔχειν R: *om.* V 25 διαφοράν DRV: βλάβην AMS 26 δοξάσαντας A: δόξαντας *cett.* πάμπ. δ. RV 29 τὸ *om.* RV προβεβλημένον D 33 αὐτοῦ] αὐτῷ S: ἐν τούτῳ B πάντως AMS: πάντα BR: *om.* DV: πάντῃ *edd.*

ειρημένῳ βιβλίῳ τοὺς ἐναντιωτάταις ἀγωγαῖς ἐπὶ τῶν πυρεττόντων χρωμένους ἰατρούς, τούς τε μακραῖς ἀσιτίαις καταπονοῦντας τοὺς κάμνοντας καὶ Πετρωνᾶν τὸν κρέα τε καὶ οἶνον διδόντα, ἐπιφέρων φησὶ κατὰ λέξιν οὕτως· "ἐπὶ πολλῶν μὲν οὖν πάνυ μεγάλαις πληγαῖς περιέπιπτον· εἰ δὲ πάντες κακῶς ἀπηλλάττοντο πυρέττοντες ἐν τῇ τοιαύτῃ ἀγωγῇ τῆς θεραπείας, πεπαυμένοι ἂν ἦσαν τοῦ ἰατρεύειν οὕτως οἱ θεραπεύοντες· ἀλλ᾽ ὡς ἔοικεν οὐκ ἐφαρμόζει πᾶσι τοῖς πυρετοῖς ἡ αὐτὴ ἀγωγὴ τῆς θεραπείας." ἐπαινεῖν οὖν χρὴ καὶ τὸν Ἐρασίστρατον καὶ τοὺς ἄλλους, οἳ προβάλλοντες τοῦτο τὸ ζήτημα καὶ τὴν λύσιν ἔγραψαν· ἐπαινεῖν δὲ καὶ τὸν πρῶτον αὐτὸ προβαλόντα καὶ γινώσκειν οὐ μᾶλλόν τι περὶ τῶν ὀξέων νοσημάτων ἢ τῶν ἄλλων ἁπάντων προβάλλεσθαι καὶ λύεσθαι τοῦτο τὸ ζήτημα· καὶ γὰρ ἡ ἀπορία κοινὴ περὶ πάντων ἐστίν· οὐ γὰρ ἐπὶ τῶν ὀξέων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων νοσημάτων ἐν τῇ θεραπείᾳ διεφώνησαν οἱ ἰατροὶ καὶ διὰ τοῦτο μέχρι
437 πολλοῦ ταῖς ἑαυτῶν ἀγωγαῖς ἕκαστοι προσμένουσιν, ὅτι θεῶνταί | τινας ὑπ᾽ αὐτῶν ἐναργῶς ὠφελουμένους. ἐπὶ τῶν ἄλλων οὖν, ὅσοι μηδὲν ὀνίνανται, τάχα μὲν ὑπονοοῦσι καὶ τοὺς κάμνοντάς τι λαθραίως ἁμαρτάνειν· οὐ μὴν ἀλλ᾽ ὅπερ εἶπε καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐν τῷ Περὶ ἀγμῶν ἐπὶ τῶν κακῶς ἐπιδούντων τὰ μεθ᾽ ἕλκους κατάγματα καὶ διὰ τοῦτο βλαπτόντων, ("οὐ γὰρ οἴονται" φησί "τὴν ἐπίδεσιν αἰτίην εἶναι, ἀλλ᾽ ἄλλην τινὰ ἀτυχίην"), τοῦτο καὶ ἐπὶ τῶν κατὰ τὴν δίαιταν εἰκὸς αὐτοὺς ὑπολαμβάνειν.

ὃ δ᾽ εἶπε νῦν ἐν τῇ προκειμένῃ ῥήσει, πρόδηλόν ἐστιν, ἐάν τις αὐτὴν ἀναγνῷ δὶς καὶ τρὶς αὐτὸς ἐφ᾽ ἑαυτοῦ προσέχων τὸν νοῦν· εὑρήσει γὰρ ἐπὶ μερικοῦ παραδείγματος τὸν κοινὸν διδασκόμενον λόγον, ὃν δὴ καὶ καθόλου καλεῖν εἰώθασιν οὐχ οἱ φιλόσοφοι μόνον, ἀλλὰ καὶ σχεδὸν οἱ ἀπὸ πασῶν ἤδη τῶν λογικῶν τεχνῶν. ὁ μὲν οὖν Ἐρασίστρατος ἐναντιωτάτων ἀγωγῶν ἐμνημόνευσεν, ὁ δ᾽ Ἱπποκράτης τὰς ἀλλοκότους ἐάσας ἐπὶ τὰς μετριωτέρας ἧκεν. ἀλλόκοτοι γάρ εἰσιν ὄντως αἱ διὰ λιμαγχονίας ἐσχάτης καὶ αἱ διὰ τοῦ πληροῦν ἀμέτρως, ὡς ὁ Πε-
438 τρωνᾶς· μέτριαι δὲ τούτων, ὧν ἐμνημό|νευσεν ὁ Ἱπποκράτης, ἐπὶ τῶν ὀξέων νοσημάτων γινόμεναι ὑπὸ τῶν ἀξιολογωτέρων ἰατρῶν. ἔνιοι μὲν

3 Πετρωνᾶν] *cf. Gal. I 144 K. Cels. III 9. Anonym. Lond. ed. H. Diels p. 115* 20 φησί] *Hipp. de fract. 25 (III 500 L.); cf. Gal. V 770 K. (p. 787 Müll.)*

1 ἐναντιωτάτους (ἐναντιωτάταις AB: ἐναντιώτατα RV) ταῖς ἀ. ABRSV 3 κρέατα καὶ S ἐπιδιδόντα T ἐπιφέρων φησὶ *post* οὕτως *transp.* M 5 εἰ] οἱ MS 6. 7 τοῦ ἰ. οὕτ. οἱ θεραπεύοντες AMS: τοῦ θεραπεύειν οἱ ἰατρεύοντες οὕτως BRV 9 προβαλλόντες M: προβαλόντες D ἣν ἔγραψαν S 10 προβαλόντα BD: προβαλλόντα *vel* προβάλλοντα *cett.* 11 ἢ] ἢ καὶ BCD: ἀλλὰ καὶ AMS ἄλλων *om.* V 12 τοῦτο *om.* R γὰρ καὶ S ἀπορία S: γρ. ἡ ἀπόκρισις S[1] *in mrg.*: ἀπόκρισις, *superscr.* ρία B: ἀπορία καὶ ἡ ἀπόκρισις, *sed* καὶ ἡ ἀπόκρ. *del.* M: ἀπόκρισις *cett.* 14 ὧν ἐν M 15 πολλῶν S ἐν ταῖς C 16 ὑπ᾽] ἐπ᾽ *edd.* οὖν] μὲν S 20 τούτων R ἐπίδοσιν S: ἐπίδοισιν S[1] αἰτίαν RT 21 ἀτυχίαν AMS τοῦτο CR: οὕτω(ς) *cett.* τὴν M: *om. cett.* 24 ἑαυτῷ M 26 καὶ *(prius) om.* DR 28 ἀλλοκοτέρας R 29 ἦλθεν B 30 τοῦ] τὸ RV Πετρωνᾶς εἶπε R 31 μετριώτεραι *Schoene* 32 ἀξιολογωτέρων AMRST[1] *(in mrg.)*: ἀξιολόγων TV

γὰρ τὴν κριθώδη πτιςάνην ἐπ᾽ αὐτῶν διδόαςιν, ἔνιοι δὲ τὸν χυλὸν μόνον, ἔνιοι δὲ οὐδὲ τοῦτον, ἄχρις ἂν ἡ νοῦςος κριθῇ, διαιτῶντες ἐν τῷ μεταξὺ πόμαςι μόνοις, ὕδατί τε καὶ μελικράτῳ καί, εἰ δεήςειεν, ὀξυμέλιτι. ἡ μὲν οὖν αἰτία τῆς διαφωνίας ἐςτίν, ἣν αὐτὸς ὁ Ἱπποκράτης ἐφεξῆς † ποιήςεται, καὶ καλῶς ἔφην αὐτὴν ὑπ᾽ Ἐραςιςτράτου κατὰ τὸ πρῶτον εἰρῆςθαι Περὶ πυρετῶν· ἔςτι δὲ αὕτη τὸ τινὰς μὲν τοῦ χυλοῦ μόνου δεῖςθαι τῆς πτιςάνης, τινὰς δὲ καὶ τῆς κριθώδους πτιςάνης, ἐνίους δὲ μηδετέρου τούτων, ἀλλ᾽ ἐπὶ πομάτων μόνον ἄχρι τῆς κρίςεως ὠφελίμως διαφυλάττεςθαι. καὶ δείξει γ᾽ ἐφεξῆς, τίνες μέν εἰςιν οἱ τῆς κριθώδους πτιςάνης δεόμενοι, τίνες δ᾽ οἱ τοῦ χυλοῦ τῆς πτιςάνης, τίνες δ᾽ οἱ μηδετέρου τούτων. |

I 13 [I 3. II 240, 6 L.] Μάλα μὲν οὖν οὐδὲ προβάλλεςθαι τὰ τοιαῦτα ζητήματα εἰθιςμένοι εἰςὶν οἱ ἰητροί. ἴςως δὲ οὐδὲ προβαλλόμενα εὑρίςκεται. 439

Ὅτι πρῶτος αὐτός ἐςτιν ὁ τὸ ζήτημα προβαλὼν τοῦτο καὶ λύςας, εὔδηλόν ἐςτιν ἐκ ταύτης τῆς ῥήςεως· οὐδὲ γὰρ εἰθίςθαι φηςὶ τὰ τοιαῦτα προβάλλεςθαι παρὰ τοῖς ἰατροῖς· εἰ δὲ καὶ προβάλλοι τις αὐτοῖς, ἴςως οὐδὲ τὴν λύςιν εὑρεθήςεςθαι.

I 14 [I 3. II 240, 8 L.] Καίτοι διαβολήν γε ἔχει ὅλη ἡ τέχνη πρὸς τῶν δημοτέων μεγάλην, ὡς μὴ δοκέειν ὅλως ἰητρικὴν εἶναι.

Καὶ κατὰ ταύτην τὴν ῥῆςιν ἐπὶ μερικοῦ παραδείγματος διδάςκει τινὰ τῶν καθόλου, πρῶτον μέν, ὡς ἡ τῶν με|τιόντων ὁτιοῦν ἐπιτή- 440
δευμα διαφωνία δικαίαν ὑποψίαν ἀγνοίας ἐνδείκνυται, δεύτερον δ᾽ αὖ πάλιν, ὡς ἡ ςυμφωνία μεγάλην ἐλπίδα γνώςεως, ὅπερ μεγάλα καὶ ταῖς γραμμικαῖς ἀποδείξεςι ςυνετέλεςεν· οὐ μόνον γὰρ αὐτοὺς τοὺς

6 εἰρῆςθαι] *cf. supra p. 126, 7* 12 Μάλα ... εὑρίςκεται *(14)*] *affert Gal. V 765 K. (p. 781 Müll.)* 19 Καίτοι ... εἶναι *(21)*] *affert Gal. l. c.*

1 κριθώδη M: κριθὴν M[1] 2 *post* τοῦτον *add.* ἐπὶ τῶν ὀξέων νοςημάτων καὶ πρὸ τῆς κρίςεως ἔνιοι δι᾽ ὕδατος διαίτουν μόνον CR: *om. cett.* νοῦςος ABS: νόςος *cett.* 4 οὖν *om.* BR 5 ποιήςεται *codd.*: *conicias* διηγήςεται: ὑποθήςεται *Schoene* 6 μὲν B: *om. cett.* 7 μόνου AMS: μόνον R: *om.* T δέεςθαι ABMS: δειέςθαι R καὶ *om.* T 8 ἀλλ᾽ ... διαφυλάττεςθαι *om.* DV μόνων T 9 μέν *om.* ARS 10 οἱ *om.* T τοῦ χυλοῦ τῆς πτ. M: πτις. χ. R: τοῦ χυλοῦ (*om.* πτις.) D: τοῦ χυλοῦ μόνου (τῆς πτις. *om.*) T: τινὲς ... πτιςάνης *om.* ABS 11 δ᾽ *om.* S 12 μᾶλλον, *superscr.* α M: μάλιςτα S 13 ἰατροὶ BS 13. 14 οὐδὲ παρὰ τινῶν προβαλλόμενον A[1] (*superscr.* α) *et* S 14 *post* εὑρίςκεται *add.* δύνανται παρ᾽ αὐτοῦ εὑρεθῆναι S 15 ὁ καὶ S 16 εὔδηλός M εἰθίςθαι B: εἴθιςται *cett.* 17 προβάλει M 18 εὑρεθήςεςθαι AMRS: εὑρεθήςεται B: εὑρίςκεται V: εὑρήςουςιν D *post* εὑρεθήςεςθαι *ins.* ἐκ τοῦ διαφωνεῖν τοὺς ἰατροὺς διαβάλλεται ἡ ἰατρικὴ παρὰ τῶν ἰδιωτῶν S 19 καίτοι γε S 20 μὴ M: μηδὲ *cett.* ἰατρικὴν BS 22 μερικῷ παραδείγματι S 24 δικαίαν AMRS: δικαίως V δὲ αὖ CR: αὖ D: δὲ ABT: οὖν MSV 25 *post* ςυμφωνία *add.* δικαίαν A[1]BMRS: *om.* T μεγάλην *om.* AS: γρ. μεγάλην A[1] *in mrg.* μεγάλα] μεγάλως BM; *sic Gal. XIII 397, at* μεγάλα *X 364. XII 273. XVII A 209 K.*

μανθάνοντας πείθουσιν, ἀλλὰ καὶ παρὰ τοῖς ἰδιώταις δόξαν ἔχουσιν ὡς ἀληθέσταται. γραμμικαῖς οὖν ἀποδείξεσι κεχρῆσθαί φασι τοὺς ἐναργῶς τι καὶ ἀναμφιλέκτως δείξαντας. ἐξεργάζεται δὲ τὸν περὶ τῆς διαφωνίας λόγον ἐπὶ τῆς ἐχομένης ῥήσεως.

I 15 [I 3. II 240, 10—244, 3 L.] Ὥστ᾽ ἔν γε τοῖσιν ὀξυτάτοισι τῶν νοσημάτων τοσόνδε διοίσουσιν ἀλλήλων οἱ χειρώνακτες, ὥστε, ἃ ὁ ἕτερος προσφέρει ἡγεύμενος ἄριστα εἶναι, ταῦτα νομίζειν δὴ τὸν ἕτερον κακὰ εἶναι. καὶ σχεδὸν ἂν κατά γε τοῦτο τὴν τέχνην φαῖεν ὡμοιῶσθαι μαντικῇ, ὅτι καὶ οἱ μάντιες τὸν αὐτὸν ὄρνιθα, εἰ μὲν ἀριστερὸς εἴη, ἀγαθὸν εἶναι
441 νομίζουσιν, εἰ δὲ δεξιός, κακόν· καὶ ἐν ἱεροσκοπίῃ δὲ τὰ | τοιάδε ἄλλα ἐπ᾽ ἄλλοισιν· ἀλλ᾽ ἔνιοι τῶν μάντεων τὰ ἐναντία τούτων. φημὶ δὴ πάγκαλον εἶναι τοῦτο τὸ σκέμμα καὶ ἠδελφισμένον τοῖσι πλείστοισι τῶν ἐν τῇ τέχνῃ καὶ ἐπικαιροτάτοισι.

Μαντικὴν μὲν ὠνόμασε τὴν οἰωνιστικήν, ἱεροσκοπίαν δὲ τὴν θυτικὴν καλουμένην, ἣν ὄντως καὶ οἱ ἄλλοι παλαιοὶ καλοῦσιν ἱεροσκοπίαν, ἐπειδὴ σκοποῦντες τὰ ἱερεῖα προλέγουσιν ἐξ αὐτῶν οἱ περὶ ταῦτα δεινοὶ τὰ γενησόμενα· ἱερεῖα δ᾽ ἴσμεν ὀνομαζόμενα πάντα τὰ τοῖς θεοῖς εἰς τιμὴν γινόμενα, οἷα τὰ τῶν θυομένων ἱερείων, ὧν τὰ σπλάγχνα θεώμενοι προλέγουσιν οἱ ἱεροσκόποι. τοὺς δὲ διὰ τῆς τῶν ὀρνίθων πτήσεως μαντευομένους, οὓς οἰωνιστάς τε καὶ οἰωνοσκόπους ὀνομάζουσι, τούτους νῦν μάντεις ἐκάλεσεν ὁ Ἱπποκράτης, καίτοι τὸ τοῦ μάντεως ὄνομα καὶ ἡ μαντικὴ κατὰ πασῶν τῶν οὕτω προλεγουσῶν τεχνῶν ἐπιφέρεται· μάντεις μὲν γὰρ καλοῦνται οἵ τε ἱεροσκόποι καὶ οἱ οἰωνι-
442 σταὶ καὶ οἱ γενεθλιαλογικοὶ προσαγορευόμε|νοι καὶ οἱ διὰ συμβόλων καὶ οἱ διὰ ἱερείων προλέγοντες τὰ ἐσόμενα πρὸς τούτοις τε χρησμολόγοι καὶ θεομάντεις· ἔνιοι δὲ καὶ τοὺς ὀνειροπόλους ὑπὸ τοῦ ποιητοῦ κληθέντας ἐν τοῖς μάντεσι καταλέγουσιν. ἀλλ᾽ ὅ γε Ἱπποκράτης δῆλος ὅτι

5 Ὥστ᾽ . . . κακὰ εἶναι] *affert Gal. V 765 K. (781 Müll.)* 13 φημὶ . . . ἐπικαιροτάτοισι] *affert Gal. V 765 K. (p. 781 Müll.)* 27 ποιητοῦ] *cf. p. 129, 5 sq.*

1 ὡς *om.* T 2 ἀληθέστατοι CS (*superscr.* ην) χρῆσθαι S 3 ἐξεργάσεται *codd.*: *corr. Aldus* τῆς *post* περὶ *om.* BS 4 ἐπὶ] ἐκ A¹MS 5 τοῖσιν A: τοῖς *cett.* ὀξυτάτοισι D: ὀξυτάτοις *cett.* 6 τοσοῦτον AMS: *om.* T χειρωνάκται R 7 ἡγεύμενος AMRT: ἡγούμενος S 8 δὴ] δεῖ V: ἤδη *Gal. l. l.*: δὴ νομίζειν T εἶναι *Hipp.*: *om. codd.* 9 φαῖεν *Hipp.*: φαίην *codd.* ὡμοιῶσθαι ABCT: ὁμοιῶσθαι MRS: ὁμοιοῦσθαι D μαντικῇ AS: τῇ μ. *cett.* 11 τὰ *om.* C¹: διὰ *pro* δὲ τὰ S 12 ἄλλα ἐν ἄλλοισιν *post* τούτων *transp.* BDV ἐπ᾽ *ex Hipp. Aldus*: ἐν *codd.* 13 τούτων V: τουτέοις S: τουτέων *cett.* φημὶ . . . ἐπικαιροτάτοισι *add.* M¹ *in mrg.*: *om. cett.* 15 καὶ *add. ante* ἱεροσκ. DV ἱεροσκοπίην M *post* θυτικὴν *add.* ὑπὸ τῶν πολλῶν A¹BRV: *om.* AMS 16 καὶ *om.* S πάλιν *pro* παλαιοὶ S 18 πάντα AMS: ἅπαντα RV 19 γενόμενα S 20 τῆς *om.* T 21 τε *om.* S καὶ *om.* A 22 νῦν] οὖν M 24 ἐπιφέρεται] λέγεται B οἱ *ante* οἰωνισταὶ *add.* RS: *om. cett.* 25 γενεθλιαλογικοὶ AMS: γενέθλια λογικοὶ R: γενεαθλικοὶ V 26 λέγοντες S δὲ *pro* τε D 28 καταλέγοντας S: *corr.* S¹ δηλονότι BV

τοὺϲ οἰωνιϲτὰϲ μόνουϲ ὀνομάζει μάντειϲ ὡϲαύτωϲ τῷ ποιητῇ· καὶ γὰρ κἀκεῖνοϲ ἐν πολλοῖϲ μέρεϲι τῆϲ ποιήϲεωϲ ἐνδεικνύμενοϲ τὴν οἰωνιϲτικὴν τέχνην προγνωϲτικὴν εἶναι τῶν γενηϲομένων ὅμωϲ ἐν ἀρχῇ τοῦ ἄλφα φηϲίν·

ἀλλ᾽ ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα,
ἢ καὶ ὀνειροπόλον — καὶ γάρ τ᾽ ὄναρ ἐκ Διόϲ ἐϲτιν —

ἱερέα μὲν λέγων τὸν ἱεροϲκόπον, ὀνειροπόλον δὲ τὸν περὶ τοὺϲ ὀνείρουϲ ἔχοντα, μάντιν δὲ τὸν οἰωνιϲτὴν δηλονότι· οὐ γὰρ δὴ παρέλιπεν αὐτὸν εἰϲ τὰ μέγιϲτα πολλαχόθι τῆϲ ποιήϲεωϲ καὶ τῇ περὶ τοὺϲ οἰωνοὺϲ τέχνῃ χρώμενοϲ. ἀλλὰ ταῦτα μὲν ἴϲωϲ καὶ πλείω τοῦ δέοντοϲ εἴρηταί μοι περὶ τῆϲ τοῦ μάντεωϲ προϲηγορίαϲ.

ἐπ᾽ αὐτὸ δὲ τὸ λεγόμενον μεταβαίνειν ἤδη καιρόϲ. ὃ γὰρ λέγει τοιοῦτόν ἐϲτιν· οἱ τὰϲ | μαντικὰϲ τέχναϲ μετιόντεϲ οὐδὲν ἧττον δια- **443**
φέρονται τῶν ἰατρῶν ἐν πολλοῖϲ τῶν κατὰ μέροϲ ἀλλήλοιϲ. ἐγὼ γοῦν ποτε διαφερομένουϲ οἰωνιϲτὰϲ εἶδον ἐπ᾽ αὐτῶν τούτων τῶν πτήϲεων, ὧν καὶ νῦν ὁ Ἱπποκράτηϲ ἐμνημόνευϲεν, ἀριϲτερᾶϲ τε καὶ δεξιᾶϲ· ἦν δ᾽ ὁ μὲν ἕτεροϲ αὐτῶν Ἄραψ, ὁ δ᾽ ἕτεροϲ Ἕλλην ἐξ Ἀϲίαϲ τῆϲ ἡμετέραϲ. ἔλεγεν οὖν ὁ μὲν Ἄραψ τὸν δεξιὸν οἰωνὸν γυναῖκαϲ ϲῴζειν νοϲούϲαϲ, τὸν ἀριϲτερὸν δ᾽ ἄνδραϲ· ὁ δ᾽ ἐκ τῆϲ Ἀϲίαϲ τὸν μὲν δεξιὸν ἐπ᾽ ἀνδρῶν νοϲούντων φανέντα τοῖϲ ἐρωτῶϲιν, εἰ ϲωθήϲεται, καταφάϲκειν τὴν ἐρώτηϲιν, ἀποφάϲκειν δὲ τὸν ἀριϲτερόν. ἠρόμην οὖν αὐτούϲ, εἰ τὸν ὁπωϲοῦν πετόμενον ἀριϲτερὸν ἢ δεξιὸν ὄρνιθα ταύτην ἔχειν φαϲὶ τὴν δύναμιν, οὐδὲν ἡγούμενοι διαφέρειν, εἰ ὑψηλότατόϲ ἐϲτιν ἢ προϲγειότατοϲ ἢ μεταξύ· καὶ εἰ ἐν τῷ μεταξύ, ἐγγυτέρω ἆρα τοῦ ὑψηλοτάτου ἢ ἐν μέϲῳ· ὡϲαύτωϲ δὲ καὶ περὶ τοῦ πληϲίον τε καὶ πόρρω διεϲτάναι τὸν οἰωνὸν ἠρόμην, εἰ μηδὲν αὐτοῖϲ διαφέρει. ὁ μὲν οὖν Ἄραψ ἔφαϲκεν, ὅπωϲ ἂν ἔχῃ τῆϲ εἰϲ | ὕψοϲ ἢ πλάτοϲ ἢ μῆκοϲ ἀπο- **444**
ϲτάϲεωϲ, οὐδὲν διαφέρειν· ὁ δ᾽ Ἕλλην διωρίζετο καὶ περὶ τοῦ ϲυμμέτρου δεξιοῦ τε καὶ ἀριϲτεροῦ, καὶ γεγράφθαι ταῦτα τοῖϲ οἰωνιϲταῖϲ ἔλεγε, τὰϲ δ᾽ ἀμέτρουϲ ἀποϲτάϲειϲ ἐναντίαϲ εἶναι ταῖϲ ἐμμέτρωϲ ἐχούϲαιϲ· ἐδείκνυε δὲ καὶ ⟨τὰϲ⟩ Πόλλητοϲ καὶ Ἀθηναίου καὶ Χαιρήμονοϲ καὶ Ἀρτεμιδώρου τοῦ Φωκᾶ ἄλλων τέ τινων οἰωνιϲτῶν ἐνδόξων βίβλουϲ αὐτῷ ϲυμμαρτυρούϲαϲ. ἔγνων οὖν ἀδιόριϲτον μὲν τὸν Ἄραβα, διωρι-

5 *Hom.* Α *62* 31 Πόλλητοϲ] *cf. Suidas s. v.* 32 Ἀρτεμιδώρου] *cf. Suidas s. v. Pauly-Wissowa II 1334 sq.*

3 προγνωϲτικὴν ACMS: πρόγνωϲιν RV ὅμωϲ AMRS: ὁμοίωϲ BV 5 ἀλλά γε A 6 τὸ ὄναρ M 8 δηλονότι τὸν οἰωνιϲτὴν BRV παραλέλοιπεν T 9 πολλαχόθεν RS 10 χρώμενοϲ . . . μοι περὶ *om.* T 14 ἀλλήλοιϲ *post* ἧττον *transp.* BRV ἔγω γ᾽ οὖν ABDS 15 πτήϲεων] δεξιῶν V 16 ὁ *om.* R τε *om.* DV 20 *an* ϲωθήϲονται? 21 οὖν *om.* AS: *add.* A¹ αὐτὸν M 23 φαϲὶ *add.* A¹ *in mrg.* 24 ἐγγύτερον DV ἄρα AS 25 ὑψηλοτέρου R: *post* ὑψηλοτάτου *ins.* ἢ προϲγειοτάτου *Cornarius* 27 ἢ πλάτοϲ ἢ μ. AMS: τὸ μ. ἢ εἰϲ τὸ ὑ. ἢ πλ. R: ἢ μ. ἢ πλ. BV 28 μέτρου γρ. ϲυμμέτρου M 30 ἐναντίουϲ A ἐμμέτρωϲ] ϲυμμέτρωϲ S 31 τὰϲ *addidi* πόλλητοϲ B: πόλητοϲ AMT: πόλιτοϲ SV: ἀπόλλητοϲ R: πολύβου D τοῦ Ἀθ. (*om.* καὶ) D 32 καὶ ἄλλων τέ M 33 ϲυμμαρτυρούϲαϲ MS: μαρτ. *cett.*

cμένον δὲ καὶ τεχνικὸν τὸν Ἕλληνα· τέχνης γὰρ ἐμπειρίᾳ τὴν κρίσιν τῶν θεωρημάτων ἐχούσης ἡ διαφωνία κατὰ τὸ διωρισμένον τε καὶ ἀδιόριστον γίνεται. καὶ τοῦτο μεμαθηκὼς ἐγὼ παρ᾽ Ἱπποκράτους ἔκρινα τὸν Ἕλληνα τεχνικώτερον ἀποφαίνεσθαι περὶ τῆς πτήσεως τῶν οἰωνῶν· ἐξ ἐπιμέτρου δὲ τοὺς ἐνδοξοτάτους τῶν οἰωνιστῶν μάρτυρας παρεχόμενος ἔτι μᾶλλον ἦν ἀξιόπιστος. ἐπαγομένου δὲ καὶ τοῦ Ἄραβος πολλοὺς μάρτυρας ὧν προεῖπεν ἀληθῶς ἐπὶ νοσούντων, εἶπον αὐτῷ τῆς ὡς τὸ πολὺ γεγενημένης ἐπιτυχίας τὴν αἰτίαν· εἰ γὰρ ὁ μὲν ἔμμετρος **445** δεξιὸς σῴζει τοὺς ἄνδρας, οἱ δ᾽ ἄμετροι | τὰς γυναῖκας, εἰσὶ δὲ πάμπολλοι μὲν οἱ ἄμετροι, μόνος δ᾽ εἷς ὁ ἔμμετρος, εἰκότως ἐπὶ πολλῶν μὲν ἐπέτυχεν, ὀλιγάκις δ᾽ ἀπέτυχεν. ὅ γε μὴν Ἕλλην οἰνωνιστὴς καὶ ἄλλους τινὰς διορισμοὺς προσετίθει, καθ᾽ οὕς, κἂν ὁ δεξιὸς ἄμετρος ᾖ, δηλώσει ποτὲ σωθήσεσθαι τὸν νοσοῦντα· τὸν γὰρ κίναιδον καὶ τὸν γυναικεῖον ἐπιτήδευμα μετιόντα, καθάπερ τὸν ἐριουργόν, τοῖς τῶν γυναικῶν ἔφη σχήμασι σῴζεσθαι, καὶ τοῦτ᾽ αὖ πάλιν ἐδείκνυε παρὰ τοῖς ἀρίστοις οἰωνισταῖς γεγραμμένον. ἔτι δὲ πρὸς τούτοις καὶ ἄλλους τινὰς διορισμοὺς προσετίθει, περὶ ὧν οὐδὲν ἐφαίνετο γινώσκων ὁ Ἄραψ.

εἴρηται δέ μοι ταῦτα διὰ τὴν ἐφεξῆς ῥῆσιν, ἣν οὐδεὶς ἐξηγήσατο προσηκόντως, ὥσπερ οὐδὲ τὴν προγεγραμμένην αὐτῆς, ἔνθα φησί· “μάλα μὲν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἴθισται τοῖς ἰατροῖς, ἴσως δὲ οὐδὲ προβαλλόμενα εὑρίσκεται”· σαφῶς γὰρ εἰπόντος αὐτοῦ τὸ “τοιαῦτα”, ὃ ἔστι τὸ οὕτω διαφωνούμενα, τινὲς μὲν ἐπὶ τῆς πτισάνης μόνης ἤκουσαν οὐκ ὀρθῶς, ἔνιοι δὲ βραχεῖ τούτων ἄμεινον ἐπὶ τῆς **446** τῶν ὀξέων διαίτης, ἔνιοι δ᾽ ἐπὶ πάσης ἁπλῶς, ἔνιοι δ᾽ | ἐπὶ θεραπείας ἁπάσης, βέλτιον μὲν τῶν προτέρων, οὔπω δὲ οὐδ᾽ αὐτοὶ τελέως· αἰτίαν γάρ, ὡς εἶπον, ὁ Ἱπποκράτης ἐπεζήτησεν ἁπάσης διαφωνίας ἐπὶ πάσης τέχνης τῇ πείρᾳ κριθῆναι δυναμένης. ὅτι δ᾽ οὕτως ἔχει τοῦτο, μαθήσῃ σαφῶς διὰ τῆς ἐφεξῆς ῥήσεως.

I 16 [I 3. II 244, 3 L.] Καὶ γὰρ τοῖσι νοσέουσι πᾶσιν ἐς ὑγείην μέγα τι δύναται καὶ τοῖσιν ὑγιαίνουσιν ἐς ἀσφάλειαν καὶ τοῖσιν ἀσκέουσιν ἐς εὐεξίην καὶ ἐς ὅ τι ἕκαστος ἐθέλει.

19 τὴν προγεγραμμένην] *p. 127, 12* 29 Καὶ γὰρ . . . ἐθέλει] *affert Gal. V 765 K. (781 Müll.)*

1 δὲ] τε S καὶ *om.* R 4 περὶ] παρὰ T 7 ἐπὶ AMRS: *om.* V 8 ὡς] εἰς BV 10 μὲν *om.* S οἱ *om.* T σύμμετρος B 12 ἐτίθει R καθ᾽ οὓς *om.* V 13 τέ ποτε R 16 γεγράφθαι T: *corr.* T¹ 17 διορισμένους S προσετίθη M γι(γ)νώσκων AMS: γινώσκειν RV 19 αὐτῆς] αὐτῷ B 19. 20 μάλα μὲν ADR: μᾶλλον μὲν SV: μᾶλλα δὲ M 20 εἴθισται *post* προβάλλεσθαι *transp.* AMS 21. 22 τὸ τοιάδε ACMS: τὰ τοιάδε *cett.*: τὸ τοιαῦτα *correxi* 22 τὸ οὕτω CMS: τὰ οὕτω AB 23 μόνου B βραχεῖ AB: βραχὺ *cett.* 24 ἔνιοι . . . ἁπλῶς *om.* B 25 μὲν] οὖν μέντοι M 26 ἐζήτησεν A 26. 27 ἐπὶ πάσης τ. τ. π. κρ. δ. RV: τῇ (τῆς S) πείρᾳ κρ. δυναμένης ἐπὶ τ. ἁπάσης AMS 29 ὑγείην ABRS: ὑγείαν V: ὑγίην M 30 δύνασθαι *Gal. l. l.* τοῖς (*ante* ὑγ.) AMRV ἀσφάλειαν B: ἀσφαλ(ε)ίην *cett.* 30. 31 τοῖς ἀσκ. V 31 εὐεξίαν CV εἰς ὅ τι V ἕκαστος ἐθέλει ABCTV: ἂν ἕκ. ἐθέλη(οι) MR: ἕκ. ἂν ἐθέλοι S

Οὗτος ὁ λόγος ἐξελέγχει καὶ τοὺς περὶ πτισάνης οἰομένους μόνης αὐτὸν προβεβληκέναι τὴν προγεγραμμένην ῥῆσιν καὶ τοὺς περὶ διαίτης, ἤτοι τῆς ἐπὶ τῶν ὀξέων ἢ καὶ πάσης ἁπλῶς, ὡσαύτως δὲ καὶ τοὺς περὶ θεραπείας ἁπάσης ὑπειληφότας εἶναι τὸ πρόβλημα. προδήλως γὰρ ἡ νῦν ἡμῖν προκειμένη ῥῆσις ἐλέγχει τοὺς ἤτοι | περὶ πτισάνης ἢ τῆς ἐπὶ 447 τῶν ὀξέων διαίτης μόνης ἢ τῆς ἐπὶ πάντων τῶν νοσημάτων οἰομένους εἶναι τὸν λόγον ἐν τῷ προσγεγράφθαι καὶ γὰρ τοῖσι νοσέουσι πᾶσιν ἐς ὑγείην μέγα τι δύναται· πάντες γὰρ οἱ νοσοῦντες ὑπὸ διαίτης μόνης οὐ θεραπεύονται διὰ τὸ πολλοὺς δεῖσθαι καὶ χειρουργίας καὶ φαρμακείας, ἔτι δὲ μᾶλλον οὐδ᾽ ὑπὸ πτισάνης μόνης· οὔτ᾽ οὖν περὶ διαίτης ὀξέων μόνης οὔτε περὶ διαίτης ἁπλῶς τῆς ἐπὶ πάντων τῶν νοσημάτων ὁ λόγος αὐτῷ νῦν ἐστιν, οὐδὲ περὶ τῆς ἐν τούτοις διαφωνίας μόνης, ἀλλὰ περὶ πάσης ἁπλῶς τέχνης τῇ πείρᾳ κρίνεσθαι πεφυκυίας. ὁ γὰρ τὸ κοινὸν καὶ καθόλου κριτήριον εὑρὼν ἐκείνῳ κρίνει τὰ κατὰ μέρος· ἓν δέ τι τῶν κατὰ μέρος ἐστὶ καὶ τὸ περὶ πτισάνης τοῖς ἰατροῖς διαπεφωνημένον, ὥσπερ γε καὶ τὸ περὶ τῆς διαίτης οὐ μόνον τῆς ἐπὶ τῶν ὀξέων, ἀλλὰ καὶ τῶν ἄλλων νοσημάτων, ἔτι τε γενικώτερον ὑπὲρ ἁπάσης θεραπείας καὶ τούτου γενικώτερον ὑπὲρ ἁπάσης προνοίας σώματος, κἂν ἐφ᾽ ὑγιαινόντων γίνηται· δέονται γὰρ καὶ οὗτοι τῆς τέχνης | ἐπιστατούσης, οὐκ εἰς τὸ κτήσασθαι τὴν ὑγίειαν, ἀλλ᾽ 448 εἰς τὸ φυλάττειν, ὅπερ Ἱπποκράτης εἶπε καὶ τοῖς ὑγιαίνουσιν ἐς ἀσφάλειαν· τὸ γὰρ φυλάττειν ὁτιοῦν ἀσφαλείας δεῖται. χρήσιμον δ᾽ εἶναί φησι τὸ σκέμμα καὶ τοῖς ἀσκέουσιν ἐς εὐεξίην· ὥσπερ γὰρ ἡ τῶν νοσούντων θεραπεία τοῦ προβεβλημένου νῦν ὑπ᾽ αὐτοῦ δεῖται σκέμματος, οὕτως καὶ ἡ τῶν ὑγιαινόντων ἀσφάλεια φυλακῆς ἕνεκα τῆς ὑγιείας καὶ ἡ τῶν ἀσκούντων πρόνοια κτήσεως ἕνεκα τῆς εὐεξίας.

ταῦτα μὲν οὖν πάντα τῆς περὶ τὸ σῶμα τέχνης ἐστί, τὸ δ᾽ ἐφεξῆς εἰρημένον ἐπὶ πᾶσαν τέχνην ἐκτέταται· τί γάρ φησι καὶ ἐς ὅ τι ἕκαστος ἐθέλει; καὶ γὰρ καὶ οἰωνιστὴς καὶ ἱεροσκόπος καὶ μουσικὸς καὶ ῥήτωρ καὶ πᾶς τεχνίτης ἁπλῶς τῆς κατὰ τὴν ἑαυτοῦ τέχνην διαφωνίας τὴν αἰτίαν εἴσεται μίαν οὖσαν, ὅταν ἕκαστος τὸ κατὰ μέρος ἐπὶ τὸ καθόλου μεταφέρῃ. οὕτω γοῦν καὶ τὴν τῶν οἰωνιστῶν διαφωνίαν ἔγνων γεγονυῖαν ἔκρινά τε τὸν ἀληθέστερα λέγοντα, καὶ τούτου χάριν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα τοῦ τε Ἄραβος καὶ τοῦ Ἕλληνος |

1 οἰ. μόνης AMS: μ. οἰ. DRV: μόνον οἰ. B 2 αὐτὴν S 3 τῆς AMS: περὶ τῆς BDV δὲ *om.* S 4 ἡ *om.* S 5 τοὺς ACMS: τοὺς μὲν BRV 6 τῆς] τοὺς AM(?)S 7 προγεγρ. M τοῖσι] τοῖς γε V 8 γὰρ *om.* V 9 οὐ *om.* M καὶ *ante* χειρουργ. *om.* R 10 δὲ *om.* M μόνης *om.* AD οὔτ᾽ οὖν CR: οὔτε δὲ D: οὔτε *cett.* 11 μόνης ὀξ. V 12 τούτοις *codd.*: τούτῳ *edd.* 13 κεκρίσθαι D 14 καθόλου κ. κοινὸν T ἐκεῖνο A¹ κρινεῖ R 15 τῆς πτισάνης S 16 καὶ *om.* S τῆς MS: *om. cett.* 17 τῆς AT: τοῖς MR: τῶν S: *om.* DV 19 ὑγιαινόντων CR: ὑγιείας ὄντων *cett.* 20 οὗτοι] οὕτω M ὑγείαν MRS 21 ὁ Ἱππ. DV εἰς S 22 ἀσφάλειαν B: ἀσφαλίην MR: ἀσφαλείην *cett.* 23 τοῖσιν D ἐς BMR: εἰς S: *om.* AV 24 νῦν *om.* B 25 ἡ *om.* M 26 ἡ *om.* A χρήσεως D 27 μὲν *om.* A 28 εἰρημένον *om.* R 29 ἐθέλοι T καὶ γὰρ καὶ M: καὶ γὰρ *cett.* ὁ οἰωνιστὴς V 30 ἑαυτοῦ] αὐτοῦ AMT: αὐτὴν S 32 οὕτω(ς) γοῦν BDR: οὕτως οὖν *cett.* 33 ἀληθέστατα S

449 οἰωνιστοῦ. πάσης γὰρ τέχνης σύστασις ἐν διορισμῷ γίνεται τῶν ἰδίων
ἀπὸ τῶν κοινῶν· ὁ γὰρ ταῦτα διορίσασθαι δυνάμενος ἄριστος τεχνίτης
ἐστίν. ὥσπερ δ' ἡ σύστασις, οὕτω καὶ ἡ κρίσις ἐν τῷ διορισμῷ τὴν
ὕπαρξιν ἔχει· σφάλλονται γὰρ οἱ συνιστάμενοι τὰς τέχνας, ὅταν τό τινι
συμβεβηκὸς ἤτοι γ' ἐπὶ πάντας ἐκτείνωσιν ἢ πλείονάς γε τοῦ προσ-
ήκοντος· τὸ μὲν γὰρ ὅλως μηδενὶ συμβεβηκὸς οὐδεὶς ἂν ἐν τέχνῃ τοι-
αύτῃ πείσειεν ἑαυτὸν ἀληθὲς εἶναι· κατὰ τοῦτο γὰρ ἡ ὄντως γίνεται
διαφωνία, κατὰ τὸ πείθειν ἕκαστον ἑαυτόν, οὐ κατὰ τὸ προσποιούμενον
καὶ πλαττόμενον ἐρίζειν φιλονικοῦντα, καθάπερ ἔνιοι περί τινων ἑτέρως
ἢ ὡς κατὰ τὴν ψυχὴν διάκεινται, * * καὶ οἱ φάσκοντες ἄδηλον εἶναι,
πότερον ἐγρηγόραμεν ἢ κοιμώμεθα καὶ σωφρονοῦμεν ἢ μαινόμεθα· κἂν
εἰ τοῦτό γε συγχωρηθείη δῆλον εἶναι, ἀλλ' ὁπότεροί γε μᾶλλον ἀλη-
θεύουσιν ἄδηλον εἶναί φασιν, εἴθ' οἱ ἐγρηγορότες τῶν κοιμωμένων εἴτε
τῶν μαινομένων οἱ μὴ μαινόμενοι· πεπεισμένος γὰρ οὐδεὶς οὕτως οὐδὲ
450 δοξάζων ἐν τῇ ψυχῇ τοὺς λόγους | τούτους, ἀλλ' ἐρίζων ποιεῖται.

κατὰ τὴν ἰατρικὴν δὲ τέχνην τινὲς μὲν ἐπεχείρησαν καινοτομεῖν,
οὐ δυνάμενοι βέλτιόν τι τῶν ἔμπροσθεν εὑρηκέναι, κατανενοηκότες δὲ
τὸ τῶν ἰδιωτῶν πάθος, ὅπερ Ἱπποκράτης εἶπε· "τὸ γὰρ ξενοπρεπὲς
οὔπω ξυνιέντες εἰ χρηστὸν ἐπαινοῦσι μᾶλλον ἢ τὸ σύνηθες, ὃ οἴδασιν
ὅτι χρηστόν." ἔνιοι δὲ καὶ διὰ τῆς τῶν ἡδίστων διαιτημάτων ἐπαγγελίας
ἀναπείθοντες προσάγονται τοὺς κάμνοντας, εἰδότες μέν, ὅτι πανουρ-
γοῦσιν, ἀλλ' ἤτοι διὰ φιλοχρηματίαν ἢ διὰ φιλοδοξίαν ἐπιχειροῦντες
πανουργεῖν τὰ τοιαῦτα.

τῆς οὖν ἄχρι λόγου διαφωνίας, ὁποία καὶ ἡ τῶν τοιούτων ἀνδρῶν
ἐστίν, ἐξῃρημένης ἡ κατ' ἀλήθειάν τε καὶ ὄντως διαφωνία γίνεται, διὰ
τὸ μὴ διορισθῆναι τὴν ἀπόφασιν, ἀλλ' ἤτοι περὶ πλειόνων ἢ προσῆκεν
ἢ περὶ πάντων ὡς ὁμοίως ἐχόντων ἀποφήνασθαι. καὶ κατὰ τοῦτ' ἐπ-
αινεῖσθαι δίκαιόν ἐστι τὸν Ἱπποκράτην τῆς ὄντως διαφωνίας μνημονεύ-
σαντα μόνης, ἣν οἱ κατ' ἀλήθειαν ἐθέλοντες τέχνην τινὰ συστήσασθαι
451 πάσχουσιν, ἐν ταῖς ἑαυτῶν ψυ|χαῖς διαφόρως δοξάζοντες, οὐκ ἄχρι
λόγου προσποιητῶς ὑπὸ πανουργίας διὰ φιλοδοξίαν ἢ φιλοχρηματίαν.
οὐδεὶς γὰρ ὄντως τῇ πείρᾳ κρίνων τὰς ἐπινοίας ἐπὶ τὴν Πετρωνᾶ

18 εἶπε] Περὶ ἀγμῶν *1 (III 414 L.); cf. Gal. XVII A 497. XVIII B 339 K. Erotian. p. 99 Klein* 32 Πετρωνᾶ] *cf. supra ad p. 126, 3*

2 διορίσθαι S: *corr.* S¹ 3 δ' ἡ *codd.*: δὲ καὶ ἡ *edd.* *post* διορισμῷ *add.* τῶν ἰδίων ἀπὸ τῶν κοινῶν S τὴν *om.* S 4 γὰρ καὶ M 7 γὰρ οὖν C 8 πείσειν S ἕκαστον *om.* S οὐ κατὰ . . . φιλονικοῦντα *om.* S τὸ] τὸν M 9 πλαττόμενον AMRT: καταπλ. DV φιλ. ἐρίζειν M φιλονικ. C: φιλονεικ. *cett.* ἑτέρων νόσων ὡς V: ἑτέρων νοσερῶς D: ἑτέρων νόσων ἢ ὡς P 10 τὴν *om.* AMT *post* διάκεινται *plura intercidisse videntur* 11 ἢ καὶ μαιν. M κἂν CR: καὶ *cett.* 12 γε *(prius) om.* BM γε τούτων M 13 εἶναί AMS: ὑπάρχειν RV εἴτε] οἵ τε S 14 οἱ C: μᾶλλον οἱ *cett.* 16 δὲ τ. ἰ. *transp.* M 18 ἰδιωτικῶν S γὰρ *om.* D 19 συνιέντες DV 20 χρηστὸν εἶναι BV: χρ. ἐστιν D τῶν *om.* V 21 προσάγουσι B 24 τοιούτων *om.* S 25 διὰ M: παρὰ ARS¹V: περὶ S 26 ἢ προσέθηκεν M 29 οἱ *om.* S τέχνῃ τινὶ M 31 προσποιητὸς M ἢ διὰ φιλοχρ. B

ἀγωγὴν ἀφίξεται, κρέα διδοὺϲ ὀπτὰ καὶ οἶνον μέλανα τοῖϲ ὀξέωϲ πυρέττουϲιν, ὥϲπερ γε οὐδὲ δίψει τοϲούτῳ κολάζων αὐτούϲ, ὡϲ κοτύληϲ ὕδατοϲ εἰκοϲτὸν μέροϲ διδόναι· τὰ γὰρ τοιαῦτα διαιτήματα παντάπαϲιν ἄτοπα, καὶ δυοῖν θάτερον, ἢ διὰ τὸ ξενοπρεπὲϲ ἐπιτηδευόμενα πανούργοιϲ ἀνθρώποιϲ ἢ δι᾽ ἐμπληξίαν ἐϲχάτην, εἴπερ ὄντωϲ ᾤοντο μόνοι τὴν ἀλήθειαν εὑρηκέναι. τὰ δ᾽ ὑφ᾽ Ἱπποκράτουϲ εἰρημένα καὶ περὶ τοὺϲ ἀληθῶϲ ϲπουδάζονταϲ τέχνην ϲυϲτήϲαϲθαι φρονίμουϲ ἄνδραϲ γίνεϲθαι δύναται διὰ τὸ μὴ φέρειν μεγίϲτην βλάβην, ὅταν οἷϲ οὐ χρὴ προϲενεχθῇ. τὰ μὲν οὖν τοιαῦτα δυϲδιόριϲτον ἔχει τὴν ἐκ τῆϲ πείραϲ κρίϲιν, τὰ δὲ πολὺ διαφέροντα ῥᾳδίαν· τὴν οὖν ἐν τοῖϲ ὀλίγον ἀλλήλων ὑπερέχουϲι κρῖναι διαφωνίαν καὶ δεῖξαι, τίϲι μὲν ἐπὶ πτιϲάνηϲ μόνηϲ διαιτητέον ἐϲτὶ τῶν ὀξέωϲ νοϲούντων, τίϲι δὲ | κριθώδουϲ δοτέον, τίϲι 452 δ᾽ οὐδ᾽ ὅλωϲ, ἀλλ᾽ ἐπὶ ποτοῦ μόνου διαιτητέον ἐϲτὶν ἄχρι κρίϲεωϲ, ἄξιόν ἐϲτι τῆϲ Ἱπποκράτουϲ ϲυνέϲεωϲ.

I 17 [I 4. II 244,7—246,4 L.] Πτιϲάνη μὲν οὖν ὀρθῶϲ μοι δοκέει προκεκρίϲθαι τῶν ϲιτηρῶν γευμάτων ἐν τουτέοιϲι τοῖϲιν [ὀξέϲι] νοϲήμαϲι, καὶ ἐπαινέω γε τοὺϲ προκρίνανταϲ. τὸ γὰρ γλίϲχραϲμα αὐτῆϲ λεῖον καὶ ξυνεχὲϲ καὶ προϲηνέϲ ἐϲτι καὶ ὀλιϲθηρὸν καὶ πλαδαρὸν μετρίωϲ καὶ ἄδιψον καὶ εὐέκκριτον, εἴ τι καὶ τούτου προϲδέοι, καὶ οὔτε ϲτύψιν ἔχον οὔτε ἄραδον κακόν, οὔτε ἀνοιδίϲκεται ἐν τῇ κοιλίῃ· ἀνῴδηκε γὰρ ἐν τῇ ἑψήϲει, ὁκόϲον πλεῖϲτον ἐπεφύκει διογκοῦϲθαι.

Τοῦτον τὸν λόγον ἀναγνῶναί μοι δοκοῦϲι μόνον οἱ Περὶ πτιϲάνηϲ ἐπιγράψαντεϲ τὸ βιβλίον, ὥϲπερ αὖ πάλιν οἱ Πρὸϲ τὰϲ Κνιδίαϲ γνώμαϲ τὸ πρῶτον προοίμιον· ἐδείχθη γὰρ ἐν τῷ δευτέρῳ μηκέτι πρὸϲ τοὺϲ Κνιδίουϲ ἰα|τροὺϲ τὸν λόγον ποιούμενοϲ, ἀλλὰ προτρέπων ἐπὶ τὴν 453 ἄϲκηϲιν τῆϲ τῶν ὀξέων νοϲημάτων θεραπείαϲ. ὁ δὲ δὴ τρίτοϲ λόγοϲ, ὃν ἄχρι δεῦρο διῆλθεν, αὐτῆϲ ἤδη τῆϲ διαιτητικῆϲ τέχνηϲ τῶν ὀξέων νοϲημάτων ἐϲτίν, οὐ μὴν εἰϲ μόνην γ᾽ αὐτὴν χρήϲιμοϲ, ἀλλ᾽ ὑποπεπτωκὼϲ ἑτέρῳ γενικωτέρῳ. δέδεικται δέ μοι κἂν τῷ Περὶ ἀγμῶν καὶ ἄρ-

17 τὸ γὰρ ... διογκοῦϲθαι *(22)*] *affert Gal. VI 822 K.* 30 κἀν τοῖϲ Περὶ ἀγμῶν καὶ ἄρθρων] *Gal. XVIII A 461. 596. 675. XVIII B 522 K.*

2 γε AMS: *om.* BR οὐδὲ] οὐ M κολάζων τοϲοῦτον M 3 γὰρ *add.* A[1] 5 ὄντωϲ *om.* T 6 εἰρημένα CMR: γεγραμμένα ABSV περὶ] παρὰ B 8 προϲεχθῇ, *superscr.* νε A 9 ἐμπειρίαϲ M 10 πολλὰ M τὸ γοῦν τὴν ἐν R ἀλλήλων ὀλίγον A 11 ὑπελέγχουϲι M 12 ὀξέων S ὀξέων νοϲημάτων M 13 ἐϲτὶν *om.* V μέχρι S 15 πτιϲάνηϲ M ὀρθῶϲ μοι δοκέει AMS: μοι δ. ὀ. BR: μοι *om.* V 16 ὀξέϲι *codd.*: *om. Hipp. codd. plerique* 17 προκρίνονταϲ DV γὰρ *om.* M γλίϲχραμα S 18 αὐτῆϲ AMSV: αὐτοῖϲ T: αὐτέηϲ R: αὐτοῦ B ϲυνεχὲϲ BV 19 εὐέκκριτον ABRS: εὔκριτον M: εὐέκπλυτον V 20 τούτου V: τουτέω BM: τουτέου *cett.* προϲδέει MS 21 ἑψήϲει] δίψει R 22 ὁκόϲον ἂν *codd., sed cf. p. 139,17* ἐπεφύκη M διοικοῦϲθαι S 24 ὥϲπερ αὖ πάλιν *om.* R 25 δευτέρῳ λόγῳ M 27 δὴ *om.* MR 28 διέλθω M αὐτῆϲ ἤδη AMRS: αὐτῆϲ *om.* B: ἤδη *om.* DV 30 δέ *om.* S καὶ ἐν R τῷ M: τοῖϲ *cett.; cf. p. 662. XVII A 205. XVIII B 848. 886. 887 (bis)*

θρων ἔθος Ἱπποκράτει τοὺς ὑποπεπτωκότας λόγους ἑτέροις τισὶ καθολικωτέροις ἐπισημαίνεσθαι καὶ τήν γε διδασκαλίαν τῶν καθόλου δι᾽ αὐτῶν ποιεῖσθαι προκειμένων ὡς παραδειγμάτων· οὕτως γὰρ οὔτε ἀποχωρεῖ τοῦ προκειμένου σκέμματος οὔτε πολλαχῶς διδάσκει τὸ κοινὸν πολλῶν. ὥσπερ δ᾽ ἐπὶ τῆς πτισάνης τὸν λόγον ἐποιήσατο τὴν αἰτίαν τῆς περὶ αὐτῆς διαφωνίας καὶ ζητήσας καὶ κρίνας, οὕτω καὶ περὶ διαίτης ἁπάσης τῶν ὀξέων τὴν κρίσιν ὀρθὴν ἐποιήσατο. καὶ γὰρ καὶ περὶ φλεβοτομίας καὶ καθάρσεως καὶ βαλάνου καὶ κλυστῆρος χρήσεως, ὡσαύτως δὲ καὶ περὶ καταπλασμάτων τε καὶ πυριαμάτων οἴνου τε καὶ μελικράτου καὶ
454 ὀξυμέλιτος | καὶ λουτροῦ χρήσεως οὐ σμικρὰ γέγονε διαφωνία τοῖς ἰατροῖς, ὑπὲρ ὧν ἁπάντων ὁ Ἱπποκράτης ἐν τούτῳ τῷ βιβλίῳ διῆλθε κατὰ μίαν μέθοδον ἣν ἀρτίως εἶπον, ἧς τὴν δύναμιν ἐοίκασιν ἐγνωκέναι καὶ οἱ ἐμπειρικοὺς ἑαυτοὺς ὀνομάζοντες, διορισμοῖς χωρίζοντες ἀπὸ τῶν κοινῶν τὰ ἴδια· καλεῖν δ᾽ εἰώθασι "διαστολὰς" μᾶλλον ἢ διορισμοὺς τοὺς ἀπὸ τοῦ κοινοῦ τὸ ἴδιον ἀποκρίνοντάς τε καὶ χωρίζοντας λόγους.

ἴδωμεν οὖν ἤδη τὰ περὶ τῆς πτισάνης εἰρημένα τῷ Ἱπποκράτει. δοκοῦσιν οὖν μοι, φησίν, οἱ πρόσθεν ἰατροὶ προκρῖναι πτισάνην ὀρθῶς τῶν σιτηρῶν γευμάτων ἐν τοῖς ὀξέσι νοσήμασι. σιτηρὰ δὲ γεύματα λέγει τὰ ἐκ σίτου γινόμενα· σῖτον δ᾽ ὀνομάζουσιν οἱ ἄνθρωποι μάλιστα μὲν τοὺς πυρούς, ἤδη δὲ καὶ τὰς κριθὰς τούτοις προσνέμουσι καὶ τὰς ζειάς· ἐπὶ πλεῖον δ᾽ ἐκτείνοντες τὴν προσηγορίαν καὶ τὰ δημήτρια καλούμενα σπέρματα συγκαταλέγουσι, φακοὺς δηλονότι καὶ θέρμους καὶ κυάμους καὶ λαθύρους ἔλυμόν τε καὶ κέγχρον καὶ πισὸν καὶ τῆλιν καὶ βρόμον καὶ τίφας ἐρεβίνθους τε καὶ ὅσα ἄλλα τοιαῦτα. τούτων οὖν
455 πάντων | τῶν σιτηρῶν γευμάτων τὰ μὲν ἄλλα καὶ πρὸς τῶν ἰδιωτῶν κατέγνωσται διὰ τὸ παραχρῆμα μεγάλην ἐπιφέρειν βλάβην, ἄρτος δὲ μόνος καὶ χόνδρος ἐπὶ τῶν ὀξέως νοσούντων δίδονται καὶ πρὸς ταῦτ᾽ ἔστι μόνα παραβάλλειν τὴν πτισάνην· ἥ γάρ τοι φακῆ καὶ ἡ κέγχρος καὶ ἡ τῆλις ὡς φάρμακά ποτε προσφέρεται διά τινα τῶν κατὰ κοιλίαν νοσημάτων, οὐχ ὡς σιτία τροφῆς ἕνεκα. τῶν οὖν σιτηρῶν ἐδεσμάτων ὀρθῶς προκεκρίσθαι φησὶ τὴν πτισάνην, ἄρτου δηλονότι καὶ χόνδρου καὶ ζειῶν, ἐξ ὧν ὁ καλούμενος τράγος γίνεται. τοὺς γὰρ οἰομένους μηδέπω χόνδρον εἶναι κατὰ τοὺς Ἱπποκράτους χρόνους ἀγνοοῦντας

1 *fort.* ἔθος ὂν ἱπποκράτους DTV τοὺς ... καθολικωτέροις *om.* M 3 οὕτως ARS: οὗτος MV 6 αὐτῶν B 8 καθάρσεως M: περὶ καθ. *cett.* βαλανείου (ίου AB) MRV: περὶ βαλάνου ST: *correxi* 9 τε καὶ π. AMS: καὶ π. RV 10 ὀξ. κ. μελ. *transp.* T οὐ] οὐδὲ R διαφωνία γέγονε V 13 ὀνομάζοντες AMS: ὀνομάσαντες DRV 15 τοῦ *om.* A ἀποκρίνοντας AMS: ἀποκρίναντας RV 17 τῆς *om.* AR 18 δοκοῦσιν B: δοκεῖ R: δοκέουσιν *cett.* 19 τοῖσιν D 20 γενόμενα S 22 πλέον B ἐκτείναντες M δημήτρεια *codd. praeter* DMU 23 καὶ συγκ. S 23. 24 θερμ. κ. κ. AMS: κ. κ. θ. RD 24 πισσὸν S: πίσσον A: καὶ πισὸν *om.* B 25 ἄλλα AMS: τἄλλα BRV 27 παραυτίκα A ἄρτος] ὥστε ST 28 δίδονται AS: δίδοτε M: δίδοται *cett.* 31 νοσημάτων αἰτίαν ST ἕνεκεν MS 32 ὀρθῶν M 33 ζειῶν] ὀλύρων *Cornarius* γὰρ] μὲν M

ἐλέγξειc ἐκ τοῦ τῶν παλαιῶν κωμικῶν ἐνίουc ἐμνημονευκέναι χόνδρου, καὶ αὐτὸν δὲ τὸν Ἱπποκράτην ἐν τῷ Περὶ διαίτηc ὑγιεινῷ· εἰ γὰρ καὶ μὴ Ἱπποκράτουc ἐcτὶν ἐκεῖνο τὸ βιβλίον, ἀλλ' Εὐρυφῶντοc ἢ Φαῶντοc ἢ Φιλιcτίωνοc ἢ Ἀρίcτωνοc ἤ τινοc ἄλλου τῶν παλαιῶν, (εἰc πολλοὺc γὰρ ἀναφέρουcιν αὐτό), πάντεc ἐκεῖνοι τῶν παλαιῶν ἀνδρῶν εἰcιν, ἔνιοι μὲν Ἱπποκράτουc πρεcβύτεροι, τινὲc δὲ cυνηκμακότεc αὐτῷ· μνη-| μονεύω δ' Ἱπποκράτουc νῦν τοῦ Ἡρακλείδα υἱέοc, οὗ τοῦτ' ἐcτὶ τὸ **456** βιβλίον· ὁ γάρ τοι πάπποc αὐτοῦ, ὁ Γνωcιδίκου υἱὸc Ἱπποκράτηc, κατὰ τινὰc μὲν ὅλωc οὐδὲν ἔγραψεν, κατὰ τινὰc δὲ δύο μόνα, τὸ Περὶ ἀγμῶν καὶ τὸ Περὶ ἄρθρων.

διὰ τί δ' ὀρθῶc ἡ πτιcάνη προκέκριται τῶν cιτηρῶν ἐδεcμάτων, ἀποδειχθήcεται δι' ὧν ἐπιφέρων αὐτὸc εἶπεν· ὅcα μὲν γὰρ αὐτῇ πρόcεcτιν ἀγαθὰ πρὸc τὴν τῶν ὀξέων νοcημάτων ἴαcιν, οὐδενὶ τῶν ἄλλων ὑπάρχοντα εὑρήcειc· ὀρθὴ δ' ἂν cοι γένοιτο κρίcιc ἐννοήcαντι τήν τε τῶν ὀξέων νοcημάτων φύcιν καὶ τὴν τῆc πτιcάνηc δύναμιν. ἡ μὲν οὖν τῶν ὀξέων νοcημάτων φύcιc ἐcτίν, ὡc αὐτὸc εἶπεν ὀλίγον ἔμπροcθεν, "ὧν οἱ πυρετοὶ τοὐπίπαν εἰcὶ cυνεχεῖc"· ἡ δὲ τοῦ πυρετοῦ γένεcιc ἐκτροπὴ τῆc ἐμφύτου θερμαcίαc ἐπὶ τὸ πυρῶδέc ἐcτιν, ὡc ἐν ἄλλοιc τέ τιcιν ἔδειξε καὶ νῦν δηλώcει λέγων ἐπ' αὐτοῦ, ἄρχεcθαι μὲν [γὰρ] ἐκ τοῦ θώρακοc, εἰc τὴν κεφαλὴν δ' ἀναπέμπειν τὴν φλόγα. καὶ μὲν δὴ κἀν τοῖc τῶν Ἐπιδημιῶν βιβλίοιc τὸν μέγαν πυρετὸν ὀνομάζειν εἴωθε "πῦρ", ὡc οὐκ ἄλλην τινὰ φύcιν ἔχοντα παρὰ τὴν τοῦ πυρὸc | οὐcίαν. **457** εἴπερ οὖν "τἀναντία τῶν ἐναντίων ἰάματα", τὸ τῶν πυρετῶν ἴδιον ἴαμα δύναμιν ἔχειν χρὴ ψύχουcάν τε καὶ ὑγραίνουcαν· τοῦτο γὰρ ὑπεναντίον ἐcτὶ τῇ φύcει τοῦ πυρετοῦ θερμῇ τε οὔcῃ καὶ ξηρᾷ· τοιοῦτον γὰρ καὶ τὸ πῦρ. καὶ μὲν δὴ καὶ διὰ τὴν τῶν χυμῶν cηπεδόνα γινομένων τῶν πυρετῶν οὐ cμικρὰν φροντίδα πεποιῆcθαι χρὴ τοῦ πεφθῆναι μὲν αὐτῶν ὅcον ἂν ἐγχωρῇ δέξαcθαι τὴν πέψιν, ἐκκριθῆναι δὲ τὸ κατωπτη-

1 κωμικῶν] *e. g. Fragm. III 18. 143. 217. 473 (Mein.) cf. Athen. III 127 bc* 2 Περὶ διαίτηc ὑγιεινῷ] Περὶ διαίτηc *II 42 (VI 540. 542 L.)* 3 Εὐρυφῶντοc] *cf. Pauly-Wissowa VI 1342* 4 Ἀρίcτωνοc] *cf. Pauly-Wissowa II 959* 7 *cf. Gal. XVIII B 324 K.* 9 Περὶ ἀγμῶν] *III 412—563 L.* 10 Περὶ ἄρθρων] *IV 78—327 L.* 16 ἔμπροcθεν] *p. 121, 19* 21 Ἐπιδημιῶν] *III 3 (III 40 L.); cf. Gal. XVII A 564* 23 τἀναντία κτἑ.] *Hipp. de flat. 1 (VI 92 L.)*

1 ἐλέγξειc] λέξειc M ἐμνημονευκέναι *codd. praeter* DR: μεμνημονευκέναι D: ἐμεμν. R 2 ἐν τῷ AMS: κατὰ τὸ BRV ὑγιεινῷ M: ὑγιεινῶν ABS: ὑγιεινὸν V: ὑγιεινῆc R; *cf. H. Diels, Hippokr. Forschungen I. Hermes 45 (1910), 129—134* 5 πάντωc S 6 ἔνιοι] οἱ B αὐτοῦ M μνημονεύcω S 7 ἡρακλ(ε)ίδου AD 11 πάντων τῶν T 12 ἐπιφέρων αὐτὸc εἶπεν AMRS: ἐπιφέρει αὐτὸc λέγων V; *cf. Gal. XVIII B 370* ὃ S: ὅcα S¹ μὲν γὰρ AMS: γὰρ BR 15 φύcιν . . . νοcημάτων *(16) om.* A: *add.* A¹ *in mrg.* 16 νοcημ. φύcιc *om.* BV ἐcτίν *om.* M ὡc αὐτὸc ὀλ. ἔμπρ. εἶπεν *(sic) post* cυνεχεῖc *transp.* AMS 19 τέ *om.* A ἔδειξε *scripsi*: δείξει AST: ἔχει δεῖξαι BMR: ἔχει δείξαc D αὐτῶν M γὰρ *inclusi* 20 *post* θώρακοc *iterat* λέγων S 21 βιβλίοιc AMS: *om.* BRV 22 ὡc *om.* M ἔχοντα φύcιν A 23 ἐcτὶν ἰάματα BR 24 ἔχειν χρὴ *scripsi ad hiatum evitandum*: ἔχει D: χρὴ ἔ. *cett.* 25 ἐcτὶ] ἔcται B 25. 26 γὰρ καὶ] γὰρ A: καὶ R 27 τῶν *ante* διὰ *(26) transp. a Basil. edd.* 28 αὐτὸν M: αὐτὴν C ἐγχωρεῖ RS (ἂν *om.*)

μένον ἤδη καὶ μηκέθ᾽ οἷόν τε πεφθῆναι. καὶ εἴπερ τοῦ ταῦτ᾽ ἐργάcαcθαι δυναμένου cιτίου τοῖc πυρέττουcίν ἐcτι χρεία, ἐὰν καὶ τὸ ῥᾳδίωc πέττεcθαί τε καὶ ἀναδίδοcθαι παρῇ, πάντ᾽ ἂν ἤδη τὰ τοιαῦθ᾽ ὧν χρῄζομεν ἔχοι.

τίc οὖν ἐcτιν ἡ τῆc πτιcάνηc δύναμιc, ἀκούcωμεν αὐτοῦ. τὸ γὰρ γλίcχραcμα αὐτῆc, φηcί, λεῖον. τὸ λεῖον ἀντίκειται τῷ τραχύνοντι· τραχύνει δὲ τὰ δριμέα καὶ ὀξέα καὶ cτύφοντα. δριμέα μὲν οὖν ἅπαντ᾽ ἐcτὶ τὰ θερμαίνοντα, καθάπερ ὄροβοι καὶ τῆλιc· ὀξέα δὲ τὰ μὲν ἄλλα παρείcθω, τὸ δ᾽ ὀξύμελι μόνον ἐν λόγῳ γιγνέcθω, καθάπερ γε καὶ τῶν
458 cτυφόντων παρείcθωcαν ἀχράδεc τε καὶ μέ|cπιλα καὶ ὅcα τοιαῦτα, τῶν δὲ cιτηρῶν ἡ φακὴ [ἐcτι] καὶ τὰ τοιαῦτα. ἐκπέφευγεν οὖν ἡ πτιcάνη τῶν τραχυνόντων τὴν κακίαν, ἔχουcα πρὸc τῷ κατὰ τὴν ἁφὴν λείῳ καὶ τὸ κατὰ δύναμιν λεῖον.

ἔcτι δὲ καὶ cυνεχὴc ἡ γλιcχρότηc αὐτῆc, ὁμοίαc ἑαυτῇ κατὰ πάνθ᾽ ὑπαρχούcηc τὰ μόρια διὰ τὸ τῆc ἑνώcεωc ἀκριβέc, ὅπερ οὐχ ὑπάρχει τοῖc λοιποῖc ζωμοῖc. ἔπαινοc δ᾽ οὐ cμικρὸc τῆc πτιcάνηc καὶ τὸ προcηνὲc ἐναντίον ὑπάρχον τῷ ἀπηνεῖ, τουτέcτι τῷ κατὰ τὴν λῆψιν ἀηδίαν τιν᾽ ἐμποιοῦντι, καθάπερ ἀμέλει καὶ ὁ ἄρτοc ἀηδήc ἐcτι λαμβανόμενοc, εἰ μὴ διαβρέξειαc αὐτὸν ἱκανῶc· ἀλλὰ καὶ οὗτοc ἀπολείπεται τοῦ κατὰ τὴν πτιcάνην προcηνοῦc, ὡc ἂν μηδὲ μαcήcεωc δεομένην, ἀλλ᾽ ὁμοίωc τοῖc ποτοῖc καταπίνεcθαι δυναμένην.

οὐ cμικρὸν δὲ πλεονέκτημα καὶ τὸ ὀλιcθηρὸν αὐτῆc καὶ μάλιcτα τοῦ χυλοῦ· διεξέρχεται γὰρ τὸν θώρακα, μηδαμόθι μέροc αὑτοῦ καταλείπων μηδὲν ἐν τῇ διόδῳ, καθάπερ τὰ δυcαπολύτωc ἐμπλαττόμενα· καὶ cχεδὸν ἅπαντα τὰ γλίcχρα, πλὴν τῆc πτιcάνηc, πέπονθε τοῦτο,
459 ὅπου γε καὶ τὸ ἐκ τοῦ χόνδρου ῥόφημα τὸ μὲν | γλίcχρον ἔχει, τὸ δ᾽ ὀλιcθηρὸν οὐκ ἔχει· τῇ πτιcάνῃ δ᾽ ὑπάρχει τὸ ὀλιcθηρὸν καὶ τὸ ῥυπτικόν. οἱ γοῦν ἰατροὶ πρὸc τὸ ἀπορρύψαι γλίcχρον χυμὸν ἐμπεπλαcμένον τῇ γαcτρὶ τοῖc ἀπὸ τοῦ χυλοῦ τῆc πτιcάνηc ἐμέτοιc χρῶνται καθὰ τοῖc ἀπὸ τοῦ μελικράτου, καὶ ὠμὴν δὲ λειοῦντεc ἐπιχρίουcι τοῖc

12. 13 *cf. Gal. VI 823* 16 προcηνὲc] *cf. l. l. 824* 19 ἀλλὰ καὶ οὗτοc] *cf. Gal. VI 824* 23 καταλείπων] *cf. Gal. l. l.* 29 ἐμέτοιc] *cf. Gal. X 517. 547 K.*

1 τοῦ ABMR: *om.* S 2 πυρέcc. RSV 5 τὸ γὰρ AMR: τὸ TV 6 αὐτῆc *om.* BV 7 καὶ cτύφοντα . . . θερμαίνοντα *om.* A: *add.* A[1] *in mrg.* δριμέα μὲν B: θερμαίνοντα μὲν *cett.* 8 θερμαίνοντα B: δριμέα *cett.* ὄροβοc R 9 γε καὶ ARSV: γε *om.* DM 10 τε καὶ AMRS: καὶ V 11 ἐcτι *inclusi* 12 τὴν *ante* τῶν *transp.* ARSV ἔχουcα καὶ V 14 δὲ *om.* S καὶ *om.* A λειότηc T: γρ. γλιcχρότηc T[1] *in mrg.* 16 τοῖc λοιποῖc (πολλοῖc B: λειποῖc M) ζωμοῖc BMRS: τοῖc ζωμοῖc A: γρ. τοῖc λοιποῖc καὶ ταῖc ἄλλαιc ζειαῖc A[1] *in mrg.*: ταῖc ζειαῖc DV cμικρὸc MRS: μ. AV 17 τοῦτο δ᾽ ἐναντίον ὑπάρχει AMST 18 ἐμποιοῦντι AMT: ἐμποιοῦντα RS: ποιοῦντι BV 19 οὗτοc MRT: οὕτωc ASV 20 μὴ A δεομένην AR: δεομένηc MS 21 δυναμένην A: δυναμένηc MS: δυναμένου R 23 χυλοῦ *codd.*: χυμοῦ *edd.* μηδαμόθεν AS αὑτοῦ *scripsi*: αὐτοῦ *codd.* καταλείπων AT: καταλεῖπον M: καταλιπὼν RSV 24 οὐδὲν B ἐν *om.* BR 26 γε *om.* S 27 τῇ *om.* V 28 γοῦν AST: δ᾽ οὖν *cett.* ἀπορρύψαι AS: ἀπορρίψαι MT: διαρρύψαι RV 29 τοῦ *om.* S 30 καθὰ] κάπερ B: καθάπερ D τοῦ *om.* AMRS

προcώποις οἱ ἀνδραποδοκάπηλοι ῥύψεως ἕνεκα τῆς ἐν αὐτοῖς ἀχροίας κατὰ τὸ δέρμα συνισταμένης. τοῦτ᾽ οὖν τὸ ῥυπτικὸν αὐτῆς καὶ πρὸς τὴν ὑποχώρησίν ἐστιν ἐπιτήδειον καὶ πρὸς τὴν ἀνάδοσιν, καὶ μάλισθ᾽ ὅταν ἐκ τῶν σιμῶν τοῦ ἥπατος εἰς τὰ κυρτὰ δέῃ μεταληφθῆναι τὴν ἀναδιδομένην τροφήν· ἐνταῦθα γὰρ ἐμπλάττεται τὰ παχύχυμα καὶ κολλώδη πάντα, καὶ διὰ τοῦτο χόνδρος οὐκ ἐπὶ τῶν μόνον τοῦτο τὸ σπλάγχνον πεπονθότων βλαβερώτατός ἐστιν, ἀλλὰ κἀπὶ τῶν μηδέπω μὲν ἐχόντων αὐτὸ βεβλαμμένον, ἐν δὲ τῇ φυσικῇ διαπλάσει στενόπορον· ὅσοι γὰρ οὕτω διάκεινται φύσει, τὰ κολλώδη καὶ παχύχυμα πάντα αὐτοῖς ἐμπλάττεται καὶ διὰ τοῦτο καὶ βάρους αἰσθάνονται κατὰ τὸ σπλάγχνον ἐν ταῖς ἀναδόσεσιν αὐτῶν.

καὶ μὲν δὴ | καὶ πλαδαρόν ἐστι τὸ γλίσχρασμα τῆς πτισάνης, οὐ **460**
σφοδρῶς ὡς ὕδωρ καὶ μελίκρατον καὶ πρὸς τούτοις γε τό τ᾽ ἐκ χόνδρου ῥόφημα καὶ τὰ ῥοφούμενα τῶν ᾠῶν· ἅπαντα γὰρ ταῦτα τὸν στόμαχον ἐργάζεται ὕπτιον τοῖς κάμνουσιν αὐτοῖς ἐπιδήλως, ὡς ἀνατετράφθαι φάσκειν αὐτόν· ἡ δὲ πτισάνη τὸ ὑγραίνειν ἔχουσα τὸ ἀνατρέπειν τὸν στόμαχον οὐκ ἔχει. στόμαχον δὲ ἀκουστέον νῦν, ὡς ἔθος τοῖς νῦν ἀνθρώποις ἐστίν, οὐ μόνον τὸν πόρον, ἀλλὰ καὶ τὸ στόμα τῆς γαστρός. ὅταν οὖν ἄτονον τοῦτο καὶ ἔκλυτον γένηται, μέχρι πολλοῦ μένει κατ᾽ αὐτὸ τὸ ἐδηδεσμένον ἐπιπολάζον αὐτῷ· τοὐναντίον δὲ συμβαίνειν πέφυκεν, ὅταν ἐπιστραφὲν ὑπό τινος τῶν εὐστομάχων ἐδεσμάτων ἀπώσηται τὸ περιεχόμενον· αὐτίκα γὰρ ὁ πλάδος αὐτῷ συναπέρχεται καὶ πέττεται καὶ ὑποχωρεῖ τὸ οὕτως ἀπωσθέν, ὥσπερ ἄπεπτόν τε μένει καὶ οὐ διαχωρεῖται ταχέως τὸ κατὰ τὸ στόμα τῆς γαστρὸς ἐπιπολάζον· ὀρέγεσθαι γὰρ ἔργον, οὐ πέττειν ἐστὶ τοῦδε τοῦ μορίου. τὰ μὲν οὖν στύφοντα τῶν ἐδεσμάτων ὥσπερ ἔχουσι τὸ ῥωννύειν τὸ στόμα
τῆς γαστρός, οὕτω | καὶ τὸ ξηραίνειν περαιτέρω τοῦ προσήκοντος· οὕτω **461**
δὲ καὶ ῥόφημα τὸ ἐκ χόνδρου καθάπερ ὑγραίνειν, οὕτω καὶ ὑπτιάζειν πέφυκεν. ἡ τοίνυν πτισάνη τὴν ἀρετὴν τῶν ὑγραινόντων ἔχουσα τὴν κακίαν ἐκπέφευγεν.

ἐφεξῆς δὲ τί φησιν ὁ Ἱπποκράτης καὶ ἄδιψον αὐτὴν εἶναι, μέγιστον καὶ τοῦτο μαρτυρῶν ἐν νοσήματι διακαίοντί τε καὶ ξηραίνοντι πᾶν τὸ σῶμα. κατὰ τοῦτο μὲν οὖν καὶ τοῦ μελικράτου πολὺ κρείττων

4 κυρτὰ] *cf. Gal. VI 824 K.*

1 ἀχρείας MS 2 συνισταμένοις S 3 ἐστιν *om. edd.* 4 κυρτῶν τ. ἡ. εἰς τ. σημὰ M: γρ. τῶν σημῶν . . . τὰ κυρτὰ M[1] 5 ἔνθα M γὰρ *om.* ABMT 7 βλαβερώτατον S 9 γὰρ] γοῦν M τε καὶ R 10 καὶ διὰ . . . αὐτῶν *om.* ABDV: *add.* A[1] *in mrg.* καὶ *ante* βάρους MST: *om.* CR 11 κατὰ τὰς ἀναδόσεις T 12 γλίσχραμα ACS 13 τ᾽ *om.* A τοῦ χόνδρου C 17. 18 τοῖς νῦν AMS: νῦν τοῖς BRV 18 ἐστίν AMS: ἐστὶ λέγειν R: λ. ἐστὶν V ὡς οὐ MT 20 παραμένει M κατὰ ταὐτὸ R δὲ] αὐτὸ M: *om.* R 21 ἐπιστραφὲν ABMR: ἐπιστραφθὲν S: ὑποστραφὲν V 24 τε *om.* R διαχωρεῖ *Diels* τὸ *ante* στόμα *om.* S 27 οὕτως ἔχουσι καὶ τὸ ξηραίνειν AMST: οὕτω κ. ξηραίνει BRV 28 τὸ ῥόφημα DM 29 τὴν τῶν M 31 *post* μέγιστον *add.* τι BCV: τε R 32 μαρτύριον S νοσήμασι τε M 33 τὸ *om.* M καὶ κατὰ R κρεῖττον AM

ἐστὶν ἡ πτισάνη, καίτοι τὸ εὐέκκριτον, ὅπερ ἐφεξῆς εἶπεν ὑπάρχειν αὐτῇ, παραπλησίως τῷ μελικράτῳ κεκτημένῃ· καὶ εἴ γε παραβαλεῖς πτισάνην μελικράτῳ, πλεονεκτοῦσαν εὑρήσεις ἐπὶ τῶν ὀξέων νοσημάτων. ἀλλὰ τοῦτο μὲν ἐπὶ προήκοντι τῷ λόγῳ δείξω, τὸν δὲ περὶ πτισάνης λόγον ἐπὶ τέλος ἀγαγεῖν καιρός. εὐέκκριτον γὰρ αὐτὴν εἶπε μετὰ τοῦ προσθεῖναι εἴ τι καὶ τούτου προσδέοι, ὡς οὐκ ἐπὶ πάντων τῶν ὀξέων νοσημάτων χρῃζόντων ἡμῶν ἐδέσματος εὐεκκρίτου. τὰ μὲν γὰρ ἄλλα πάντα τὰ εἰρημένα τῆς πτισάνης ἀγαθὰ διὰ παντός ἐστι χρήσιμα τοῖς ὀξέσι νοσήμασι, τὸ δʼ εὐέκκριτον ἐφʼ ὧν ὑπιέναι βουλό- **462** μεθα τὴν | γαστέρα βραδυνόντων κατὰ τὴν διέξοδον τῶν σιτίων ἐπιτήδειόν ἐστιν. οὔκουν ὡς ἐναντίον τῇ διαθέσει τοῦ πυρετοῦ τὸ εὐέκκριτον οὐδʼ ὡς ἕν τι τῶν οἰκείων βοηθημάτων, ἀλλʼ ὡς ἐπανορθούμενόν τι σύμπτωμα χρήσιμον ὑπάρχει.

ἐφεξῆς δέ φησι· καὶ οὔτε στύψιν ἔχον οὔτε ἄραδον κακόν, τὸ γλίσχρασμα δηλονότι τῆς πτισάνης· οὕτω γὰρ ἤρξατο τοῦ περὶ αὐτῆς λόγου. τὸ μὲν δὴ μὴ ἔχειν στύψιν ἀγαθόν ἐστιν ἐν τοῖς μάλιστα· πλὴν γὰρ ἢ διὰ σύμπτωμα συγκοπτικὸν ἢ γαστρὸς ἄμετρον ῥύσιν οὐκ ἄν τις χρήσαιτο τῶν στυφόντων ἐδεσμάτων οὐδενί· συνάγει γὰρ καὶ σφίγγει τὰ σώματα καὶ μύειν ἀναγκάζει τὰς διεξόδους τῆς ἀναδόσεως καὶ τῆς τροφῆς καὶ τῆς εἰς τοὐκτὸς διαπνοῆς, ἃς ἀνεῷχθαι συμφέρει. τὸ δὲ μηδʼ ἄραδον ἔχειν, τουτέστι τὸ μηδεμίαν ἐν τῷ πέττεσθαι ταραχὴν ἐμποιεῖν, εἰς ἔπαινον καὶ αὐτὸ διαφέρει τῆς πτισάνης· ὅπερ ἐπὶ πολλῶν ἐδεσμάτων γίνεται, τῶν μὲν δακνόντων τὴν γαστέρα, τῶν δὲ φυσώντων, ἐνίων δὲ καὶ ἐκ μαχομένων ταῖς δυνάμεσι μερῶν συγκει- **463** μένων, ὅπερ ἀμέλει κἀπὶ τῆς φακῆς ἐστι καὶ τῆς | κράμβης· αὐτὸ μὲν γὰρ αὐτῶν τὸ στερεὸν σῶμα τῶν ἐφεκτικῶν γαστρός ἐστιν, ὁ δὲ χυλὸς τῶν ἐρεθιστικῶν τε καὶ ὑπακτικῶν. οὕτω δὲ καὶ οἱ τὸν ἐγκέφαλον ἀρτύοντες ἐλαίῳ καὶ γάρῳ τὸ σύμπαν ἐξ αὐτῶν ἀνομοιομερές τε καὶ στασιάζον ἑαυτῷ ποιοῦσι, τοῦ μὲν ἐγκεφάλου τὸ στάσιμον καὶ βραδύπορον ἔχοντος, τῶν δὲ μιχθέντων αὐτῷ πρὸς τὴν ἔκκρισιν ἐξορμώντων. ὡσαύτως δὲ καὶ ᾠὸν εἴτε μετὰ μέλιτος εἴτε μεθʼ ἁλῶν εἴτε μετὰ γάρου λαμβάνοιτο, τὸ συγκείμενον ἐξ αὐτῶν διαφόρους ἕξει τὰς δυνάμεις οἵ τε ζωμοὶ σχεδὸν ἅπαντες. ὅθεν καὶ κατὰ τὴν ἀρχὴν τοῦ λόγου τὸ γλίσχρασμα τῆς πτισάνης ἐπαινῶν ἔφη συνεχές, ὅπερ οὐκ ἂν

1 καίτοι] καὶ D 2 παραβάλλεις V: παραβαλλεῖς M 4 δείξω τῷ λόγῳ T 5 εὐέκκριτον AMRS: εὐέκπλυτον TV 7 τῶν ὀξέων νοσ. AMS: τῶν ν. τῶν ὀ. B: ν. τῶν ὀ. R: ν. ὀ. V εὐεκκρίτου A¹MRS: εὐεκπλύτου ABV 8 ἐστι] εἰσι BV 9 εὐέκκριτον AMS: εὐέκπλυτον BRT 10 μὴ βραδ. R 11 οὔκουν *codd.*: οὐκ οὖν *edd.* εὐέκκριτον A¹MS: εὐέκπλυτον *cett.* 12 τι] τὸ D 14 ἔχει B 15 γλίσχρον ἅμα A τῆς πτ. δηλ. S 16 ἐν τοῖς *scripsi*: ἐνίοις *codd.* 17 τρῆσιν M 18 ἐδεσμάτων *om.* A 19 τὰς DRT: τάς τε *cett.* 20 ἃς P¹: *om.* R: ἣν *cett.* 21 μηδʼ] μὴ AB 22 διαφέρει καὶ αὐτὸ M περὶ τῆς R 24 καὶ *om.* ABCS 25. 26 τὸ μὲν γὰρ στερεὸν αὐτῶν σῶμα AST 26 αὐτῶν *om.* CM ἐστὶ τῆς γαστρὸς MS 28 ξύμπαν M 30 αὐτῷ] ἐξ αὐτῶν S ἐξορμώντων AMS: ὁρμᾶν χρησίμων RV 31 δὲ *om.* V ᾠῶν AMRS 32 λαμβάνοιντο ABMS¹ αὐτῶν] ἀμφοῖν AST: γρ. ἐξ αὐτῶν A¹ *in mrg.* ἕξει AMR: ἔχει SV 34 γλίσχρημα A: γλίσχραμα CS

γένοιτο χωρὶς τοῦ τὸ σύμπαν ὁμοιομερὲς εἶναι. νυνὶ δὲ τῷ ἀράδῳ καὶ τὸ κακὸν προσέγραψεν, οὐχ ἁπλῶς εἰπὼν οὐκ ἔχειν ἄραδον τὴν πτισάνην, ἀλλὰ προσθεὶς τὸ κακόν· οὐδὲν γὰρ τοῦδε μᾶλλον ἐναντιοῦται πέψει τῶν σιτίων. ὥστε καὶ οἱ περὶ πέψεως γράψαντες τὴν ποικιλίαν τῶν ἐδεσμάτων, καὶ μάλισθ᾽ ὅταν ἐξ ἐναντίων ταῖς δυνάμεσι συγκέηται, βλαβερωτάτην εἶναί φασι, κωλύουσαν τὰ ληφθέντα | πέτ- **464**
τεσθαι καλῶς. φυλάττονται δ᾽ αὐτὸ μάλιστα καὶ οἱ γυμνασταί, καὶ οἵ γε νομίμως ἀθλοῦντες ἐπὶ μὲν τοῦ ἀρίστου τὸν ἄρτον μόνον ἐσθίουσιν, ἐπὶ δὲ τοῦ δείπνου τὸ κρέας. ἐπὶ πλέον δ᾽ ἄν σοι περὶ τούτων ἔλεγον, εἰ μὴ καὶ κατὰ σεαυτὸν δυνατὸς ἦσθα εὑρίσκειν αὐτὰ ὁρμώμενος ἐκ τῶν εἰρημένων περὶ πέψεως ἐν τοῖς τῶν Φυσικῶν δυνάμεων ὑπομνήμασιν· εἰ δ᾽ οὐκ ἐξεμελέτησας ἐκεῖνα, μάτην καὶ τούτοις ὁμιλεῖς. διὸ περὶ μὲν ἀράδου παύομαι λέγων.

ἐπὶ δὲ τὸ πάντων ὕστατον εἰρημένον ὑπ᾽ αὐτοῦ μεταβήσομαι λέγοντος ἔτι περὶ πτισάνης οὔτ᾽ ἀνοιδίσκεται ἐν τῇ κοιλίῃ. γινώσκων γὰρ ὅτι μέμφονται πολλοὶ τῆς πτισάνης τὸ φυσῶδες, εἰκότως προσέθηκεν· ἀνῴδηκε γὰρ ἐν τῇ ἑψήσει, ὅσον πλεῖστον ἐπεφύκει διογκοῦσθαι, τῇ προσθήκῃ ταύτῃ καὶ τὸ ἔγκλημα συνενδειξάμενος καὶ τὴν λύσιν εἰπὼν αὐτοῦ καὶ τὴν ἕψησιν διδάξας. γράφει δ᾽ οὐδὲν ἧττον ἔτι κἀν τοῖς ἐχομένοις περὶ τῆς ἑψήσεως· ἀλλὰ νῦν γε τοσοῦτον προσθήσω τῷ περὶ πτισάνης λόγῳ. πτισάνην μὲν ἑψήσας | ἐπὶ πλεῖστον **465**
ἄφυσον ἔδεσμα ποιήσεις. ἔτνος δὲ κυάμινον οὐδ᾽ εἰ τρισὶν ἡμέραις καθεψήσαις, ἄφυσον ἐργάσῃ ποτέ· ἐκ γὰρ τῆς οἰκείας οὐσίας ἔχει τὸ φυσῶδες, οὐχ ὥσπερ ἡ πτισάνη διὰ τὸ τῆς ἑψήσεως ἐλλιπές. εἰθισμένοι γοῦν εἰσιν οἱ ἕψοντες αὐτὴν ἀφίστασθαι θᾶττον ἢ δεῖ καὶ μάλισθ᾽ οἱ τῶν πλουσίων μάγειροι· τρίβοντες γὰρ αὐτὴν ὠμὴν ἐν θυείᾳ, μετὰ ταῦτα θερμήναντες ἐπ᾽ ὀλίγον, οὐ γὰρ ἑψήσαντές γε, προσφέρουσι τοῖς δεσπόταις. ἀλλὰ περὶ μὲν ἑψήσεως πτισάνης, ὡς ἔφην, καὶ αὖθις εἰρήσεται· νυνὶ δ᾽ ἐπεὶ τὴν δύναμιν ἐδήλωσεν αὐτῆς, ἑξῆς ἐρεῖ τὸν διορισμὸν τῆς χρήσεως, ἐφ᾽ ὃν κἀγὼ μεταβήσομαι, προαναμνήσας, ὅτι τὸν περὶ τῆς παραβολῆς πρός γε μελίκρατον καὶ τἆλλα τῆς πτισάνης λόγον ἐν τοῖς ἑξῆς ὑπέσχημαι τελέως ποιήσασθαι.

4—7 τὴν ποικιλίαν ... καλῶς] *exc. Orib. III 1, 17 (I 192 Daremb.)*
11 ἐν τοῖς τῶν Φυσικῶν δυνάμεων ὑπομνήμασιν] *II 4 (II 89 sq.). II 8 (II 107 sq.). III 4 (II 152 sq. K.) al.*

1 *fort.* τῷ ἄραδον 2 *post* ἄραδον *add.* τὴν ταραχὴν *(gloss.)* M 3 τούτου (*om.* μᾶλλον) S 4 τῶν CR: *om. cett.* 5 ἐναντιωτάτων AMS 6 συγκέηται D: σύγκειται C¹MR: σύγκεινται ABS 9 τὸ] καὶ S 10. 11 ἐκ τῶν φυσικῶν δυνάμεων εἰρημένων ἐν τοῖς τῶν περὶ πέψεως ὑπομνήμασιν T 12 ἐν τούτοις S 15 πτισάνης BCM: πέψεως S: τῆς πτις. ART κοιλία MS 16 πολλοὶ τῆς πτ. AM: τῆς πτ. π. *cett.* 17 ὁκόσον ἂν AMS ἐπεφύκοι A 18 ταύτῃ *om.* V καὶ *(prius) om.* B 19 ἔτι *om.* AMS 20 καὶ ἐν R τῆς *om.* B 21 μὲν γὰρ M 22 δὲ] δὲ καὶ T 23 καθεψήσεις CS ἐκ] καὶ R 24 τὸ *om.* A 25 ἑψῶντες ACS ἢ δεῖ *corr.* A¹: ἤδη *cett.* 26 γὰρ *om.* R θυία ARSV καὶ μετὰ R 27 αὐτὴν *(repet.)* ἐπ᾽ AMS οὐ γὰρ] εἶτα T: *an scribendum* οὐ μὴν? 30. 31 ὅτι περὶ τὸν τῆς π. λόγον M 32 ὑπεσχόμην S

I 18 [I 4. II 246, 4 L.] Ὁκόσοι μὲν οὖν πτισάνῃ χρέονται ἐν τούτοισι τοῖσι νοσήμασι, οὐδεμιῇ ἡμέρῃ κενεαγγητέον, ὡς
466 ἔπος εἰρῆσθαι, | ἀλλὰ χρηστέον καὶ οὐ διαλειπτέον, ἢν μή τι δέῃ ἢ διὰ φαρμακείην ἢ κλύσιν διαλείπειν.

Ἐντεῦθεν ἄρχεται τῆς τοῦ ζητουμένου λύσεως· ἀλλ' ἐλλιπῶς χρησάμενος τῇ κατὰ τὴν λέξιν ἑρμηνείᾳ, διὰ τοῦτ' ἀσαφῆ ἐποίησε τὸν λόγον. ἐγὼ τοίνυν εἰπεῖν πειράσομαι, καθ' ὃν μάλιστα τρόπον ἑρμηνευθεὶς οὐδὲν ἂν ἔσχεν ἀσαφές· ἀναλήψομαι δὲ ἀπ' ἀρχῆς αὐτὸν ὧδέ πως. τίς ἡ αἰτία τῆς διαφωνίας ἐστίν, ὥστε τοὺς μὲν ταῖς κριθώδεσι πτισάναις ἐπὶ τῶν ὀξέων χρῆσθαι, τοὺς δὲ τῷ χυλῷ μόνῳ, τοὺς δ' οὐδὲ τούτῳ μέχρι κρίσεως; τουτὶ μὲν οὖν τὸ πρόβλημα, τῆς λύσεως δ' ἐφεξῆς ἄκουε. τῶν ὀξέως νοσούντων ἔνιοι μὲν ὑπὸ τοῦ χυλοῦ μόνου, ἔνιοι δ' ὑπὸ τῆς πτισάνης, ἔνιοι δ' ὑπ' οὐδετέρου τούτων ὠφελοῦνται· προπετέστερον οὖν ἀπεφήνατο περὶ πάντων τῶν ὀξέως νοσούντων ἕκαστος τῶν ἰατρῶν, ἐξ ὧν οὐκ ἐπὶ πάντων ἐπειράθη· ἀλλ' ἐγὼ διοριοῦμαι καὶ δείξω, τίνες μὲν ὑπὸ τῆς πτισάνης ὀνίνανται, τίνες δ' ὑπὸ
467 τοῦ χυλοῦ μόνου, τίνες δ' οὐδετέ|ρου τούτων χρῄζουσιν. ὅλαις μὲν οὖν πτισάναις δέονται χρῆσθαι τῶν νοσούντων ὀξέως, οἳ μήτε βοηθείας ἑτέρας χρῄζουσι πρότερον, ἤτοι διὰ φλεβοτομίας ἢ γαστρὸς ὑπαγωγῆς ἤ τινος τοιούτου, μήτ' οὖν ἐστιν αὐτοῖς τι κινδυνῶδες σύμπτωμα· χυλῷ δὲ οἱ τούτων ἔχοντές τι σφαλερώτερον· οὓς δ' ἤτοι κενῶσαι διὰ φλεβοτομίας ἢ γαστρὸς ἀναγκαῖόν ἐστιν ἢ ὀδυνωμένους παῦσαι, τούτοις μὴ πρότερον διδόναι πτισάνην ἢ χυλὸν αὐτῆς, πρὶν ἂν ὧν εἶπόν τι πράξῃς. ταῦτ' οὖν ἐχρῆν προγράψαντα τὸν Ἱπποκράτην, τῶν κατὰ μέρος ἀφ' ἑκάστου πάλιν ἀρξάμενον, οὕτω πεποιῆσθαι τὸν λόγον, εἴπερ ἔμελλεν ἔσεσθαι σαφής· ἐπεὶ δ' οὐκ ἐποίησεν, εἰκότως ἀσαφὴς ἐγένετο τὴν προσήκουσαν ἀποβαλὼν τάξιν.

ἀκολουθήσαντες οὖν αὐτοῦ ταῖς λέξεσιν ἀνάγωμεν ἑκάστην εἰς τὰ προειρημένα κεφάλαια, καὶ πρώτην γε τὴν προκειμένην ῥῆσιν ἐξεργαστέον. ἄκουσον δέ μου παραφράζοντος αὐτοῦ τὴν ῥῆσιν ἅμα τῷ παρεντιθέναι τινὰ ῥήματα σαφηνείας ἕνεκεν· ʽὅσοι μὲν οὖν ἄρρωστοι

16 σημείωσαι ὅτι, ἄχρις ἂν μένῃ ἡ ὀδύνη τοῦ πλευροῦ, οὐκέτι διδόναι τὴν πτισάνην, τὸν δὲ χυλὸν τῆς πτισάνης διδόναι T *in mrg.*

1 μὲν T: οὖν V: μὲν οὖν *cett.* πτισάνῃ BDV: ὅλῃσι πτισάνῃσι *cett.* 2 τούτοισι *codd.*: τουτέοισι *Chartier* νοσήμασι *codd.*: νουσ. *Chartier* ἢ διὰ κλύσιν ἢ διὰ φαρμ. S 4 φαρμακείην AST: φαρμακίην *cett.* διαλιπεῖν ABSV 6 σαφῆ R 7 ὃν ἂν BR μάλιστα *om.* AMS 8 αὐτῶν ἐστὶν M 10 χυμῷ R 11 ἐστὶ τὸ M δ' *om.* S 13 τῆς *om.* R οὐδετέρων MR 14 ὀξέως *om.* S 16 ὀνίναντο T 16. 17 ὑπὸ τοῦ χυλοῦ μόνου AMS: ἀπὸ (ὑπὸ BC) μ. τ. χ. BRV: *om.* D 17 τούτων ABRS: τούτου M: *om.* V 20 τοιούτου] τῶν τοιούτων V ἐν αὐτοῖς M 21 κενῶσαι] διακενῶσαι V 22 γαστρὸς ὑπαγωγῆς R ἢ] ἂν (ὀδ.) S 23 διδόναι AMS: δίδου BRV χυλὸν A: τὸν χ. *cett.* 24 προσγρ. B 25 ἐφ' B 28 ἕκαστον M 29 πρῶτον ACMS προειρημένην T ἐξεργαστέον BRT: ἐξηγητέον A: ἐξεταστέον A¹MS 30 ῥῆσιν AMS: γρ. λέξιν M¹: λέξιν BR 31 ἕνεκεν AMR: ἕνεκα SV μὲν οὖν AMS: μὲν RV ἄρρωστοι *post* χρῶνται *transp.* S

πτισάνῃ χρῶνται ἐν τούτοις τοῖς νοσήμασιν', (ἐρῶ δ' ὀλίγον ὕστερον,
τίνες εἰσὶν οἱ χρη|σόμενοι), 'τούτοις οὐδεμιᾷ ἡμέρᾳ κενεαγγητέον 468
ἐστίν, ὡς ἔπος εἰρῆσθαι, εἰ μή τι δέοι διὰ φαρμακείην ἢ κλύσιν
διαλείπειν. τούτοις οὖν καὶ δὶς διδούς, ἂν δεήσῃ, καλῶς πράξεις καὶ
πλῆθος, ὅσον ἂν ἡ τοῦ σώματος δύναμις φέρῃ· ὑφηγήσομαι δέ σοι
σκοπούς, πρὸς οὓς ἀποβλέπων ἢ διὰ γαστρὸς ἢ διὰ φλεβὸς αὐτοὺς
κενώσεις ἢ πυρίαις ἢ καταπλάσμασι χρήσῃ.' ταῦτ' εἴπερ οὕτω προεῖπεν,
εἶθ' ἕκαστον αὐτῶν ἐφεξῆς ἀναλαμβάνων κατὰ τὴν προσήκουσαν τάξιν
ἡρμήνευσεν, οὐκ ⟨ἂν⟩ ἀσαφὴς ὁ λόγος ἐγεγόνει· νυνὶ δὲ τὸ παρεμπῖπτον
ἀεὶ τελέως διεξέρχεσθαι προαιρούμενος ἄχρι πολλοῦ τὸν λόγον αἰωρού-
μενον ἐάσας εἰκότως ἐποίησεν ἀσαφῆ· μαθήσῃ δ' ἀληθεύοντα τὰς κατὰ
μέρος ῥήσεις ἁπάσας εὑρίσκων σαφεῖς, τὸν δ' ὅλον λόγον ἀσυνάρτητόν
τε καὶ διὰ τοῦτ' ἀσαφῆ.

I 19 [I 4. II 246, 7 L.] Καὶ τοῖσι μέν γε εἰθισμένοισι δὶς
σιτέεσθαι τῆς ἡμέρης | δὶς δοτέον, τοῖσι δὲ μονοσιτέειν εἰθι- 469
σμένοισιν ἅπαξ δοτέον τὴν πρώτην, ἐκ προσαγωγῆς δέ, ἢν
ἐνδέχηται, καὶ τούτοισι δὶς διδόναι, ἢν δοκέῃ προσδεῖν.

Δὶς αὐτοὺς σιτεῖσθαί φησιν, εἴπερ οὕτως εἰθισμένοι εἰσὶ διαιτᾶσθαι·
χρείας δ' οὔσης δὶς λαμβάνειν καὶ τοῖς ἅπαξ εἰθισμένοις ἐσθίειν δὶς
δώσεις τὴν πτισάνην, ἀρξάμενος μὲν ἀπὸ τοῦ ἅπαξ, κατὰ βραχὺ δὲ
προελθὼν ἐπὶ τὸ δίς· τὸ γὰρ ἐκ προσαγωγῆς τοῦτο δηλοῖ καὶ γί-
νεται τὸν τρόπον τοῦτον· ἅπαξ μὲν δώσεις αὔταρκες, ἐλάχιστον δὲ τὸ
κατὰ τὴν ἑτέραν δόσιν, εἶτα παραυξήσεις κατὰ βραχὺ καὶ τοῦτο, μέχρις
ἂν εἰς ἴσον ἀμφοτέρας τὰς τροφὰς καταστήσῃς. ἡ δὲ τοῦ λόγου πίστις
οὔπω σαφής ἐστι τῷ τὸ βιβλίον ἀναγινώσκοντι τοῦ Ἱπποκράτους διὰ
τὸ μὴ προδεδηλῶσθαι παρ' αὐτοῦ τίνες εἰσὶν οἱ πτισάνῃ χρησόμενοι
συμφερόντως. ἀλλ' ἐγὼ προειρηκὼς μικρὸν ἔμπροσθεν τοὺς μετρίως νο-
σοῦντας οὕτως ὑπ' αὐτοῦ διαιτᾶσθαι δείξω μικρὸν ὕστερον καὶ αὐτὸν τὸν
Ἱπποκράτην τοῦτο βουλόμενον. αὕτη μέν σοι τῆς προ|κειμένης ῥήσεως 470
ἡ ἐξήγησις·

οἱ πλείους δὲ γράφουσιν αὐτὴν κατὰ τήνδε τὴν λέξιν· τοῖσι δὲ
μονοσιτέειν εἰθισμένοισιν ἅπαξ δοτέον, τὴν πρώτην ἐκ προσ-
αγωγῆς· ἢν δ' ἐνδέχηται, καὶ τούτοις δὶς διδόναι, ἢν δοκέῃ

1 πτισάναις AMS 2 τούτοις AMS: τ. μὲν RV: *om.* T οὐδεμιᾶ ἡμέρα BV: οὐδεμιῇ ἡμέρῃ AS: οὐδεμίαν ἡμέραν M: οὐδεμίην ἡμέρην R 3 δέοι *om.* S φαρμακείην *codd.*: φαρμακίην *edd.* διαλιπεῖν ABRV 4 δοὺς A 5 ἂν *om.* S 7 αὐτοὺς χρήσῃ M 8 ἑξῆς C 9 ἂν *addidi* 10 διέρχεσθαι A διεξερχ. τελέως B 11 ἐάσας *om.* BP 12 ἀσαφεῖς S 14 μὲν *om.* B 15 σιτεύεσθαι CV: σιτέεσθαι *cett.* ἡμέρας S 16 ἢν *del. Reinhold* 17 ἐνδέχεται BVT (*superscr.* η): ἐνδέχηται *cett.* τούτοισι DM: τουτέοισι T: τούτοις *cett.* ἢν (ἣ T) δοκέῃ ABMS: εἰ δοκέει V: ἢ δοκέειν R 19 δὶς λαμβάνειν *om.* T 20 μὲν οὖν B: *om.* D δὲ *om.* T 21 προσελθὼν A 23 δευτέραν S 26 παρ' αὐτῷ R: *om.* T χρησόμενοι AMRS: χρησάμενοι B: χρώμενοι V 27 μικρὸν ἔμπροσθεν AMRS: *om.* V 29 σοι *om.* D 32 ἅπαξ δοτέον] ἀποδοτέον R 33 ἐνδέχεται BV τούτοις AMS: τουτέοις *cett.* διδόναι δὶς M: δὶς *om.* AR ἢν (ἣ RS) δοκέῃ AMRS: εἰ δοκέει V

προcδεῖν. ἀλλ᾽ οὐκ ἔχει νοῦν ἡ λέξιc αὕτη· τὸ γὰρ τὴν πρώτην ἐκ προcαγωγῆc ἀδύνατόν ἐcτι γενέcθαι, τοῦ ἐκ προcαγωγῆc ἐν πλείοcι προcφοραῖc γίνεcθαι πεφυκότοc, οὐχ ἅπαξ οὐδ᾽ εὐθέωc ἐν τῇ πρώτῃ.

I 20 [I 4. II 248, 1 L.] Πλῆθοc δ᾽ ἀρκέει κατ᾽ ἀρχὰc διδόναι μὴ πολὺ μηδὲ ὑπέρπαχυ, ἀλλ᾽ ὅcον ἕνεκα τοῦ ἔθεοc εἰcιέναι τι καὶ κενεαγγείην μὴ γίνεcθαι πολλήν.

Ὅcοι τοὺc νοcοῦνταc ἐμπιπλάναι φαcὶ τὸν Ἱπποκράτην διὰ τὸ καθ᾽ ἑκάcτην ἡμέραν τοῖc ἀκινδύνωc διάγουcι δὶc διδόναι τῆc πτιcάνηc,
471 εἰ προcέcχον ᾧ κατὰ τήνδε τὴν | ῥῆcιν εἴρηκε, κατέγνωcαν ἂν ἑαυτῶν· τοcοῦτον γὰρ ἀξιοῖ δίδοcθαι τοῦ ῥοφήματοc, ὅcον ἕνεκα τοῦ ἔθουc εἰcιέναι τροφὴν τῷ cώματι καὶ μὴ πολλὴν γίνεcθαι τὴν κένωcιν. ἐὰν οὖν cυγχωρήcωcιν ὀξύβαφον πτιcάνηc δὶc ἑκάcτηc ἡμέραc διδόμενον ἄχρι τῆc ἑβδόμηc ἢ τῆc ἐνάτηc ἐλάττονα δύναμιν ἔχειν ἧc αὐτοὶ τρέφουcιν ἅπαξ τροφῆc, ἡγοῦμαι παύcαcθαι φλυαροῦνταc αὐτούc. ἀλλὰ τοῦτό γε μικρὸν ὕcτερον δείξω· νῦν δ᾽ ἐξηγήcομαι τὸ κατ᾽ ἀρχάc. οὐ τοῦτο γάρ φηcιν, ὅτι κατὰ τὴν ἀρχὴν τοῦ νοcήματοc, ἀλλά τι γενικώτερον ἄκουε cημαινόμενον ἐκ τοῦ κατ᾽ ἀρχάc· ὅταν γάρ cοι δόξῃ πρῶτον ὁ κάμνων δεῖcθαι τῆc πτιcάνηc, τηνικαῦτα μὴ πολὺ μηδ᾽ ὑπέρπαχυ δίδου παραχρῆμα· φυλάττεται γὰρ ὁ Ἱπποκράτηc ἀεὶ τὸ κατὰ πολὺ καὶ ἐξαπίνηc πληροῦν ἢ κενοῦν.

I 21 [I 4. II 248, 3—250, 3 L.] Περὶ δὲ τῆc ἐπιδόcιοc ἐc
472 πλῆθοc τοῦ ῥοφήματοc, ἣν μὲν | ξηρότερον ᾖ τὸ νόcημα ἢ ὡc ἄν τιc οἴοιτο, οὐ χρὴ ἐπὶ πλέον διδόναι, ἀλλὰ προπίνειν πρὸ τοῦ ῥοφήματοc ἢ μελίκρητον ἢ οἶνον, ὁκότερον ἂν ἁρμόζῃ· τὸ δ᾽ ἁρμόζον ἐφ᾽ ἑκάcτοιcι τῶν τρόπων εἰρήcεται.

Ξηρότερον νόcημα πολυειδῶc γνωρίζεται, καίτοι τόν γε καθόλου καὶ κοινὸν λόγον ἔχον τὸν αὐτόν· ἡ μὲν περιπνευμονία καὶ ἡ πλευρῖτιc καὶ ὅλωc τὰ κατὰ τὸν πνεύμονα καὶ τὴν τραχεῖαν ἀρτηρίαν, ὅταν μη-

13 *schol.* R: ὀξύβαφόν ἐcτιν ἐξάγια β̅ καὶ οὐγγίαc δύο 27 ξηρότερον νόcημα] *cf. Gal. VI 828. XVI 200 K.*

2 γενέcθαι *om.* B τοῦ . . . γίνεcθαι *(3) om.* M ἐκ προcαγωγῆc ADR: ἐν προcαγωγῇ S: ἐν προcαγωγαῖc BTV 3 προcπεφυκότοc A 6 πολὺ *codd.*: πουλὺ *a Basil. edd.* ὅcον *codd.*: ὁκόcον *edd.* ἔθουc AMS 7 κενεαγγείην AMS: κενεαγγίην RT 8 τὸν *om.* BRV 10 ᾧ ARSV: ὃ MT: οἷc B 14 ἐννάτηc *codd.* 15 φλυαρεῖν DV 16 μικρὸν ἂν BRV οὐ . . . cημαινόμενον *(18) om.* B: *add.* B[1] *in mrg.* 17 τὴν *om.* V ἀλλά τι AMS: ἀλλ᾽ ἔτι RV 18 ἀρχὰc νοcήματοc R ὅταν γὰρ ἂν AMS: ὁπόταν γ. ἂν BRV: ὁπότε γ. ἂν D cοι *om.* T πρῶτον *om.* R 20 φυλάττει A ἀεὶ *om.* V 21 καὶ] ἢ DR κενοῦν ἢ πληροῦν BM 22 ἐπιδόcιοc D: ἐπιδόcεωc *cett.* ἐc] ἐπὶ R 23 εἴη AMS νόcημα *codd.*: νούcημα *a Basil. edd.* 24 ἔτι ἐπὶ M: ἔτι BDV: *om.* R πίνειν R 25 μελίκρατον AMS

δὲν ἀπὸ τῶν πεπονθότων μορίων ἀποπτύηται· ἧπαρ δὲ πεπονθὸς ἢ μεσάραιον ἤ τι τῶν κατὰ κοιλίαν ἢ νῆστιν ἢ ἔντερα ἢ σπλῆνα γαστρὸς ἐπεχομένης τελέως ἢ πρὸς ἀνάγκην ἐκκρινούσης σκληρὰ καὶ ξηρὰ καὶ σπυραθώδη περιττώματα· τὰ δὲ κατὰ τὰς ἀρτηρίας καὶ τὰς φλέβας ξηρὰ νοσήματα γνωρίζεται τῇ τε τῆς γλώττης ξηρότητι καὶ τῷ τοῦ παντὸς δέρματος αὐχμῷ. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπὶ τοῖς ἔξω καὶ προφανῶς ὁρωμένοις ἕλκεσιν αἱ φλεγμοναὶ γίνονται ξηραὶ μηδενὸς ἐξ αὐτῶν ἰχῶρος χωροῦντος. καὶ κατὰ τοὺς ὀφθαλμοὺς δὲ πολλάκις | φλεγμοναὶ συνίστανται ξηραὶ μηδὲν ἐκκρίνουσαι· καὶ κατὰ τὸν ἐγκέφα- 473
λον ὡσαύτως πάθη μήτε δι᾽ ὑπερώας μήτε διὰ ῥινῶν ἐκκαθαιρόμενα ξηρὰ προσηκόντως ἂν λέγοιντο. καὶ τοῦτ᾽ οὖν ἴσθι ἁπάντων τῶν ξηρῶν νοσημάτων ὑπάρχον γνώρισμα, τὸ μηδὲν ἐκκρίνεσθαι τῶν περιττωμάτων. προσηκόντως οὖν ὁ Ἱπποκράτης ἐπ᾽ αὐτῶν πρὸ τῆς πτισάνης ἀξιοῖ λαμβάνεσθαί τι τῶν ὑγραινόντων, ἤτοι μελίκρατον ἢ οἶνον, ὡς μᾶλλον τούτων ὕδατος ὑγραινόντων· ἐπεὶ δ᾽ ἐπαγγέλλεται περὶ τῆς δυνάμεως αὐτῶν ἐρεῖν, ἀναβεβλήσθω καὶ ἡμῖν ἡ πρὸς ὕδωρ αὐτῶν παραβολὴ γενησομένη κατ᾽ ἐκεῖνο τὸ μέρος τοῦ συγγράμματος, ἐν ᾧ διδάσκει τὰς δυνάμεις αὐτῶν.

I 22 [I 4. II 250, 3—7 L.] Ἢν δὲ ὑγραίνηται τὸ στόμα καὶ τὰ ἀπὸ τοῦ πνεύμονος ᾗ ὁκοῖα δεῖ, ἐπιδιδόναι χρὴ ἐς πλῆθος τοῦ ῥοφήματος, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι. τὰ μὲν γὰρ θᾶσσον καὶ μᾶλλον | πλαδῶντα ταχυτῆτα σημαίνει κρίσιος, τὰ δὲ 474
βραδύτερον πλαδῶντα καὶ ἧσσον βραδυτέρην σημαίνει τὴν κρίσιν.

Ἀπὸ τοῦ γένους τῶν ξηρῶν νοσημάτων ἐπὶ τἀναντία μεταβάς, εἶθ᾽ ἑνὸς μνημονεύσας ἄνευ τοῦ προσθεῖναι πάντα, παράδειγμα κοινὸν γενέσθαι τὸν ἑαυτοῦ λόγον ἁπάντων τῶν ὁμογενῶν οἰηθεὶς εἰκότως ἀσάφειαν εἰργάσατο. τὸ γὰρ ὑγραίνεσθαι τὸ στόμα καὶ τὰ ἀπὸ τοῦ πνεύμονος εἶναι ὁκοῖα δεῖ νοσήματος οὐχ ἁπλῶς ἐστιν ὑγροῦ γνωρίσματα παντὸς ἐν παντὶ μορίῳ τοῦ σώματος, ἀλλὰ μετὰ τοῦ πεπονθέναι τι τῶν ἀναπνευστικῶν ὀργάνων. διὰ τοῦθ᾽, ὡς ἔφην, ἀσαφὴς

1 προπεπονθὸς V: προσπ. D 2 τὴν κοιλίαν M: τὴν κοίλην B νῆστιν M: κύστιν M[1] ἔντερα ACS: ἔντερον *cett.* ἢ γαστρὸς BSV 3 ξηρὰ καὶ σκληρὰ AMS 6 δέρματος ABMR: δέρματι S: σώματος V 7 ὁρμωμένοις CS ξηραὶ γίν. T μηδενὸς] μηδὲ μικροῦ τινος AMS 8 κατὰ τοὺς ὀφθαλμοὺς ARS: κ. τὸν ὀφθαλμὸν MT: τῶν ὀφθαλμῶν BV 9 συνίστανται ξηραὶ MS: ξ. σ. B: ξ. γίνονται R: συνίστανται *superscr.* ξηραὶ A καὶ AMR: καὶ τὰ A[1]B[1]SV 10 δι᾽ ὑπερώας μήτε διὰ ῥινῶν (ῥινὸς MT) AMS: δ. ῥ. μ. δ. ὑ. BRV 11 ξηρότερα AMS λέγοιτο B 12 ὑπάρχειν BM 14 ἤτοι . . . ὑγραινόντων *(15) om.* M 19 ὑγρῆναι S: ὑγραίνοιτο R 20 ᾗ *scripsi*: εἴη *codd.*: ἴῃ *Coraes* ἐς] ἐπὶ R 21 ὡς ἐν κεφαλ. εἰρῆσθαι *om.* AMRT θᾶττον M 22 σημαίνει ταχυτῆτα M 23 *post* βραδύτερον *recte iterant* πλαδῶντα *codd.*: *om. edd.* ἧττον *codd.* 26 πάντα *om.* V 27 τῶν *om.* V 28 τὸ σῶμα T 29 εἶναι ὁκοῖα (ὠκεῖα M, ὀκεῖα T) δεῖ AMST: ἀναπτύεσθαι BRV; *fort.* ἰέναι 29. 30 γνωρίσματα ὑγροῦ π. R: ὑ. παντὸς γνωρίσματα B

ὁ λόγος ἐγένετο· τό γε μὴν εἰρημένον αὐτῷ παντὸς μᾶλλον ἀληθέστερόν ἐστιν, ὡς τὰ μὲν ἐκκαθαιρόμενα διὰ τῶν πτυσμάτων οἵων χρὴ πτυομένων ταχέως κρίνεται, τὰ δ᾽ ἐναντία δυοῖν θάτερον, ἢ εἰς ὄλεθρον ἢ εἰς μῆκος χρόνου τελευτᾷ. διδόναι οὖν χρὴ τοῖς καλῶς ἐκκαθαιρομένοις πτισάνης ἕνεκα τοῦ ῥωσθεῖσαν τὴν δύναμιν ἐξαρκεῖν ταῖς διὰ
475 τῶν βηχῶν γινομέναις ἀναπτύσεσι τῶν ἐκ | τοῦ πνεύμονος ὑγρῶν· τὸ γὰρ ὁκοῖα δεῖ τὰ τῆς πέψεώς ἐστιν ἔχοντα γνωρίσματα, περὶ ὧν τελεώτατα εἰρήκαμεν ἔν τε τοῖς Περὶ κρίσεων καὶ Περὶ τῶν ἐν ταῖς νόσοις καιρῶν ἔν τε ταῖς ἐξηγήσεσι τῶν Ἀφορισμῶν, ἔνθα διδάσκων ὁ Ἱπποκράτης, ὅπως χρὴ διὰ τῶν ἐπιφαινομένων τὰς προγνώσεις ποιεῖσθαι, παράδειγμα τοῦ λόγου τὴν πλευρῖτιν ἔγραψεν ὧδέ πως εἰπών· "οἷον ἐν πλευριτικοῖσι πτύελον ἢν μὲν αὐτίκα ἐπιφαίνηται, ἀρχομένου βραχύνει, ἢν δ᾽ ὕστερον ἐπιφαίνηται, μηκύνει."

I 23 [I 4. II 250, 7 L.] Καὶ ταῦτα μὲν καθ᾽ ἑαυτὰ τοιάδε τὸ ἐπίπαν ἐστί· πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα παρεῖται, οἷσι προσημαίνεσθαι δεῖ, ἃ εἰρήσεται ὕστερον.

Εἶπον κἀγὼ λείπειν τῷ λόγῳ τῶν χρησίμων εἰς διορισμὸν οὐκ
476 ὀλίγα, περὶ ὧν καὶ αὐτὸς ἐρεῖν ἐπαγγέλλεται· | νυνὶ δ᾽ ἀξιοῖ περὶ τῶν εἰρημένων ἀκούειν μόνον· αὐτὰ γὰρ καθ᾽ ἑαυτὰ τοιαῦτ᾽ ἐστίν, οἷα διῆλθεν αὐτός.

I 24 [I 4. II 250, 10—252, 2 L.] Καὶ ὅσῳ ἂν πλείων ἡ κάθαρσις γίνηται, τοσῷδε χρὴ πλεῖον διδόναι μέχρι κρίσιος, μάλιστα δὲ κρίσιος ὑπερβολῆς δύο ἡμερέων, οἷσί γε ἢ πεμπταίοισιν ἢ ἑβδομαίοισιν ἢ ἐναταίοισι δοκεῖ κρίνειν, ὡς καὶ τὸ ἄρτιον καὶ τὸ περισσὸν προμηθὲς ᾖ. μετὰ δὲ τοῦτο τῷ μὲν ῥοφήματι ἐς τὸ πρωῒ χρηστέον, ὀψὲ δὲ ἐς σιτία μεταβάλλειν.

8 Περὶ κρίσεων] *I 7 sq. (IX 579 sq.)* 8. 9 Περὶ τῶν ἐν ταῖς νόσοις καιρῶν] *Hic liber in editionibus in duas partes distractus est, quarum altera* Περὶ τῶν ἐν ταῖς νόσοις καιρῶν *(VII 406—439 K.), altera* Περὶ τῶν ὅλου τοῦ νοσήματος καιρῶν *(VII 440—462 K) inscribitur; in illa coctionis signa non enumerantur, in hac c. 3 pagg. 445—447 de eis agitur* 12 *Hipp. Aph. I 12 (IV 464 L.). Gal. XVII B 381. IX 572. 574* 16 ὕστερον] *I 30 p. 148 sq.* 17 εἶπον] *p. 140, 5. 24 sq.*

1 μᾶλλον *om.* T 2 διὰ *om.* T 4 τελευτᾷ χρόνου R χρὴ οὖν R 5 ῥωσθεῖσαν ABMRT: ῥωσθέντος S: ῥωσθῆναι DV *ante* ἐξαρκεῖν *add.* καὶ V: ὥστ᾽ D 7 ὁκεῖα ST δεῖν R: *om.* S ἔχοντα *om.* T 8 ἔν τε τοῖς . . . καιρῶν *(9) post* Ἀφορισμῶν *transp.* S 9 ἔν τε ταῖς ἐξηγήσεσι AMS: οἷον δὲ ἐν (*om.* R) ἐξηγήσει RT: ἴω (*om.* B) ἔτι δὲ D: ἐν ἐξηγήσει BDV τῶν ἀφορισμῶν AS: τῷ (τοῦ M) ἀφορισμῷ MT: τοῦ ἀφορισμοῦ *cett.* 12 ἢν μὲν αὐτίκα] αὐτίκα ἢν MR μὲν *post* ἀρχομένου *add. codd.* βραδύνει S; *cf. Gal. IX 564* 14 ἑαυτὰ AMRS: αὐτὰ BD 15 δὲ] τε M ἐπίκαιρα ἐόντα M οἷς A 16 δεῖ] χρὴ T εἴρηται T 17 τῶν] καὶ B 19 μόνων B γὰρ] δὲ M οἷα AMS: ὁποῖα DRV 21 ὅσω ABRS: ὁκόσω M ἡ καθ. πλείων MT 22 πλέον M διδόναι *codd.*: ἐπιδ. *Chartier* κρίσιος C: κρίσεως *cett., item v. 23* καὶ μάλιστα M 23 ὑπερβολῆς P: ὑπερβολὴν B: ὑπερβολῇ *cett.* 24 ἐνναт. *codd. praeter* A δοκεῖ M: δοκέει *cett.* κρίνειν *codd.*: κρίνεσθαι *Chartier* 25 περιττὸν *codd.* 26 ἐς πρωῒ ABMS ἐς ὀψὲ CR

Κρίcιν νῦν εἴρηκεν ἤτοι τὴν τελείαν λύcιν τοῦ νοcήματος ἢ τὴν
εἰc τοcοῦτον ἀξιόλογον μεταβολήν, ὡc ἤδη κινδύνου παντὸc ἐκτὸc καθ-
εcτηκέναι· ἐπιμετρεῖν δ᾽ ἀξιοῖ τῇ κρίcει δύο ἡμέρας, ἵνα καὶ τὰc ἐν
ἀρτίαιc καὶ τὰc ἐν περιτταῖc ἡμέραιc περιόδουc τῶν παροξυcμῶν φυ-
λαξώμεθα· cυμβαίνει γὰρ ἐνίοτε θαρcήcαντας, ὡc λελυμέ|νου τοῦ νοcή- 477
ματος ἀκριβῶc, εἶτα διαιτηθέντας ἀμελέcτερον, ἀφορμὴν ἀναμνήcεωc
τοῦ κατὰ περίοδον γινομένου παροξυcμοῦ παραcχεῖν. ἀcφαλὲc γοῦν
ἐcτι φυλάττειν ἄχρι δυοῖν ἡμερῶν τὴν ἀκρίβειαν τῆc διαίτηc, ᾗ χρώ-
μενος ὁ κάμνων ἦν, κἂν ἤδη δοκῇ κεκρίcθαι τὸ νόcημα· παρελθουcῶν
δὲ τῶν μετὰ τὴν κρίcιν δυοῖν ἡμερῶν ἀcφαλὲc ἤδη διαιτᾶν ἁδρότερον
οὐδὲ τότε τὴν μεταβολὴν ἀθρόαν ποιουμένουc, ἀλλ᾽ ἕωθεν μὲν τῷ
ῥοφήματι χρωμένουc, ὕcτερον δὲ προϊούcηc τῆc ἡμέραc ἤδη καὶ cιτώδη
τροφὴν προcφέρονταc. εὔδηλοc οὖν ἐcτι μήτ᾽ ἄλλο τι διδοὺc τοῖc
κάμνουcι πρὸ τῆc εἰρημένηc ἄρτι προθεcμίαc μήτ᾽ ἄρτον, ἀλλὰ πτιcάνῃ
διὰ παντὸc ἀρκούμενοc, ὅπερ οὐκ ἔcτιν ἐμπιπλάντοc, ἀλλὰ μᾶλλον,
ἐγκαλεῖν εἴ τις βούλοιτο, λεπτότερον ἢ προcήκει διαιτῶντοc. ἀλλ᾽ οὔτε
λεπτότερον οὔθ᾽ ἁδρότερόν ἐcτι τοῦ προcήκοντοc οὕτω διαιτᾶν, ἀλλ᾽
ἀκριβῶc τὸ μέcον τῶν ὑπερβολῶν καὶ ἄριcτον. ἀπόδειξιc δὲ τοῦ μέcον
ὑπάρχειν αὐτὸ ἡ τῶν ἐγκαλούντων τἀναντία φιλονικία· τούτων γὰρ
οἱ μὲν περὶ τὸν Θεc|cαλὸν ἐγκαλοῦcιν ὡc ἐμπιπλάντι τοὺc κάμνονταc, 478
οἱ δὲ περὶ τὸν Ἐραcίcτρατον ὡc λιμαγχονοῦντι τῷ Ἱπποκράτει.
τὰ γὰρ εἰc Ἀπολλώνιον καὶ Δέξιππον τοὺc Ἱπποκράτουc μαθητὰc
εἰρημένα κατὰ τὸ πρῶτον Περὶ πυρετῶν Ἐραcιcτράτῳ τὴν διαβολὴν
τῆc λιμαγχονίαc εἰc Ἱπποκράτην τὸν διδάcκαλον ἀναφερομένην ἔχει.
τούτοιc οὖν μᾶλλόν ἐcτι cυγγνωcτέον, ὡc εἰκότα λέγουcι· τοὺc δ᾽ ἐμπι-
πλάναι φάcκονταc αὐτὸν ἀξίουc εἶναι Θεccαλοῦ νομιcτέον, ἄνδραc οὔτ᾽
ἄλλο τι τῶν Ἱπποκράτουc γνόνταc οὔτ᾽ αὐτὰ ταῦτα τὰ περὶ διαίτηc
αὐτῷ εἰρημένα.

22 Ἀπολλώνιον] *cf. Gal. I 144. XV 702. 744 K.* Δέξιππον] *cf. Gal. l. l. et Pauly-Wissowa V 294*

1 νῦν] οὖν T ἢ ABMS: ἤτοι RV 4 (ταῖc D) ἀρτίοιc ABDTV τὰc ἐν περιτταῖc BMT: τὰc ἐν ταῖc περιccαῖc (περιτταῖc R) *cett.* 5 θαρcήcανταc ABCM: θαρρηc. S: θαρcύνονταc R ὡc] καὶ V 6 ἀμελέcτερα S 7 γενομένου B 8 *post* ἐcτι *add.* κἂν ἤδη δοκῇ κεκρίcθαι τὸ νόcημα BCRV: *om.* AMST δύο B *(item v. 10)*: *om.* S 9 κἂν . . . νόcημα *om.* BDV δοκεῖν M τὸ νόcημα AMS: τὸν κάμνοντα CR 10 δὲ ἤδη AMST ἤδη ἀcφαλὲc V 11 τότε *om.* M ἀθρόαν *codd.*: ἀθρόωc *edd.* ποιούμενα M 13 τι *om.* AT 15 ἐμπιπλῶντοc RS 16 ἢ προcήκει *om.* AST: *add.* A[1] 18 ἀκριβῶc] κρίcεωc S μέcην ὑ. αὐτὴν M 19 ἡ AMS: καὶ ἡ BRV φιλονικία S: φιλονεικία *cett.* 20 τὸν *om.* AMS ἐμπιπλάντι D: ἐμπιπλῶντι AST: ἐμπιμπλῶντι V: ἐπιπλῶντι M: ἐμπιπλῶντα R 21 δὲ *om.* B 22 ἱπποκρατείουc B 23 ἐραcιcτράτου S 24 λιμαγχονείαc M 25 cυγγνωcτέον AMS: γνωcτέον R: cυγχωρητέον BV 26 θετταλοὺc S 27 αὐτὰ ταῦτα AMRS: αὐτὰ πάντα T: *om.* BV 28 αὐτῷ AST: αὐτοῦ M: *om.* BRV

I 25 [I 4. II 252, 2 L.] Cυμφέρει δὲ τὰ τοιάδε ὡς ἐπὶ τὸ πολὺ τοῖcιν ὅλῃcι πτιcάνῃcιν αὐτίκα χρεωμένοιcιν.

Ἐάν τε ὅλας ἐάν τε κριθώδεις ἐάν τε ἁπλῶς εἴπῃ πτιcάνας, ἓν
479 καὶ ταὐτὸν ἐκ τῶν τριῶν cημαίνεται λέξεων, τὰς | ἀδιηθήτους πτιcάνας δηλοῦντος. μετὰ γὰρ τὴν ἕψηcιν ἐάν τις αὐτὰς διηθήσας, ἔπειτ᾽ ἰδίᾳ τὸν χυλὸν ἀποκρίνας, ἐκεῖνον διδῷ, οὔθ᾽ ὅλαις πτιcάναις οὔτε κριθώδεcι πτιcάναις ὁ τοιοῦτος λεχθήcεται χρῆcθαι, χυλῷ δὲ μόνῳ πτιcάνης. πάλιν δὲ καὶ νῦν ἀναμνήcω cε, τίνες εἰcὶν οἱ πτιcάναις ὅλαις ἐξ ἀρχῆς δεόμενοι χρῆcθαι. cύντομος δὲ ἡ ἀνάμνηcις, εἰ μὴ παντάπαcιν ἀργῶς ἤκουcας τῶν προειρημένων, ὅτι τῶν ἀναπτυομένων χρηcτῶν ὄντων, ἐὰν μήτε φαρμακείας μήτε κλύcματος ὁ κάμνων φαίνηται δεόμενος, ἐπὶ πτιcάνης αὐτὸν ἀξιοῖ διαιτᾶcθαι· καὶ τὸν λογιcμὸν δὲ τῆς βουλῆς αὐτὸς προcέθηκεν εἰπών·

I 26 [I 4. II 254, 1—6 L.] Αἵ τε γὰρ ὀδύναι ἐν τοῖcι πλευριτικοῖcιν αὐτίκα παύονται αὐτόματοι, ὅταν ἄρξωνται πτύειν τι ἄξιον λόγου καὶ ἐκκαθαίρεcθαι, αἵ τε καθάρcιες πολλὸν τελεώτεραί εἰcι, καὶ ἔμπυοι ἧccον γίνονται, ἢ εἰ ἀλλοίως τις
480 διαιτῴη, | καὶ αἱ κρίcιες ἁπλούcτεραι καὶ εὐκριτώτεραι καὶ ἧccον ὑποcτροφώδεες.

Γίνεται ταῦτα πάντα καλῶς ὑπὸ τῆς πτιcάνης διὰ τὸ ὑγραίνεcθαι καὶ τέμνεcθαι μετρίως τὰ δεόμενα τῆς ἀναπτύcεως ὑγρὰ καὶ διὰ τὸ τὴν δύναμιν ῥώννυcθαι· cυνελθόντων γὰρ ἀμφοτέρων ἐκκαθαίρονται ταχέως τῶν ἀναπνευcτικῶν ὀργάνων οἱ μοχθηροὶ χυμοί· ὧν τὸ μὲν ὑγραίνειν τε καὶ τέμνειν ὑπάρχει καὶ τῷ μελικράτῳ, τὸ δ᾽ ὁμοίως τῇ πτιcάνῃ ῥωννύναι τὴν δύναμιν οὐχ ὑπάρχει· τἀναντία δ᾽ ἄρτῳ τε καὶ χόνδρῳ τὸ ῥωννύναι τὴν δύναμιν ἔχουcι τὸ ὑγραίνειν καὶ τὸ τέμνειν οὐχ ὑπάρχει, καθάπερ οὐδ᾽ ἄλλῳ τινὶ τῶν εἰθιcμένων δίδοcθαι τοῖς ἀρρώcτοις ὑπὸ τῶν νῦν ἰατρῶν, οἷον ᾠῶν καὶ ὄρχεων ἀλεκτρυόνων καὶ πτερῶν ἰχθύων τε καὶ περιcτερῶν νεογνῶν ὅcα τ᾽ ἄλλα τοιαῦτα. καὶ ὁ τὴν φακῆν δὲ δοὺς ἰατρὸς ἐcκευαcμένην δι᾽ ὄξους ἐπὶ πλευριτικοῦ

1 ξυμφ. AMSV τὰ *om.* V τὸ *om.* R 2 πτιcάναις R χρεωμένοιcιν A: χρεομ. *cett.* 3 εἴπῃ πτιcάνας ACMS: εἰπεῖν πτ. R: πτ. εἴπῃ V 4 τῶν *om.* A λεγομένων τριῶν S cημαίνεται] δηλοῦται B 5 δηλοῦν D 6 ἐκεῖνον *om.* T ὅλως BV κριθώδεις MT 7 *ante* ὁ τοιοῦτος *add.* οὔτε ἁπλῶς εἰρημέναις πτιcάναις *Chartier*: *om. codd.* μόνω M: μόνον ARS: μόνης T 8 δὲ *om.* A cε *om. edd.* 9 δεόμενοι] διόλου S 11 φαίνηται *om.* T 12 cυμβουλῆς BDV 14 ἐν M, *Hipp.*: *om. cett.* 16 τι *om.* M εὖ *ante* ἐκκαθαίρεcθαι *add.* M τε ADMS: τε γὰρ BRV καθάρcεις R πολὸν S: πολλῶν BR: πολλῷ AM 17 εἰcι καὶ . . . εὐκριτώτεραι *(18) om.* DV εἰcι *om.* AMR γενήcονται S εἰ *om.* ABS 18 ἐκκρίcιες S εὐεκκριτώτεραι A[1]RS 19 ἧττον R 20 ταῦτα ARS: δὲ ταῦτα BMV 22 καὶ cυνελθόντων γ. M 24 τὸ δ᾽ ὁμοίως AMS: ὁμοίως δὲ RV 25 τὰ ἐν. S δ᾽ *om.* M 26 τὸ ῥωννύναι ARS: τῷ ῥ. MV: τὸ ῥ. μὲν B ἔχουcι BRS: ἔχοντι AV: ἔχοντα MT τὸ δ᾽ ὑγραίνειν B: τὸ ὑγραίνειν δὲ R 29 καὶ ὅcα τ᾽ M 30 δὲ δοὺς ARS: δοὺς T: διδοὺς BMV πλευριτικῶν S (*sed* παρηκμακότος)

τελέως ἤδη παρηκμακότος, ὡς μηδενὸς ἄλλου δεῖσθαι ἢ ἀναπτύσεως τῶν πεπεμμένων, εἰκότως ἔδοξεν αἴτιος | θανάτου γενέσθαι τῷ κάμνοντι **481** πνιγέντι διὰ τῆς ἑπομένης νυκτός. ἀλλὰ φακῆν μὲν οὐκ ἄν τις δοίη τῶν ἐχόντων νοῦν· ἀπεστραμμένου δὲ μελίκρατον καὶ πτισάνην τοῦ κάμνοντος οἱ πετραῖοι τῶν ἰχθύων ἐπιτηδειότατοι σκευαζόμενοι δι᾽ ὕδατος καὶ πράσου καὶ ἀνήθου καὶ ἁλῶν ἐλαίου τε συμμέτρου, τῶν δὲ μὴ πετραίων οἱ ὀνίσκοι. προδιδόναι δ᾽ αὐτῷ ὀξύμελι· κακοστόμαχον γὰρ οὐδὲν ἔχει τοῦτο, πλὴν εἰ πεπονθότων ἐπί τινος ἀρρώστου τῶν νεύρων καὶ τῆς μήτρας ἐπὶ γυναικὸς ἀντ᾽ αὐτοῦ βούλοιο τῶν ἄλλων τι διδόναι φαρμάκων, οἷόν ἐστι τὸ διὰ πρασίου τε καὶ ἴρεως· αὐτὴ μέν γε καθ᾽ ἑαυτὴν ἅμα μελικράτῳ πινομένη πέττει καλῶς τὰ κατὰ θώρακα καὶ πνεύμονα περιττώματα καὶ πρὸς τὰς ἀναπτύσεις παρασκευάζει.

I 27 [I 5. II 254, 7 L.] Τὰς δὲ πτισάνας χρὴ ἐκ βελτίστων κριθέων εἶναι καὶ ὡς βέλτιστα ἡψῆσθαι, καὶ ἄλλως ἢν μὴ τῷ χυλῷ μούνῳ μέλλῃς χρέεσθαι. |

Βέλτισται κριθαὶ πρὸ μὲν τῆς πείρας κριθήσονται διὰ μόνου **482** τοῦ πλήρεις εἶναι καὶ μηδὲν ἔχειν ἐν ἑαυταῖς ῥυσόν, αἱ δὲ τῇ πείρᾳ κεκριμέναι διὰ τῆς ἑψήσεως, ὅταν ἐπὶ πλεῖστον ἀνοιδίσκωνται καὶ χυλὸν ποιῶσι πλεῖστον, ὅπερ δὴ καὶ βέβαιόν ἐστι τῆς ἀρετῆς αὐτῶν γνώρισμα· τὸ γὰρ ἀπὸ τῆς εὐτροφίας οὐκ ἐπιστημονικὸν οὐδὲ διὰ παντὸς ἀληθές, ἀλλ᾽ ὡς ἐπὶ τὸ πολὺ κατορθούμενον. ἀξιοῖ δὲ τὰς πτισάνας ἀεὶ μὲν εἶναι βελτίστας, μᾶλλον δ᾽ ἐὰν μὴ μόνῳ τῷ χυλῷ χρῆσθαι μέλλωμεν, ἀλλὰ καὶ ὅλαις αὐταῖς· διὰ τί δὲ τοῦτ᾽ ἀξιοῖ, σαφῶς αὐτὸς ἐδήλωσεν εἰπών·

I 28 [I 5. II 254, 9—256, 2 L.] Μετὰ γὰρ τῆς ἄλλης ἀρετῆς τῆς πτισάνης τὸ ὀλισθηρὸν τὴν κριθὴν καταπινομένην ποιέει μὴ βλάπτειν· οὐδαμῇ γὰρ προσίσχεται οὐδὲ μένει κατὰ τὴν τοῦ θώρακος ἴξιν.

Ἴσμεν [δ᾽] ὅτι ἴξιν ὡς τὸ πολὺ μὲν τὴν εὐθυωρίαν, | ἐνίοτε δὲ **483** καὶ αὐτὴν λέγει τὴν φοράν. ἡ δὲ διὰ τοῦ θώρακος εὐθυωρία τε καὶ φορὰ τῆς καταπινομένης πτισάνης ἄχρι τῆς γαστρὸς εὔδηλον ὅτι διὰ

2 θανάτου γεν. AMS: γεν. θ. RV: γ. τῷ κ. θανάτου B 3 ἐσομένης M μὲν οὐκ ARS: μὲν οὐδ᾽ MT: οὐκ B 6 πράσου *codd.*: πρασίου *a Basil. edd.* καὶ ἐλαίου τε T 7 αὐτῶν D γὰρ] δὲ B 9 ἀντ᾽ αὐτοῦ (αὐτῷ M) AMRS: ἀντ᾽ αὐτοῦ δ᾽ εἰ V τι τ. ἄλλ. B 10 τῆς ἴρεως *codd.*: τῆς *om. edd.* αὐτὴ BMTV: αὐτὰ S: καὶ αὐτὴ AR 11 θώρακα ABRS: τὸν θ. *edd.* 11. 12 τὸν πνεύμ. κ. θ. M 13 ἐκ τῶν M *post* βελτίστων *add.* τέως *edd.*: *om. codd.* 14 κριθῶν M ἑψῆσαι R 15 μόνω BDM μέλλῃς CR: μέλλεις M: μέλλη ABT: *om.* S 17 αὐταῖς DR 18 ὡς ἐπὶ τὸ πλ. M 19 γνώρισμα *om.* T 21 κατορθωμένον A μὲν *om.* T 22 μᾶλλον AMS: μάλιστα BRV μὴ *om.* AS: *add.* A[1] μόνω AMS: μόνον RV 26 τῆς *om.* CR τῆς κριθῆς καταπινομένης MT 27 *post* προσίσχεται (προΐσχ. S) *add.* φησὶν *codd.* κοὐδὲ M *post* μένει *add.* πρὸς τὰ B 29 δ᾽ *inclusi* ἴξιν C: τὴν ἴξιν *cett.*

τοῦ στομάχου γίνεται, κἂν τούτῳ βούλεται μηδὲν αὐτῷ προςίζειν· ἐν γὰρ τοῖς κατὰ θώρακα καὶ πνεύμονα πάθεσι θερμασίας οὔσης πολλῆς, προςισχόμενον τούτῳ ξηραινόμενόν τε καὶ δυσαπολύτως προσπλαττόμενον ἄσην τέ τινα καὶ δίψαν ἐπιφέρει.

I 29 [I 5. II 256, 2 L.] Ὀλισθηροτάτη δὲ καὶ ἀδιψοτάτη καὶ εὐπεπτοτάτη καὶ ἀσθενεστάτη ἐστὶν ἡ κάλλιστα ἑφθή, ὧν πάντων δεῖ.

Τὴν καλῶς ἡψημένην πτισάνην οὐ μόνον ὀλισθηροτάτην τε καὶ ἀδιψοτάτην καὶ εὐπεπτοτάτην εἶναί φησιν, ἀλλὰ προσέθηκε τῷ τέλει καὶ ἀσθενεστάτη. τὸ μὲν οὖν ὀλισθηροτάτην εἶναι τὴν καλῶς ἡψημένην ἤδη προείρηται· τὸ δὲ καὶ ἀδιψοτάτην αὐτὴν ὑπ-
484 άρχειν ἐνταῦθα πρόσκειται διὰ | τὴν τῆς κριθῆς φύσιν γιγνόμενον· ἔστι δὲ ψυχρὰ τὴν κρᾶσιν. ὅπως δὲ χρὴ κρίνειν ψυχρὰν καὶ θερμὴν οὐσίαν ἐπὶ μὲν τῶν ζῴων ἐν τοῖς Περὶ κράσεων εἴπομεν, ἐπὶ δὲ τῶν ἀψύχων ἐν τοῖς Περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως. ἀλλὰ καὶ εὐπεπτοτάτην εἶναί φησι τὴν τοιαύτην πτισάνην, ὡς ἂν διαλελυμένην τε καὶ μηδὲν ἔτι σκληρὸν καὶ δυσκατέργαστον ἔχουσαν ἄφυσόν τε γεγονυῖαν ἤδη διὰ τὸ τῆς ἑψήσεως μῆκος.

ὃ δ᾽ ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἶπεν, ὀνομάσας ἀσθενεστάτην τὴν οὕτως ἡψημένην, εἰ μὲν μηδὲν προειρήκει περὶ αὐτῆς ὡς εὐπεπτοτάτης, ἕτοιμον ἂν ἦν φάναι πρὸς τὴν ἐν τῇ γαστρὶ κατεργασίαν ἀναφέρεσθαι τὸν λόγον, ἀσθενεστάτης αὐτῆς εἰρημένης, ὡς εἰ καὶ ῥᾷστα νικωμένην εἰρήκει καὶ κατεργαζομένην ὑπὸ τῆς γαστρὸς καὶ μεταβαλλομένην· ἐπεὶ δὲ τοῦτο προείρηται, τὴν ἀσθένειαν αὐτῆς ἤτοι διότι βραχεῖαν τροφὴν τῷ σώματι δίδωσιν ἀκουστέον ἐστὶν ἢ ὅτι ποιότητα μηδεμίαν ἔχει σφοδράν, ὡς ἤτοι τῶν νεύρων ἢ τῆς γνώμης ἅπτεσθαι, καθάπερ ὄξος τε καὶ οἶνος. |

485 **I 30** [I 5. II 256, 4 L.] Ἢν μὲν οὖν μὴ προστιμωρήσῃ τις, ὁκόσων δεῖται αὐτάρκης εἶναι ὁ τρόπος τῆς τοιαύτης πτισανορροφίης, πολλαχῇ βεβλάψεται.

11 προείρηται] *p. 147, 26* 14 Περὶ κράσεων] *I 5—II 3 (I 536—604 K.)*
15 Περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως] *I 3 sq. (XI 384 sq. K.)*

1 κἂν ACMT: καὶ ἐν RV: καὶ S προςίζειν ACMS: προςίσχειν R: πρὸς ἴξιν BV: πρὸς ἴξιν μένειν D 3 προςισχομένη MS: προςισχομένω T τούτω CMS: τοῦτο ABD ξηραινομένη M: ξηραινομένω T προσακολύτως MT προσπλαττομένη M 4 τέ *om.* D 5 δὲ] τε ASV: *om.* B 6 καὶ ἀσθενεστάτη BCDRS *et in mrg.* A¹: *om. cett.* 8 ἑψομένην C: ἑψημ. AMRSV, *item v. 11*: *corr. Chartier* 10 ἀσθενεστάτη CR: ἀσθενεστάτην *cett.* 11 καὶ *om.* A αὐτὴν *om.* C 12 γι(γ)νομένην BMT 13 δὲ *(prius)*] γὰρ R κρίνειν χρὴ A 15 τῆς MBSV: *om.* A: τῆς τῶν *om.* R 16 φασὶν S 17 *post* σκληρὸν *add.* τε B¹RV
18 ἤδη *om.* T 20 ἑψημένην *codd.*: *corr. Chartier* εἰ μὲν BMTV: εἰ ARS προειρήκει *scripsi*: προείρηκε *codd.* 21 ἦν AV: εἶναι MS: *om.* R φανῆναι A 23 εἰρήκειας S κατεργαζομένην *passive dictum* 24 προείρητο T 26 ἢ τῆς γνώμης *om.* M 27 ὁ οἶνος V 28 μὴ *om.* R 29 ὁκόσων ARS: ὁκόσον BMT δέεται BCV τοιαύτης *om.* M πτισάνης ῥοφίης S
30 πολλαχοῦ S βλάψεται M

Ἄρχεται τοίνυν τῆς διδασκαλίας ὧδε, περὶ ὧν ἐρεῖν ἐπηγγείλατο μικρὸν ἔμπροσθεν, ἡνίκ᾽ ἔφη· “πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα παρεῖται, οἷς προσημαίνεσθαι δεῖ, ἃ εἰρήσεται ὕστερον.” ὅτι δὲ τὸ τιμωρῆσαι παρά τε τοῖς ἄλλοις παλαιοῖς καὶ αὐτῷ τῷ Ἱπποκράτει πολλάκις ἀντὶ τοῦ βοηθῆσαι λέλεκται καὶ κατ᾽ ἄλλα συγγράμματα, δέδεικται διὰ τῶν γεγενημένων ἡμῖν ἐξηγήσεων εἰς αὐτά.

I 31 [I 5. II 256, 6—258, 3 L.] Οἷσί τε γὰρ σῖτος αὐτίκα ἐγκατακέκλεισται, εἰ μή τις ὑποκενώσας τὸ ῥόφημα δοίη, τὴν ὀδύνην ἐνεοῦσαν προσπαροξύνειεν ἂν καὶ μὴ ἐνεοῦσαν εὐθὺς ἐμποιήσειε, καὶ | πνεῦμα πυκνότερον γένοιτ᾽ ἄν· κακὸν δὲ 486 τοῦτο· ξηραντικόν τε γὰρ πνεύμονος καὶ κοπῶδες ὑποχονδρίου καὶ ἤτρου καὶ φρενῶν.

Σῖτον εἶπε τὸ ἀπὸ τῶν σιτίων περίττωμα περιεχόμενον ἐν τοῖς ἐντέροις, ὃ δὴ καὶ σκύβαλον ὀνομάζουσι καὶ κόπρον. εἰ τοίνυν ἐγκατακεκλεισμένου τούτου, τουτέστιν ἐκ πολλοῦ χρόνου μὴ διακεχωρηκότος, ἐπὶ τὴν τῆς πτισάνης ἀφίκοιτό τις προσφοράν, ἀναγκαῖόν ἐστι βλάβην γενέσθαι τῇ πλευρᾷ διὰ τὴν ἔμφραξιν τῶν ἐντέρων, ἣν ἐκ τῆς ἠθροισμένης ἐν αὐτοῖς ἔσχηκε κόπρου, μήτε φύσης διεξερχομένης ἐπὶ τῇ προσφορᾷ τῆς πτισάνης ἀναδόσεώς τε μοχθηρᾶς γινομένης ἐπὶ τὸ πεπονθὸς μέρος· ὥστε ἀναγκαῖόν ἐστι τὴν ὀδύνην, εἰ μὲν εἴη λελωφηκυῖα, παραυξηθῆναι πάλιν, εἰ δὲ πεπαυμένη, γεννηθῆναι. καὶ γὰρ ἀτμοὶ καὶ πνεῦμα φυσῶδες ἀναθυμιάσεις τε τῶν σκυβάλων ἐπὶ τὴν πλευρὰν ἀφικόμενα τὴν ὀδύνην αὐτῆς καὶ γεννήσουσι καὶ παραυξήσουσιν· ἐπὶ τούτοις δὲ καὶ ἡ ἀναπνοὴ πυκνοτέρα γενήσεται· κέκληκε δὲ | τὴν ὅλην ἀναπνοὴν πνεῦμα κἀν τῷ Προγνωστικῷ συγγράμματι καὶ 487 τοῖς τῶν Ἐπιδημιῶν. πυκνωθεῖσα δ᾽ ἡ ἀναπνοὴ θερμασίαν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἐργάζεται πλείονα διὰ τὸ συνεχὲς τῆς κινήσεως, ἐφ᾽ ᾗ θερμασίᾳ ξηραίνεται μὲν ὁ πνεύμων καὶ τὸ διάφραγμα, συγξηραίνεται δὲ καὶ συνθερμαίνεται καὶ τὰ καθ᾽ ὑποχόνδριόν τε καὶ περιτόναιον μόρια τοῦ ζῴου· πάντα γὰρ συγκινεῖται τῷ θώρακι κατὰ τὰς ἀναπνοάς.

2 ἔμπροσθεν] *p. 144, 16* 7 οἷσι γὰρ . . . δοίη *(8)] affert Gal. XVII A 832. VII 925 K.* 25 Προγνωστικῷ] *5 (II 122 L.); cf. Gal. XVIII B 76 K.* 26 Ἐπιδημιῶν] *II 3, 7 (V 108 L.)*

3 προσσημ. AS δὲ καὶ BM προστιμωρῆσαι S: τιμωρεῖσθαι R 4 παλαιοῖς AMS: παλαιοτέροις BRV 5 κατὰ τὰ ἄλλα V 6 ἐξ. εἰς αὐτὰ] ἐξηγήσεως ἕνεκα CR 7 οἷσί] ὅσοις V τε *(sic etiam Hipp. A) om. Gal. XVII A 832* 8 εἰ] ἢν M 9 μὴ ἐοῦσαν R αὐτὴν εὐθὺς *codd.* 10 ἐμποιήσειεν ἂν *Gal. VII 925* μικρότερον T δὲ] γὰρ M 11 τοῦτό ἐστι CR τε *om.* RS γὰρ *om.* M 12 καὶ ἤτρου *om.* V 15 χρόνου *om.* S 16 προσφορὰν ἀφίκοιτό τις BRV τις *om.* AMT 17. 18 ἐν τοῖς ἠθροισμένοις ἐν αὐτῆς M 18 φύσει S 20 μέλος B τῆς ὀδύνης M λελωφηκυίας M 21 πεπαυμένης M 23 ἀφικόμενα ABRT: ἀφικόμεναι MSV καὶ *ante* γενν. *om.* B γεννήσουσι D: γεννήσει *cett.* παραυξήσουσι D: παραυξήσει *cett.* 24 ἐπὶ . . . γενήσεται *om.* AMT: *add.* A[1] *in mrg.* κέκληται S 26 ἡ *om.* BRV 28 συνξ. A[1]MR 29 ὑποχόνδρια R τε] γε S περιτόνεον A 30 πρὸς τοῦ θώρακος CR

τὸ δ᾿ ἐν ἀρχῇ τῆϲ ῥήϲεωϲ εἰρημένον οἷϲί τε γὰρ ϲῖτοϲ αὐτίκα ἐγκατακέκλειϲται τὴν αὐτίκα φωνὴν ἐνηλλαγμένην ἔχει κατὰ τὴν τάξιν· ἀπολαβούϲηϲ δ᾿ αὐτῆϲ τὴν οἰκείαν ϲύνθεϲιν ὁ λόγοϲ ἔϲται τοιόϲδε· ‘μὴ προϲβοηθηϲάντων δὲ ἡμῶν τῷ προειρημένῳ τρόπῳ τῆϲ πτιϲανορροφίαϲ πολλαχόθι γενήϲεται βλάβη. αὐτίκα γοῦν οἷϲ ϲῖτοϲ ἐγκατακέκλειϲται, εἰ μή τιϲ ὑποκενώϲαϲ πρότερον αὐτὸν οὕτω τὸ ῥόφημα δοίη, βλάβην ἐργάϲεται μεγίϲτην.’

I 32 [I 5. II 258, 4—260, 3 L.] Τοῦτο δέ, ἢν ἔτι τοῦ πλευροῦ
488 τῆϲ ὀδύνηϲ ϲυνεχέοϲ ἐούϲηϲ | καὶ πρὸϲ τὰ θερμάϲματα μὴ χαλώϲηϲ καὶ τοῦ πτυέλου μὴ ἀνιόντοϲ, ἀλλὰ καταγλιϲχραινομένου ἀϲαπέωϲ, ἢν μὴ λύϲῃ τιϲ τὴν ὀδύνην ἢ κοιλίην μαλθάξαϲ ἢ φλέβα ταμών, ὁκότερον ἂν τούτων ϲημήνῃ, τὰϲ δὲ πτιϲάναϲ ἢν οὕτωϲ ἔχουϲι διδῷ, ταχέεϲ οἱ θάνατοι τῶν τοιούτων γίνονται.

Ἀναμνηϲθῶμεν, ὅτι περὶ πλευρίτιδοϲ ἐποιεῖτο τὸν λόγον ὡϲ παραδείγματοϲ· ἐδείχθη δ᾿ αὕτη γινομένη διὰ τὴν φλεγμονὴν τοῦ τὰϲ πλευρὰϲ ὑπεζωκότοϲ ὑμένοϲ. ἐὰν οὖν ἀκμαζούϲηϲ τῆϲ φλεγμονῆϲ πτιϲάνην τιϲ διδῷ, μεγάλωϲ βλάψει τὸν κάμνοντα. τοῦ δ᾿ ἀκμάζειν αὐτὴν γνώριϲμα τό τε ϲυνεχὲϲ τῆϲ ὀδύνηϲ καὶ τὸ μηδὲν ἐνδιδόναι πρὸϲ τὰ θερμάϲματα. πρόϲκειται δὲ τῷ λόγῳ καὶ ἄλλο γνώριϲμα πλευρίτιδοϲ οὐ μόνον μεγάληϲ ἀλλὰ καὶ κακοήθουϲ, τὸ γλίϲχρον ἱκανῶϲ γιγνόμενον τὸ πτύελον εἴργεϲθαι τῆϲ κενώϲεωϲ ἐμπλαττόμενόν τε καὶ προϲιϲχόμενον τοῖϲ πεπονθόϲι μέρεϲι· τὸ γὰρ κατα-
489 γλιϲχραίνεϲθαι πλέον τι ϲημαίνει, τὴν ϲφοδρο|τάτην γλιϲχρότητα ἐνδεικνυμένηϲ τῆϲ λέξεωϲ ἐν τῷ προϲλαβεῖν τὴν ‘κατά’ πρόθεϲιν. ἤρκει μὲν οὖν καὶ διὰ τῆϲ προϲθήκηϲ αὐτῆϲ ἀφορίϲαι τὸ οὕτω γλιϲχραινόμενον τοῦ πεττομένου· γλίϲχρον μὲν γὰρ γίνεται κἀκεῖνο μετρίωϲ, οὐ μὴν καταγλιϲχραίνεται, τουτέϲτιν οὐκ ἐϲχάτωϲ οὐδ᾿ ἄκρωϲ πάϲχει

8 Τοῦτο δέ . . . γίνονται *(14)*] *affert Gal. VII 925. XV 729 K.*

1 γὰρ *om.* ST 2. 3 κατὰ τάξιν S 4 μὴ προϲβοηθηϲάντων . . . βλάβη *(5)* *om.* MS 5 πολλαχόθεν AR οἷϲι M 6 ἐναποκενώϲαϲ MT: ἀποκ. S αὐτοὺϲ MT οὕτω *om.* T δοίη τὸ ῥόφημα BRV 7 ἐργάζεται MT
7. 8 μεγίϲτην τοῦτο (τούτω DV). ἢν δέ τι BCDRV: μεγίϲτην. ἢν δέ τι AMST: μεγ. τοῦτο. Τοῦτο δὲ ἢν ἔτι *Aldus*: τοῦτο δὲ ἢν ἔτι *etiam Gal. XV 729*
8. 9 τοῦ πλευροῦ τῆϲ ὀ. A: τῆϲ ὀδ. τοῦ πλ. *cett.* 9 ϲυνεχοῦϲ M: ξυνεχέοϲ BCDV 12 τεμὼν BMR: φλεβοτομῶν S ὁκότερον AD: ἢ ὁκ. *cett.* τουτέων DM ϲημήνῃ R: ϲημαίνῃ ABCT: ϲημαίνοι V: ϲημαίνει *superscr.* ξυμφέρει M: ϲυμφέρῃ S 12. 13 τὴν δὲ πτιϲάνην T 13 ἔχωϲι BMRSV διδῶ D: δίδω CR: δίδωϲ ABMS: διδῷϲ T ταχέωϲ B τοιουτέων BM 15 τῆϲ πλευρ. BCM ἐποιήϲατο M, *fort. recte; cf. Gal. V 770* 16 αὕτη *om.* A
17 πτιϲάνηϲ S 19 ὀδύνηϲ ἐϲτὶ M 20 πρὸϲ] περὶ S πρόκειται MR
22 τὸ *om.* T τῷ πτυέλῳ M 23 προϲεχόμενον V γὰρ *om.* T
24 πλεῖον AMS τῆϲ ϲφοδροτάτηϲ γλιϲχρότητοϲ BTV 25 τῆϲ λέξεωϲ A¹M: *om. cett.*: τῆϲ ῥήϲεωϲ *edd.*

τοῦτο· τοῦ δὲ μὴ παρακοῦcαί τινα, τούτου χάριν οὐκ ὤκνηcε τῷ λόγῳ προcγράψαι καὶ τὸ ἀcαπῶc, ὅπερ αὐτῷ δηλοῖ τὸ ἀπέπτωc· τὸ καταγλιcχραινόμενον γὰρ ἀπέπτωc μοχθηρόν.

ἐν τούτῳ δὲ δὴ καθεcτῶτοc τοῦ κάμνοντοc, εἰ πτιcάνην τιc προcφέρει πρὶν λῦcαι τὴν ὀδύνην ἤτοι διὰ φλεβοτομίαc ἢ διὰ κενώcεωc γαcτρόc, ἀναιρήcει τὸν ἄνθρωπον. εἰρηκὼc γὰρ ἐπὶ τῆc προκειμένηc κατὰ τὸν λόγον τόνδε πλευρίτιδοc ὡc οὐδὲν ἐνδιδούcηc πρὸc τὰ θερμάcματα, δύο λοιπὰ ἔχει τὰ αὐτίκα βοηθοῦντα, κάθαρcιν καὶ φλεβοτομίαν· ἡ γὰρ τῶν δι' ὀπίου καὶ μανδραγόρου καὶ ὑοcκυάμου cκευαζομένων φαρμάκων χρῆcιc οὐ τὴν ὀδυνώδη διάθεcιν ἰᾶται τῆc πλευρίτιδοc, ἀλλὰ τὴν αἴcθηcιν νεκροῖ. νυνὶ μὲν οὖν ἁπλῶc ἐμνημόνευcε φλεβο|τομίαc τε καὶ καθάρcεωc κοιλίαc, ἐφεξῆc δὲ διοριεῖται **490**
περὶ τῆc ἑκατέρου χρήcεωc.

I 33 [I 5. II 260, 3—7 L.] Διὰ ταύταc οὖν τὰc προφάcιαc καὶ ἑτέραc τοιαύταc ἔτι μᾶλλον οἱ ὅλῃcι χρώμενοι πτιcάνῃcιν ἑβδομαῖοι καὶ ὀλιγημερώτεροι θνῄcκουcιν, οἱ μέν τι καὶ τὴν γνώμην βλαβέντεc, οἱ δὲ ὑπὸ τῆc ὀρθοπνοίηc τε καὶ τοῦ ῥέγχεοc ἀποπνιγέντεc.

Ὅτι πολλάκιc ὀνομάζει τὰc αἰτίαc προφάcειc δέδεικται κἀν ταῖc τῶν ἄλλων cυνταγμάτων αὐτοῦ ἐξηγήcεcι· τίναc δ' ἑτέραc προφάcειc παρὰ τὰc εἰρημέναc αὐτῷ cυνεπιφέρειν φηcὶ τοὺc ὀλιγημέρουc θανάτουc, προcθεῖναι τῷ λόγῳ χρή· νῦν μὲν γὰρ εἴρηκε τήν γε τῆc πτιcάνηc προcφορὰν πρὶν λῦcαι τὴν ὀδύνην καὶ τὴν ἐπὶ τῷ πυκνῷ πνεύματι γλιcχρότητα τοῦ πτυέλου, δι' ἣν καὶ ἀποπνίγονται, βλαβῆναι δ' εἰκόc, εἰ καὶ οἴνου προcενέγκαιντο, πρίν, ὡc ὑπέθετο, | κενωθῆναι, καὶ **491**
μελικράτου καὶ ὀξυμέλιτοc· περὶ γὰρ τῶν ἄλλων ἁπάντων οὐδὲ τοῖc ἰδιώταιc ἄδηλον. εἰκότωc οὖν ἔφη καὶ τὴν γνώμην βλαβένταc ἐνίουc αὐτῶν ἀπόλλυcθαι οἴνῳ τε καὶ τοῖc οἰνώδεcιν ἀκαίρωc προcενεχθεῖcιν.

14 Διὰ . . . ἀποπνιγέντεc *(18)*] *affert Gal. VII 925 K.* 19 δέδεικται] *cf. XVII A 52. XVIII B 498. 603*

1 τούτου BDMR: *post* χάριν *transp.* S: *om.* AC τῷ λόγῳ *om.* M: *post* προcγράψαι *transp.* A 2 καὶ τὸ *om.* A αὐτῷ B: αὐτὸ AMRS: ταυτὸν DV τὸ *(alt.)* ABMRS: τῶ DV 3 γὰρ *post* τὸ *transp.* V 4 δὲ δὴ S: γὰρ T: δὲ M: δὴ ABR προcφέρει AMRS: προcφέροι TV 5 ἤτοι AMS: ἢ *cett.* κένωcιν A 6 εἴρηκε ABMS: εἴρηται T 7 ἐνδιδοῦcα AS 8 λοιπὸν A *post* λοιπὰ (*post* ἔχει M) *add.* τῆc ὀδύνηc BMR: *om.* AS βοηθοῦντα AMS: βοηθήματα *cett.* 8. 9 φλεβ. κ. καθ. BRV ὑοcκ. κ. μ. BRV 12 τε *om.* S 14 τὰc *om.* T προφάcειc ARSV 15 χρεώμενοι *Gal. l. l.* 16 ἢ καὶ MS μέν τι CS: μὲν D: μέντοι *cett.* 17 τε καὶ AMS: καὶ RV 18 ῥέγχεοc D: ῥέγχουc *cett.* 19 τὰc αἰτίαc ὀνομάζει M δέδεικται AMS: ἐδείχθη RV 20 cυνταγμάτων ASTV: cυγγραμμάτων A¹BM: *om.* R 22 χρή] δεῖ B γὰρ *om.* M τήν γε *om.* S τῇ . . . προcφορᾷ *(23)* BR 23 ἐπὶ] ἐν MT 24. 25 δ' (ὡc S) εἰκόc ARST: δὲ εἰκῶc M: δέ φηcιν εἰκόc (*om.* V) BV 25 προcενέγκοιντο D ὑπέcχετο M 26 μελικράτῳ κ. ὀξυμέλιτι M 27 εἰκὸc AT *post* ἔφη *add.* πέφυκε AT 28 *ante* οἴνῳ *add.* ὅπερ πέφυκεν BMR: πέφυκεν CV: *om.* AS

I 34 [I 5. II 260, 7 L.] Μάλα δὲ τοὺς τοιούτους οἱ ἀρχαῖοι βλητοὺς ἐνόμιζον εἶναι διὰ τόδε οὐχ ἥκιστα, ὅτι ἀποθανόντων αὐτῶν ἡ πλευρὴ πελιδνὴ εὑρίσκεται ἴκελόν τι πληγῇ.

Καὶ διὰ τὸ τάχος μὲν τῆς ἀπωλείας ἡ τοιαύτη δόξα τοὺς ἀρχαίους εἰσῄει καὶ διὰ τὸ πελιδνοῦσθαι δ᾽ ἐπὶ τῆς πλευρᾶς ἐνίους, ἔνθα δηλονότι τῆς φλεγμονῆς ἦν ἡ ῥίζα. τοῦ γὰρ ἐπ᾽ αὐτὴν αἵματος σφηνουμένου διὰ τὴν ὀδύνην, ὅσον ἐμερίσθη πρὸς τὸ δέρμα, τοῦτ᾽ ἐν τῷ θανάτῳ ψυχθὲν ἐμελάνθη, γινόμενον ἴκελον, τουτέστιν ὅμοιον, τοῖς ἐκ πληγῆς οὕτω διατεθεῖσιν. |

492 **I 35** [I 5. II 262, 2 L.] Αἴτιον δὲ τούτου ἐστίν, ὅτι πρὶν λυθῆναι τὴν ὀδύνην θνῄσκουσι· ταχέως γὰρ πνευματίαι γίνονται.

Ὅτι δὲ τοιοῦτον ἀναπνέουσιν, αὐτὸς ἐφεξῆς ἐδήλωσεν εἰπών·

I 36 [I 5. II 262, 4—9 L.] Ὑπὸ δὲ τοῦ πολλοῦ καὶ πυκνοῦ πνεύματος, ὡς ἤδη εἴρηται, γλισχραινόμενον τὸ πτύελον ἀπέπτως κωλύει τὴν ἐπάνοδον γίνεσθαι, ἀλλὰ τὴν ῥέγξιν ποιέει ἐνισχόμενον ἐν τοῖσι βρογχίοισι τοῦ πνεύμονος· καὶ ὅταν ἐς τοῦτο ἔλθῃ, θανατῶδες ἤδη ὡς ἐπὶ τὸ πολύ ἐστι.

Τὸ ἔμπροσθεν αὐτῷ ῥηθὲν 'ἀσαπὲς' τοῦτο νῦν ἄπεπτον ὠνόμασε μαρτυρῶν ἡμῖν, ὅτι καλῶς καὶ τότε τὴν μετάληψιν ἐποιησάμεθα τῆς φωνῆς.|

493 **I 37** [I 5. II 262, 9 L.] Καὶ γὰρ αὐτὸ τὸ πτύελον ἐνισχόμενον κωλύει μὲν τὸ πνεῦμα ἔσω φέρεσθαι, ἀναγκάζει δὲ ταχέως ἔξω φέρεσθαι.

1 Μάλα . . . πληγῇ *(3)*] *affert Gal. VII 926 K.* 2 βλητοὺς] *cf. Gal. XVIII B 18* 10 Αἴτιον . . . γίνονται *(11)*] *affert Gal. VII 926* 13 Ὑπὸ δὲ . . . πολύ ἐστι *(17)*] *affert Gal. ibid.* 14 εἴρηται] *cf. p. 149, 11. 150, 10* 18 ἔμπροσθεν] *p. 150, 11* 20 Καὶ γὰρ . . . φέρεσθαι *(22)*] *affert Gal. VII 926*

1 μᾶλλον S τοιουτέους *edd.* 2 ὡς διὰ S: καὶ διὰ T οὐχ ἥκιστα ABRS: μάλιστα οὐχ ἥκιστα δὲ M 3 αὐτῶν S: *om. cett.* πελιδνὴ D: πελιὴ AMV: *om.* S: πελίη *cett.* τι] τῇ MS: τι τῇ R 4 Καὶ *om.* AT τὸ *om.* S τοὺς ἀρχαίους *corr. in* τοῖς ἀρχαίοις T 5 δ᾽ *om.* MV ὡς ἐνίους S 6 ἦν *om.* S 7 σφινουμένου C¹ *in mrg.*: ἀφικνουμένου *cett.*; *cf. Gal. XI 136:* πλεῖστον τοῦ κατὰ τὸ πάσχον μόριον αἵματος ἐσφηνωμένου 9 τοῖς] τῆς MRS πληγῆς] πλευρᾶς R 10 *post* τούτου *add.* τόδε *Cornarius et Chartier* τουτέστιν BR 11 ταχέως . . . γίνονται *om.* R: *add.* C¹ *in mrg.* 14 ὡς ἤδη εἴρηται *om.* ART: *add.* A¹ *in mrg.* γλισχραινόμενον ABRT: καταγλ. MS 15 ἐπάνοδον R, *Gal. l. l.*: ὁδὸν B: ἄνοδον *cett.* ἀλλὰ . . . πολύ ἐστι *(17)* S: *om.* ABMRV: *add.* A¹ *in mrg.*: *post* φωνῆς *(v. 19) transp.* T 17 ὅταν A¹T: ὁκόταν S τοῦτο A¹ST: ταὐτὸ *Chartier* ἤδη *et* ἐπὶ *om.* A¹ 18 Τὸ . . . φωνῆς *(19) post sequens lemma transp.* S Τὸ DR: τὸ γὰρ *cett.* αὐτῷ *om.* A τοῦτο BMRV: *om.* AST 20 ἐνισχόμενον A¹S: ἰσχ. AM: ἐνεχόμενον R: ἐχ. BTV 21 ἔσω S: εἴσω *cett.* αὐτὸ ταχέως S¹ 22 φαίνεσθαι S, *in quo codice iam sequuntur verba* Τὸ γὰρ ἔμπροσθεν . . . τῆς φωνῆς, *deinde repetuntur verba* Καὶ γὰρ . . . φέρεσθαι

Οὐ πᾶν τὸ πνεῦμα κωλύεται κατὰ τὰς τοιαύτας διαθέσεις ἔσω φέρεσθαι· τοῦτο γὰρ εἰ γένοιτο, παραχρῆμα τὸν ἄνθρωπον ἀποθανεῖν ἀναγκαῖόν ἐστιν ὡσαύτως τοῖς ἀπαγξαμένοις. ἀλλὰ τὸ σύμμετρον δηλονότι τῇ χρείᾳ τῆς ἀναπνοῆς ἔσω φέρεσθαι κωλύεται, διὸ καὶ μέχρι μέν τινος ἐξαρκοῦσιν, ἐν δὲ τῷ χρόνῳ τῆς ἐνδείας ταύτης αὐξανομένης ἀπόλλυνται.

I 38 [I 5. II 262, 10 L.] Καὶ οὕτως ἐς τὸ κακὸν ἀλλήλοισι συντιμωρεῖ· τό τε γὰρ πτύελον ἐνισχόμενον πυκνὸν τὸ πνεῦμα ποιεῖ, τό τε πνεῦμα πυκνὸν ἐὸν ἐπιγλισχραίνει τὸ πτύελον καὶ κωλύει ἀπολισθαίνειν. |

Ὅτι τῷ τιμωρεῖν ἀντὶ τοῦ βοηθεῖν οἵ τ᾽ ἄλλοι παλαιοὶ καὶ ὁ **494**
Ἱπποκράτης κέχρηνται, πολλάκις ἔμπροσθεν εἴρηται· καὶ νῦν οὖν τὸ συντιμωρεῖν ἀλλήλοις εἰς τὸ κακὸν εἶπεν ἐπὶ τοῦ συμπράττειν καὶ συντελεῖν. πῶς δὲ συμπράττει καὶ συντελεῖ, σαφῶς μὲν αὐτὸς ἐδήλωσεν, εἰρήσεται δὲ καὶ πρὸς ἡμῶν. τὸ πτύελον ἰσχόμενον ἐν τοῖς τοῦ πνεύμονος βρόγχοις στενοχωρίαν ἐργάζεται ταῖς διεξόδοις τοῦ πνεύματος καὶ διὰ ταύτην τὴν στενοχωρίαν ἧττον εἰσπνέουσιν οἱ κάμνοντες· ὅσῳ δ᾽ ἂν ἧττον εἰσπνέωσι, τοσῷδε μᾶλλον ἀπλήρωτον ἐργάζονται τὴν χρείαν τῆς ἀναπνοῆς καὶ διὰ τοῦτο πρωιαίτερον ἐπὶ τὴν δευτέραν εἰσπνοὴν ἀπὸ τῆς προτέρας ἥκουσιν, ὅπερ ὀνομάζουσι πυκνὸν πνεῦμα.

I 39 [I 5. II 262, 13—264, 3 L.] Καταλαμβάνει δὲ ταῦτα, οὐ μόνον ἢν πτισάνῃσιν ἀκαίρως χρήσωνται, ἀλλὰ πολὺ μᾶλλον ἤν τι ἄλλο φάγωσιν ἢ πίωσι πτισάνης ἀνεπιτηδειότερον. |

Εἴρηται μικρὸν ἔμπροσθεν περὶ τούτου, ἡνίκα ἔλεγε· ‟διὰ ταύτας **495**
οὖν τὰς προφάσεις καὶ ἑτέρας τοιαύτας.” ἀλλ᾽ ἐκεῖ μὲν ἐμνημονεύσαμεν ἡμεῖς οἴνου τε καὶ μελικράτου καὶ ὀξυμέλιτος· ἐνταυθοῖ δὲ καὶ τῶν ἄλλων ἀκούειν προσήκει τῶν διδομένων τοῖς οὕτω κάμνουσιν ὑπὸ τῶν

7 Καὶ ... ἀπολισθαίνειν *(10)*] *affert Gal. l. l.* 12 ἔμπροσθεν] *e. g. p. 149, 3* 24 ἔμπροσθεν] *p. 151, 14 sq.*

1 *post* πᾶν *add.* δὲ MRS: *om.* AT 3 σύμμετρον] συμφέρον V 4 εἴσω MT: ἔσω *cett.* 5 μέν AST: *om. cett.* 8 συντιμωρεῖ *codd.*: συντιμωρέουσι *edd.* ἐνισχόμενον AS: ἐνεχόμενον *cett.* 9 ποιέει MR τό τε πνεῦμα *Gal. l. l., Hipp.*: τοῦτο δὲ *codd.* τὸ πυκνὸν T 11 τ᾽] τινες B 12 κέχρηται ACT 13 ἐπὶ] ἀντὶ R 14 συντελεῖν] λυσιτελεῖν V δὲ καὶ S συντελεῖ] λυσιτελεῖ V αὐτὸς M: καὶ αὐτὸς *cett.* 15 *post* πτύελον *ins.* ἰσχυρῶς D ἐνισχ. S: *om.* D 16 ἐργάζεσθαι M πνεύμονος V 18 εἰσπνέωσι DS: εἰσπνέουσι *cett.* ἐργάζεται CMRV 19. 20 ἀπὸ τῆς προτέρας εἰσπνοῆς ἐπὶ τὴν δευτέραν AST 22 πτισάνῃ *Cornarius* χρήσωνται ARS: χρήσονται BM: χρῶνται V 23 *ante* ἢν *add.* καὶ MRS 24 ἔμπροσθεν A¹BMS: ὕστερον AT: ὕστερον πρόσθεν CR 25 προφάσεις A¹BCMRT: αἰτίας AS καὶ ἔτι ἑτ. S μὲν *codd.*: καὶ *Chartier* 26 καὶ *ante* τῶν *om.* M 27 προσῆκε BM *ante* διδ. *add.* οὕτω BMRV: *om.* AST τῶν *post* ὑπὸ *om.* S

πολλῶν ἰατρῶν, ἃ δὴ καὶ μᾶλλον ἔβλαπτε μελικράτου καὶ ὀξυμέλιτος καὶ οἴνου.

I 40 [I 6. II 264, 4—7 L.] Μάλα μὲν οὖν τὰ πλεῖστα παραπλήσιοί εἰσιν αἱ τιμωρίαι τοῖσί τε ὅλῃσι πτισάνῃσι χρεομένοισι τοῖσί τε χυλῷ αὐτέων· τοῖσι δὲ μηδετέρῳ τούτων, ἀλλὰ ποτῷ μοῦνον, ἔστιν ὅπῃ καὶ διαφερόντως τιμωρητέον.

Αἱ βοήθειαι, φησί, παραπλήσιοι γίνονται τοῖς πτισάνῃ τε καὶ τῷ χυλῷ χρωμένοις αὐτῆς· τοῖς δὲ ποτῷ μόνον ἔστιν ὅπῃ καὶ διαφερόντως χρὴ βοηθεῖν. ποία δέ τις ἡ διαφορὰ γενήσεται, διὰ τῶν ἑξῆς διδάσκει. |

496 **I 41** [I 6. II 264, 7—12 L.] Χρὴ δὲ τό γε πάμπαν οὕτω ποιέειν· ἢν μὲν νεοβρῶτι αὐτῷ ἐόντι καὶ κοιλίης μήπω ὑποκεχωρηκυίης ἄρξηται ὁ πυρετός, ἤν τε σὺν ὀδύνῃ ἤν τε ἄνευ ὀδύνης, ἐπισχεῖν τὴν δόσιν τοῦ ῥοφήματος, ἔστ' ἂν οἴηται κεχωρηκέναι εἰς τὸ κάτω μέρος τοῦ ἐντέρου τὸ σιτίον.

Ἤισθηται δὴ καὶ αὐτὸς ἐσπαραχῶς κατὰ μόρια τὸν λόγον, οὐ συνεχῶς ἐφεξῆς ἐν τάξει τῇ προσηκούσῃ πεποιημένος· καὶ διὰ τοῦτο νῦν ἀναλαμβάνων αὐτὸν ἐπὶ τὴν προσήκουσαν ἀρχὴν ἀφικνεῖται. τοῦτο δὲ ἔπαθεν, ἐπειδὴ τὸ περὶ τῆς διαφωνίας ζήτημα λύειν ἐπιχειρήσας ἐμνημόνευσεν ἐν τῇ λύσει θεραπευτικῶν λογισμῶν. ἀλλ' ἐχρῆν αὐτὸν αἰσθανόμενον οὗ πέπονθεν ἐξαμεῖψαι μὲν ἐκεῖνα, διελθεῖν δὲ ἑτέρως ἀπ' ἀρχῆς τὸν λόγον· οὕτω γὰρ κἀμοὶ συμβαίνειν κάλλιον ἔδοξεν, ἄνωθεν ἑτέρως γράψαι περὶ τῶν αὐτῶν ἐξαμείψαντι τὰ πρότερον γεγραμμένα. πῶς οὖν ἐχρῆν αὐτὸν ἅμα τε λῦσαι τὸ προβληθὲν ὑπ' αὐτοῦ ζήτημα
497 καὶ τάξει | δοῦναι τὸν λόγον, ἐγὼ διηγήσομαι τοῖς βουλομένοις ἑρμηνεύειν τὰ τοιαῦτα σαφῶς τὴν ὁδὸν ἐξηγούμενος. ἤδη τοίνυν πρόσεχέ μοι τὸν νοῦν, ὡς ἐξ ἀρχῆς ἀκουσόμενος τοῦ λόγου.

διὰ τί τοῖς ἀξιολόγοις ἰατροῖς ἐνίοτε διαφωνεῖν συμβαίνει περὶ

12 ἢν μὲν . . . τὸ σιτίον *(15)*] *affert Gal. p. 730 K.*

1 τε καὶ ὀξ. V 1. 2 καὶ οἴνου κ. ὀξ. AS 3 παραπλήσιοι *codd.*: παραπλήσιαι *Chartier* 4 ὅλῃσι τῇσι R χρωμένοισι BM: χρεομένοισι *cett.* 5 τῷ χυλῷ R τουτέων CR 6 μοῦνον CR: μούνῳ ATV: μόνῳ S: μόνον BM ὅτε S, *item v. 8* 7 παραπλήσιαι ARSV πτισάνῃσι S 8 τῷ *om.* A μόνον BMR: μόνῳ ASV ὅτε M 9 γενήσεται] γίγνεται V 10 ἐφεξῆς M 12 μὲν *om.* V αὐτῷ B: αὐτῶν M: αὐτέῳ *cett.* ὄντι M κεχωρηκυίης S 13 ἤρξατο *codd.*: ἄρξηται *ex Hipp. Chartier* ξὺν AS 14 κεχωρηκέναι *Gal. l. l.*: ἀποκεχ. A: ὑποκεχ. *cett.* 16 ἤσθηται RV: ἤσθετο ABM: ἤσθη S δὴ ACD: δὲ *cett.* μόριον CR: τὰ μόρια T συνεχῆ T 17 οὐδ' ἐν τ. D τὸν λόγον *(iterat.)* πεποιημένος D 18 ἀναλαμβάνων . . . ἔπαθεν *(19) add.* B[1] *in mrg.* 19 τῆς δ. AMS: διαφ. RV 22 ἄνωθεν *i. q. denuo* 23 ἐξαμείψαντα ACS 25 δοῦναι AS: διδόναι *cett.* ἐγὼ διηγήσομαι (ἐξηγήσομαι S) *post* τοιαῦτα *transp.* AST 26 ἐξηγούμενος AST: διηγούμενος *cett.* 27 τῶν λόγων A: *corr.* A[1] 28 ἀξιολογωτέροις M

τῆς θεραπείας; ὅτι τὸ πειραθὲν ἐπί τινων ἐπὶ πάντων ᾠήθησαν ἁρμόττειν. οὕτω γοῦν κἀν τοῖς περὶ διαίτης τῶν ὀξέων νοσημάτων διεφώνησαν, ἔνιοι μὲν ἐπὶ χυλῷ πτισάνης ἄχρι κρίσεως φυλάττοντες τοὺς νοσοῦντας, ἔνιοι δὲ τὴν πτισάνην αὐτὴν διδόντες, ἔνιοι δὲ οὐδέτερον, ἐκ μέρους μὲν ἀληθεύοντες ἅπαντες, ἐκ μέρους δὲ σφαλλόμενοι· τινὲς μὲν γὰρ τῶν ὀξέως νοσούντων πτισάνης δέονται, τινὲς δὲ χυλοῦ, τινὲς δ' οὐδετέρου τούτων ἄχρι κρίσεως. ἕνεκα δὲ σαφηνείας ἐφ' ἑνὸς τῶν ὀξέων ὡς ἐπὶ παραδείγματος ἐγὼ ποιήσομαι τὸν λόγον. προκείσθω δὴ πλευρίτιδος εἰπεῖν θεραπείαν· εἴπερ οὐ πρὸ πολλοῦ χρόνου τοῦ κάμνοντος ἐδηδοκότος, οὐδέπω τῆς κοιλίας ὑποκεχωρηκυίας, ὁ πυρετὸς ἄρξαιτο, μὴ διδόναι τούτῳ ῥόφημα, μέχρις ἂν ἡ δοθεῖσα τροφὴ δόξῃ σοι διεξελθοῦσα τὰ πλεῖστα τῶν ἐντέρων ἐν τοῖς ὑστάτοις | αὐτῶν εἶναι. ταύτην τὴν ἀρχὴν τῷ λόγῳ ποιησάμενός τις, **498** εἶθ' ἑξῆς ἅπαντα κατὰ τὴν οἰκείαν τάξιν ἐπιὼν οὐκ ἂν ἀσαφῆ τὴν διδασκαλίαν ἐργάσαιτο.

I 42 [I 6. II 264, 11 L.] Χρῆσθαι δὲ ποτῷ, ἢν ἄλγημά τι ἔχῃ, ὀξυμέλιτι, χειμῶνος μὲν θερμῷ, θέρους δὲ ψυχρῷ· ἐὰν δὲ πολλὴ δίψα ᾖ, καὶ μελικρήτῳ καὶ ὕδατι.

Διψώδους ὄντος τοῦ κάμνοντος, ἄλλως φυλασσόμενος ὀξύμελι διδόναι πάμπολυ, διὰ τοῦτ' ἐφεξῆς τοῦ τε μελικράτου καὶ ⟨τοῦ⟩ ὕδατος ἐμνημόνευσεν. ὅσον μὲν γὰρ ἐπὶ τῷ πάθει, μᾶλλον ὀξυμέλιτι χρηστέον· εἰ δ' αὔταρκες αὐτοῦ λαμβάνων ἔτι διψῷν ὁ κάμνων εἴη, μελίκρατον ἐπιδοτέον· εἰ δὲ καὶ μετὰ τοῦτο διψήσει, τὸ ὕδωρ προσενεκτέον· αὐτὸ γὰρ ἐφ' ἑαυτοῦ τὸ ὕδωρ πινόμενον μέμφεται· μαθήσῃ δ' ἐν τοῖς ἐφεξῆς τὰς αἰτίας, δι' ἃς μέμφεται τὸ ποτὸν τοῦτο, κατ' ἐκεῖνο τὸ μέρος τοῦ συγγράμματος, ὅταν ὁ λόγος αὐτῷ περὶ δυνά|μεως ὕδατος **499** γίγνηται.

νῦν δ' ἐπισκεψώμεθα περὶ τοῦ προτεθέντος αὐτῷ ἐν τῷ προκειμένῳ λόγῳ, κελεύοντος αὐτοῦ χειμῶνος μὲν χρῆσθαι θερμῷ, θέρους δὲ ψυχρῷ τῷ ὀξυμέλιτι. τοῦτο γὰρ ἡμᾶς ποδηγήσει πρὸς τὴν ἀγωνιστικῶς γιγνομένην ἐπὶ τῶν ὀξέως νοσούντων ὕδατος ψυχροῦ πόσιν, ἣν

26 μέρος] *cf. p. 695. 700 sqq. K.*

1 πειρασθὲν S ἁρμόζειν BM 2 καὶ ἐν R 3 τῶ χυλῶ V φυλάσς. S 4 ἔνιοι δὲ . . . διδόντες *om. Kühn* 5 ἅπαντες *om.* ART 6 γὰρ *om.* R 8 τὸν λόγον ποιήσ. T προσκείσθω BM δὴ] δὲ BCMR 10 κοιλίης AS 11 ἄρξοιτο C 12 διεξελθοῦσα AS: διεξελθεῖν T: ἐξελθοῦσα *cett.* 14 εἶθ'] εἴ γε MRSV ἅπαντα θήσει M ἐπιὼν ACR: ἀνάγειν ἐπὶ τούτων S: ἐπὶ τούτων *cett.*: ἐπιὼν ἐπὶ τούτων P^1 15 ἐργάσηται BMR 16 χρέεσθαι P^1R ἢν μὲν *Hipp.* 18 μελικράτω BCST 19 ὀξυμέλιτι CRS 20 διδόναι πάμπολυ ACMS: πάνυ πολὺ RV τοῦ (*ante* ὕδατος) *om. codd.*: *add. Chartier* 21 ὀξυμέλιτος T 22 αὐτὸ T ἢ M 23 καὶ *om.* S διψήσοι T προσενεγκτέον *edd.* 24 ἐφ' *om.* S: ἀφ' B ἑαυτοῦ *scripsi*: ἑαυτῶ BC: ἑαυτὸ *cett.* 25 τὸ τοιοῦτον ποτὸν CR ποτὸν] πρὸς τὸν S 27 γίνοιτο M 29 λόγῳ] βιβλίω CDR

τελέως δοκεῖ παραλελοιπέναι. καὶ μέμψαιτο μὲν ἄν τις αὐτῷ κατὰ τοῦτο· διδασκαλίας γὰρ ἄξιος ἦν ὁ λόγος, οὐ κατὰ τὸ πάρεργον προςερρῖφθαι. ἣν οὖν γνώμην εἶχε περὶ ψυχροῦ πόςεως ὕδατος, ἐκ τοῦ νῦν λόγου κατανοῆςαι δυνατόν· οὗτος γὰρ εἰ ὀξύμελι διψῶςί ποτε δίδωςι ψυχρόν, εὔδηλον, ὅτι καὶ ὕδωρ δώςει. τοῦτο γάρ, εἰ καὶ μὴ ὅλως εἰρήκει τι περὶ ψυχροῦ πόματος, ἀκόλουθον ἂν ἦν αὐτοῦ τοῖς δόγμαςι, τὸν μὲν πυρετὸν ἐκπυρουμένης τῆς ἐμφύτου θερμαςίας ἡγουμένου γίνεςθαι, 'τὰ δ' ἐναντία τῶν ἐναντίων ἰάματα ὑπάρχειν'· θερμοῦ δὲ καὶ ξηροῦ τοῦ πυρὸς ὑπάρχοντος καὶ διὰ τοῦτο καὶ τοῦ πυρετοῦ, τὸ ὕδωρ ἐναντιώτατόν ἐςτι τῇ φύςει τοῦ πυρετοῦ, ψῦχόν τε καὶ ὑγραῖνον τὸ cῶμα.
500 καὶ τοίνυν καὶ φαίνονται cβεννύμενοι οἱ πυρετοὶ | ὑπ' αὐτοῦ παραχρῆμα δοθέντος ἐν καιρῷ. εἴρηται μὲν οὖν αὐτάρκως ἐν τοῖς τῆς Θεραπευτικῆς μεθόδου γράμμαςιν, εἰρήςεται δὲ καὶ νῦν τό γε κεφάλαιον αὐτοῦ.

ὅταν οὖν ὁ πυρετὸς ᾖ, δυνάμεως οὔςης, οὐ μόνον οὐκ ἂν βλάψαις τηνικαῦτα δοὺς τὸ ψυχρόν, ἀλλὰ καὶ μεγάλως ὠφελήςαις. ἡ μὲν δὴ τοιαύτη πόςις τοῦ ψυχροῦ τοςαύτη τὸ πλῆθος ἔςτω, ὅςον ὁ κάμνων αὐτὸς οἷός τ' ἐςτὶ πιεῖν τὸ ψυχρὸν ὕδωρ ἐπιςπαςάμενος ἀπνευςτί, τὸ δ' ὀξύμελι βραχύ, διδόμενον οὐ πλέον ἡμίςεος καθ' ἑκάςτην προςφοράν. οὐχ ὅμοιος οὖν ὁ τῆς δόςεως ςκοπὸς ἐπὶ τούτου διὰ τὸ cβέςαι βούλεςθαι τὸν πυρετὸν ἀθρόως πινομένου ψυχροῦ μέχρι τοῦ πληρωθῆναι τὸν κάμνοντα. τὸ μὲν γὰρ ὕδωρ οὕτω πινόμενον ἰάςεως ἕνεκα πίνεται, τὸ δ' ὀξύμελι θέρους ὥρᾳ δίδοται ψυχρὸν ἕνεκα τοῦ μὴ παροξῦναι τὴν δίψαν τοῦ κάμνοντος· ἀλλά τι καὶ ςυντελεῖν οἷόν τε πρὸς τοὐναντίον. διὰ τοῦτο καὶ πρὶν πεφθῆναι τὴν νόςον ὀξυμέλιτος ψυχροῦ διδόναι φηςίν, ὡς ὥρᾳ θέρους οὐκ ἂν δώςοντας ὕδωρ ψυχρὸν εἰς κόρον ἐν τῇ τοιαύτῃ διαθέςει· πυκνώςει μὲν γὰρ τὴν φλεγ-
501 μονήν, ὅταν ἐπὶ φλεγμονῇ | πυρέττωςιν, ἀπέπτους δ' ἐργάςεται ψύξει

8 *cf. p. 135, 23* 11 *cf. Orib. V 2, 1 (I 319 Daremb.)* 12. 13 ἐν τοῖς τῆς Θεραπευτικῆς μεθόδου γράμμαςιν] *IX 5 (X 620 sq. K.)* 14 ὅταν οὖν ... ἔχοντος τμητικήν] *exc. Orib. V 2, 9—10 (I 323)*

1 δοκεῖ τιςι M μὲν *om.* D 2 ἦν ἄξ. CD 3 οὖν] μὲν οὖν V 4 ὀξυμέλιτι M 6 τι AST: ποτε M: *om.* RV ἂν ἦν M: ἦν *cett.* διδάγμαςι M 7 μὲν γὰρ M ἡγουμένης S 8 δὲ *om.* S 9 τοῦ πυρετοῦ] προτρέπεις CDR: *om.* T τὸ *om.* CR 10 ἐςτι *om.* CR 11 cβεννύμενοι *post* παραχρῆμα *transp.* AST οἱ πυρετοὶ CDR: οἱ *om. cett.* ὑπ' αὐτοῦ *om.* BM 13 εἰρήςεται] εἴρηται A αὐτοῦ *om. Chartier* 14 ὁ *om.* CDR, *Orib.* βλάψαις *scripsi*: βλάψῃς *codd.* 15 τηνικαῦτα *om.* AS διδοὺς T ὠφελήςαις *scripsi*: ὠφελήςῃς M: ὠφελήςεις *cett.* 16 ἔςτω M: ἐςτὶν *cett.* 17 αὐτὸς *om.* AMSV τ' ἐςτὶ AS: τ' ᾖ CV: τ' ἦν BMR ἂν ἀπνευςτίας RS 18 πλεῖον AS ἡμίςεος] *sc.* ὀξυβάφου 19 ὁμοίως MV οὖν *om.* T τούτου τοῦ AMT cβέςαι AMS: ςέβεςθαι CDR 22 γίνεται SV ὥρα θέρους M 23 ἀλλά τι ... τοὐναντίον *(24) suspecta; om. Orib.* 25 ὡς *om.* V δώςοντας BM: δώςοντες ACRS: διδόναι τολμῶμεν ὥρᾳ θέρους, οὐκ ἂν δόντες *Orib.; fortasse servato* φηςὶν *vocabulo scribendum* δόντας *aut* δοὺς 26 εἰς κόρον *post* διαθέςει *transp.* S: *om.* T τῇ αὐτῇ SV μὲν γὰρ BCSM: μὲν *om.* ARV 27 ἀπέπτως RS δ' *om.* S ἐργάςεται A[1]MS: *om.* ACRT τῇ ψύξει M: *om.* AB

τοὺς χυμούς, ὅταν ἐπὶ τούτοις νοςῶςιν· ἀλλὰ τό γε ὀξύμελι τηνικαῦτα δίδομεν ὀλίγον, ὡς ἂν ἐν τῇ γαςτρὶ φθάνον χλιανθῆναι πρὶν διαδοθῆναι τὴν ἐξ αὐτοῦ ψύξιν ἄχρι τῆς πλευρᾶς· εἰ δὲ καὶ διαδοθείη τι βραχύ, ἀλλ᾽ ὑπὸ τοῦ γε ὀξυμέλιτος ἐπανορθωθήςεται δύναμιν ἔχοντος τμητικήν· ἐναντίον γάρ ἐςτι τὸ τέμνον καὶ διεξερχόμενον τῷ πυκνοῦντι καὶ ςυνάγοντι τὰ ςώματα.

I 43 [I 6. II 266, 2 L.] Ἔπειτα ἢν μὲν ἄλγημά τι ἐνῇ ἤ τῶν ἐπικινδύνων τι ἐμφαίνηται, διδόναι τὸ ῥόφημα μήτε παχὺ μήτε πολύ, μετὰ δὲ τὴν ἑβδόμην, ἢν ἰςχύῃ.

Ταύτην τὴν ῥῆςιν οἱ ʻἐμπιπλᾶνʼ τοὺς πάςχοντας τὸν Ἱπποκράτην φάντες (οὕτω γὰρ αὐτοὶ κέχρηνται τῷ ῥήματι) παρελθεῖν μοι δοκοῦςιν, ὥςπερ αὖ πάλιν οἱ λιμοκτονεῖν αὐτὸν | εἰπόντες ἀνεγνωκέναι μόνην φαίνονται **502** ταύτην. εἰ δέ γε ἀμφοτέραις ἑκάτεροι προςέςχον τὸν νοῦν ἐμνημόνευόν τε τῶν καλῶς ὑπ᾽ αὐτοῦ λεγομένων, ʻὡς φύςιες φυςίων μέγα διαφέρουςινʼ, ἴςως ἂν ᾐδέςθηςαν ἐγκαλεῖν αὐτῷ τἀναντία, εἰ καὶ μάλιςτα καὶ τῶν ἄλλων ἐμνημόνευον, ὧν ἔδειξε καὶ χωρία χωρίων πάμπολυ διαφέρειν ἐπιδείξας καὶ ὥρας ὡρῶν καὶ ἡλικίας ἡλικιῶν καὶ ἔθη ἐθῶν καὶ τὴν πρὸ τοῦ νοςῆςαι δίαιταν ἑκάςτῳ τῶν καμνόντων ἰδίαν γεγονυῖαν. ἐὰν οὖν παραβάλλῃς ἀλλήλοις τοὺς ἐναντίως ἔχοντας ἐν ἅπαςι τοῖς εἰρημένοις, τὰς ἐν τῇ διαίτῃ μεγίςτας διαφορὰς εὑρήςεις, ἃς καταντικρὺ τάξας ἀλλήλαις οὕτως ἤδη καὶ τὰς ἐν τῷ μέςῳ παμπόλλας οὔςας ἀκριβῶς θεωρήςεις. λέλεκται μὲν οὖν περὶ τῆς ἐν τούτοις διαφορᾶς τελέως ἐν τοῖς τῆς Θεραπευτικῆς μεθόδου γράμμαςιν, εἰρήςεται δὲ καὶ νῦν τὸ κεφάλαιον αὐτῶν.

ὑποκείςθω δή τις φύςει ξηρὸς μὲν τὴν ἕξιν τοῦ ςώματος, πυκνὸς δὲ τὴν ἐπιφάνειαν καὶ φλέβας εὐρείας ἔχων καὶ τὴν ζωτικὴν δύναμιν ἰςχυρός, εἰθιςμένος ἐςθίειν οὐ πολλά, νοςεῖν ἐν χειμῶνι μὴ πάνυ ψυ-| χρῷ κατὰ χωρίον τοιοῦτον, πρὶν νοςεῖν ἀργότερόν τε καὶ ἀπληςτότερον **503** ἐν πολυτρόφοις ἐδέςμαςι διῃτημένος, ὑπαρχέτω δ᾽ αὐτῷ ςὺν τούτοις ἰςχυρὸν τὸ ςτόμα τῆς γαςτρός, ὅπερ καὶ ςτόμαχον ἔνιοι καλοῦςιν. ὁ δ᾽

14 λεγομένων] *De flat. 6 (VI 98 L.)* 23 Θεραπευτικῆς μεθόδου] *VIII 8. 9 (X 586 sqq. K.)*

1 ἐπ᾽ ἐκείνοις AST ἀλλὰ τό γε . . . βραχύ *(4) servavit Oribasius*: *om. codd. et Ald. Bas.; Charterius suo Marte lacunam expleverat haud inscite, quem Kuehnius secutus est* 4 γε τοῦ AST: γε *om.* CD 7 *post* Ἔπειτα *add.* μέντοι *ab Aldo edd.*: *om. codd.* ἀλγήματα (*om.* τι) M 8. 9 μήτε πολὺ μ. παχὺ V 9 πουλὺ CR *post* ἑβδόμην *add.* ἢ ἐνάτην *ab Aldo edd.*: *om. codd.* 12 αὖ] οὖν D: *om.* V 13 ἀμφοτέρως AT: *del. Cornarius*: ἀμφοτέροις *coll. p. 158, 13 Mewaldt, quod idem valere vult atque* ἐπ᾽ ἀμφότερα, *i. e in utramque partem* 14 καλῶς *om.* BM λελεγμένων CRV φύσεων BMT μέγα *om.* R 15 μάλιστα *post* ἄλλων *transp.* AS 16 καὶ τῶν BMRV: τῶν AS 17 ἀποδείξας A: *om.* T 18 ἰδία ABRT 19 οὖν *om.* B παραβάλλοις AV τοῖς ἐν. ἔχουσιν A 20 *fort.* διαφορὰς μεγίστας 21 ἀλλήλαιν *Chartier* 25 φύσει *om.* MT: *post* μὲν *transp.* AS μὲν φησι T ἕξιν] κρᾶσιν B 26 τὴν (*ante* ζωτικὴν) *om.* R 27 ἰσχυρὸς MV: ἰσχυρὰν *cett.* 29 καὶ ἐν CR πολυτρόφοις AMS: πολυτρόποις BDRV

ἐξ ὑπεναντίου τούτῳ διακείμενοϲ ὑγρὸϲ μὲν καὶ μαλακὸϲ καὶ τὴν ζωτικὴν δύναμιν ἀϲθενὴϲ καὶ πλείω προϲφέρεϲθαι ϲιτία μεμαθηκώϲ, νοϲεῖν δὲ ἐν θέρει πνιγηρῷ καὶ χωρίῳ τοιούτῳ· ϲυνυποκείϲθω δὲ τούτοιϲ καὶ τεταλαιπωρῆϲθαι πρὸ τῆϲ νόϲου τὸν ἄνθρωπον ἐν φροντίϲι καὶ πράξεϲι διηνεκέϲιν, ἐδηδοκέναι τε παρὰ τὸ ἔθοϲ ὀλίγα λαχανώδη τε καὶ ἄτροφα καὶ τὸ τῆϲ γαϲτρὸϲ ϲτόμα μὴ ἰϲχυρὸν ἀλλ' ἀϲθενὲϲ ἔχειν φύϲει. καὶ τούτων οὕτωϲ ἐχόντων ἀμφότεροι τὴν αὐτὴν νόϲον ὑποκείϲθωϲαν νοϲεῖν, εἰ βούλει, τὴν ὑφ' Ἱπποκράτουϲ προκεχειριϲμένην ὡϲ ἐν παραδείγματι κατὰ τὸν λόγον τοῦτον πλευρῖτιν. ἆρά ϲοι δοκεῖ προϲήκειν ἕνα κανόνα διαίτηϲ ἐπ' ἀμφοτέρων ὁρίζειν; ἢ τὸν μὲν δεύτερον εἰρημένον ἀπὸ τῆϲ πρώτηϲ ἡμέραϲ τρέφειν, τὸν δὲ πρότερον ἄχρι τῆϲ ἑβδόμηϲ ἐπὶ πομά-
504 των μόνων διαιτᾶν, ὅταν γ' ἐλπίζῃϲ μὴ προϲωτέρω ταύτηϲ | ἀφίξεϲθαι τὴν νόϲον; ἐγὼ μὲν γάρ ϲοί φημι, πολυχρονίῳ τῇ πείρᾳ κεκρικὼϲ ἀμφότερα, βελτίϲτην οὕτωϲ ἔϲεϲθαι τὴν δίαιταν· εἰ δ' ὑπαλλάξαιϲ ἐπὶ τἀναντία, τὸν μὲν πρῶτον εἰρημένον ἀπ' ἀρχῆϲ τρέφειν ἐγχειρῶν, τὸν δὲ δεύτερον ἄχρι τῆϲ ἑβδόμηϲ ἡμέραϲ φυλάττειν, ἀμφοτέρουϲ ἀναιρήϲειϲ πρὸ τῆϲ τετάρτηϲ ἡμέραϲ, τὸν μὲν ἀποπνίξαϲ τάχιϲτα, τοῦ δὲ ϲυγκόψαϲ τὴν δύναμιν. πρόϲθεϲ οὖν, εἰ βούλει, καὶ τὴν ἡλικίαν ἐναντίαν ἑκατέρῳ, τεϲϲαρακοντούτην μὲν ὑποθέμενοϲ εἶναι τὸν πρότερον, παῖδα δὲ τὸν δεύτερον· οὕτω γὰρ ἔτι καὶ μᾶλλον ἐπειχθήϲεται πρὸϲ τὸν ὄλεθρον ἑκάτεροϲ αὐτῶν.

ἀλλὰ ταῦτά γε πάντα τὰ νῦν εἰρημένα πρὸϲ ἕνα ϲκοπὸν ἀναφέρεται τὸν ὑφ' Ἱπποκράτουϲ ἑνὶ ῥήματι δηλωθέντα. τί γάρ φηϲι; διδόναι τὸ ῥόφημα μετὰ τὴν ἑβδόμην, ἢν ἰϲχύῃ. ῥῆμα μὲν γάρ ἐϲτιν ἕν, εὑρίϲκεται δ' ἐξ ὧν εἶπον ἄρτι ϲυμπάντων· εἰ γὰρ ἰϲχύει μέχρι τῆϲ ἑβδόμηϲ ἡμέραϲ ἐπ' ὀξυμέλιτί τε καὶ μελικράτῳ καὶ ὕδατι διαιτώμενοϲ ἐξαρκέϲαι, δι' ὧν εἶπον ἁπάντων εὑρεθήϲεταί τε καὶ γνω-
505 ϲθήϲεται· ὡϲ εἴ γε τὰ μὲν | αὐτῶν παρείη, τὰ δ' ἀπείη, τὴν δύναμιν τῶν παρόντων τῇ δυνάμει τῶν ἀπόντων ἀντιπαραβάλλων εἴϲῃ, πόϲαιϲ ἡμέραιϲ ὁ κάμνων ἐξαρκέϲαι δυνήϲεται τῷ τοιῷδε τῆϲ διαίτηϲ εἴδει.

ταῦτ' οὖν ἀποδεδειγμένα κατὰ τὴν ἡμετέραν πραγματείαν εἰ μὲν ἀνέγνωκαϲ, ἀναμνήϲθητι νῦν· εἰ δ' οὐκ ἀνέγνωκαϲ, ἐπ' ἐκεῖνα μετάβηθι πρότερον, εἰ βούλει τὴν ἀλήθειαν τῆϲ Ἱπποκράτουϲ γνώμηϲ κατανοῆϲαι. πάντα γὰρ ὑφ' ἡμῶν εἴρηται κατὰ πάϲαϲ τὰϲ πραγματείαϲ

1 ἐξ ὑπεναντίου AMSV: ὑπ' ἐξεναντίου CDR τὴν *om.* T 2 νοϲεῖ S 3 δὲ (*ante* τούτ.) *om.* R 4 ταλαιπωρεῖϲθαι MT πρὸϲ C 5 τε (*prius*) ABDS: δὲ MR 6 ϲῶμα M 7 ὑποκείϲθω A 8 προκεχειριϲμένην *post* τοῦτον *transp.* S 9 πλευρίτιδα R προϲήκει δοκεῖν M 10 ἢ . . . εἰρημένον *om.* S τῆϲ AMS: *om.* BRV 11 ποτημάτων AV: ποτίμαϲι T 12 μόνον DR: μόνων P¹ *in mrg.*: *om. cett.* γ'] γὰρ V ἀφικέϲθαι CR 13 μὲν *om.* M 14 τὴν *om.* M 15 μὲν CR: *om. cett.* ἐπιχειρῶν DR 16 ἑβδόμηϲ ἡμέραϲ M: ἡμ. *om. cett.* 17 τῆϲ *om.* RV ἀποπνίξειϲ M ϲυγκόψειϲ M 19 πρῶτον CR 24 ἢν] ἂν T μὲν *om.* M 26 τῆϲ ἑβδόμηϲ . . . δύναμιν *(28) in* M *legi non possunt* 27 εὑρεθήϲεταί τε καὶ γνωϲθήϲεται ACRST: ἐλευθερωθήϲεταί τε καὶ ὑγιαϲθήϲεται BV. *Sensus est: oxymelite et melicrato et aqua epotis possitne aeger usque ad septimum diem perdurare, e signis quae ante dixi cognoscas* 28 καὶ ὡϲ B 31 ταῦτα τε οὖν M 32 οὐκ ἔγνωκαϲ S

ἑπομένων αὐτοῦ τοῖς δόγμασιν ἀληθεστάτοις οὖσιν. ἀλλὰ γὰρ οὐχ οἷόν τ᾽ ἐστὶν ἄνθρωπον ἕνα τὴν προσήκουσάν τε διδάξαι μέθοδον καὶ τὰ κατὰ μέρος ἐν αὐτῇ ἅπαντα. διὸ μηδὲ παρ᾽ Ἱπποκράτους ἀκούειν ἅπαντα τὰ κατὰ μέρος ἀξιώσῃς, ἀλλὰ μᾶλλον μέμφου τοῖς δέον ἐξεργάζεσθαι τὰ καλῶς ὑπ᾽ αὐτοῦ διδαχθέντα διὰ φιλοδοξίαν ἑτέραν αἵρεσιν συστησαμένοις. ἀλλ᾽ ἡμεῖς τιμῶντες τὴν ἀλήθειαν ἔν τε τοῖς ἄλλοις ἅπασιν ἐπαινοῦμεν Ἱπποκράτην κἀν τῷ τὸν οἰκεῖον ἑκάστῳ πράγματι διδάξαι σκοπόν, ὡς διὰ παντὸς ἀποβλέποντά τινα πρὸς αὐτὸν ὡρισμένην ἔχειν τὴν ὁδὸν τῆς εὑρέσεως τῶν βοηθημάτων.

οὕτω | γοῦν καὶ τοῦ τροφὴν προσφέρεσθαι σκοπὸν ἕνα κοινὸν ἐπὶ **506** πάντων ἐδείξαμεν ὑγιαινόντων τε καὶ νοσούντων. ἔστι δ᾽ οὗτος ἡ φυλακὴ τῆς ζωτικῆς δυνάμεως, ἣν νῦν ἐνεδείξατο σαφῶς εἰπὼν ἣν ἰσχύῃ. διὰ ταύτην γάρ τοι τὴν δύναμιν ἐσθίομέν τε καὶ πίνομεν ὑγιαίνοντες ἅπαντά τε τἆλλα πράττομεν, ὅσα διαφέρει πρὸς τὴν ζωήν· διὰ δὲ τὴν αὐτὴν ταύτην καὶ νοσοῦντες ἐπὶ τροφὴν καὶ πόμα παραγινόμεθα. τὸ μὲν γὰρ νόσημα αὐτὸ τῆς ἑαυτοῦ διαθέσεως ἐνδείκνυται τὰ βοηθήματα, φλεβοτομίαν καὶ κλύσμα καὶ κατάπλασμα καὶ κάθαρσιν ὀξύμελί τε καὶ μελίκρατον ἕκαστόν τε τῶν ἄλλων, ἡ δὲ τῆς δυνάμεως φυλακὴ μόνην τὴν τροφὴν ἐνδείκνυται. εἰ μὲν οὖν μηδὲν ἔβλαπτε μηδέποτε τὴν νοσώδη διάθεσιν ἡ τροφή, πρὸς μόνην ἂν ἀποβλέποντες τὴν δύναμιν ὡς ἐπὶ τῶν ὑγιαινόντων ἐτρέφομεν τοὺς νοσοῦντας· ἐπεὶ δὲ βλάπτει πολλάκις, ὡς ἐδείξαμεν, ἐπισκοπούμεθα διὰ τοῦτο τῆς νόσου τὴν διάθεσιν, οὐχ ὡς ἐνδεικνυμένην ποτὲ τὴν τροφήν, ἀλλ᾽ ὡς κωλύουσαν. ὅταν οὖν μὴ κωλύῃ κελεύῃ τε ἡ δύναμις, τηνικαῦτα τρέφομεν· οὐδέποτε γὰρ ἡ τροφὴ κατὰ τὸν | ἑαυτῆς λόγον ὀνίνησι τὴν νοσώδη διάθεσιν. εἶπον δὲ **507** τοῦτο, διότι πολλάκις ὕλη μία καὶ τροφῆς καὶ φαρμάκου δύναμιν ἔχει, καθάπερ ἡ τῆς πτισάνης· καθ᾽ ὅσον μὲν γὰρ ῥώννυσι τὴν δύναμιν, ὡς τροφὴ τοῦτ᾽ ἐργάζεσθαι πέφυκεν, ἐπεὶ δὲ καὶ τέμνει καὶ ὑγραίνει τὰ τῆς ἀναπτύσεως δεόμενα, φαρμάκου λόγον ἔχει κατὰ τοῦτο. χόνδρος μὲν οὖν τροφὴ μόνον ἐστὶ πλευριτικῶν, ὀξύμελι δὲ φάρμακον· ἀμφοτέρων δ᾽ ἡ πτισάνη καὶ τὴν δύναμιν ἔχει καὶ τὴν χρείαν παρέχει τοῖς κάμνουσιν, ἀλλ᾽ ὡς τροφὴ μὲν φυλακῆς ἕνεκα τῆς δυνάμεως, ὡς φάρμακον δὲ λύσεως ἕνεκα τῆς νόσου προσφέρεται.

ὅταν οὖν ἡ δύναμις ἐξαρκῇ μέχρι τῆς τοῦ νοσήματος κρίσεως, ἄνευ τοῦ ῥοφῆσαι πτισάνην ὀξύμελι καὶ μελίκρατον ἀρκεῖ, τὸ μὲν ὀξύμελι φαρμάκου μόνον δύναμιν ἔχον, τὸ μελίκρατον δὲ καὶ τροφῆς ὀλίγης

2 τε διδ. AST: διδ. τε BRV: τε *om.* M τὰ *om.* M 3. 4 ἅπαντα ἀκούειν M: ἀκούειν *om.* S 4 ἐξεργάζεσθαι ADMRTV: ἐπεξεργάσασθαι S: ἐξετάζεσθαι B 6 συστησαμένοις ABCMS: συστησαμένῳ R: συνισταμένοις V τὴν S: *om. cett.* 7 πράγματι *om.* B 8 παντὸς *om.* B 11 ἐδίδαξεν B οὕτως M 12 ἣν] ἂν MT 13 διὰ γὰρ τοιαύτην τὴν B 16 γὰρ *om.* B 17 τε *om.* C 19 μηδὲν *om.* V 21 *post* ἐτρέφομεν *repet.* ἂν M 22 διὰ τοῦτο *om.* M 23 τὴν (*ante* τροφήν) CR: *om. cett.* οὖν *om.* T 26 διότι RV: ὅτι AMS 27 γὰρ *om.* B 30 μόνον *om.* M πλευριτικοῦ V 32 τροφὴ μὲν S: μὲν τρ. ABRV: μὲν γὰρ τρ. MT φυλακῆς] φυσικῆς CR 33 τῆς *add.* A[1] 35 μὲν οὖν DR 36 μόνον *om.* DR

τε καὶ ἀσθενοῦς. ἐὰν μὲν οὖν θᾶττον τῆς ἑβδόμης ἡμέρας ἐλπίζῃς
ἔσεσθαι τὴν κρίσιν, οἷον εἰ τύχοι περὶ τὴν τετάρτην ἢ πέμπτην, πολλοὺς
τῶν καμνόντων εὑρήσεις ἐξαρκέσαι δυναμένους ἄνευ τοῦ ῥοφῆσαι πτι-
508 σάνην· ἐὰν δ᾽ εἰς τὴν ἑβδόμην ἐκτείνηται, παντάπα|σιν ὀλίγους, ὅσοι
τήν τε δύναμιν ἰσχυρὰν ἔχουσι καὶ τὴν τοῦ σώματος ἕξιν σκληρὰν καὶ
δυσδιάπνευστον καὶ τοὺς χυμοὺς παχεῖς ἢ γλίσχρους, τό τε περιέχον
μὴ εἴη θερμόν. εἰ μὲν γὰρ μηδὲν ἀπέρρει τοῦ σώματος ἡμῶν, οὐκ ἂν
ἐδεόμεθα τροφῆς· ἐπεὶ δὲ ἀπορρεῖ, κατὰ τὴν ἀναλογίαν τοῦδε καὶ τὸ
τῆς τροφῆς ποσὸν ὁριούμεθα. τοῖς γοῦν ὀλίγον διαπνεομένοις ἄκραν
ἀσιτίαν ἐγχωρεῖ συμβουλεύειν, ἔτι δὲ μᾶλλον πρὸς τούτῳ, ἐὰν καὶ τὴν
δύναμιν ἐξ ἀρχῆς ἔχωσιν ἰσχυράν· ὡς ἥ γε ἀσθενής, ὥσπερ ἐπὶ τῶν
γερόντων ἔχει, κἂν ὀλίγον διαπνέηται τὸ σῶμα, ταχέως κάμνει· διὸ καὶ
μικρὸν ἔμπροσθεν ἐμνημόνευσα τῶν ἔτη τεσσαράκοντα γεγονότων, οὐ
τῶν ἑβδομήκοντα.

I 44 [I 6. II 266, 5 L.] Ἢν δὲ μὴ ὑπεληλύθῃ ὁ παλαιότερος σῖτος νεοβρῶτι ἐόντι, ἢν μὲν ἰσχύῃ τε καὶ ἀκμάζῃ τῇ ἡλικίῃ, κλύσαι, ἢν δὲ ἀσθενέστερος ᾖ, βαλάνῳ προσχρήσασθαι, ἢν μὴ αὐτόματα διεξίῃ καλῶς.

509 Πάλιν κἀνταῦθα τὴν μὲν ἔνδειξιν τοῦ βοηθήματος ἀπὸ τῆς κατὰ τὸ σῶμα διαθέσεως ἔλαβε, συνεπεσκέψατο δὲ τὴν δύναμιν οὐχ ὡς ἐνδεικνυμένην ποτὲ τὴν χρῆσιν τοῦ βοηθήματος, ἀλλ᾽ ὡς ἀντενδεικνυμένην ἐνίοτε καὶ κωλύουσαν. οὐ γὰρ ὅτι τὴν δύναμιν ἰσχυρὸς ὁ κάμνων, διὰ τοῦτο δεῖται κλύσματος, ἀλλὰ τοῦ μὲν κλύσματος ἡ ἔνδειξις ἐκ τῆς κατὰ τὴν γαστέρα διαθέσεως· ἡ δύναμις δ᾽ ἰσχυρὰ μὲν ὑπάρχουσα συγχωρεῖ κενοῦν, ἄρρωστος δ᾽ οὖσα κωλύει. πρόσεχε δὲ πάλιν αὐτοῦ τῷ ἔθει ποτὲ μὲν τῆς δυνάμεως μόνης ἐπὶ τῶν τοιούτων μνημονεύοντος, ὥσπερ ἐπὶ τῆς προγεγραμμένης ῥήσεως, ποτὲ δὲ καὶ τὴν ἡλικίαν προστιθέντος· κυριώτατος μὲν γὰρ ὁ τῆς δυνάμεως σκοπός, εἰς δὲ τὴν διάγνωσιν αὐτοῦ καὶ ἡ τῆς ἡλικίας γνῶσις συντελεῖ, ταχέως μὲν ἐπὶ τῶν παίδων καμνούσης τῆς δυνάμεως διὰ τὸ τῆς ἀπορροίας πλῆθος, ἐπαρκούσης δ᾽ ἐπὶ πλέον ἐν τοῖς ἀκμάζουσιν. ἀλλ᾽ ὥσπερ ἐπὶ τῶν παίδων ἡ τοῦ σώματος οὐσία μαλακή τε οὖσα καὶ ὑγρὰ διαφορουμένη αἰτία γίνεται τοῦ καταλύεσθαι τὴν δύναμιν, οὕτω καὶ ἐπὶ τῶν χωρῶν ἔχει

13 μικρὸν ἔμπροσθεν] *p. 158, 19* 15 Ἢν δὲ μὴ . . . καλῶς *(18)*] *affert Gal. XV 730 K.*

1 τε *om.* T ἐλπίζεις SV 2 τὴν τετάρτην M: τὴν *om. cett.* 3 δυναμένους . . . ἐκτείνηται *(4) om.* S πτισάνης M 4 ἐὰν] ἢν DR 6. 7 περιεχόμενον εἴη M 7 μὲν *om.* M 9 γοῦν AMS: οὖν BRV 9. 10 ἄκραν ἀσ. ἐγχωρεῖν A: ἐγχωρεῖ ἀ. ἀ. *cett.* 10 ἀεισιτίαν B τούτω ABSV: τοῦτο MR 11 ἥ] εἴ AM 12 κἂν AMS: εἰ καὶ RV διαπνέηται AMS: διαπνέεται BV 16 μὲν γὰρ ἰσχύει τῇ ἡλικίᾳ κ. ἀκμάζει M 17 προσχρήσασθαι M: προσχρῆσθαι *cett.* 18 διεξείῃ AS: διεξήει M 19 *post* πάλιν *add.* καλῶς BMR μὲν *om.* R 20 τὸ *om.* AS 22 ἐνίοτε δὲ V 23 ἡ τοῦ κλύσματος ἔνδειξις V 25 δὲ *om.* V 27 καὶ *om.* A 30 τῆς *(alt.) om.* S 32 διαφερομένη CR 33 χωρῶν AMS: χωρίων RV τῶν ὡρῶν ἐ. κ. τῶν χωρῶν B

καὶ ὡρῶν. καὶ γὰρ καὶ τούτων αἱ θερμαὶ ταχέως τε | καὶ εὐθέως κατα- **510**
λύουσι τὴν δύναμιν τῷ πλήθει τῆς κενώσεως. εἰκότως οὖν ἐνίοτε ἐπὶ μόνης τῆς δυνάμεως ὁ Ἱπποκράτης ποιεῖται τὴν διδασκαλίαν τῶν τοιούτων διορισμῶν, ἐνίοτε δὲ καὶ τῶν ἄλλων τι προστίθησι συναναμιμνήσκων αὐτοῖς καὶ τὰ λοιπά.

I 45 [I 6. II 266, 8—268, 3 L.] Καιρὸν δὲ τῆς δόσιος τοῦ ῥοφήματος τόνδε μάλιστα φυλάσσεσθαι κατ᾽ ἀρχὰς καὶ διὰ παντὸς τοῦ νοσήματος· ὅταν μὲν οἱ πόδες ψυχροὶ ἔωσιν, ἐπισχεῖν χρὴ τοῦ ῥοφήματος τὴν δόσιν, μάλιστα δὲ καὶ τοῦ ποτοῦ ἀπέχεσθαι, ὅταν δὲ ἡ θέρμη καταβῇ εἰς τοὺς πόδας, τότε διδόναι καὶ νομίζειν μέγα δύνασθαι τὸν καιρὸν τοῦτον ἐν πάσῃσι τῇσι νούσοισιν, οὐχ ἥκιστα δ᾽ ἐν τῇσιν ὀξείῃσι, μάλιστα δ᾽ ἐν τῇσι πυρετώδεσι καὶ ἐπικινδυνοτάτῃσιν.

Ὥσπερ ἔφην ἕνα μὲν ὑπάρχειν σκοπὸν τῆς τροφῆς τὴν | φυλακὴν **511**
τῆς δυνάμεως, ἀναγκαῖον δ᾽ εἶναι συνεπισκοπεῖσθαι καὶ τοῦ νοσήματος τὴν διάθεσιν, οὕτως καὶ αὐτοῦ τοῦ καιροῦ τῆς προσφορᾶς ἡ εὕρεσις ἐκ τοῦ μὴ κωλύειν τὴν νόσον γίνεται. ὅσον μὲν γὰρ ἐπὶ τῷ πρώτῳ σκοπῷ, [ἡ] χρεία τροφῆς ἐνίοτε καὶ κατὰ τὴν ἀρχὴν τῶν παροξυσμῶν ἐστιν, ὥσπερ ἐπὶ τῶν ὑγιαινόντων, ὁπότε πρῶτον ἐπὶ τῶν φυσικῶς γινομένων κενώσεων ἐγγύς ἐστί τις τοῦ κάμνειν, ἀναλήψεως αὐτῷ χρεία. ἐπεὶ δ᾽ ἐν ταῖς ἀρχαῖς καὶ ταῖς ἀναβάσεσι τῶν παροξυσμῶν ἡ προσενεχθεῖσα τροφὴ βλάπτειν πέφυκε μεγάλως, διὰ τοῦτ᾽ ἀναβαλλόμεθα τὴν δόσιν αὐτῆς, καίτοι τοῦ σώματος ἤδη δεομένου. τίς οὖν ἄριστός ἐστι καιρὸς τροφῆς ἐπὶ τῶν νοσούντων; ἐν ᾧ δηλονότι μετριώτατα διάκειται τὰ κατὰ τὸν θώρακα καὶ τὴν γαστέρα. τίς δὲ χείριστος; ἐν ᾧ χείριστα διάκειται ταῦτα. πότε γοῦν ἔχει χείριστα; κατὰ τὰς ἀρχὰς τῶν παροξυσμῶν. πότε δὲ μετριώτατα; κατὰ τὰς παρακμάς. εὔδηλον οὖν, ὅτι καιρὸς τροφῆς ἄριστός ἐστιν ἐν ταῖς παρακμαῖς τῶν νοσούντων. ἡ μὲν οὖν ἀρχὴ τῶν παροξυσμῶν | γίνεται συντρέχοντος εἰς τὴν **512**
καρδίαν τε καὶ τὸν θώρακα ἐξ ὅλου τοῦ σώματος τοῦ θερμοῦ παντός, ἡ δ᾽ ἐπίδοσις ἐκτεινομένου κατὰ βραχὺ πρὸς τὰ πέρατα τοῦ σώματος,

1 καὶ γὰρ καὶ BM: καὶ γὰρ *cett.* 4 τι *om.* BM τίθησι B συναναμιμνησκομένων MT 6 δόσεως MSV 7 φυλάττ. V 8 χρὴ *ex Hipp. ab Aldo edd.*: *om. codd.* 9 καὶ *om.* V 10 ἡ θερμασία T καταλάβη M: καταρεῖ R: καταβῇ *superscr.* μεταστῇ A 11 τοῦτον *om.* DRV πάσῃσι ταῖς (τοῖσι A: τισιν B) ABR: πᾶσι τοῖσι (τῇσι V: τοῖς S) MSV 12 τῇσι *(alt.)* T: τοῖς AR: τοῖσι BS: *om.* M 13 *ante* πυρετώδεσι *add.* μᾶλλον *ex Hipp. Aldus* ἐπικινδυνοτάτῃσιν T: ἐπικινδυνοτάτοισιν *cett.* 14 τὴν] καὶ R 15 ὡς ἀναγκ. S
17 γὰρ *om.* C ἐπὶ] ἐν A 18 *post* σκοπῷ *add.* τῆς δυνάμεως *omnes praeter* M ἡ (καὶ ἡ S) χρεία *codd.*: *correxi* τῆς τροφῆς *omnes praeter* M
19 *post* ὥσπερ *ins.* καὶ *edd.* πρῶτον *om.* R φυσικῶν BT: φυσικῶν κενώσεων γινομένων MR: γινομένων *om.* B 20 τις] τῆς M 22 βλάπτειν] φυλάττειν CR: *corr.* R¹ μεγάλως BMT: μεγάλα *cett.* 24 ἐστι καιρὸς ACMV: κ. ἐ. ST: κ. τροφῆς ἐστιν B δῆλον V 26 γ᾽ οὖν *Schoene*
28 οὖν *om.* S ἐστιν ἄριστος R 29 συντρέχοντος] συνελθόντος V 30 τε *om.* V ἐξ ὅλου] καὶ τὰ μέσα AMST 31 ἐπίβασις R

ἡ δ᾽ ἀκμὴ δι᾽ ὅλου τοῦ cώματος ὁμαλῶς ἐκτεινομένου· παρακμὴ δ᾽ ἔμπαλιν τῇ ἀρχῇ διαπνεομένης γε τῆς θερμαςίας γίνεται καὶ τὰ μέςα τοῦ cώματος ἀπολειπούςης, ὅπερ ἐδήλωςε δι᾽ ἑνὸς ῥήματος εἰπών· ὅταν ἡ θέρμη καταβῇ εἰς τοὺς πόδας. οὐ γὰρ ταὐτόν ἐςτι τὸ θερμοὺς ἐκ ψυχρῶν γενέςθαι τοὺς πόδας καὶ τὸ καταβῆναι τὴν θερμαςίαν εἰς αὐτούς. τὸ μὲν γὰρ καταβῆναι τὴν μετάςταςιν δηλοῖ τῆς θερμαςίας ἐξ ἑτέρου μέρους εἰς ἄλλο, τὸ δὲ θερμανθῆναι τοὺς πόδας ἐγχωρεῖ γενέςθαι καὶ μενούςης ἐν τοῖς μέςοις τῆς θερμαςίας, ὅπερ ἐπὶ τῆς ἀκμῆς ςυμβαίνει.

I 46 [I 6. II 268, 3 L.] Χρῆςθαι δὲ πρῶτον μὲν χυλῷ, ἔπειτα δὲ πτιςάνῃ, κατὰ τὰ τεκμήρια τὰ προγεγραμμένα ἀκριβῶς θεωρῶν. |

513 Προειρηκώς, ὁπότε μὲν ἐπὶ ποτῷ μόνῳ χρὴ διαιτᾶν τοὺς κάμνοντας, ὁπότε δ᾽ ἐπὶ πτιςάνῃ, νῦν διορίζει, πότε μόνῳ χυλῷ χρηςτέον ἐςτὶ καὶ πότε αὐτῇ τῇ πτιςάνῃ. ςύντομος δὲ καὶ ςαφὴς ὁ διοριςμός. ὅταν γὰρ οἷς εἶπε τεκμηρίοις προςέχων εὕρῃς τινὰ τῶν καμνόντων δυνατὸν χρῆςθαι πτιςάνῃ, τὴν ἀρχὴν ἀπὸ τοῦ χυλοῦ ποιηςάμενος οὕτως ἐπὶ ταύτην μετάβηθι κατὰ βραχύ· λέγω δὲ κατὰ βραχύ, πρῶτον μὲν αὐτῷ μόνῳ τῷ χυλῷ χρηςάμενος, εἶτα τούτου μὲν δοὺς πλεῖον, ὀλίγον δὲ τῆς πτιςάνης, εἶτ᾽ ἴςον ἑκατέρου, κἄπειτα τῆς πτιςάνης πλεῖον, εἶτα μόνην αὐτήν, ἐπιςτάμενος εἰς μὲν τὴν θρέψιν τοῦ cώματος καὶ ῥῶςιν τῆς δυνάμεως τὴν πτιςάνην πλεονεκτεῖν, εἰς δὲ τὸ πεφθῆναί τε καὶ κατεργαςθῆναι ῥᾳδίως τὸν χυλόν. ὅταν οὖν βλέπῃς προχωροῦςαν ἐπὶ τὰ βελτίω τήν τε τοῦ νοςήματος διάθεςιν καὶ τὴν τῆς δυνάμεως ἰςχύν, αὔξανε καὶ ςὺ τὴν προςφορὰν τῆς πτιςάνης. |

1 *schol.* T *in mrg.*: παροξυςμός ἐςτι ςυνδρομὴ παντὸς τοῦ θερμοῦ ἐπί τε τὴν καρδίαν καὶ τὸν θώρακα καὶ τὰ μέςα τοῦ cώματος

2 γε] τε *Schoene* 3 ἀπολιπούςης S εἰπὼν δι᾽ ἑνὸς ῥήματος *transp.* S 4 καταλάβῃ M 5 γίνεςθαι B τὸ *ante* καταβῆναι *add.* R: *om. cett.* τὴν θέρμην T 6 τὴν *om.* BV 7 ἄλλο μέρος CDR 10 δὲ πρῶτον μὲν AMRS: μὲν πρῶτον V: *post* πρῶτον *ins.* μάλιςτα P^1 11 δὲ *om.* A 11. 12 ἀκριβῶς θεωρῶν CDRS: θεωρῶν ἀκριβῶς *ante* κατὰ *transp.* M: *om.* ABTV 13 ποτῷ ACDS: τούτῳ R: τῷ ποτῷ M 16 εἶπον *codd.*: *corr. Chartier* εὕρῃς *scripsi*: εὑρήςῃς CD: εὑρήςεις *cett.* 17 δυνατὸν AMS: δύναςθαι BRV τῇ πτιςάνῃ S 18 ἐπὶ ταύτην μετάβηθι AMS: ἐπ᾽ αὐτὴν μεταβήςεται (-ήςῃ V) BDRV λέγει R 19 πλεῖον *scripsi*: πλείονος *codd.* 20 πλείω M 24 τοῦ ACDMS: πρὸς τοῦ RV cώματος A^1S: νοςήματος A *cum ceteris*

Subscriptiones: Τέλος τοῦ πρώτου τῶν περὶ πτιςάνης ἐξηγήςεων τοῦ Γαληνοῦ AST: τέλος τοῦ πρώτου λόγου περὶ πτιςάνης M: τέλος τοῦ πρώτου τῶν περὶ πτιςάνης ὑπομνημάτων Γαληνοῦ B: τέλος τοῦ πρώτου Γαληνοῦ περὶ διαίτης ὀξέων νοςημάτων R

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ 514

II 1 [I 7. II 268, 7 L.] Ὀδύνην δὲ πλευροῦ, ἥν τε κατ᾽ ἀρχὰς γένηται ἥν θ᾽ ὕςτερον, θερμάςμαςι μὲν τὸ πρῶτον οὐκ ἀπὸ τρόπου χρηςάμενον πειρηθῆναι διαλῦςαι.

Ὅπερ εἴρηταί μοι πολλάκις, ἄμεινον ἀναμνῆςαι καὶ νῦν, ὡς ἡ μὲν ἐξήγηςις ἐπὶ τῶν ἀςαφῶν γίνεται λέξεων, οὐ μὴν | οἵ γ᾽ ἐξηγηταὶ 515 τοῦτο μόνον ἐν τοῖς ὑπομνήμαςι πράττουςιν, ἀλλὰ καὶ καταςκευάζουςι τὰ λεγόμενα διὰ τῶν ςυγγραμμάτων, εἰς ἃ τὰς ἐξηγήςεις ποιοῦνται. δι᾽ οὖν τοῦτο τὸ ἔθος ἀναγκάζομαι κἀγὼ ςυναγορεύειν οἷς οὐδαμῶς ἀρέςκομαι, προςαποφαίνεςθαί τε τοῖς ἐξηγήςεως δεομένοις ὡς τὰ πολλὰ καὶ τὴν ἐμαυτοῦ γνώμην· οὐ μὴν τὰς ἀποδείξεις γράφω τῶν ἀληθῶν μοι δοξάντων εἶναι κατὰ τὰ τοιαῦτα ὑπομνήματα· γέγραπται γὰρ ὑπὲρ τούτων ἰδίᾳ καθ᾽ ἕκαςτον· ἀλλὰ τὰ κεφάλαια μόνα τῶν ἀποδεδειγμένων ἐν ἑτέραις πραγματείαις ἀναμιμνήςκω, καθάπερ καὶ νῦν ἐπὶ τῆς ὀδύνης ποιήςω.

περὶ οὖν ὀδύνης γενέςεως εἴρηται μέν μοι κἀν τῷ Περὶ τῶν καθ᾽ Ἱπποκράτην ςτοιχείων, εἴρηται δὲ κἀν ταῖς τῶν Συμπτωμάτων αἰτίαις, ὡς ἐν τοῖς αἰςθητικοῖς ςώμαςιν ἡ ὀδύνη γίνεται μεταβολὴν ἀθρόαν εἰς τὸ παρὰ φύςιν λαμβάνουςι, καὶ ὡς ἔςτιν ἡ μεταβολὴ διττή, ποτὲ μὲν ἀλλοιουμένων αὐτῶν ἀθρόως τε καὶ βιαίως κατὰ ποιότητα, ποτὲ δὲ τῆς ςυνεχείας λυομένης. ἀλλοιοῦται μὲν οὖν ἀθρόως κατὰ τὰς

6 πολλάκις] *e. g. Gal. XVIII B 126, 4. XVII B 561, 4 K.* 17. 18 Περὶ τῶν καθ᾽ Ἱπποκράτην ςτοιχείων] *I 2. 3 (I 416 sq.)* 18. 19 κἀν ταῖς τῶν Συμπτωμάτων αἰτίαις] *VII 85—272 K.*

1 ὑπόμνημα δεύτερον τῶν περὶ πτιςάνης ἐξηγήςεων Γαληνοῦ A: ὑπόμνημα δεύτερον BMST: ὑπόμνημα περὶ διαίτης (*om.* ὀξέων) Γαληνοῦ δεύτερον CR: Γ. ὑ. δεύτερον εἰς τὸ π. δ. ὀξ. PV 3 ὀδύνην *cod. Hipp. A*: ὀδύνη *codd.* δὲ S: τε ARTV: *om.* BM 4 μὲν MP¹: *om. cett.* 5 ἄπο AMSV τοῦ τρόπου A *post* τρόπου *add.* ἐςτὶν P¹S πειρηθῆναι P¹R: πειρειθ. C: πειραθ. AMSV *post* διαλῦςαι *add.* τὴν ὀδύνην P¹ *in mrg., edd.* 6 μοι] μὴ S 7 ςαφῶν S 8 πράττουςιν *codd.*: γρ. γράφουςιν M¹B 10 οὐδαμῶς AMS: οὐκ CDR 11 τε] δὲ ST: *om.* M ὡς τὰ πολλὰ BRV *et in mrg.* A¹: ἐνίοτε AMS 12 ἐμαυτοῦ] ἐμὴν R μὴν καὶ CD 13 τὰ *om.* S 17 μέν *om.* CDR κἀν τῷ *om.* CDR 18 καὶ ἐν DR 19 ἡ *om.* CD 20 λαμβάνουςα DR 22 τῆς *om.* V: *add.* A¹ ἀλλοιοῦνται A οὖν *om.* CDR

516 δρα|cτικὰc ποιότητας θερμαινόμενα καὶ ψυχόμενα καὶ ξηραινόμενα καὶ ὑγραινόμενα, διαφθείρεται δ᾽ αὐτῶν ἡ cυνέχεια τεινομένων cφοδρῶc ἢ θλιβομένων ἢ θλωμένων. οὕτωc οὖν καὶ τῆc πλευρᾶc ἡ ὀδύνη γίνεται κατὰ τὰ πλευριτικὰ πάθη, περὶ ὧν ὁ λόγοc ἦν αὐτῷ, τῆc ἐν τούτοιc τοῖc χωρίοιc φλεγμονῆc καὶ τῷ πλήθει τῆc παρὰ φύcιν θερμαcίαc ἀνιώcηc τὰ μόρια κατὰ δυcκραcίαν καὶ τῇ πληρώcει δὲ τεινούcηc τὰ φλεγμαίνοντα cώματα. πρώτηc οὖν ἀξιοῖ βοηθείαc εἰc τὴν τῆc ὀδύνηc ἴαcιν ἢ παρηγορίαν ἀποπειραθῆναι τῆc διὰ τῶν θερμαcμάτων· ταῦτα γὰρ εἴωθεν ἀραιόν τε τὸ δέρμα ποιεῖν πρὸc τὰc διαπνοὰc καὶ τὸ κατὰ τὴν φλεγμονὴν αἷμα λεπτύνειν τε καὶ διαφορεῖν. εἰ μὲν οὖν ταῦτα πραχθείη κενωθείη τέ τι τοῦ αἵματοc, ἧττον διατεινόμενα τὰ πεπονθότα μόρια πρὸc τοῦ λοιποῦ πραότερον ὀδυνήcεται· μὴ γενομένου δ᾽ ἐλάττονοc τοῦ κατὰ τὴν φλεγμονὴν αἵματοc ἢ καὶ πνεύματοc ἀτμώδουc ἐκ τῆc θερμαcίαc γεννηθέντοc αὐξάνεcθαι cυμβαίνει τὴν ὀδύνην. οὐ γίνεται δ᾽ ἔλαττον τὸ αἷμα διὰ τὴν ἐν τῷ παντὶ cώματι περιουcίαν τῶν
517 χυ|μῶν· ἐπὶ γὰρ τὸ θερμαινόμενον μέροc ἕλκεται πλέον ἢ διαφορεῖται, φύcιν ἐχόντων τῶν θερμαινόντων ὥcπερ διαφορεῖν τὸ περιεχόμενον οἷc ἂν πληcιάζῃ μορίοιc, οὕτωc ἕλκειν τὸ περιττεῦον ἐκ τῶν γειτνιώντων. ὅταν οὖν τὰ θερμάcματα μὴ λύῃ τὴν ὀδύνην, προκενωτέον ἐcτί cοι τὸ πᾶν cῶμα διὰ κενώcεωc· ἀξιόλογοc δὲ κένωcιc ἐπὶ τῶν ὀξέωc νοcούντων ἥ τε διὰ τῆc γαcτρὸc καὶ ἡ διὰ τῆc φλεβοτομίαc, ὧν τὴν ἑτέραν ἀξιοῖ παραλαμβάνειν ὁ Ἱπποκράτηc διδάcκων cκοποὺc τῆc μᾶλλον ὠφελῆcαι δυναμένηc.

τὸ μὲν οὖν κεφάλαιον τοῦ προκειμένου λόγου τοῦτ᾽ ἔcτι, τῶν δὲ κατὰ μέροc αὐτῷ λεγομένων ὅcα μὴ cαφῆ τοῖc πολλοῖc ἐcτι διὰ τῶν ἐφεξῆc ἐξηγήcομαι· τοῖc πολλοῖc δ᾽ εἶπον, ἐπειδὴ τοῖc προγεγυμναcμένοιc ἀκούειν λέξεωc παλαιᾶc ὀλίγα παντάπαcιν ἀcαφῆ γίνεται. ἀλλ᾽ οὐ cτοχαζόμεθα τούτων μόνων ἐν τοῖc ὑπομνήμαcιν. |

518 **II 2** [I 7. II 268, 9 L.] Θερμαcμάτων δὲ κράτιcτον μὲν ὕδωρ θερμὸν ἐν ἀcκῷ ἢ ἐν κύcτει ἢ ἐν χαλκῷ ἀγγείῳ ἢ ἐν ὀcτρακίνῳ.

Θερμάcματα δηλονότι καλεῖ τὰ θερμαίνοντα τὸ cῶμα καθ᾽ ὁντινοῦν τρόπον· ἔcτι δ᾽ αὐτῶν ἔνια μὲν ὑγρὰ τελέωc, ἔνια δὲ ξηρά, τινὰ

2 τεινομένων R: τεμνομένων *cett.* 3 ἢ θλωμένων AMS: *om.* BRV ἡ A: *om. cett.* 5 τοῖc *om.* S 6 κατὰ τὰc δυcκραcίαc DR 7 cώματα] μόρια B 9 δέρμα ποιεῖν πρὸc τ. διαπνοὰc AMST: δ. πρὸc τ. δ. ἐργάζεcθαι BDRV 11 κενωθείη τέ τι (τῇ M) AMS: κενωθήcεται BRV ἧττον AST: ἧ. τε BRV: ἧ. δὲ M 12 γενομένου A: γινομ. *cett.* 13 καὶ *om.* B 14 γενηθέντοc A 15 παντὶ] παρόντι A 16 μὲν γὰρ M γὰρ *post* θερμαιν. *transp.* DR πλεῖον AMS 19 προcκενωτέον MTV 20 ἔcτω M 25 αὐτῶν S λελεγμένων CMRT 26 ἑξῆc B ἐξηγήcομαι AMS: διηγήcομαι BRV δ᾽ *om.* S προγεγραμμένοιc M 27 cαφῆ S 28 τ. μόνων ABRSV: τοῦτο μόνον M 29 δὲ S: μὲν BMRT: μὲν οὖν A: *om.* C μὲν *om.* AMST: *post* ὕδωρ *transp.* BDRV 30 cκύτει V ἐν *ante* ὀcτρακ. *om.* BV 31 καθ᾽ ὁντινοῦν τρόπον *om.* MT ὁντινοῦν] οἷον δή τινα A *(in mrg.)* 32 δ᾽ AMS: οὖν CDR τελέωc *om.* AT τινὰ] ἔνια S

δ᾽ ἐξ ἀμφοῖν μικτά, δακνώδη δ᾽ ἄλλα ἢ ἄδηκτα καί τινα τρίτα κἀνταῦθα σύμμικτα. τὸ μὲν οὖν πρῶτον εἶδος αὐτῶν, ὃ κατὰ τήνδε τὴν ῥῆσιν ἔγραψεν, ἄδηκτόν τ᾽ ἐστὶ καὶ ὑγρόν, τὸ δὲ δεύτερον μικτὸν ἐξ ἀμφοτέρων, ξηροῦ τε καὶ ὑγροῦ δακνώδους τε καὶ ἀδήκτου· τὸ δὲ τρίτον ξηρὸν μέν, ἀλλ᾽ ἤτοι δακνῶδες ἢ ἄδηκτον. εἰ δὲ καὶ τὰς διαθέσεις αὐτὸς εἰρήκει τὰς ἑκάστου τῶν εἰρημένων δεομένας, τοσούτῳ βελτίων ἂν ἦν ὁ λόγος, ὅσῳ καὶ ὠφελιμώτερος τοῖς ἀναγινώσκουσιν· ἐπεὶ δ᾽ οὐκ εἶπεν, ἣν μὲν οὐδ᾽ ἡμῖν ἀναγκαῖον ἀλλοτρίαν διδασκαλίαν σαφηνίζουσιν, οὐκ οἰκείαν διερχομένοις. ἐπεὶ δ᾽ ἔμπαλιν τοῖς ἄλλοις ἐξηγη|ταῖς ἔχει τοὐμὸν (ἐκεῖνοι μὲν γὰρ ἐπεισκυκλοῦσι ταῖς ἐξηγήσεσι 519 τὰ σοφιστικὰ ζητήματα μηδὲν εἰς τὸ τέλος τῆς τέχνης ὠφελοῦντα τοὺς μανθάνοντας, ἐγὼ δ᾽ ἀεὶ πειρῶμαι τὰ χρησιμώτατα διέρχεσθαι), διὰ τοῦτο καὶ νῦν οὐκ ὀκνήσω προσθεῖναι τῇ Ἱπποκράτους διδασκαλίᾳ τὰ παραλελειμμένα μὲν ὑπ᾽ αὐτοῦ, τῇ δ᾽ ὅλῃ γνώμῃ καὶ τοῖς δόγμασι καὶ τοῖς καθόλου παραγγέλμασιν ἑπόμενα.

πυρία μὲν οὖν πᾶσα καθ᾽ ὅντινα λόγον ὀνίνησι πολλάκις ὀδύνας, ἔμπροσθεν εἴρηται· λέλεκται δὲ καὶ περὶ τῶν οὐδὲν ὠφελουμένων ὑπὸ πυρίας ὀδυνῶν, εἰ μὴ προκενωθείη τὸ πᾶν σῶμα. κοινῶν δ᾽ ὄντων τούτων ἁπάσαις πυρίαις αἱ μὲν ὑγραὶ φλεγμοναῖς ἁρμόζουσιν ὑπὸ χολωδεστέρων ὑγρῶν γεγονυίαις, αἱ δὲ ξηραὶ ταῖς ὑπὸ λεπτοῦ καὶ ὑδατώδους αἵματος· ἀεὶ γὰρ χρὴ μεμνῆσθαι τοῦ "τἀναντία τῶν ἐναντίων ἰάματα" εἶναι. κατὰ τοῦτον οὖν τὸν σκοπὸν αἱ μὲν ἄδηκτοι πυρίαι τοῖς δακνώδεσιν ἁρμόττουσι χυμοῖς, αἱ δὲ δακνώδεις, ἐπειδὴ λεπτύνουσι, τοῖς παχέσι καὶ γλίσχροις· ὥστε καὶ σὺ πειρῶ στοχάζεσθαι, τίς | ἐστιν ὁ 520 κατὰ τὸ φλεγμαῖνον μέρος ἐπικρατῶν χυμός, ἐξ ὧν εἶπον ὁρμώμενος, ἡλικίας τε τοῦ κάμνοντος καὶ φυσικῆς κράσεως ὥρας τε καὶ χώρας καὶ τοῦ προηγουμένου βίου, φαινομένης δέ σοι τῆς φλεγμονῆς, κἀκ τῶν συμβεβηκότων αὐτῇ κατά τε χροιὰν καὶ μέγεθος ἀντιτυπίαν τε καὶ μαλακότητα, πλευρῖτιν δὲ καὶ περιπνευμονίαν θεραπεύων, κἀκ τῶν ἀναπτυομένων. στοχαστικῆς δ᾽ οὔσης, οὐκ ἐπιστημονικῆς οὐδὲ βεβαίας ἁπάσης τῆς εἰρημένης διαγνώσεως, καὶ μάλισθ᾽ ὅταν ἐν τῷ βάθει τοῦ σώματος ᾖ τὸ τὴν ὀδύνην ἔχον μόριον, ἄρξαι μὲν ἀπὸ τῶν δοξάντων σοι μᾶλλον ἑτέρων ὠφελήσειν, ἐὰν δὲ μηδὲν ἀνύσῃ, κἀπὶ τἄλλα μετά-

17 ἔμπροσθεν] *p. 164, 7* λέλεκται] *p. 164, 12* 21 τἀναντία κτέ.] *Hipp. de flat. 1 (VI 92 L.)* 25 εἶπον] *cf. supra p. 157, 25 sqq.*

1 ἐξ] ἐπ᾽ A ἄλλα *post* ἄδηκτα *transp.* B 2 πρότερον A τήνδε AMS: *om.* BRV 5 *post* τρίτον *ins.* ὡς ἡ δι᾽ ἁλῶν δακνώδης, ἡ διὰ κέγχρων ἄδηκτος S τὰς *om.* S 7 ἂν δ᾽ ἦν S: ἦν *om.* DR 9 σαφηνίζειν S οἰκείαν AMS: ἰδίαν BRV 10 ἔχει τοὐμὸν] ἄχρηστον οὐ μὴν ἀναγκαῖον B τοὐμὸν] ῥυθμὸν R ἐκεῖνο R γὰρ *om.* B ἐπεισκυκλοῦσι *Schoene coll. Gal. VIII 575, 5 K.*: ἐπισκύλλουσι ABMSTV: ἐπισπείρουσι CDR 12 χρησιμώτερα A διέρχεσθαι AMS: διεξ. DRV 13 τὴν . . . διδασκαλίαν MS Ἱπποκράτους AMS: τοῦ Ἱππ. DRV 14 μὲν *om.* S 16 πᾶσα *om.* V λόγον R¹: τρόπον R 17 λέγεται T 21 τἀναντία M: τὰ ἐν. *cett.* 24 γλίσχροις χυμοῖς *(repet.)* M ὥσπερ S 27 κἀκ] καὶ BV 30 βεβαιούσης DR 31 ἁπάσης τῆς εἰρ. AMS: τῆς εἰρ. ἀπ. DR τῷ *om.* AV 32 δοξασάντων CDR

βαινε, μὴ παυcαμένηc δὲ τῆc ὀδύνηc ἐπὶ τὴν τοῦ παντὸc cώματοc ἀφικνοῦ κένωcιν. φαίνεται τοιγαροῦν ὁ Ἱπποκράτηc ἀπὸ τῆc ἀκινδυνοτάτηc ἀρξάμενοc πυρίαc, ἥτιc ἐcτὶν ἀδηκτοτάτη τε καὶ ὑγρά· κἂν γὰρ ὠφελήcῃ μηδέν, ἀλλ' οὐ βλάψει γε μεγάλωc· αἱ δὲ δι' ὄξουc ἢ
521 ὀρόβων ἢ ἁλῶν, ἐὰν μὴ τύχωcιν ἐπιτη|δείαc διαθέcεωc, οὐ μόνον οὐδὲν ὠφελοῦcιν, ἀλλὰ καὶ μεγάλωc παροξύνουcι δραcτήριον ἔχουcαι δύναμιν.

II 3 [I 7. II 268, 11—270, 1 L.] Προϋποτιθέναι δὲ χρὴ μαλθακόν τι πρὸc τὴν πλευρὴν προcηνείηc εἵνεκεν.

Ἐπειδὴ τὸ "ὕδωρ ἐν ἀcκῷ ἢ κύcτει ἢ ἀγγείῳ χαλκῷ ἢ ὀcτρακίνῳ" προcφέρειν ἠξίωcε ταῖc πλευραῖc, ὅπωc ἄθλιπτόc τε ᾖ καὶ τελέωc ἄλυποc ἡ τῶν προcφερομένων ὁμιλία, μαλακόν τι προϋποτιθέναι κελεύει κατὰ τῶν πλευρῶν ἐπιβάλλονταc. ἔριον δ' ἂν εἴη τοῦτο μαλακὸν ἢ πολύπτυχον ἱμάτιον ἤ καί τι τῶν ἁπαλῶν ὑπαρχόντων. μικρὸν γοῦν ἐφεξῆc τῆc διὰ τοῦ cπόγγου πυρίαc μνημονεύων οὐδὲν ἀξιοῖ προϋποτιθέναι.

II 4 [I 7. II 270, 2 L.] Ἀγαθὸν δὲ καὶ cπόγγοc μαλθακὸc
522 μέγαc ἐξ ὕδατοc θερμοῦ | ἐκπεπιεcμένοc προcτίθεcθαι. περιcτέγειν δὲ ἱματίῳ τὴν θάλψιν χρή· πλείω τε γὰρ χρόνον [ἂν] διαρκέcει καὶ παραμενεῖ, καὶ ἅμα ὡc μὴ ἡ ἀτμὶc πρὸc τὸ πνεῦμα τοῦ κάμνοντοc φέρηται, ἢν ἄρα μὴ δοκέῃ καὶ τοῦτο χρήcιμον πρόc τι εἶναι· ἔcτι γὰρ ὅτε δεῖ πρόc τι.

Τὰ μὲν ἄλλα τῆc ῥήcεωc δῆλα, περὶ δὲ τῆc ἀτμίδοc εἰπεῖν χρή, πολὺ τὸ ἀcῶδέc τε καὶ ἀνιαρὸν ἐχούcηc παροξυνούcηc τε τὴν δύcπνοιαν αὐξήcει τῆc θερμαcίαc καὶ τῆc κατὰ τὸν πνεύμονα cτενοχωρίαc, ἣν ἐκ τῆc ὑγρᾶc ἀτμίδοc πληρούμενοc ἴcχει. μόναιc οὖν ταῖc ξηραῖc καὶ ἀπτύcτοιc πλευρίτιcιν ἐπιτήδειόc ἐcτιν ἡ τῆc ἀτμίδοc εἰcπνοὴ πλέον ἔχουcα τοῦ βλαβεροῦ τὸ ὠφέλιμον. ἐνταῦθα μὲν οὖν περιγέγραπται τὸ πρῶτον εἶδοc τῆc πυριάcεωc, ἐφεξῆc δ' ἐπὶ τὸ δεύτερον μεταβαίνων ἐρεῖ·

11 ἠξίωcε] *supra p. 164, 29 sq.*

1 παυομένηc AST δὲ *om.* S 2 τοιγαροῦν *post* Ἱπποκρ. *transp.* B 4 οὐ] οὐδὲ A γε *om.* DRT 5 ἄλλων AB 6 ὠφελήcουcιν A 6. 7 ἔχουcαι δραcτ. δ. AMS 9 εἵνεκεν *Hipp. cod. A*: εἵνεκα R: ἕνεκα ABC: ἕνεκεν MS 11 τελείωc A 13 ἐπιβάλλοντα A τοῦτο μαλακὸν MST: τὸ (*add.* A[1]) μαλ. τ. A: τοῦτο τὸ μ. BDR 14 τὸ πολύπτυχον V καὶ ⟨ἄλλο⟩ τι *Diels* 15 οὖν T: μὲν P: *corr.* P[1] πυρίαc AMS: πυριάcεωc BDRV 17 μαλακὸc S 19 ἂν *om. Hipp. codd. plerique* 20 διαρκέcῃ *codd.*: ἀρκέcει *Hipp. codd. plerique* παραμενεῖ *Hipp.*: παραμένῃ M: διαμείνῃ S: παραμείνῃ *cett.* ἡ CDR: *om.* ABMSV 21 προcφέρηται M ἄρα μὴ ABRS: ἅ. μοι MT: μὴ ἄρα V 22 δεῖ] δὴ M 23 τῶν ῥήcεων B 24 τε καὶ ἀν. ACMS: καὶ ἀν. RV 25 τῆc . . . cτενοχωρίαc DRS: τὴν . . . cτενοχωρίαν ABM 28 οὖν *om.* V περιγέγραπται ABDRS: παραγ. M: ἐπιγ. V

II 5 [I 7. II 270, 7 L.] Ἔτι δὲ καὶ κριθαὶ ἢ ὄροβοι· ἐν ὄξει κεκραμένῳ cμικρῷ | ὀξύτερον ἢ ὡς ἂν πίοι τις διέντα καὶ 523
ἀναζέσαντα ἐς μαρσίππια καταρράψαντα προστιθέναι· καὶ πίτυρα τὸν αὐτὸν τρόπον.

Οὐχ ὁλόκληρα τὰ σπέρματα κελεύει δι᾽ ὄξους καὶ ὕδατος ἑψεῖν, ἀλλὰ κόψαντας πρότερον· δῆλον δὲ κἀκ τοῦ λέγειν διέντα, καὶ ἄλλως δ᾽ ἄν τις ἐξ αὐτοῦ τοῦ πράγματος διδαχθείη τοῦτο βούλεσθαι τὸν Ἱπποκράτην. καὶ γὰρ οὖν καὶ προσηνέστερον οὕτως ἔσται τὸ πυρίαμα καὶ δραστικώτερον· ἀμέλει καὶ πίτυρα κατὰ τὸν αὐτὸν τρόπον σκευάζειν κελεύει. δραστικωτέρα δὲ τῆς πρόσθεν ἡ τοιαύτη γίνεται πυρία τῇ τοῦ ὄξους δυνάμει· εἰ δὲ δι᾽ ὀρόβων σκευάζοιτο, καὶ οὗτοι συντελοῦσιν οὐ cμικρόν· ἱκανὴ γὰρ ἡ δύναμις αὐτῶν τέμνειν καὶ κατεργάζεσθαι καὶ διαφορεῖν πάχος χυμῶν. διὸ καὶ παραληπτέον τὰς τοιαύτας πυρίας ἐφ᾽ ὧν ὑπονοοῦμεν παχεῖς ἢ γλίσχρους ἠθροῖσθαι χυμοὺς κατὰ τὸ φλεγμαῖνον μόριον· ἔσται δέ σοι τοῦτο δῆλον ἔκ τε τῆς προηγησαμένης διαίτης, εἰ τῶν τοιούτων | χυμῶν εἴη γεννητική, κἀκ τῆς τοῦ 524
κάμνοντος κράσεως ὥρας τε καὶ χώρας καὶ ἡλικίας, ἔτι δὲ κἀκ τοῦ τὰς πραείας πυρίας, ὧν πρῶτον ἐμνημόνευσε, μηδὲν ἠνυκέναι. διορισαμένῳ γάρ σοι περὶ τοῦ κατὰ πᾶν τὸ σῶμα πλήθους, ὅταν μὴ φαίνηται μὲν τὰ τούτου γνωρίσματα, τὰ δ᾽ ἐπιεικῆ θερμάσματα μηδὲν ἀνύῃ, πάχος ἐστὶ χυμῶν εἰς ἀτμοὺς καὶ πνεῦμα φυσῶδες λυόμενον, ὃ διέξοδον οὐκ ἔχον ἀνιᾷ. καὶ τοῦτ᾽ οὖν αὐτὸ καὶ τοὺς γεννῶντας αὐτὸ χυμοὺς αἱ εἰρημέναι πυρίαι διαλύουσι καὶ μάλιστα ἡ διὰ τῶν ὀρόβων.

ἀλλὰ καὶ περὶ τῆς ἐμμέτρου κράσεως τοῦ ὄξους πρὸς τὸ ὕδωρ ἐμνημόνευσε σαφέστατά τε ἅμα καὶ κάλλιστα διελθὼν τὸν λόγον· οὕτως γὰρ αὐτὸ κεκρᾶσθαί φησι δεῖν, ὡς εἶναι μικρῷ ὀξύτερον ἢ ὡς ἂν πίοι τις, ὅπως ἀποχωρήσῃ μὲν τοῦ δριμυτέρου διὰ τὸ δακνῶδες, ἀποστῇ δὲ καὶ τοῦ ὑδατωδεστέρου διὰ τὸ ἄπρακτον. ὅσον μὲν οὖν ἐπὶ τῷ τομῆς δεῖσθαι καὶ διαφορήσεως τοὺς παχυτέρους τε καὶ γλισχροτέρους χυμούς, ἐπιτηδειότερον ἂν εἴη τοῦ ὑδατώδους ὀξυκράτου τὸ δριμύτερον· ἐπεὶ δ᾽ οὐκ ἀνέχεται τῶν τοιούτων φαρμάκων τὰ φλεγμαίνοντα, διὰ τοῦτο μέσην ἀμφοτέρων τῶν ὑπερβολῶν τὴν κρᾶσιν αὐτοῦ πεποίηται. τοῦτό σοι καὶ 525
τὸ δεύτερον εἶδος τῶν πυριάσεών ἐστιν, ὧν ἐξ ἀρχῆς διείλομεν τριχῶς.

1 ἢ ABMST: ἢ καὶ DR: καὶ V 2 κεκραμμένω MS μικρῶ AMS ὀξυτέρω D πίοι B: πτύη S: πίη *cett.* 3 ἐς AMRS: εἰς V καταρράψαντα *codd.*: ἀποράψαντα *Aldus*: τε ἀπ. *Chartier* 4 κατὰ τὸν AST *post* τρόπον *ins.* ταῖς κριθαῖς καὶ ὀρόβοις M: καὶ κριθὰς κ. ὀρόβους ABCDRST: *om.* V, *Hipp.* 8 οὖν καὶ M: *om.* T: καὶ *om. cett.* 9 ἀμέλει] καὶ γὰρ οὖν AMS αὐτὸν BM: αὐτὸν δὴ *cett.* λόγον M: τρόπον M[1] 10 γίνεται *post* ὄξους *transp.* BCDR: *om.* V 12 μικρὸν BST αὐτῶν ἡ δ. S 13 διαφορεῖν AMS: διαφορῆσαι BDRTV 14 ἐφ᾽] ὑφ᾽ S ἠθροῖσθαι χυμοὺς AMT: χ. ἠ. BRV: χυμοὺς ἢ γλ. ἠ. S 15 δῆλον τοῦτο V 16 τῶν S: *om. cett.* εἴη *om.* V γεννητικῶν MV τοῦ *om.* M 18 τὰς] τῆς A πυρίας πραείας DR 20 ἀνύει *ab Aldo edd.* 22 καὶ *ante* τοῦτ᾽ *om.* BM 24 τῆς *om.* S 26 γὰρ *om.* S αὐτῷ ASM φησὶ δεῖν κεκρ. S 27 πίοι AT: πίη RS: ποίη B: εἴποι M 28 τοῦ *post* καὶ *om.* DR τῷ τῆς D 29 τε *om.* S 31 ἀνέξεται *edd.* τὰ φλ. τῶν τ. φαρμ. BCDR 32 πεποίηται τὴν κρᾶσιν αὐτῶν S

II 6 [I 7. II 270, 10 L.] Ξηρῶν δὲ θερμασμάτων ἅλες, κέγχροι πεφρυγμένοι ἐν εἰρινέοισι μαρσιππίοισιν ἐπιτηδειότατοι· καὶ γὰρ κοῦφον καὶ προσηνὲς ὁ κέγχρος.

Ἐπὶ τὸ τρίτον εἶδος τῶν πυριάσεων, ὧν ἐξ ἀρχῆς διείλομεν, μετέβη, ἁλῶν καὶ κέγχρων μνημονεύσας. ἔστι δ' ἀμφοτέρων κοινὸν μὲν ἡ ξηρότης, ἴδιον δὲ τῶν μὲν ἁλῶν τὸ δακνῶδες, τῶν δὲ κέγχρων τὸ ἄδηκτον.

II 7 [I 7. II 272, 1 L.] Μάλθαξις δὲ λύει ἡ τοιήδε καὶ τὰς πρὸς κληῖδα περαινούσας ἀλγηδόνας. |

526 Ἐκ τοῦ προσθεῖναι τὸν καὶ σύνδεσμον ἐδήλωσεν, ὅτι καὶ τὰς ἄλλας ὀδύνας λύει, τουτέστι τὰς πρὸς ὑποχόνδριον περαινούσας.

II 8 [I 7. II 272, 2 L.] Τομὴ μέντοι οὐχ ὁμοίως λύει ὀδύνην, ἢν μὴ πρὸς κληῖδα περαίνῃ ἡ ὀδύνη.

Τομὴν λέγει δηλονότι τὴν τῆς φλεβός, ἣν οὐχ ὁμοίως εἰπὼν λύειν συνεχώρησε καὶ αὐτὴν ὠφελεῖν. ἐπὶ πλέον δὲ περὶ τούτου τοῦ βοηθήματος ἐν τοῖς ἐφεξῆς γράφει.

II 9 [I 7. II 272, 4 L.] Ἢν δὲ μὴ λύηται πρὸς τὰ θερμάσματα ὁ πόνος, οὐ χρὴ πολὺν χρόνον ἐκθερμαίνειν· ξηραντικὸν γὰρ τοῦ πνεύμονος τοῦτο καὶ ἐμπυητικόν.

527 Ποικίλα θερμάσματα διελθὼν τὰ μὲν ὑγρά, τὰ δὲ ξηρά, | τὰ δὲ ἄδηκτα, τὰ δὲ δακνώδη, μετὰ τὴν ἐπ' ἐκείνοις ἀπόπειραν ἐὰν ὁ πόνος μὴ ὠφελῆται, κενώσει χρῆται τοῦ παντὸς σώματος ἀφιστάμενος τῶν θερμασμάτων, ὡς καὶ τὸν πνεύμονα ξηραινόντων καὶ τὸ καλούμενον ἐμπύημα ποιούντων. γίνεται γὰρ τοῦτο τῆς κατὰ τὴν πλευρὰν φλεγμονῆς μὴ διαφορηθείσης, ἀλλ' εἰς πῦον μεταβαλλούσης, εἶτα τούτου συρρέοντος εἰς τὴν μεταξὺ πνεύμονός τε καὶ θώρακος χώραν.

II 10 [I 7. II 272, 6 L.] Ἀλλ' ἢν μὲν σημαίνῃ ἡ ὀδύνη ἐς κληῖδα ἢ ἐν βραχίονι βάρος ἢ περὶ μαζὸν ἢ ὑπὲρ τῶν φρενῶν,

27 Ἀλλ' . . . γίνεται *(169, 3)*] *affert Gal. XI 160 sq. K.*

1 δὲ *om.* DRS κέγχροι τε S 2 εἰρινέοισι S: ῥινέοισι D: ἐρ. *cett.* μαρσιπίοισιν AM: μαρσίπ(π)οισιν DRV 3 ὁ *Hipp.*: ἡ *codd.* 5 κέγχρου ABMT 5. 6 μὲν κοινὸν ACMS: μὲν *om.* T: κοινὸν *om.* D 9 κληῖδας B περαινούσας *Hipp. codd. meliores*: περαιούσας *codd.* 11 τὰς πρὸς *om.* D: πρὸς *om.* R περαινούσας *scripsi*: περαιούσας *codd.* 12 μέντοι *codd.*: μέντοι γε *ab Aldo edd.* 13 κληῖδα AMRS: τὴν κλ. V περαίνῃ *Hipp.*: παραίνῃ P¹: περαίνοιτο *cett.* 18 ἐκθερμάναι BM 19 τοῦτο *post* γὰρ *transp.* S 20 τὰ μὲν ξηρὰ τὰ δὲ ὑγρὰ V 21 ἐκείνων V 22 ὠφελεῖται M παντὸς τοῦ *edd.* 24 τῆς *om.* T 26 θώρακός τ. κ. πν. BMRS 27 ἢν *ex Hipp. Basil.*: εἰ *codd.* σημαίνει AS: συμβαίνει *cett.*: *corr. Basil.* 27. 28 ὀδύνη (*om.* ἡ) ἐς κληῖδα BCDRV: ἐς (εἰς AS) κληῖδα ἡ ὀδύνη AMST 28 ἐν βραχίονι *codd.*: ἐς τὸν βραχίονα *a Basil. edd.* φρενῶν] νεφρῶν M

τάμνειν χρὴ τὴν ἐν ἀγκῶνι φλέβα τὴν εἴϲω καὶ μὴ ὀκνεῖν ϲυχνὸν ἀφαιρεῖν, ἔϲτ᾽ ἂν ἐρυθρότερον πολλῷ ῥυῇ ἢ ἀντὶ καθαροῦ τε καὶ ἐρυθροῦ πελιδνόν· ἀμφότερα γὰρ γίνεται.

Κατὰ τὴν ῥοπὴν τῶν ἐργαζομένων χυμῶν τὴν φλεγμονὴν ποιεῖται τὰϲ κενώϲειϲ· τὸ γὰρ “ἀκτέα ᾗ ῥέπει διὰ τῶν ξυμ|φερόντων χωρίων” **528** ἀληθέϲτατον. ἐπιϲυμβαίνει δ᾽ ἐνίοτε τοῦτο κατὰ τὴν διαφορὰν τῶν μερῶν τοῦ τὰϲ πλευρὰϲ ὑπεζωκότοϲ ὑμένοϲ. τὰ μὲν γὰρ ἀνωτέρω μέρη τοῦδε φλεγμαίνοντα πρὸϲ τὴν κλεῖν καὶ τὸν βραχίονα καὶ τὸν μαϲθὸν ἐκτείνει τὴν ϲυμπάθειαν, τὰ δὲ κάτω πρὸϲ τὰϲ φρέναϲ τε καὶ τὸ ὑποχόνδριον. ἄνω μὲν οὖν τῆϲ ϲυμπαθείαϲ διαϲημαινούϲηϲ φλέβα χρὴ τέμνειν ἐν ἀγκῶνι, τὴν μᾶλλόν τε καὶ θᾶττον ἀπὸ τοῦ πεπονθότοϲ μορίου δυναμένην ἀντιϲπᾶϲαί τε καὶ κενῶϲαι τὸ αἷμα· κάτω δὲ διὰ καθάρϲεωϲ τὴν κένωϲιν ποιεῖϲθαι προϲῆκον.

διὰ τί δ᾽ εἶπε βάροϲ γίνεϲθαι περὶ τὸν βραχίονα καὶ οὐ πόνον; ὅτι τοῦ ἐνταῦθα μᾶλλον ἠθροῖϲθαι τὸ αἷμα καὶ ῥέπειν ϲημεῖόν ἐϲτι τὸ βάροϲ ἐπὶ πλήθει γινόμενον· αἱ δὲ τάϲειϲ καὶ κατὰ ϲυμπάθειαν μόνην εἰώθαϲι γίνεϲθαι, τῶν ϲυνεχῶν τοῖϲ φλεγμαίνουϲι τεινομένων ἄνευ τοῦ πλεονάζειν ἐν αὐτοῖϲ τὸ αἷμα· διὰ τοῦτ᾽ οὖν αὐτὸ κενοῦν κελεύει τὸ πλεονάζον αἷμα τέμνοντα φλέβα τὴν ἔνδον. εἰϲὶ γὰρ ἐν τῇ | κατ᾽ ἀγκῶνα διαρθρώϲει πλείουϲ φλέβεϲ, ἃϲ τέμνειν εἰώθαμεν· εἴρηται **529** δὲ περὶ αὐτῶν αὐτάρκωϲ κατά τε τὸ τρίτον γράμμα τῶν Ἀνατομικῶν ἐγχειρήϲεων κἀν τῇ τῶν Φλεβῶν τε καὶ ἀρτηριῶν ἀνατομῇ καθ᾽ ἓν ἄλλο βιβλίον ἰδίᾳ γεγραμμένον· ἐπὶ κεφαλαίων δὲ καὶ νῦν ἀναγκαῖον εἰπεῖν, ἐπ᾽ ἀρχὴν ἀναγαγόνταϲ τὸν λόγον.

ἡ κοίλη φλὲψ ἐκ τῶν κυρτῶν τοῦ ἥπατοϲ ἐπὶ τὸ δεξιὸν οὖϲ τῆϲ καρδίαϲ ἀναφέρουϲα τὸ αἷμα διανέμει μέν τι καὶ τοῖϲ μεταξὺ μορίοιϲ ὀλίγον, αὐτῇ δὲ τῇ καρδίᾳ δίδωϲι τὸ πλεῖϲτον· ἔπειτ᾽ ἐντεῦθεν ὡϲ ἐξ

1 τάμνειν . . . γίνεται *(3)*] *affert Gal. XI 292 sq.* 5 ἀκτέα ᾗ ῥέπει] *Hipp. de humor. 1 (V 476 L.). cf. Gal. XV 199. XVI 61. XVII A 958. Hipp. Aphor. I 21 (IV 468 L.). Gal. XI 160* 19 εἰϲὶ γὰρ κτέ.] *exstant paululum immutata apud Gal. XVI 136 sq.* 21. 22 Ἀνατομικῶν ἐγχειρήϲεων] *III 5. 6 (II 373 sqq.)* 22 τῇ τῶν Φλεβῶν τε καὶ ἀρτηριῶν ἀνατομῇ] *3 (II 789 sqq.)*

1 τάμνειν CDR: τέμνειν ABMSV χρὴ AMS: δεῖ DR: *om.* BV: ἀρήγει *Aldus* ἀγκῶνι *codd.*: τῷ ἀγκῶνι *Chartier* 2 ἀφαιρεῖν A: ἀφαιρέειν *cett.*: ἀφαιρέειν τὸ αἷμα *Chartier* ἔϲτ᾽ *codd.*: ἕωϲ *edd.* 3 ἀμφότερα MSV: ἀμφότερον *cett.*: ἀμφοτεροῖα *edd.*: *a verbis* ἀμφότερα γὰρ γίνεται *usque ad p. 172, 27* πλεονάζον αἷμα *deficit* A 5 διὰ M: *om. cett.* ϲυμφ. DRV 6 ἐπιϲυμβαίνει BMSV: ϲυμβαίνει DR 8 τοῦ φλεγμαίνοντοϲ S μαϲτὸν BDR 9 τὰϲ *om.* DR 10 διαμενούϲηϲ M χρὴ] δεῖ MT 11 ἐν ἀγκῶνι *om.* MT 12 μορίου *om.* T 13 προϲῆκον BDMRS: προϲήκει V 14 διὰ τί δὲ DMRT: διὰ δὲ S: ἐπεὶ δὲ B: εὖ δὲ V 15 ὅτι τοῦ MST: τοῦ μὲν B: τοῦ CDR: τοῦ μὲν γὰρ V 16 πλήθουϲ S ἐντάϲειϲ B 17 τεινομένων M: *om. cett.* 18 αὐτὸ *om.* MS: κενοῦν αὐτὸ DR 19 τέμνων τὴν φλ. M *post* γὰρ *iterat* ἔνδον V 20 φλέβαϲ MS 21 τε *om.* MS 23 γεγραμμένων M: γεγραμμένη *Schoene* δὲ *om.* BMS 24 ἐπ᾽ ἀρχὴν ἀναγαγόντα (ἀνάγοντα M) MST: ἀπ᾽ ἀρχῆϲ (ἐπ᾽ ἀρχὴν B) ἀνάγονταϲ BDV; *cf. Gal. XVI 523* 25 ἐπὶ] εἰϲ MS 26 τι] τοι τὸ αἷμα *(repet.)* M χωρίοιϲ M 27 τὸ πλεῖον M

ἀρχῆς ὥρμητο κατ' εὐθὺ φερομένη πρὸς τὸν τράχηλον, εἰς ὀρθίους σχίζεται κατὰ τὸ τοῦ θώρακος μέρος δύο φλέβας μεγάλας, ἃς ὀνομάζουσι σφαγίτιδας· ἀποφύσεις δ' αὐτῆς ⟨γίνονται⟩ πρὶν ἐπὶ τὴν καρδίαν ἀφικέσθαι, μεγάλων μὲν φλεβῶν εἰς τὸ διάφραγμα, σμικρῶν δ' εἰς τὸ τοῦ θώρακος αὐτοῦ κάτω μέρος τῶν ὀκτὼ πλευρῶν, ὃ ὑπὸ μιᾶς ἀζύγου τρέφεται φλεβός, ἐπὶ μὲν ἐνίων ζῴων ἀνωτέρω τῆς καρδίας ἀποφυο-
530 μένης, ἐπ' ἐνίων δ', ὥσπερ καὶ ἐπ' ἀνθρώπων, καθ' ὃ μέρος ἤδη | ψαύει τοῦ τῆς καρδίας ὠτὸς ἡ κοίλη φλέψ. ἐντεῦθεν γὰρ ἀποφυομένη ταπεινοτέρα φέρεται διὰ τῆς καρδίας ἐπὶ τὴν ῥάχιν κατακαμπτομένη. αὕτη μὲν οὖν ἡ φλὲψ εἰς τὰ κάτω μέρη τοῦ θώρακος μερίζεται ταῖς ὀκτὼ πλευραῖς ἑκατέρωθεν ἄχρι τοῦ διαφράγματος· αἱ δ' ὑπόλοιποι τοῦ θώρακος ὑψηλαὶ πλευραὶ τέσσαρες ὑπὸ συζυγίας ἄλλης τρέφονται φλεβῶν ἀποφυομένων τῆς κοίλης πρὶν εἰς τὰς σφαγίτιδας σχισθῆναι. τούτων οὖν τῶν δύο φλεβῶν ἀκολούθως ἐφεξῆς εἰσιν αἱ εἰς τὰς χεῖρας ἀφικνούμεναι διὰ τῶν μασχαλῶν.

αἱ δ' ὠμιαῖαι καλούμεναι μετὰ τὸ σχισθῆναι τὴν κοίλην εἰς τὰς σφαγίτιδας ἀφ' ἑκατέρας μία πεφύκασιν ἐκτὸς ἤδη τοῦ θώρακος, ἔχουσι δὲ τὰς ῥίζας κοινὰς ταῖς ἐπιπολαίοις σφαγίτισιν. ἀπὸ μὲν οὖν τῶν ἐπιπολῆς σφαγιτίδων τὰ ἐπιπολῆς σχεδὸν ἅπαντα μόρια τὰ κατὰ τὸν τράχηλον καὶ τὴν κεφαλὴν τρέφεται, καθάπερ γε καὶ τὰ διὰ βάθους ἀπὸ τῶν διὰ βάθους σφαγιτίδων πάντα. τὰ δὲ κατὰ τὰς ὠμοπλάτας τε καὶ τὸν ἐν τῷ τραχήλῳ νωτιαῖον ἐκ τῶν κάτω μερῶν τῆς εἰρημένης ῥίζης κοινῆς ἔχει τὰς φλέβας ἀνερχομένας ἐπ' αὐτά· λέγω δὲ κοινὴν
531 ῥίζαν, ἣν ἀρτίως εἶπον εἶναι | ταῖς τε ἐπιπολαίοις σφαγίτισι καὶ ταῖς ὠμιαίαις. εἰκότως οὖν ἡ μὲν ὠμιαία τὰ τῶν κλειδῶν ἄνωθεν μέρη κενοῖ θᾶττόν τε καὶ μᾶλλον, ὅσα κατὰ τράχηλόν τ' ἐστὶ καὶ κεφαλήν· ἡ δὲ διὰ τῆς μασχάλης τὰ κατὰ τὸν θώρακα καὶ τούτων αὐτῶν μᾶλλον τὰ ὑψηλὰ καὶ μάλιστ' ἐπ' ἀνθρώπων, ἐπειδὴ τὰ ταπεινὰ πάντα μία φλὲψ ἑτέρα τρέφει κατωτέρω τῆς καρδίας ἀποφυομένη τῆς κοίλης φλεβός. ταύτης δὲ τῆς τὰ ταπεινὰ τοῦ θώρακος τρεφούσης παρὰ τὰς ῥίζας τῶν πλευρῶν κατάντους φερομένης ἐκ τῶν ἀριστερῶν μερῶν ἄχρι τοῦ διαφράγματος αἱ καθ' ἕκαστον μεσοπλεύριον ἀριστερόν τε καὶ δεξιὸν ἀπονεμήσεις γίνονται· καὶ μέντοι καὶ τὸ λείψανον αὐτῆς διεκπίπτει τὸ διάφραγμα τοῖς πρώτοις μετ' αὐτὸ διανεμόμενον σώμασιν.

1 ὥρμηται B εἶτα εἰς B ὀρθίους *codd.*: ὀρθίας *a Basil. edd.* 3 γίνονται *addidi* 8. 9 ταπεινοτέρα φέρεται (φαίνεται M) *post* καρδίας *(9) transp.* MST 9 φαίνεται D 10 ἡ φλὲψ *om.* V 13 σχεθῆναι S 14 φλεβῶν ἀποφυομένων D 15 ἐφικν. S 16 σχισθῆναι *post* κοίλην *transp.* B τὴν κοίλην *post* σφαγίτιδας *transp.* V τὰς *om.* V 17 ἐφ' S¹V πέφυκεν M 18 οὖν *om.* DR 19 τὰ *ante* κατὰ *om.* M 20 τρέφονται B: τρέφεται *post* μόρια *transp.* MST γε *om.* DR τὰ *om.* R 21 τὰ δὲ κατὰ DR: *om. cett.* τὰς δὲ ὠμ. τε κ. MV: τὰς ὠμ. δὲ κ. BST 22 τε *om.* DR 23 κοινῆς *superscr.* ἢ ἀζύγου M ἔχειν MSV αὐτάς MT: αὐτούς CD 24 τε *om.* CD ἐπιπολέαις M: ἐπιπολ(λ)ῆς BDR 26 τὸν τρ. CD ἐστὶ *om.* B 28 ἐπ' ἀνθρώπων *codd.*: ἐπὶ τῶν ἀνθρ. *ab Aldo edd.* 30 τρεφούσης τ. θ. D 31 πλευρῶν] φλεβῶν MT 33 καὶ μέντοι *om.* CR τὸ *(prius)*] τι R αὐτῆς *om.* T διεκκόπτει B 33. 34 πρὸς τὸ δ. V

αἱ δὲ διὰ τῶν μαcχαλῶν ἐπὶ τὰc χεῖραc φερόμεναι τὰc ῥίζαc
ἔχουcιν ἐγγυτάτω ταῖc τρεφούcαιc φλεψὶ τὰc ὑψηλὰc τοῦ θώρακοc
τέτταραc πλευρὰc οὐκ ὀλίγῳ μείζουc οὖcαι τῶν κατὰ τὸν ὦμον εἰc
τὰc χεῖραc ἡκουcῶν. ἐπιβαίνουcι δὲ κατὰ τὴν ἔνδον χώραν ἑκατέρου
βραχίονοc, φέρονται δὲ δι᾿ αὐτῶν κατάν|τειc ἀπονεμήcειc μεγάλαc δι- 532
δοῦcαι τοῖc ἐνταῦθα μυcίν. ἐπειδὰν δὲ πληcίον ἑκατέρα γένηται τῆc
κατ᾿ ἀγκῶνα διαρθρώcεωc, ἀποφύει τὰc ἔνδον τοῦ βραχίονοc φλέβαc
παρὰ τὸν ἐνταῦθα κόνδυλον αὐτοῦ τοῦ πήχεωc ὀcτοῦ· τῷ δ᾿ ἄλλῳ
παντὶ δίχα cχιcθέντι φέρεται διὰ τῆc κατ᾿ ἀγκῶνα καμπῆc, ἐπιπολῆc
μὲν ἐργαζομένη τὴν τεμνομένην ἐνταῦθα φλέβα, διὰ βάθουc δὲ πολλοῦ
τὴν cυγκαταcχιζομένην τῇ ἀρτηρίᾳ.

τέμνεται δὲ καὶ ἄλλη φλὲψ ἡ ἐν ἀγκῶνι λοξή, καθάπερ ἥδε, καθ᾿
ἑκατέραν χεῖρα μία, τῆc ὠμιαίαc οὐ cμικρὸν μόριον· διεξελθοῦcα γὰρ
αὕτη κατὰ τὸν βραχίονα προφανὴc ὑπὸ τῷ δέρματι cχίζεται καὶ αὐ-
τὴ κατὰ τὴν ἐν ἀγκῶνι διάρθρωcιν ἐν τοῖc ὑψηλοτάτοιc μέρεcιν αὐτῆc,
ἐcχηματιcμένηc δηλονότι τῆc χειρόc, ὡc Ἱπποκράτηc ἐδίδαξεν ἐν
τῷ Περὶ ἀγμῶν. ὅcον μὲν οὖν μετὰ τὴν cχίcιν αὐτῆc ὑψηλὸν μέροc
ἐπὶ τὰ τοῦ πήχεωc ἐκτὸc φέρεται, τοῦτο παρὰ τὴν cχίcιν αὐτὴν τέ-
μνεται, κατ᾿ εὐθὺ μάλιcτα κείμενον τῇ πρώτῃ ῥίζῃ τῆc φλεβόc, διὸ
καὶ τάχιcτα κενοῖ τὰ τῶν κλειδῶν ὑψηλότερα χωρία· τὸ δ᾿ εἰc τὴν
καμπὴν φερόμενον λοξὸν ἧττον μὲν | τοῦδε, μᾶλλον δὲ τῶν ἄλλων 533
κενοῖ ταῦτα. τὸ δ᾿ ἀπὸ τῆc ἔνδον τῆc μεγάληc φερόμενον καὶ αὐτὸ
λοξὸν ἥκιcτα μὲν τὰ προειρημένα κενοῖ μόρια, μάλιcτα δὲ τὰ τοῦ
θώρακοc ἄνω.

ταύτην οὖν ἀξιοῖ τέμνειν πρὶν εἰc ταὐτὸν ἀφικέcθαι καὶ cυμφῦναι
τῇ τῆc ὠμιαίαc ἀπεcχιcμένῃ. μὴ φαινομένηc δ᾿ ἐνίοτε ταύτηc, ἀντ᾿
αὐτῆc τέμνομέν τινα τῶν ἔνδον, ἃc ἐπὶ τὸ τοῦ πήχεωc ὀcτοῦν κατ᾿
ἴξιν καταφέρεcθαι μεμαθήκαμεν· μὴ φαινομένων δὲ μηδὲ τούτων ἐπὶ
τὴν γινομένην ἐκ τῆc cυμφύcεωc τῶν εἰρημένων δύο φλεβῶν τῶν
λοξῶν ἀφικνούμεθα· δυναμένηc δέ ποτε καὶ ταύτηc μὴ φαίνεcθαι, τῆc
δ᾿ ὠμιαίαc φαινομένηc κἂν ἐκείνην τέμνε, γινώcκων τὰc κενώcειc, ὅθεν
ἂν γένωνται, ἀναδιδομέναc μὲν εἰc τὸ cῶμα τῶν ζῴων ὅλον, οὐ μὴν

17 ἐν τῷ Περὶ ἀγμῶν] *2. 3 (III 416 sqq. L.)*

1 δὲ *om.* S 3 τέcc. B 4 ἐπιβαίνουcαι DR: ἐπιβαίνει M 5 δὲ *om.* CD 7 φλέβαc *om.* M 8 αὐτοῦ *om.* B τοῦ τῆc πήχεοc M: τοῦ τοῦ π. BT 9 διχῇ S 10 ἐνταῦθα . . . cυγκαταcχιζομένην *(11) om.* CDR πολλοῦ *om.* S 11 cυγκαταcχιζομένην BT: ἐγκαταcχ. S: καταcχ. MV 12 ἡ ἄλλη BST καθάπερ ἥδε *om.* TV ἥδε] ἤδη *Kühn* 13 ἑτέραν BDRS μικρὸν ST 14 τὸν . . . κατὰ *(15) om.* CD αὐτὴ B: αὕτη *cett.* 16 ὡc *om.* S ἐδήλωcεν T 17 αὐτὴν S 21 μὲν οὖν DR 24 *post* ἄνω *inserunt* διὰ τὰc ῥίζαc καὶ τῆc διὰ τῆc μαcχάληc πρὸc τὴν χεῖρα φερομένηc καὶ τῆc τὰ τοῦ θώρακοc ἄνω τρεφούcηc ἐγγυτάτω ὑπαρχούcαc *a Charterio edd.*: διότι αἱ ῥίζαι καὶ τῆc διὰ τῶν μαcχαλῶν ἐπὶ τὰc χεῖραc φερομένηc καὶ τῆc τὰ ὑψηλὰ τοῦ θώρακοc τρεφούcηc ἐγγυτάτω αὐτῇ εἰcι *scribendum esse censuerat Cornarius*: *om. codd.* 25 εἰc αὐτὸν DR 26 φερομένηc M 27 πήχεοc MR 29 γενομένην ST 31 κἂν *codd.*: καὶ *a Basil. edd.* 32 γίνωνται S

οὔτε ταχέως οὔθ᾿ ὁμοίως ἐξ ἁπάσης φλεβός· ἡμεῖς δὲ καὶ ταχέως καὶ μᾶλλον τῶν ἄλλων μορίων κενῶσαι σπεύδομεν τὸ φλεγμαῖνον καὶ μά-
534 λιστ᾿ ἐπὶ τῶν ὀξέων νοσημάτων· ὅπερ ἡ ἔσω φλὲψ ἡ ἐν | ἀγκῶνι ποιεῖ, καὶ πολὺ μᾶλλον, ὅταν τὴν ῥοπὴν ἄνω τὸ πλεονάζον αἷμα φαίνηται ποιούμενον ἢ καὶ τὰ τοῦ θώρακος [ἐστιν] ὑψηλὰ πεπονθότα· τηνικαῦτα γάρ τοι τὸ βάρος μᾶλλον ἐς βραχίονα γίνεται καὶ κατὰ τὸν μασθόν. αἱ δ᾿ ἐν τοῖς κάτω μέρεσι τοῦ θώρακος φλεγμοναὶ πλησίον οὖσαι τοῦ διαφράγματος εἰς ὑποχόνδριον εἰκότως διαπέμπουσι τὰς ὀδύνας· οὔκουν αὐτὰς ὀνίνησι μεγάλως ἡ ἀπ᾿ ἀγκῶνος κένωσις ἐν τῷ μεταξὺ τῆς καρδίας κειμένης· ἤκουσας γὰρ ἄρτι τὴν τὰ κάτω τοῦ θώρακος τρέφουσαν φλέβα κατωτέρω τῆς καρδίας ἀποφύεσθαι.

ταῦτα μὲν οὖν εἴρηταί μοι περὶ τοῦ καλῶς ὑπ᾿ αὐτοῦ γεγράφθαι τέμνειν φλέβα τὴν ἐν ἀγκῶνι τὴν εἴσω· τῆς δὲ κενώσεως τοῦ αἵματος ὅρον αὐτοῦ θεμένου τὴν μεταβολὴν τῆς χροιᾶς ἐφεξῆς ἂν εἴη καὶ περὶ τοῦδε ῥητέον. ὅσον μὲν οὖν ἐν τῇ φλεγμαινούσῃ πλευρᾷ τοῦ αἵματός ἐστι, τοῦτο διὰ τὸ πλῆθος τῆς θερμασίας ὑπαλλάττεται τῇ χροιᾷ, τὸ δ᾿ ἄλλο παραπλήσιον ἐν ἅπασι τοῖς μορίοις διαμένει· ὥστε τοῦ μὲν
535 ἐν ὅλῳ τῷ σώματι φλεγματικωτέρου τυγχάνοντος ἐρυ|θρότερον ἔσται τὸ κατὰ τὴν φλεγμαίνουσαν πλευράν· ἐκείνου δ᾿ ὄντος ἐρυθροῦ κατοπτώμενον τοῦτο πρὸς τὸ μέλαν ἐκτραπήσεται· τῆς δ᾿ εἰς τὸ μέλαν ἐξ ἐρυθροῦ μεταβολῆς ἐν τῷ μεταξὺ τὸ πελιδνόν ἐστι. σημεῖον οὖν ἱκανόν ἐστι τῆς ἐκ τοῦ φλεγμαίνοντος μέρους μεταλήψεως τοῦ αἵματος ἡ τῆς χροιᾶς ὑπαλλαγή. τὸ μὲν οὖν οἰκεῖον τῷ πάθει μέτρον τῆς κενώσεως εἴρηται· τῆς δυνάμεως δέ ποτε κωλυούσης ἄχρι τοσούτου κενοῦν, εἰδέναι μὲν χρὴ τὴν ὠφέλειαν ἥττονα ἐσομένην τῷ φλεγμαίνοντι μέρει, μᾶλλον δ᾿ ἀπέχεσθαι προσήκει τοῦ καταλῦσαι τὴν δύναμιν ἢ τοῦ κενῶσαι τὸ πλεονάζον αἷμα.

II 11 [I 7. 274, 1 L.] Ἢν δὲ ὑπὸ φρένας ᾖ τὸ ἄλγημα, ἐς δὲ τὴν κληῖδα μὴ σημαίνῃ, μαλθάσσειν χρὴ τὴν κοιλίην ἢ μέλανι ἐλλεβόρῳ ἢ πεπλίῳ, μέλανι μὲν δαῦκον ἢ σέσελι ἢ κύμινον ἢ ἄνισον ἢ ἄλλο τι τῶν εὐωδέων μίσγοντα, πεπλίῳ δὲ

10 ἄρτι] *p. 170, 29* 28 Ἢν δ᾿ . . . σιλφίου *(173, 1)*] *affert Gal. XIII 373 K.* Ἢν δὲ . . . ἢ πεπλίῳ] *affert Gal. XI 161* Ἢν δὲ . . . μιγνύντας] *affert Gal. XIII 149*

1 οὔθ᾿ . . . ταχέως *om.* D καὶ *(alt.) om.* BMTV 2 μᾶλλον] μάλιστα S 5 ἐστιν *seclusi* 6 μᾶλλον *om.* B ἐς βραχίονα MRST: ἐν βραχίονι BDV 7 μασθόν MRST: μαστόν BCD 10 κειμένης . . . καρδίας *(11) om.* D τὴν *om.* M τὰ *om.* BCR κάτω] κατὰ M 12 μὲν οὖν BMST: οὖν *om.* CR 13 τὴν φλέβα R 14 τιθεμένου M χρείας M 15 καὶ V: *om. cett.* 15. 16 τῇ φλεγμαινούσῃ πλευρᾷ τοῦ αἵματός ἐστι S: τῇ φλεγμονῇ αἷμα *(hiat)* ἐστι *cett.* 23 ἀπαλλαγὴ ST 24 δ᾿ ἄν ποτε B 25 ἧττον R 26 μέρει MST: μορίῳ BRV 27 ἢ τοῦ *codd.*: ἢ *Chartier* 28 *ab* Ἢν δὲ *rursus inc.* A τὰς φρένας DR εἰς A 29 μὴ *om.* S συμβαίνῃ M κοιλίαν S ἢ *ante* μέλανι *om.* BCDS 30 σέσελι PV: σέλινον *cett.* 31 ἢ ἄνισον *om.* ABMTV: *add.* A¹P¹

ὀπὸν cιλφίου· ἀτὰρ καὶ μιcγόμενα ἀλλήλοιcιν ὁμοιότροπα
ταῦ|τ᾽ ἐcτίν. ἄγει δὲ μέλαc μὲν καλλίω καὶ κριcιμώτερα πε- 536
πλίου, πέπλιον δὲ μέλανοc μᾶλλον φυcῶν καταρρηκτικόν
ἐcτιν. ἄμφω δὲ ταῦτα ὀδύνην παύει· παύει δὲ καὶ ἄλλα cυχνὰ
τῶν ὑπηλάτων· κράτιcτα δὲ ταῦτα ὧν ἐγὼ οἶδά ἐcτιν. ἐπεὶ
καὶ τὰ ἐν τοῖcι ῥοφήμαcι διδόμενα ὑπήλατα ἀρήγει, ὅcα μὴ
ἄγαν ἐcτὶν ἀηδέα ἢ διὰ πικρότητα ἢ δι᾽ ἄλλην τινὰ ἀηδίην ἢ
διὰ πλῆθοc ἢ διὰ χροιὴν ἢ ὑποψίην τινά.

Ὅτι τὰ καθαρτικὰ φάρμακα διὰ τῆc πείραc εὑρίcκεται τίνα τε
καθαίρει χυμὸν καὶ εἰ ὅλωc καθαίρει, μεμάθηκαc ἐν τοῖc Περὶ τῆc τῶν
ἁπλῶν φαρμάκων δυνάμεωc· ὅτι μέντοι χρεία καθάρcεώc ἐcτιν, εἰ ῥέ-
πουcιν οἱ πλεονάζοντεc χυμοὶ κάτω, καὶ τῷ λόγῳ μὲν ἐπενοήθη, τὴν
μαρτυρίαν δὲ καὶ βεβαίωcιν ἐκ τῆc πείραc ἔcχεν. αὐτὸc οὖν ὁ Ἱππο-
κράτηc ἐδίδαξέ cε τὰc δυνάμειc ὧν δίδωcι φαρμάκων ἐν τοῖc τοι-
ούτοιc πάθεcι, τὸν μέλανα ἐλλέβορον ἐκκενοῦν εἰπὼν κριcι|μώτερα, 537
τὸ δὲ πέπλιον φυcῶν εἶναι καταρρηκτικώτερον. εἴη δ᾽ ἂν αὐτῷ
κριcιμώτερα λεγόμενα τὰ μᾶλλον κρίcιν ποιοῦντα τοῦ νοcήματοc,
ὅπερ ἐcτὶ δυνάμει ταὐτὸν τῷ ὠφελιμώτερα.

ἁπάντων δὲ τῶν καθαιρόντων φαρμάκων κακούντων τὴν γαcτέρα
καὶ μάλιcτ᾽ αὐτῆc τὸ cτόμα, διότι νευρωδέcτατόν τε καὶ αἰcθητικώτα-
τόν ἐcτιν, ἡ μῖξιc ἐπενοήθη τῶν εὐωδῶν, ὅπωc μὴ μόνη μηδ᾽ ἀκραι-
φνὴc ἡ δύναμιc τῶν καθαιρόντων φαρμάκων ἅπτηται τοῦ cτόματοc
τῆc γαcτρόc. μιγνύμενα δ᾽ ἀλλήλοιc τό τε πέπλιον καὶ τὸν ἐλ-
λέβορον ὁμοιότροπά φηcιν εἶναι, τουτέcτιν ὁμολογεῖν ταῖc δυνά-
μεcι καὶ κατὰ μηδὲν cταcιάζειν. ἡ γὰρ cτάcιc ἐν ταῖc μίξεcι τῶν καθαι-
ρόντων γίνεται φαρμάκων, οὐχ ὅταν αὐτῶν τὸ μὲν χολῆc, εἰ τύχοι,
τὸ δὲ φλέγματοc ᾖ κενωτικόν, (ἀμφότερα γὰρ ἐκκενοῦcθαι δύναται
κατὰ τὸν αὐτὸν χρόνον), ἀλλ᾽ ὅταν τὸ μὲν εὐθέωc, τὸ δὲ μετὰ πολὺ
τῆc προcφορᾶc πεφύκῃ κινεῖν τὴν κάθαρcιν· ἀνώμαλοc γὰρ οὕτωc ἡ
κένωcιc γίνεται προcενεχθέντων ἅμα. λέγω δὲ ἀνώμαλον, ὅταν ἤδη

10. 11 Περὶ τῆc τῶν ἁπλῶν φαρμάκων δυνάμεωc] *III 24 (XI 610—618 K.)*
19 ἁπάντων . . . γαcτρόc *(23)*] *exc. Orib. VII 25, 1 (II 88 Daremb.)*
25 ἡ γὰρ . . . γίνηται *(174, 1)*] *exc. Orib. VII 25, 3 (II 89)*

1 ὀπὸν *om.* V αὐτὰρ DR μιcγόμενα DR: τὰ μιcγ. ABMSTV
2 μὲν *om.* A κριcιμώτερον AV πεπλίου *ante* καλλίω *transp.* A 3 μᾶλλον *om.* P: *add.* P^1 *in mrg.* καταρρηκτικώτερον DP^1S: καταρρηκτικόν *cett.*
4 ἐcτιν *cum Hipp.* DP: *om. cett.* ἄμφω δὲ ... ὑποψίην τινά *(8)* ACDR *et in mrg.* M^1: *om.* BMSTV cυχνὰ A: πολλὰ *cett.* 5 τῶν . . . ταῦτα *om.* M^1 ἐcτιν *om.* M^1 5. 6 ἔπειτα καὶ ἐν M^1 6 τὰ *add.* A^1 ὅcα A: ὁκόcα *cett.*
7 ἀηδῆ A *post* ἀηδέα *add.* λίην DM^1R: λύειν P, *edd.* ἢ διὰ *(prius)* AM^1: ἢ καὶ CDR 8 διὰ χροιὴν A: διὰ *om. cett.* ὑποψίην $ACDM^1$: ὑπερ-οψίην PR 10 περὶ τῆc *om.* AB: τῆc *om.* DR 11 μέντοι] μὲν DR
15 ἐλλέβορον τὸν μέλανα A κριcιμώτατα A 19 τῶν *add.* A^1 20 αὐτῆc M: ταύτηc *cett.* νευρῶδεc ἐcτὶ καὶ αἰcθητικὸν A τε *om.* S αἰcθητικὸν M
23 τό τε MR: τὸ *cett.* τὸν BSTV: τὸ *cett.* 25 γὰρ AMS: γάρ τοι BRV 26 φαρμ. γίν. AS: γιν. τῶν καθ. φαρμ. T τύχη MR 27 ᾖ] ἐcτὶ A ἢ κενοῦν S κενοῦcθαι P 28 πολλῆc MV

538 παύε|cθαι δοκούcης ἀρχὴ πάλιν ἑτέρας κενώcεως γίνηται· τὸ γάρ τοι θᾶττον εἰωθὸς καθαίρειν φάρμακον cυνεκκενοῖ τι καὶ θατέρου, ὥcτ᾽ ὀλίγον αὐτοῦ καταλειπόμενον ἀcθενέcτερον γινόμενον ἔτι καὶ μᾶλλον ὀψιαίτερον τῆc οἰκείας καθάρcεωc ἄρχεται. τῇ τ᾽ οὖν προθεcμίᾳ τῆc κενώcεωc ὁμοιότροπόν ἐcτι τῷ ἐλλεβόρῳ τὸ πέπλιον, ὑπάγειν τε καὶ αὐτὸ πέφυκε παραπληcίωc ἐλλεβόρῳ μέλανα χυμόν.

τὰ δ᾽ ἄλλα καὶ τῆcδε τῆc ῥήcεωc καὶ τῶν ἐφεξῆc δῆλα. γινώcκειν μὲν οὖν αὐτὰ χρὴ καὶ μεμνῆcθαι, χρῆcθαι δ᾽ οὐ διὰ παντὸc ἐπὶ τῶν πλευριτικῶν, ἀναμιμνηcκομένουc ἐκείνου τοῦ ἀφοριcμοῦ, καθ᾽ ὅν φηcιν· "ἐν τοῖc ὀξέcι πάθεcιν ὀλιγάκιc καὶ ἐν ἀρχῇcι τῇcι φαρμακείῃcι χρηcτέον". ὅταν οὖν μὴ μόνον ὀξὺ τὸ πάθοc ᾖ, καθάπερ ἐcτὶν ἡ πλευρῖτιc, ἀλλὰ καὶ μετὰ πυρετοῦ cφοδροτάτου, πολλῷ μᾶλλον εὐλαβητέον ἐcτὶ τὴν δόcιν τοῦ καθαίροντοc φαρμάκου καὶ διὰ φλεβοτομίαc κενωτέον μᾶλλον, εἰ καὶ πρὸc ὑποχόνδριόν ἐcτιν ἡ ὀδύνη περαινομένη, μικροτέραc μὲν ὠφελείαc ἢ τῆc διὰ καθάρcεωc ἑπομένηc, ἀcφαλεcτέραc δὲ μακρῷ,
539 μᾶλλον δὲ κίνδυνον μὲν | οὐδ᾽ ὁντινοῦν τῆc διὰ φλεβοτομίαc ἐχούcηc, μεγίcταιc δ᾽ ἀποτυχίαιc τῆc διὰ καθάρcεωc περιπιπτούcηc, καὶ μάλιcθ᾽ ὅταν ἀπείρωc τιc ἔχῃ τῆc τοῦ κάμνοντοc φύcεωc. ἔνιοι μὲν γάρ εἰcι φύcει δυcκάθαρτοι, τινὲc δ᾽ ἐπὶ βραχείᾳ φαρμάκου πόcει δαψιλῶc καθαίρονται.

ὅcοιc δ᾽ εὔλογόν ἐcτι διδόναι, τὸ πλῆθοc τοῦ φαρμάκου τοcοῦτον ἔcτω, ὅcον ἐπὶ τῶν πλείcτων οἶcθα καὶ πεπείραcαι cυμμέτρωc κενοῦν. ἀγνοοῦντα δ᾽ ὅπωc ἔχει φύcεωc ὁ ἄνθρωποc, κίνδυνοc ἢ πλείονα κένωcιν ἐργάcαcθαι τῆc προcηκούcηc ἢ οὐδ᾽ ὅλωc κινῆcαι τὴν κάθαρcιν, ἢ κινῆcαι μέν, οὐ μὴν ἱκανῶc γε κενῶcαι. ταῦτα δὲ πάντα μεγίcταc βλάβαc φέρει τοῖc ὀξέωc νοcοῦcιν, οὐχ ὥcπερ ἐπὶ τῶν ἀπυρέτων ἐπανορθοῦται ῥᾳδίωc. ὅταν οὖν ὁ πυρετὸc ᾖ μὴ cφοδρόc, ἔμπειρόc τε ᾖc τῆc τοῦ κάμνοντοc φύcεωc, εἰc τὴν τοῦ καθαίροντοc φαρμάκου δόcιν ἀφίξῃ χρώμενοc ἤτοι τοῖc ὑφ᾽ Ἱπποκράτουc εἰρημένοιc ἢ καί τιcιν ἄλλοιc τῶν ὁμοιοτρόπων, ὧν ἐcτι καὶ τὸ διὰ τῆc κολοκυνθίδοc, ἱερὰν
540 δ᾽ αὐτὴν cυνήθωc ὀνομά|ζουcι. ποικίλωc δ᾽ αὐτῆc cκευαζομένηc ἢ τὸν

9 ἀφοριcμοῦ] *Hipp. Aphor. I 24 (IV 470 L.)* 11 ὅταν ... φαρμάκου *(13)*] *exc. Orib. VII 23, 36 (II 86 Daremb.)* 17 καὶ μάλιcθ᾽ ... καθαίρονται *(20)*] *exc. Orib. VII 23, 36 (II 86 D.)* 27 ὅταν οὖν ... ὑπήλατον *(175, 2)*] *exc. Orib. l. l. 37* 30 διὰ τῆc κολοκυνθίδοc] *cf. Gal. XIV 327 K.*

1 παύεcθαι *superscr.* πε A γίνεται BRV 2 θατέρου ADMS: ἐκ θ. RV 3 ἀcθ. τε γινόμενον M 4 τ᾽ οὖν ABMT: γοῦν SV: οὖν DR 7 καὶ *post* ἄλλα *om.* A τῶν] τῆc B: τοῖc A 9 ἀναμιμνηcκόμενον B: ἀλλ᾽ ἀναμ. S 10 ἀρχῇcι τῇcι φαρμακίῃcι χρηcτέον (*om.* εἶναι) M: ἀρχαῖc χρηcτέον εἶναι ταῖc φαρμακείαιc *cett.* 11 *post* οὖν *ins.* φηcὶ *omnes praeter* V ᾖ] ἐcτὶν M ἡ πλ. ἐcτὶν M 12 πολὺ B 14 περαιουμένη CR μὲν γὰρ M 15 ἢ *om.* BMTV ἐcομένηc ABCDS 17 τῆc διὰ τῆc καθ. BCDR 19 δυcκ. φύcει M 19. 20 καθ. δαψ. DR, *Orib.* 21 ὅcοι M 22 μετρίωc DR 23 ὁ *om.* A πλέονα BSV 25 γε *om.* AM κενῶcαι *codd.*: κεκενῶcθαι *edd.* 26 ὁ *ante* οὐχ *add. Cornarius* 27 τε ᾖc] τιc ᾖc S 28 εἰc ABM: ἐc DRS: ἐπὶ *Orib.* 31 αὐτὴν S, *Orib.*: αὐτὴν ἤδη BDMRT: ἤδη *post* ὀνομάζουcιν *transp.* A

ἐλλέβορον μὲν εἰληφυῖα, τὴν σκαμμωνίαν δ᾽ οὐκ ἔχουσα κάλλιστόν ἐστι φάρμακον ἐπὶ τῶν δυναμένων ὅλως λαβεῖν φάρμακον ὑπήλατον.

II 12 [I 7. II 276, 3 L.] Τῆς μέντοι πτισάνης, ὅταν πίῃ τὸ φάρμακον, ἐπιρροφεῖν αὐτίκα χρὴ διδόναι, μηδὲν ἔλασσον ἀξίως λόγου ἢ ὅσον εἴθιστο.

Καὶ ἄλλως μὲν χρὴ προνοεῖσθαι τοῦ στόματος τῆς γαστρός, ὃ δὴ καὶ στόμαχον ὀνομάζουσιν, ὡς διαμένειν ἀβλαβὲς ἐν ταῖς τῶν καθαιρόντων φαρμάκων πόσεσι, μάλιστα δ᾽ ὅταν ἐπὶ τῶν πυρεττόντων διδῶταί τι τοιοῦτον. μία δὲ τοῦ μὴ βλαβῆναι φυλακὴ τὸ μὴ μόνον εἶναι τὸ καθαῖρον φάρμακον ἄκρατόν τε καὶ ἄμικτον ἑτέρων τῶν ἀμβλύνειν αὐτοῦ τὴν κακίαν πεφυκότων. ἐναντία γὰρ ἡ φύσις ἐστὶν ἁπάντων τῶν καθαιρόντων φαρμάκων ταῖς τῶν καθαιρομένων | σωμάτων καί, 541 ὡς ἂν εἴποι τις, ὀλέθριός τε καὶ δηλητήριος αὐτῶν. ἀλλ᾽ ὥσπερ ὀποῦ μήκωνος μανδραγόρου τε καὶ ὑοσκυάμου καὶ ἄλλων πολλῶν τοιούτων φαρμάκων ἐναντίων ταῖς τε οὐσίαις καὶ ταῖς δυνάμεσιν ὄντων ἡμῶν καὶ φθείρειν πεφυκότων τὰ σώματα βραχὺ δή τι μέρος λαμβάνοντες ἀπολαύομεν ἐξ αὐτῶν μεγάλης ὠφελείας, οὕτω καὶ τῶν καθαρτικῶν φαρμάκων ἐναντίας οὔσης τῆς φύσεως τῇ τῶν ἡμετέρων σωμάτων, ὀλίγον τι τῆς οὐσίας μέρος ἀποτεμνόμενοι, πρὸς ὠφέλειαν χρώμεθα.

καθάπερ δὲ ἐν αὐτῷ τῷ πίνειν αὐτὰ μίγνυταί τινα τῶν εὐωδῶν σπερμάτων, ἃ καὶ τὴν κακίαν πέφυκεν ἀμβλύνειν καὶ τὴν ἐνέργειαν αὐτῶν μὴ κωλύειν λεπτυντικῆς τε καὶ τμητικῆς ὄντα δυνάμεως, ὡς καὶ τοὺς παχεῖς χυμοὺς τέμνειν καὶ τὰς ὁδοὺς αὐτῶν δι᾽ ὧν ἐκκενοῦνται διοίγειν τε καὶ ἀναστομοῦν, οὕτω καὶ μετὰ τὸ ληφθῆναι συμφέρει τῆς πτισάνης ἐπιρροφεῖν. αὐτὸ μὲν γὰρ τὸ καθαρτικὸν φάρμακον ὡς ἂν ὀλίγον ὂν εἰς τὸν πυθμένα τῆς κοιλίας ἀφικνεῖται· κατὰ δὲ τὴν δίοδον ὁ στόμαχος ὅσον τε ὑψηλότερον τῆς γαστρὸς οὐ μόνον τῆς ποιότητος τοῦ καθαί|ροντος φαρμάκου, ἀλλὰ καὶ τῆς οὐσίας προσιζούσης 542 ἐν τῇ διόδῳ μεταλαμβάνων μεγάλως βλάπτεται. χρήσιμος οὖν ὁ χυλὸς τῆς πτισάνης ἐπιρροφούμενος, ὡς ἂν ἀπορρύψαι μὲν καὶ κατασῦραι

21 ἃ καὶ . . . ἀναστομοῦν *(24)*] *exc. Orib. VII 25, 2 (II 89 Daremb.)*
24 μετὰ τὸ . . . καθαίροντος φαρμάκου *(28)*] *exc. Orib. VII 23, 39—41 (II 86—87 D.)*

1 μὲν *om.* BP 2 δυν. ὅλως BRV, *Orib.*: ὅλ. δυν. AMS 3 τὴν μ. πτισάνην P, *edd.* ὅταν *codd.*: ὁκόταν *edd.* 4 ἔλαττον AMS 5 ὅσον *codd.*: ὁκόσον *edd.* εἴθιστο *codd.*: εἴθισται *edd.* 8 πυρεττόντων *codd.*: πυρετῶν *a Charterio edd.* δίδωται S: δίδοται AMT: διδόναι BCDR 9 μὴ *(prius)* *om.* TV 11 ἐστὶν *ante* ἡ φ. *transp.* DRV: *post* ἁπάντων A 13 εἴπῃ ABM αὐτοῦ M ἀλλ᾽ ὥσπερ] ὥσπερ δὲ V 14. 15 φαρμ. τοιούτων S 15 ταῖς *ante* δυν. *om.* A 16 τὰ σώματα *om.* T δή AMT: δεί S: δέ BC: *om.* R 18 φαρμάκων *om.* BDRV τῇ *om.* R: τῆς M 19 ὑποτεμν. V 22 μὴ *om.* T τε *om.* A 23 τέμνειν *Orib.*: τέμνεσθαι *codd.* ἐκκενοῦται BDR 24 διοίγειν A: διανοίγειν A[1] 27 ὅ τε στόμ. ὅσον τε *Orib.* 27. 28 τῆς ποιότητος *post* φαρμάκου *transp.* S 28 προσιούσης M 29 μεταλαμβάνον ABST: μεταλαμβάνοντα *Orib.* 30 ἀπορρίψαι MS μὲν] τε M

κάτω τὸ προσπεπλασμένον ἐν τῇ διόδῳ δυνάμενος, ἐπικεράσαι δὲ καὶ ὑπαλλάξαι τὴν ἐνιζηκυῖαν τοῖς μορίοις ποιότητα τοῦ φαρμάκου. διὰ ταῦτα μὲν οὖν ἐπὶ τῇ τοῦ καθαρτικοῦ φαρμάκου πόσει κελεύει πτισάνης ἐπιρροφεῖν, ἀρξαμένης δὲ γίνεσθαι τῆς καθάρσεως οὐκέτι βούλεται δίδοσθαι τῆς πτισάνης, εὐλαβούμενος ἐκλυθῆναι τὴν ἐνέργειαν τοῦ καθαίροντος φαρμάκου· καὶ διὰ τοῦτό φησιν·

II 13 [I 7. II 276, 5 L.] Ἔπεὶ καὶ κατὰ λόγον ἐστὶ μεσηγὺ τῆς καθάρσεως μὴ διδόναι ῥοφεῖν· ὅταν δὲ λήξῃ ἡ κάθαρσις, τότε ἔλασσον ῥοφείτω ἢ ὅσον εἴθιστο· μετὰ δὲ τοῦτο ἀναγέτω ἀεὶ ἐπὶ τὸ πλεῖον, ἤν ἥ τε ὀδύνη πεπαυμένη ᾖ καὶ μηδὲν ἄλλο ἐναντιῶται. |

543 Ἐναντίως ἐγίνωσκε περὶ τούτου τοῖς πολλοῖς τῶν νῦν ἰατρῶν ὁ Ἱπποκράτης. οὗτοι μὲν γὰρ ὅταν κενώσωσι, τρέφουσι δαψιλῶς, ὁ δ' Ἱπποκράτης ἔλασσον ἀξιοῖ δίδοσθαι τῆς πτισάνης μετὰ τὴν κάθαρσιν. ἡ γάρ τοι τῶν καθαρθέντων σωμάτων δύναμις ἐν τῇ καθάρσει κεκμηκυῖα φέρειν οὐ δύναται τὴν τροφὴν οὐδὲ κατεργάζεσθαι καλῶς, εἰ μὴ παντελῶς εἴη βραχεῖα. τοσοῦτον οὖν τοῖς καθαρθεῖσι διδόναι τοῦ χυλοῦ χρὴ τὴν πρώτην, ὅσου κρατῆσαι δύνανται· εἶτ' εὐθὺς κατὰ βραχὺ παραυξάνειν, ἐὰν ἥ τ' ὀδύνη, φησί, παύσηται καὶ μηδὲν ἄλλο κωλύῃ. τὸ μὲν οὖν τῆς ὀδύνης πρόδηλόν ἐστι, τὸ δὲ μηδὲν ἄλλο κωλύῃ ἀκουστέον ἐπὶ τοὺς προειρημένους σκοποὺς ἀναφέροντα, ἐν οἷς ἐδίδασκεν, ὁπηνίκα χρὴ διαιτᾶν τοὺς ὀξέως νοσοῦντας ἄνευ ῥοφημάτων. ἔστι δ' αὐτῶν τὸ κεφάλαιον, ὅταν ἤτοι προκριθήσεσθαι τὴν νόσον ἐλπίσωμεν ἄνευ τοῦ δεηθῆναι ῥοφήματος, ἢ ἐφ' ὧν παντελής ἐστιν ἡ ἀπεψία τοῦ κατὰ τὴν φλεγμονὴν χυμοῦ. |

544 **II 14** [I 7. II 276, 9 L.] Ὡυτὸς δέ μοι λόγος ἐστίν, καὶ ἢν χυλῷ δέῃ πτισάνης χρῆσθαι.

Παραπλήσιον τῇ τε πτισάνῃ καὶ τῷ χυλῷ τὸν καιρὸν τῆς δόσεως ἔφησεν εἶναι καὶ διὰ τῶν ἔμπροσθεν ἑνὶ μόνῳ τὴν διαφορὰν αὐτῶν ἀφορισάμενος, τῷ τὴν ἀρχὴν τῆς δόσεως ἀπὸ τοῦ χυλοῦ ποιεῖσθαι.

21 προειρημένους] *I 44 (p. 160 sqq.)* 29 ἔμπροσθεν] *p. 162, 10*

1 πεπλασμένον S δὲ V: τε *cett.* 3 καθαρτικοῦ φαρμάκου MST: φαρμ. *om.* ABCR 4 τῆς καθ. γιν. DR βούλεσθαι A: *om.* B 7 Ἐπεὶ καὶ S: ἐπειδὴ M: καὶ *om. cett.* μεσηγὺ] μέση γὰρ M 8 ῥοφεῖν] ῥοφήν V: τροφὴν D ὅταν *codd.*: ὁκόταν *edd.* 9 ἔλαττον MT ῥοφείτω (εἶτο AM) *codd.*: ῥοφεέτω *edd.* ὅσον *codd.*: ὁκόσον *edd.* εἴθιστο *codd.*: εἴθισται *edd.* ἀναγαγέτω B 10 ᾖ] εἴη DMR 11 ἐναντιῶτο *codd.*: *corr. Cornarius* 12 ἐναντίον M τούτων A¹BDS: περὶ τούτου *om.* AT ἰατρῶν *om.* M 13 ὅτε MST 14 τὴν *om.* R 15 καθαιρόντων A: *corr.* A¹ 16 τὴν *om.* V καλῶς] ἁπλῶς R 18 ὅσου *codd.*: ὅσον *edd.* δύναται ABV 21 κωλύῃ S: κωλύειν *cett.* σκοποὺς AMS: διορισμοὺς BDR 22 ἐδίδαξεν V ῥοφήματος S 23 προκριθήσεται AM: *corr.* A¹ 24 παντελῶς S 26 ὡυτὸς ABST δέ *om.* A 27 καὶ *ante* χυλῷ *iterat* T χρῆσθαι T: χρήσασθαι *cett.* 28 τε *om.* M

II 15 [I 7. II 276, 10 L.] Φημὶ γὰρ ἄμεινον εἶναι αὐτίκα ἄρξασθαι τὸ ἐπίπαν ῥοφεῖν μᾶλλον ἢ προκενεαγγήσαντα ἄρξασθαι τοῦ ῥοφήματος τριταῖον ἢ τεταρταῖον ἢ πεμπταῖον ἢ ἑκταῖον ἢ ἑβδομαῖον, ἤν γε μὴ προκριθῇ ἡ νοῦσος ἐν τούτῳ τῷ χρόνῳ.

Ὃ κατὰ τοὺς Ἀφορισμοὺς ἔγραψε, τούτῳ καὶ νῦν ἀκολουθεῖ βουλόμενος ἐν πάσῃ νόσῳ τὸ λεπτότατον τῆς διαί|της ἐν τῷ τῆς ἀκμῆς 545 τοῦ νοσήματος καιρῷ παραλαμβάνεσθαι. ἐὰν οὖν αὕτη τῇ πέμπτῃ τῶν ἡμερῶν μέλλῃ γίνεσθαι καὶ μὴ δύνηται τοῖς πόμασι μόνοις χρώμενος ὁ κάμνων ἐξαρκέσαι, βέλτιον εἶναί φησιν εὐθέως ἀπ᾽ ἀρχῆς αὐτῷ δίδοσθαι τῆς πτισάνης, οὐ κατὰ τὴν τρίτην ἢ τετάρτην ἡμέραν ἄρξασθαι τῆς δόσεως. οὕτω δὲ καὶ τοὺς ἐν τῇ πέμπτῃ τῶν ἡμερῶν ἢ τῇ ἕκτῃ ἢ τῇ ἑβδόμῃ τοῦ ῥοφήματος ἀρχομένους ἁμαρτάνειν φησίν, ἐάν γε μὴ τύχῃ προκριθὲν ἐν τούτῳ τῷ χρόνῳ τὸ νόσημα, τῆς κρίσεως, ὡς ἔφην, ἀκουομένης οὐ μόνον τῆς τελείας ἀπαλλαγῆς, ἀλλὰ καὶ τῆς ἀξιολόγου μεταβολῆς.

II 16 [I 7. 8. II 278, 2 L.] Αἱ δὲ προπαρασκευαὶ καὶ τούτοισι παραπλήσιοι ποιητέαι, ὁκοῖαί περ εἴρηνται. περὶ μὲν οὖν ῥοφήματος προσάρσιος οὕτω γινώσκω.

Καὶ οἷς ἀπ᾽ ἀρχῆς διδόναι μέλλεις τὸ ῥόφημα, τὴν προπαρασκευὴν ὁμοίως ἀξιοῖ γενέσθαι, τουτέστιν εἴτε φλεβοτο|μίας ἐστὶν εἴτε 546 κλύσματος ἢ βαλάνου χρῆσις, ἐκεῖνο πράττειν κελεύει πρότερον.

II 17 [I 8. II 278, 6 L.] Ἀτὰρ καὶ περὶ ποτοῦ, ὁκοῖον ἄν τις μέλλῃ πίνειν, τῶν προσγραφησομένων ὡυτός μοι λόγος τὸ ἐπίπαν ἐστίν.

6 Ἀφορισμοὺς] *Hipp. Aph. I 8 (IV 464 L.); cf. Gal. ad hunc locum XVII B 376 sq.* 15 ἔφην] *p. 145, 1* 18 εἴρηνται] *cf. p. 160, 7. 169, 1*

2 τουπίπαν R κενεαγγ. M 3 ἢ τριταῖον DR 3. 4 ἢ ἑκταῖον *om.* M 4 μὴ *add.* A[1] τούτω ABMSV: τοσούτω DR 6 ὧ AST τοῦτο BM: τοσούτω D 7. 8 ἐν τῶ τῆς ἀκμῆς τοῦ νοσήματος καιρῶ AMST: ἐν τῇ τοῦ νοσ. ἀκμῇ BCRV 9 γενέσθαι S: κρίνεσθαι R[1] *in mrg.* δύναται M 10 αὐτοῦ A 11 ἢ τετ. ἡ. BMST: ἡμ. ἢ τετ. A: ἢ τὴν τετ. ἡ. RV ἡμέραν *om.* V 12 οὕτω(ς) δὲ *codd.*: οὕτως οὖν *ab Aldo edd.* ἐν *om.* B 13 ἀρχομένη S 14 γε] τε S 17 δὲ *om.* S *post* καὶ *add.* ἐπὶ M τούτοισι *codd.*: τουτέοισι *a Charterio edd.* 18 παραπλήσιοι *om.* AT ποιητέαι *om.* S ὁκοῖαι προείρηνται A περὶ μὲν . . . γινώσκω *(19) exhibent* AS: *om. cett.* οὖν] τοῦ A 19 οὕτω] τάδε S 20 διδόναι μέλλεις (ει MT) AMST: μ. δ. BCD παρασκευὴν A 21 γενέσθαι *superscr.* γρ. λέγεσθαι C εἴτε] ἢ M (*ante* φλ.) ἐστὶν *om.* M εἴτε] ἢ MS 23 Ἀτὰρ ABMS: αὐτὰρ *cett.* ποτοῦ] τόπου M 24 προσ(προ DS)γραφησομένων *codd.*: γραφ. *ab Aldo edd.* τὸ *codd.*: ὡς *a Charterio edd.*

Κἂν ⟨εἰ⟩ χωρὶς πτισάνης ἐπὶ πομάτων μόνων διαιτῴης τὸν κάμνοντα, τὰς εἰρημένας προπαρασκευὰς ἀξιοῖ ποιεῖσθαί σε, τουτέστιν ἢ φλεβοτομεῖν ἢ κλύζειν ἢ βαλάνῳ χρῆσθαι.

II 18 [I 8. II 278, 8 L.] Οἶδα δὲ τοὺς ἰητροὺς τὰ ἐναντιώτατα ἢ ὡς δεῖ ποιέοντας· βούλονται γὰρ πάντες ὑπὸ τὰς ἀρχὰς τῶν νούσων προταριχεύσαντες τοὺς ἀνθρώπους ἢ δύο ἢ τρεῖς ἡμέρας ἢ καὶ πλείονας, οὕτω προσφέρειν τὰ ῥοφήματα καὶ τὰ ποτά. καὶ ἴσως τι καὶ εἰκὸς δοκέει αὐτοῖς εἶναι, μεγάλης τῆς **547** μεταβολῆς γινομένης τῷ σώματι, μέγα τι κάρτα | καὶ ἀντιμεταβάλλειν· τὸ δὲ μεταβάλλειν μὲν εὖ ἔχει μὴ ὀλίγον· ὀρθῶς μέντοι γε μεταβιβαστέη καὶ ἡ μεταβολὴ καὶ ἔκ γε τῆς μεταβολῆς ἡ πρόσαρσις τῶν γευμάτων ἔτι μᾶλλον.

Μέμφεται τοὺς ἰατρούς, ὅσοι ταῖς πρώταις ἡμέραις ἐν ἀσιτίᾳ παντελεῖ φυλάξαντες τοὺς κάμνοντας ἀθρόως μετάγουσιν, ἔνιοι μὲν ἐπὶ τὴν τῶν ῥοφημάτων προσφοράν, ἔνιοι δὲ ἐπὶ τὴν τῶν ποτῶν. οὐ μὴν ἐμνημόνευσέ γε τῶν ἔτι καὶ τούτων αὐτῶν τροφὰς ἰσχυροτέρας διδόντων πρὸ τοῦ πεφθῆναι τὴν νόσον· εἴωθε γάρ, ὥσπερ καὶ πρόσθεν ἔφην, ἐνίοτε τὰ μέγιστα τῶν ἁμαρτημάτων ἀνεξέλεγκτα καταλείπειν, ἐξ ὧν τὰ μικρότερα διέβαλλε καὶ τὴν ἀπ᾽ ἐκείνων ἐνδεικνύμενος βλάβην. ὅσοι δ᾽ οὕτω μεταβάλλουσιν, ἴσως οἴονται, φησί, κατὰ λόγον μεταβάλλειν, ἐπὶ μεγάλῃ τοῦ σώματος μεταβολῇ ἀξιόλογον καὶ τὴν τῆς διαίτης ὑπαλλαγὴν ποιούμενοι. τοῦτο μὲν οὖν καλῶς ὑπειληφέναι φησὶν αὐτούς, **548** οὐ μὴν ἅπασάν γε μεταβολήν, ἀλλά τινα οἰητέον | εἶναι, περὶ ἧς τὸ μέν τι προείρηκε, τὸ δὲ καὶ λέξει, κατασκευάζων τῷ λόγῳ φυλάττεσθαι τὰς ἀθρόας μεταβολάς.

II 19 [I 8. II 280, 3 L.] Μάλιστα μὲν οὖν βλάπτοιντο ἄν, εἰ μὴ ὀρθῶς μεταβάλλοιεν, οἱ ὅλῃσι τῇσι πτισάνῃσι χρεόμενοι,

4 Οἶδα . . . ποτά *(8)*] *affert Gal. XV 23 K.* 10 τὸ δὲ . . . ἔτι μᾶλλον *(12)*] *affert Gal. XIX 198 K.* τὸ δὲ . . . μεταβολὴ *(11) laudat p. 194, 2* 17 πρόσθεν] *p. 126, 28 sqq.*

1 εἰ *addidi* πομάτων AMS: τῶν πομάτων DRV: τῷ πόματι B μόνων M: μόνην S: μόνῳ B: *om.* D διαιτῇς M: διαιτῴης *ante* ἐπὶ *transp.* S 2 παρασκευὰς M 3 χρήσασθαι M 4 δὲ] γὰρ B: δὲ καὶ CDR ἰατροὺς *codd.*: ἰητροὺς *Gal. l. l.* τὰ *om.* AS 5 ἅπαντες A 8 αὐτοῖς *codd.*: αὐτέοισιν *a Charterio edd.* 9 γιν. *codd.*: γεν. *Chartier* 10 τὸ δὲ CDR: *om.* BMTV: τὸ δὲ μεταβ. *om.* A: *add.* A[1] *in mrg.* μὲν] δὲ M: *om.* A μὴ] εἰς ABM: εἰ TV 11 μέντοι γε ADRS: μέντοι TV μεταβιβαστέη καὶ (*add.* A[1]: κ᾽ ἡ V) ATV: μ. χὴ CDR: ποιητέα καὶ βεβαία ἡ S: *in* M *haec verba legi non possunt* 12 γευμάτων ἔτι μᾶλλον *om.* T 13 ἡμέραις *om.* BV 15 τὴν *(prius) om.* B πόνων T 17 εἰώθει BDMS 18 διαμαρτημάτων CDR 19 διέβαλε A: διέβαλον B: ἔβαλε T 20 ἴσως *om.* M οἴονται] δεῖ οἷόν τε CDR 21 τοῦ *codd.*: τῇ τοῦ *ab Aldo edd.* 22 οὖν *om.* CDR *post* οὖν *add.* αὐτὸ CDR: *om. cett.* ὑποληφθῆναι A 24 μέν τοι MV τὸ δὲ AMST: τὸ δέ τι BCDR φυλάττ. *om.* M 26 ἂν *om.* ABSTV εἰ *codd.*: ἣν *Kühn* 27 ὅλῃσι τοῖσι M χρώμενοι A: χρόμ. B

βλάπτοιντο δ' ἂν καὶ οἱ μούνῳ τῷ χυλῷ χρεόμενοι, βλάπτοιντο δ' ἂν καὶ οἱ μούνῳ τῷ ποτῷ χρεόμενοι, ἥκιστα δὲ οὗτοι.

Τὴν εἰρημένην ὀλίγον ἔμπροσθεν ἀθρόαν μεταβολὴν τῆς διαίτης, καθ' ἣν ταῖς πρώταις ἡμέραις ἐν ἀσιτίᾳ παντελεῖ φυλάξαντες τοὺς κάμνοντας ἄρχονται τρέφειν περὶ τὴν τετάρτην ἡμέραν, μάλιστα μὲν βλάπτειν φησίν, ἐὰν ἐπὶ τὴν ὅλην πτισάνην μεταβάλλωσιν, ἔλαττον δ', ὅταν ἐπὶ τὸν χυλόν, ἥκιστα δέ, τουτέστιν ἐλάχιστα, βλάπτειν τοὺς ἐπὶ μόνα τὰ ποτὰ παραγινομένους· κατὰ γὰρ τὸ μέγεθος τῆς δυνάμεως τοῦ προσφερομένου καὶ τὸ τῆς βλάβης γίνεται μέγεθος. |

II 20 [I 9. II 280, 8 L.] Χρὴ δὲ καὶ τὰ μαθήματα ποιεῖσθαι 549
ἐν τῇ διαίτῃ τῶν ἀνθρώπων ἔτι ὑγιαινόντων, οἷα συμφέρει· εἰ γὰρ δὴ τοῖσί γε ὑγιαίνουσι φαίνονται διαφέροντα μεγάλα τὰ τοῖα ἢ τοῖα διαιτήματα, καὶ ἐν ἄλλῳ τινὶ καὶ ἐν τῇσι μεταβολῇσι, πῶς οὐχὶ καὶ ἐν τῇσι νούσοισι διαφέρει μέγα καὶ τούτων ἐν τῇσιν ὀξυτάτῃσι μέγιστα;

Ἀποδεικνύειν ἤρξατο τὴν προειρημένην ὑπ' αὐτοῦ περὶ τῆς διαίτης δόξαν, ἐλέγχων ἅμα τοὺς ἐναντίως διαιτῶντας· ἵνα δὲ σαφὴς ὁ λόγος γένηται, τὸ κεφάλαιον αὐτοῦ σύμπαν ἄμεινόν μοι δοκεῖ προειπεῖν. ἔστι δὲ τῶν εἰς αὐτὸ λαμβανομένων λημμάτων τὸ μὲν ἕτερον ἀξίωμα καθόλου τοιοῦτον· ἐὰν τοῖς ὑγιαίνουσι βλάβην φέρωσιν αἱ ἀθρόαι τῆς διαίτης ἐπὶ τἀναντία μεταβολαί, πολὺ μᾶλλον τοῖς νοσοῦσιν· ὃ καὶ πολυειδῶς ἔστιν ἑρμηνεύειν ἄλλοτ' εἰς ἄλλην λέξιν μεταλαμβάνοντας, οἷον οὕτως· ἐπὶ τῶν κατὰ τὴν δίαιταν | ἀθρόων μεταβολῶν οἱ ὑγιαί- 550
νοντες ἧττον βλάπτονται τῶν νοσούντων· ἢ οὕτως· οἱ νοσοῦντες βλάπτονται μᾶλλον τῶν ὑγιαινόντων· ἢ οὕτως· τὰ βλαβερὰ τοὺς ὑγιαίνοντας ἧττον βλάπτει τῶν νοσούντων· καὶ ἔτι γενικώτερον τοῦδε· τοὺς ἰσχυροτέρους ἧττον βλάπτει, τοὺς δ' ἀσθενεστέρους μᾶλλον τὰ βλαβερά. ἔξεστι δὲ καὶ ἄλλως ἑρμηνεύειν τὴν αὐτὴν τοῦ λόγου δύναμιν, ἤτοι

3 ἔμπροσθεν] *p. 178, 14. 25*

1 βλάπτοιντο . . . χυλῷ χρ. *om.* A βλάπτοιντο *(alt.)* . . . ποτῷ χρεόμενοι *(2) om.* MTV 2 οἱ *om.* A μόνῳ AB ἥκιστα δὲ οὗτοι *om.* T 4 φυλάξ. παντελῆ M 4. 5 τοὺς κάμνοντας *om.* MV 5 τὴν M: *om. cett.* 6 ἐὰν] ἢν DR ὅλην] ἀθρόαν BDR 7 βλάπτει AMV 10 καὶ τὰ BV: κατὰ ARS: καὶ *om.* M ποιεῖσθαι *codd.*: ποιέεσθαι *edd.* 11 συμφέρει *codd.*: ξυμφ. *edd.* 12 δὴ *om.* B τοῖς MRS γε *om.* B διαφέροντα μεγάλα *om.* V 13 τὰ *om. codd.*: *ex Hipp. add. Aldus* καὶ *ante* ἐν ἄλλῳ *om.* AC τινὶ AMS: που τινὶ CDR 14 μέγα AMSV: μεγάλα BCDR 15 τουτέων *ab Aldo edd.* μέγιστα BDR: μέγιστον AMSV 16 τῆς *om.* M 17 ἅμα καὶ CDR 20 ἐὰν] εἰ B φέρωσιν S: φέρουσιν *cett.* 21 τοῖς νοσοῦσι μᾶλλον S: μ. τῇσι νούσοισιν M: τοῖσιν νοσοῦσιν C 23 οἷον] ἢ MSTV ἐπὶ τῶν . . . οὕτως *(24) om.* V τὴν δίαιταν BMST: τὴν *om.* ACR ἀθρόων *om.* ST 24 ἢ οὕτως . . . ὑγιαινόντων *(25) om.* ST 25 ἢ οὕτως . . . τῶν νοσούντων *(26) om.* T 26 μᾶλλον βλάπτ. M καὶ *om.* BV τόδε *Cornarius* 28 αὐτοῦ *ante corr.* A: αὐτὴν *cett.* ἤτοι κτἑ.] *locus corruptus*: λαμβάνοντα *post* ἀποδεικνύμενον *intercidisse conicias*

τὸ καθ᾽ αὑτὸ καὶ πρώτως χρήσιμον εἰς τὸ ἀποδεικνύμενον ἢ διά τινος τῶν περιεχόντων ἀξιωμάτων ἢ λημμάτων αὐτό. τοιοῦτον μὲν δή σοι τὸ ἕτερον τῶν λημμάτων ἐστὶν ἐξ ἑαυτοῦ πιστὸν ⟨ὄν⟩, ἅπερ δὴ καλεῖν ἔθος ἐστὶν ἀξιώματα τοῖς περὶ τὸν Ἀριστοτέλην, τὸ δ᾽ ἕτερον ἐξ ἐμπειρίας ἐγνωσμένον ἐφεξῆς ἄκουε· καὶ τοὺς ὑγιαίνοντας ἡ ἀθρόα μεταβολὴ τῆς διαίτης βλάπτει. τούτοις δ᾽ ἀμφοτέροις τοῖς λήμμασιν ἕπεται τὸ συμπέρασμα, τὸ βλάπτεσθαι μειζόνως τοὺς νοσοῦντας ὑπὸ τῆς ἀθρόας ἐν τῇ διαίτῃ μεταβολῆς καὶ πολὺ δὴ μᾶλλον ἔτι τοὺς ὀξέως νοσοῦντας. αὕτη μὲν ἡ τοῦ λόγου δύναμις· ὁ δ᾽ Ἱπποκράτης τὸ μὲν πρότερον τῶν λημμάτων ἐξ ἑαυτοῦ πιστὸν ὂν ἄντικρυς λαμβάνει χωρὶς κατα-
551 σκευῆς· τὸ δὲ δεύτερον ἐκ τῶν | διὰ τῆς ἐμπειρίας κατὰ μέρος ἐγνωσμένων πιστοῦται, καὶ τοῦτ᾽ αὐτὸ δηλοῖ καὶ ὁ ἐφεξῆς λόγος.

II 21 [I 9. II 282, 4 L.] Ἀλλὰ μὴν εὐκαταμάθητόν γέ ἐστιν, ὅτι φαύλη δίαιτα βρώσιος καὶ πόσιος αὐτὴ ἑωυτῇ ἐμφερὴς ἀεὶ ἀσφαλεστέρη ἐστὶ τὸ ἐπίπαν ἐς ὑγείην ἢ εἴ τις ἐξαπίνης μέγα μεταβάλλοι ἐς ἄλλο κρεῖσσον.

Τὸ ἕτερον τῶν εἰς τὴν ἀπόδειξιν τοῦ προκειμένου λόγου διαφερόντων λημμάτων ἤρξατο νῦν κατασκευάζειν ἐκ πολλῶν τῶν κατὰ μέρος παραδειγμάτων εἰς ἓν κεφάλαιον ἀθροίζων αὐτοῦ τὴν πίστιν· ἔστι δὲ τοῦτο τοῖς ὑγιαίνουσι τὰς παρὰ τὸ ἔθος ἐξαπίνης μεγάλας μεταβολὰς οὐ σμικρὰν ἐργάζεσθαι βλάβην. ὁ λόγος μὲν οὖν οὗτος ὑπάρχει σαφής, ὅμως δ᾽ εἴ τι παρεμπίπτειν δόξειεν ἐξηγήσεως δεόμενον τοῖς ἀγυμναστοτέροις περὶ τὴν ἐν τούτοις ἀκολουθίαν, οὐκ ὀκνήσομεν ἐξηγή-
552 σασθαι. καὶ τοῦτο γὰρ ⟨τὸ⟩ ὑπόμνημα φιλανθρω|πότερόν ἐστι τῷ ἐστοχάσθαι μὴ μόνον τῶν γεγυμνασμένων ἐν λόγοις, ἀλλὰ καὶ τῶν ἀγυμναστοτέρων· εἰ δέ τις ἀμαθὴς καὶ ἄπειρός ἐστι τῶν προειρημένων μαθημάτων, ἄλλο τι πραττέτω.

13 Ἀλλὰ . . . κρεῖσσον *(16)*] *affert Gal.* Περὶ ἐθῶν *1 (p. 110 Dietz. Script. min. II 12)* 20 τοῖς ὑγιαίνουσι κτέ.] *cf. Gal. XVI 314 K.*

1 τὸ *om.* V καὶ *om.* B πρῶτον AMSV τινος *om.* S 2 ἢ λημμάτων *om.* ABTV 3 προβλημάτων T αὐτοῦ CDR ὄν *add. Mewaldt* δὴ AS: δὴ καὶ *cett.* 6 τοῖς λήμμασιν *om.* BMST 8 δὴ *om.* A 9 πρότερον MSTV: πρῶτον A: ἕτερον BDR 10 *post* ἑαυτοῦ *add.* τὸ πρότερον BDR πιστὸν ABMS: πιστότερον DR παρασκευῆς S 11 δὲ *post* δεύτ. *transp.* A δεύτερον AMT: ἕτερον *cett.* κατὰ μέρος *om.* AMST: *add.* A[1] ἐγνωσμένων AMST: ἑωραμένων BCR 12 δηλοῖ] δύναται BDR καὶ *om.* BMRT 13 γέ] τε A: τ᾽ S: *om.* P 14 βρώσιος κ. πόσιος AS: βρώσεως κ. πόσεως *cett.*: *om.* T ἑαυτῇ AST 15 τουπίπαν BM ὑγίην MST εἴ *Hipp.*: ἐάν *codd.* 16 μέγα MR: *om. cett.* ἐς AMT: εἰς *cett.* *post* κρεῖσσον *add.* ἕτερον S 17 τὸ ἕτερον *lemmati tribuit* M 18 τῶν πολλῶν S 20 μεταβολὰς μεγάλας A, *Gal. l. l.* 21 μικρὰν AS 22 δ᾽ εἴ τι] δή τοι M 23 περὶ τὴν *om.* S ὀκνήσωμεν M 24 τὸ *addidi* 25 ἐγγεγυμνασμένων V

II 22 [I 9. II 282, 8] Ἐπεὶ καὶ τοῖcι δὶc cιτευμένοιcι τῆc ἡμέρηc καὶ τοῖcι μονοcιτέουcιν αἱ ἐξαπιναῖοι μεταβολαὶ βλάβαc καὶ ἀρρωcτίην παρέχουcιν. καὶ τοὺc μέν γε μὴ μεμαθηκόταc ἀριcτᾶν, ἢν ἀριcτήcωcιν, εὐθέωc ἀρρώcτουc ποιέει καὶ βαρέαc ὅλον τὸ cῶμα καὶ ἀcθενεῖc καὶ ὀκνηρούc· ἢν δὲ καὶ ἐπιδειπνήcωcιν, ὀξυρεγμιώδεαc. ἐνίοιcι δὲ ἂν καὶ cπατίλη γένοιτο, ὁκόταν παρὰ τὸ ἔθοc ἀχθοφορήcῃ ἡ κοιλίη εἰθιcμένη ἐπιξηραίνεcθαι καὶ μὴ δὶc διογκοῦcθαι μηδὲ δὶc ἕψειν τὰ cιτία.

Οὐ μόνον ὅτι βλάπτονται μεγάλωc κατὰ τὰc τῶν ἐθῶν ἐξαιφνιδίουc μεταβολάc, ἀλλὰ καὶ τίνεc αἱ βλάβαι γί|νονται γράφων, τίνα **553** τε τρόπον ἐπανορθωτέον ἑκάcτην ἐcτίν, εἰc μῆκοc ἐκτείνει τὸν λόγον· ὡc εἴ γε μόνον ὅτι βλάπτονται μεγάλωc κατὰ τὰc τῶν ἐθῶν ἐξαιφνιδίουc μεταβολὰc ἐπεδείκνυε, βραχὺc ἂν αὐτῷ ὁ πᾶc λόγοc ἐγεγόνει.

πρώτη μὲν οὖν ἐcτι μεταβολὴ ἡ νῦν προκεχειριcμένη τοῦ ἔθουc ἐπὶ τῶν ἀήθων μὲν ἀριcτᾶν, ἀριcτηcάντων δέ ποτε· φηcὶ γὰρ ἀρρώcτουc τε καὶ βαρεῖc ὅλον τὸ cῶμα γίνεcθαι καὶ ἀcθενεῖc καὶ ὀκνηρούc. cυμβαίνει δ᾽ αὐτοῖc ταῦτα βαρυνομένηc τῆc δυνάμεωc ὑπὸ τῆc τροφῆc ὡc ὑπὸ φορτίου· οὐ γὰρ δὴ κατά γε τὸν ἴδιον λόγον ἀρρωcτούcηc, ὡc ἐπὶ τῆc ἐνδείαc εἴωθε γίνεcθαι. διὰ τοῦτ᾽ οὖν ἐνταῦθα μὲν προcέθηκε τῷ λόγῳ τὸ βαρέαc ὅλον τὸ cῶμα γίνεcθαι καὶ ὀκνηροὺc τοὺc δὶc διαιτηθένταc· ἐπὶ δὲ τῶν εἰθιcμένων ἀριcτᾶν, οὐκ ἀριcτηcάντων δὲ τὴν μὲν ἀcθένειαν τῆc δυνάμεωc ἔγραψε, τὸ δὲ βάροc οὐ προcέγραψε· κατὰ γὰρ τὸν ἑαυτῆc λόγον ἡ δύναμιc ἐν ταῖc τοιαύταιc μεταβολαῖc ἀρρωcτεῖ.

καὶ μέντοι καὶ ὀκνηροὺc εἰπὼν γενέcθαι κατὰ τὴν νῦν ἡμῖν προκειμένην μεταβολὴν τῆc διαίτηc ἐπὶ τῆc ἐναντίαc εἶπε | ʽδειλούcʼ, ὡc **554** πᾶν ἔργον μιcεῖν, ὡc εἰ καὶ φοβουμένουc τῶν ἔργων ἅψαcθαι εἰρήκει· οὕτωc γὰρ ἔχει καὶ κατ᾽ ἀλήθειαν, αἰcθανομένων τῆc κατὰ δύναμιν ἀcθενείαc τῶν οὕτωc ἐχόντων καὶ διὰ τοῦτο μὴ τολμώντων ἐνεργεῖν

1 Ἐπεὶ . . . τὰ cιτία *(8)*] *affert Gal.* Περὶ ἐθῶν *1 (p. 110 Dietz. Script. min. II 12—13)* 18 βαρυνομένηc κτλ.] *cf. Gal. XVI 314 K.* 23 ἔγραψε] *cf. p. 184, 14* 27 εἶπε δειλοὺc] *p. 184, 15*

1 ἐπειδὴ M δὶc τοῖcι M cιτευμένοιcι M: cιτευομένοιcι T: cιτεομένοιcι *cett.* 2 αἱ *om.* BDR ἐξαπιναῖαι B 3 μέν *om. codd.*: *ex Hipp. add. Chartier* γε *om.* CDR μὴ *om.* ACDR: *add.* A¹: *ante* ἀριcτᾶν *transp.* S 4 ποιήcει MT 5 καὶ ἀcθ. κ. ὀκν. *om.* V 6 ἂν *om.* AMST: δὲ ἂν *om.* B cπατίλη C¹V: παcτίλη *cett.* 7 γίνοιτο M 8 ἑψεῖν ADMS 9 μεγάλωc MT: μεγάλα ASR καὶ *ante* κατὰ *add.* MT τὰc *om.* S 10 αἱ *om.* B 11 τε AST: δὲ *cett.* ἐcτὶν ἑκάcτην AB 12 μεγάλωc CDR: μεγάλα *cett.* 13 αὐτῶν MV 15 ἡ νῦν μεταβ. BDR προκειμένη M 17 βαρεῖc] ἀcθενεῖc AMST ἀcθενεῖc] βαρεῖc AMST 19 τῆc *ante* τροφῆc *om.* CDR 21 βαρέουc M: βαρέωc CR 22 ὀκνηροὺc S: ὀκνηροτέρουc *cett.* δὶc *add.* A¹: *om.* TV 23. 24 τὸ βάροc δὲ ABDRS 26 μέντοι] μὲν δὴ B γίνεcθαι B 28 ὡc εἰ CDR: *om. cett.* εἰ καὶ *add.* A¹ *supra* πᾶν 29 κατὰ τὴν ἀλ. M αἰcθανομένουc A

ἃς ἐνήργουν ἔμπροσθεν ἑτοίμως ἐνεργείας. ἀλλὰ μὴν καὶ ‘ἐκκρέμασθαι δοκεῖν τὰ σπλάγχνα’ τοῖς ἐνδεῶς διαιτηθεῖσί φησι ‘καὶ οὐρεῖν θερμόν τε καὶ χλωρόν’, θερμὸν μὲν λέγων δηλονότι τὸ τοῦ συνήθους θερμότερον, χλωρὸν δὲ κατά τι τῶν ἐπὶ τῆς Ἀσίας Ἑλλήνων ἔθος, ὅ ἐστι καὶ νῦν ἔτι διασῳζόμενον. ὠχροὺς γάρ τινας ἰδόντες ἐρωτῶσι τὴν αἰτίαν, δι᾽ ἣν οὕτω γεγόνασι χλωροί, μηδὲν διαφέρειν ἡγούμενοι χλωρὸν εἰπεῖν ἢ ὠχρόν· ἑωρακέναι τε τόνδε τινὰ χλωρότερον ἑαυτοῦ φασι τὸν ὠχρότερον οὕτω δηλοῦντες. ἔστι δὲ τὸ ὠχρὸν χρῶμα κατ᾽ ἀλήθειαν τοιοῦτον, οἷόν περ καὶ τὸ τῆς καλουμένης ὤχρας, ὀξυνομένης κατὰ τὴν προσηγορίαν τῆς πρώτης συλλαβῆς· καὶ γίνεται τοιοῦτον ἐπιμιγνυμένης τῷ ὑδατώδει περιττώματι τῆς ὠχρᾶς τε καὶ ξανθῆς ὀνομαζομένης
555 χολῆς· ὅσον γὰρ τοῦ ἐρυθροῦ χρώματος ἐπὶ τὸ λευκότερον | ἀποκεχώρηκε τὸ ξανθόν, τοσοῦτον τούτου τὸ ὠχρόν. ἔγραψε δὲ καὶ ἄλλα τινὰ συμπτώματα γινόμενα τοῖς οὕτω διαιτηθεῖσι, περὶ ὧν, ὅταν ἀφικώμεθα ἐπὶ τὴν ῥῆσιν, ἐπισκεψόμεθα· νυνὶ δὲ τὴν προκειμένην ἐξεργαστέον.

οἷς γὰρ ἔφη συμβαίνειν ἐπὶ τῶν ἀήθως ἀριστησάντων ἔτι καὶ τοῦτο προσέθηκεν· ἢν δὲ καὶ ἐπιδειπνήσωσιν, ὀξυρεγμιώδεες. ἐμάθομεν δ᾽, ὅτι διά τε τὴν ψῦξιν τῆς γαστρὸς αἱ ὀξυρεγμίαι γίνονται καὶ διὰ φλέγμα πολλάκις ἠθροισμένον ἐν αὐτῇ καὶ διὰ πλῆθος σιτίων ἢ καὶ συμμέτρων μὲν ὄντων ἀλλὰ ψυχρῶν τῇ δυνάμει. πάντων δὲ τῶν προειρημένων κοινόν ἐστι τὸ νικᾶσθαι τὴν ἔμφυτον θερμασίαν τῆς γαστρὸς ὑπὸ τῶν σιτίων, οὐ νικᾶν οὐδὲ κρατεῖν οὐδὲ κατεργάζεσθαι δυναμένην καλῶς αὐτά, καθάπερ εἰ καὶ φλογὶ σμικρᾷ πλῆθος ἐπισωρεύσαις ξύλων ἢ καὶ χωρὶς πλήθους ἐπιθείης χλωρὰ καὶ ὑγρά.

τισὶ δὲ τῶν οὕτω διαιτηθέντων καὶ σπατίλην φησὶ γίνεσθαι, τουτέστιν ὑγρὰν διαχώρησιν· ἐν πολλοῖς δὲ τῶν ἀντιγράφων οὐ σπα-
556 τίλην γεγραμμένην | ἀλλ᾽ ἄσην εὑρήσεις, ἵν᾽ ἀκούσωμεν δηλονότι τὸν ῥιπτασμὸν τοῦ σώματος, ἀσωμένου διὰ τὸ πλῆθος τῆς τροφῆς τοῦ διαιτηθέντος οὕτως καὶ δυσφοροῦντος ἐν τῇ κατακλίσει καὶ μεταβάλλοντος ἑαυτόν.

2 φησι] *p. 184, 15* 4 χλωρὸν] *cf. Gal. XVII A 343. XVIII B 31. 70 K.* 8 ὠχρὸν] *cf. Gal. XVIII B 167*

1 μὴν καὶ *edd.*: καὶ A: καὶ μὴν DR: μὴν *cett.* 3 τε *om.* A μὲν DR: *om. cett.* τὸ τοῦ AMS: τοῦ BDR 4 δὲ] δέ τι BCM: δὲ ἐπὶ D ὅ *om.* AMSV ἐστι *post* νῦν *transp.* CD 5 ἔτι AMS: *om.* BDR 7 ἢ AMS: καὶ DR τε] δὲ A¹BCD 8 δὲ τὸ *om.* V σῶμα CDR κατὰ τὴν ἀλ. B 9 περ] πῦρ V 11 *post* τε *add.* καὶ ξηρᾶς V: καὶ πικρᾶς *add. ab Aldo edd.; cf. p. 187, 10 et 741, 12 K.* 13 καὶ ἄλλα τινὰ AMS: τινὰ κ. ἀ. DR 14 γινόμενα *om.* A διαιτηθεῖσι BC: διατηθεῖσι D: διατεθεῖσι AMR: διατηρηθεῖσι S 15 ἐπισκεψώμεθα CDMSV προειρημένην V *post* προκειμένην *add.* ῥῆσιν CDR 16 γὰρ *codd.*: *om. ab Aldo edd.* ἀρρωστης. AM: *corr.* A¹ 17 καὶ *post* δὲ *om.* M 18 τε *om.* A αἱ *om.* A 20 ὄντων αὐτῶν B 21 τὸ *om.* AST τῆς γαστρὸς *om.* AT 23 σμικρᾷ φλογὶ A: φλ. μ. *cett.* ἐπισωρεύσεις MSV 24 ἐπιθείης *scripsi*: ἐπιτεθείης CM: ἐπιτεθέεις DST: ἐπιτιθέειν(ς) AB 25 *post* δὲ *add.* τούτων V διατεθέντων ST παστίλην AMS, *item v. 26* γενέσθαι CD 26. 27 σπατίλης γεγραμμένης RTV 27 ἄσης ST εὑρήσεις *post* γεγραμμένης *transp.* V 28 διατιθέντος A: *corr.* A¹ 29 ἐν τῇ CDR: τῇ *om. cett.*

ἐπὶ δὲ τῆς τελευταίας ῥήσεως ἀπεφήνατο σαφῶς, ὅτι δεῖ τὴν πέψιν εἶναι παραπλησίαν ἑψήσει, ὡς ὑπὸ θερμοῦ γινομένην, οὐ ξηροῦ καὶ αὐχμώδους, ὁποῖόν ἐστι τὸ τῶν πυρετῶν, ἀλλ' ὑγροῦ καὶ ἀτμώδους, οἷον τὸ κατὰ φύσιν ἐν τοῖς ζῴοις ἐστίν.

II 23 [I 9. II 284, 6 L.] Ἀρήγει οὖν τούτοισιν ἀνασηκῶσαι τὴν μεταβολήν. ἐγκοιμηθῆναι γὰρ χρή, ὥσπερ νύκτα ἀγαγόντα μετὰ τὸ δεῖπνον, τοῦ μὲν χειμῶνος ἀρριγέως, τοῦ δὲ θέρεος ἀθαλπέως· ἢν δὲ καθεύδειν μὴ δύνηται, βραδεῖαν, συχνὴν περίοδον πλανηθέντα, μὴ στασίμως, δειπνῆσαι μηδὲν ἢ ὀλίγα καὶ μὴ βλαβερά· ἔτι δὲ ἔλασσον πιεῖν καὶ μὴ ὑδαρές. ἔτι δὲ μᾶλλον ἂν πονήσειεν ὁ τοιοῦτος, εἰ τρὶς φάγοι τῆς ἡμέρης ἐς κόρον, ἔτι δὲ μᾶλλον, εἰ πλεονάκις· καί|τοι γε 557 πολλοί εἰσιν, οἳ εὐφόρως φέρουσι τρὶς σιτεόμενοι τῆς ἡμέρης ἐς πλῆθος, οἳ ἂν οὕτως ἐθισθῶσιν.

Οὐκ ἦν ἀναγκαῖον εἰρῆσθαι νῦν ταῦτα· προὔκειτο γὰρ αὐτῷ διδάξαι τὰς ἐξαπιναίους μεταβολὰς τῶν ἐθῶν βλάπτειν ἡμᾶς, οὐχ ὅπως χρὴ τὰς τοιαύτας βλάβας ἐκθεραπεύειν· ἐπεὶ δὲ καὶ τοῦτ' ἔδοξεν αὐτῷ πρᾶξαι, καὶ ἡμεῖς ἀκολουθήσωμεν οἷς ἔγραψε, μάλιστα μὲν ἐπὶ πλέον κοιμηθῆναι κελεύων, εἰ δὲ καθεύδειν μὴ δύναιτο, περιπατῆσαι σχολαίως συχνὴν περίοδον, ὡς μὲν οἱ πλεῖστοι τῶν ἐξηγουμένων λέγουσι, μετὰ τὸ δεῖπνον, ὡς δ' ἡ διάνοια τῶν εἰρημένων βούλεται, μετὰ τὸ ἄριστον· τὸ γὰρ ὥσπερ νύκτα ἀγαγόντα περὶ τῶν ἡμερινῶν ὕπνων, οὐ τῶν ἐν νυκτὶ προσήκει λέγεσθαι. καὶ μέντοι καὶ τὸ γεγραμμένον ἐφεξῆς, ἔνθα φησίν· ἢν δὲ καθεύδειν μὴ δύνηται, βραδεῖαν συχνὴν περίοδον πλανηθέντα, μὴ στασίμως, δειπνῆσαι μηδὲν ἢ ὀλίγα, μαρτυρεῖ τῷ μετὰ τὸ ἄριστον αὐτὸν ἀξιοῦν κοιμηθῆναι. δυοῖν οὖν θάτερον, ἢ ἐπανορθωτέον ἐστὶν ὡς ἡμαρτημένην τὴν τοιαύτην | γραφὴν καὶ οὕτω γραπτέον· ἐγκοιμηθῆναι γὰρ χρὴ ὥσπερ 558 νύκτα ἀγαγόντα μετὰ τὸ ἄριστον τοῦ μὲν χειμῶνος ἀρριγέως,

2 ἑψήσει *om.* TV οὐ] καὶ M: *om.* B 3 ὁποῖόν . . . ἀτμώδους *om.* M: *add.* M[1] *in mrg.* πυρεττόντων DR τε καὶ S 4 ὁποῖον B 5 ἀρρήγει A τούτοισιν *codd.*: τουτέοισιν *ab Aldo edd.* 6 ἄγοντα *Hipp. cod. A*: ἀνάγοντα *alii* 7 μὲν γὰρ S ἀρριγέως BMT: ἀριγ. *cett.* 8 θέρεος δὲ ARS δὲ (*post* ἢν) *om.* S δύνηται *codd. praeter* D: δύναται D: δύνανται *ab Aldo edd.* 9 ὁδὸν περιπλανηθέντα *Hipp. codd. A* 10 πίνειν MV 11 ἔτι δὲ μᾶλλον . . . ἐθισθῶσιν *(14) om. omnes praeter* AS φάγοι AS: σιτέοιτο *ab Aldo edd.* 12 ἡμέρης S: *compendiose* A *post* πλεονάκις *add.* ποιήσει S 13 σιτευόμενοι A 14 ἐς AS: εἰς *Aldus* εἰθισθ. A 15 ταῦτα νῦν S 16 ἐξαπιναίους *codd.*: ἐξαπιναίας *ab Aldo edd.* 17 θεραπεύειν B δὲ *om.* CR 18 ἀκολουθήσωμεν M: ἀκολουθήσομεν *cett.* 19 δύναιτο S: δύναιντο *cett.* 20 οἱ μὲν S 21 τὸ *om.* ABDRSV 22. 23 τὸν ἡμερινὸν ὕπνον οὐ τὸν BCDR 23 τῇ νυκτὶ CDR καὶ μέντοι καὶ M: κ. μέντοι ABCRT: κ. μὲν δὴ S 24 ἐφεξῆς *om.* T δύναιντο *codd.*: *correxi; cf. v. 8* 25 πλανηθέντας B 26 μηδὲ ἓν M κοιμηθ. *om.* T 27 οὖν *om.* ACD: καὶ δυοῖν B ἐστὶν *om.* AMST τὴν *codd.*: μὲν *edd.* 28 χρὴ *om.* M ὥσπερ . . . χρὴ *(184, 2) om.* A: *add.* A[1] *in mrg.* ὅπως A[1] 29 ἐς (ὡς D[1]R) νύκτα ἀγ. *post* ἄριστον *transp.* CDR, *Ald. Basil.* ἀγαγ. *om.* BV ἀριγ. A[1]S

τοῦ δὲ θέρεος ἀθαλπέως· ἢ εἴπερ φυλάττοιμεν τὴν μετὰ τὸ δεῖπνον, οὕτως ἀκουστέον τῆς λέξεως· ἐγκοιμηθῆναι γὰρ χρὴ ὥσπερ μετὰ τὸ δεῖπνον ἐκοιμᾶτο πρόσθεν, οὕτω νῦν μετὰ τὸ ἄριστον ὥσπερ νύκτα ἀγαγόντα.

τοῦ δὲ κελεύειν αὐτὸν ἤτοι μηδὲν ὅλως ἢ ὀλίγα καὶ κοῦφα δειπνῆσαι πρόδηλος ὁ λογισμός· ἡσυχάσαι γὰρ βούλεται τὴν γαστέρα καὶ ἀνακτήσασθαι τὸν κάματον, ὃν ἔκαμε βαρυνθεῖσα διὰ τὸ παρὰ τὸ ἔθος ἀριστῆσαι τὸν ἄνθρωπον. ἀκόλουθον δὲ τούτῳ καὶ τὸ πιεῖν μὲν ἧττον, οὐ μὴν ὑδαρές γε· τόν τε γὰρ κλύδωνα καὶ τὴν ὑγρότητα καὶ ψῦξιν φυλάξασθαι χρὴ βεβαρημένης τῆς γαστρὸς ὑπὸ τοῦ πλήθους τῶν σιτίων, αὐτὸ δὲ τὸ διδόμενον πόμα μὴ ὑδαρές, ἀλλ' ἐκθερμαῖνόν τε καὶ ῥωννύον εἶναι τὴν γαστέρα. τὰ δ' ἄλλα τὰ συνεχῆ τῇ ῥήσει δῆλα. |

559 **II 24** [I 9. II 288, 3 L.] Ἀλλὰ μὴν καὶ οἱ μεμαθηκότες δὶς σιτεῖσθαι τῆς ἡμέρης, ἢν μὴ ἀριστήσωσιν, ἀσθενέες καὶ ἄρρωστοί εἰσιν καὶ δειλοὶ εἰς πᾶν ἔργον καὶ καρδιαλγέες. κρέμασθαι γὰρ δοκέει τὰ σπλάγχνα αὐτοῖσι καὶ οὐρέουσι θερμὸν καὶ χλωρόν, καὶ ἡ ἄφοδος συγκαίεται· ἔστι δ' οἷσι καὶ τὸ στόμα πικραίνεται καὶ οἱ ὀφθαλμοὶ κοιλαίνονται καὶ οἱ κρόταφοι πάλλονται καὶ τὰ ἄκρα διαψύχονται.

Ταύτης τῆς ῥήσεως τὰ μὲν ἄλλα διὰ τῆς παραβολῆς, ὧν τοῖς ἀριστήσασι παρὰ τὸ ἔθος συμβαίνειν φησίν, ἐξήγημαι, περὶ δὲ τῶν ὑπολοίπων νῦν ἐρῶ. τὴν ἄφοδον αὐτῶν, τουτέστι τὸ ἀποπάτημα, συγκαίεσθαί φησιν, ὑπὸ τῆς θερμασίας δηλονότι κατοπτώμενον· ξηρότερόν τε γὰρ ἑαυτοῦ τὸ σῶμα γίνεται καὶ πυρωδέστερον τοῖς ἐκλείπουσι τὸ εἰθισμένον ἄριστον. ἐνίοις δὲ καὶ τὸ στόμα πικρὸν γίνεσθαί φησιν· εἰσὶ δ' οὗτοι χολωδέστεροι φύσει· καὶ οἱ ὀφθαλμοὶ κοιλαίνονται τοῖς τοιούτοις ὑπὸ τῆς αὐτῆς αἰτίας ξηραινόμενοι τῆς συγκαιούσης τὸ δια-
560 χώρημα. διὰ | δὲ τὴν ἐπὶ τὸ πυρῶδες ἐν ταῖς πικροχόλοις φύσεσιν ἐκτροπὴν τῆς ἐμφύτου θερμασίας καὶ οἱ κρόταφοι πάλλονται, τουτέστιν αἱ κατὰ τοὺς κροτάφους ἀρτηρίαι σφύζουσιν ἐπιφανῶς· καὶ τὰ τοῦ σώματος ἄκρα ψύχονται χολωδῶν ἰχώρων ἐμπιπλαμένης τῆς

13 Ἀλλὰ ... διαψύχονται *(19)*] *affert Gal.* Περὶ ἐθῶν *1 (p. 111 Dietz. Script. min. II 13). X 544. XVI 314 K.* 21 ἐξήγημαι] *supra p. 181, 15 sqq.*

2 οὕτως ... δεῖπνον *(3) om.* CDR 5 ὅλως *om.* AMSV 7 τὸν (τὴν D) κάμνοντα DR ἔκαμνε *ab Aldo edd.* 8 μὲν *om.* M: *post* ἧττον *transp.* ST ἧττον] ἀλλ' ἐπ' ἔλαττον A 9 καὶ τὴν ψύξιν S: ἢ ψύξιν D 10 βεβαρυμένης AMT 14 σιτέεσθαι AMST ἢν μὴ ἀρ. *om.* V 16 αὐτοῖσι A: αὐτέοισι *cett.* αὐτέοισι τὰ σπλάγχνα *transp.* BCDR 17 ξυγκ. *Chartier* 19 διαψύχεται CDR 21 παρὰ τὸ ἔθ. *om.* T ἔφησε R ἐξηγοῦμαι MS 24 τε *om.* AS τὸ σῶμα γ. κ. πυρωδ. AMT: καὶ πυρ. γ. τὸ σ. *collocant* BDRV 25 καὶ *om.* M γίνεται ACDRSV 26 κοιλαίνονται AMST: κοῖλοι γίνονται BDRV 26. 27 τοῖς τοιούτοις] τούτοις A 27 ὑπὸ τῆς τοιαύτης (αὐτῆς *correxi*) αἰτίας ξηρ. τῆς (*om.* MT) συγκαιούσης AMST: ξηρ. κατὰ τὴν αὐτὴν αἰτίαν τὴν συγκαίουσαν BDRV 31 ψύχονται M: ψυχραίνονται T: ψυχρότερα γίνεται AB: ψ. γίνονται *cett.* ἐμπιπλασμένης CDM

γαστρός, ὑφ᾽ ὧν δακνομένη τε καὶ ἀνιωμένη καταλύει τὴν δύναμιν καὶ καταψύχει τὰ ἄκρα τοῦ cώματοc.

II 25 [I 9. II 290, 1 L.] Καὶ οἱ μὲν πλεῖcτοι τῶν ἀνηριcτηκότων οὐ δύνανται κατεcθίειν τὸ δεῖπνον· δειπνήcαντεc δὲ βαρύνουcι τὴν κοιλίην καὶ δυcκοιτέουcι πολὺ μᾶλλον ἢ εἰ καὶ προηριcτήκεcαν.

Οἱ πικρόχολοι φύcει παρὰ τὸ ἔθοc ἀνάριcτοι μείναντεc ἀποcτρέφονται τὰ cιτία κακωθείcηc αὐτοῖc τῆc γαcτρόc· ὅcοι δ᾽ ἂν βιαcάμενοι λάβωcι, βαρύνονταί τε καὶ διὰ τοῦτο δυcκοιτοῦcιν, ὡc αὐτὸc εἶπεν, ὅπερ ταὐτὸν cημαίνει τῷ μοχθηρῶc ἔχονταc αὐτοὺc ἐν τῇ κοίτῃ διατελεῖν. |

II 26 [I 9. II 290, 4 L.] Ὁκότ᾽ οὖν ταῦτα τοιαῦτα γίνεται **561**
τοῖcιν ὑγιαίνουcιν εἵνεκεν ἡμίcεοc ἡμέρηc διαίτηc μεταβολῆc, παρὰ τὸ ἔθοc οὔτε προcθεῖναι λυcιτελεῖν φαίνεται οὔτε ἀφελεῖν.

Μεταξὺ πάλιν τῆc διηγήcεωc τῶν cυμβαινόντων τοῖc ὑγιαίνουcιν, ὅcοι γε τὸ ἔθοc ὑπήλλαξαν ἀθρόωc, τὸ κεφάλαιον τοῦ λόγου παρενέθηκεν, οὗ χάριν ταῦτα πάντα διηγεῖται τὰ τοῖc ὑγιαίνουcι cυμβαίνοντα. δῆλον γὰρ ὡc, εἴπερ τοῖc ὑγιαίνουcιν ἡ τῆc ἡμίcεοc ἡμέρηc μεταβολὴ τῆc διαίτηc εἰc τοcοῦτόν ἐcτιν ἀνιαρά, πῶc οὐχ ἥδε πολλή γε τοῖc νοcοῦcιν; ἐφεξῆc δὲ πάλιν ἐπὶ τὴν διήγηcιν τῶν cυμβαινόντων τοῖc ὑγιαίνουcιν ἐπανέρχεται κατὰ τὴν ἐχομένην ῥῆcιν ἔχουcαν οὕτωc·

II 27 [I 9. II 290, 7 L.] Εἰ τοίνυν οὗτοc ὁ παρὰ τὸ ἔθοc μονοcιτήcαc, ὅλην τὴν ἡμέρην κενεαγγήcαc, δειπνήcειεν, ὁκόcον εἴθιcτο, εἰκὸc αὐ|τόν, εἰ τότε ἀνάριcτοc ἐὼν ἐπόνει καὶ ἠρ- **562**
ρώcτει, δειπνήcαc δὲ τότε βαρὺc ἦν, πολὺ μᾶλλον βαρύνεcθαι· εἰ δέ γε ἔτι πλείονα χρόνον κενεαγγήcαc ἐξαπίνηc μεταδειπνήcειεν, ἔτι μᾶλλον ἂν βαρύνοιτο.

12 Ὁκότ᾽ ... ἀφελεῖν *(15)*] *affert Gal.* Περὶ ἐθῶν *1 (p. 111 sq. Dietz. Script. min. II 14) et XVI 314 K.* 23 Εἰ τοίνυν ... βαρύνοιτο *(28)*] *affert Gal. l. l. 1 (p. 112 Dietz. Script. min. II 14)*

3 μὴ ἀριcτηκότων B: ἀριcτικότων M 5 βαρύνονται S κοιλίαν B 6 καὶ *om. Hipp. codd.* 6 προηριcτήκειcαν CV 7 φύcει πικρ. A παρὰ τὸ ἔθοc *om.* M 8 αὐτῆc MV 12 ὁπότ᾽ BCDRV ταῦτα] τὰ AM: *om. Gal. l. l.* 13 εἵνεκεν *omnes praeter* A: ἕνεκεν A ἡμίcυοc M: ἡμίcιοc S: ἡμίcεωc BCDV 14 λυcιτελέειν *ab Aldo edd.* 15 ἀφελέειν *edd.* 16 δὲ *ante* πάλιν *add.* CDR: *om. cett.* 19 ἡ τῆc *om.* V: τῆc *om.* B ἡμίcεωc CDS ἡμέρηc AMST: ἡμέραc *cett.* 20 εἰc *om.* R ἐcτιν *om.* M *anacoluthon notandum est; praemissis enim* δῆλον ... ὡc *vocabulis oratio continuanda erat:* εἰκότωc *vel* ἀναμφιλέκτωc ἥδε κτλ. πολλή γε *sc.* οὖcα, *opp.* ἡμίcεοc ἡμέρηc μ. 21 τοῖc *om.* S 24 ἡμέραν BCSV ὁκόcον ἂν M 25 εἰ τότε MT: εἰ ὅτε AS: ἢ ὅτε CD: ἦν ὅτε BR ἐπόνεε R 26 *post* ἦν *ins.* πλείονα φαγὼν A[1] βαρύνεcθαι μᾶλλον A 27 ἔτι] ἐπὶ B: ἔτι ἐπὶ S 28 βαρυνθείη B

῞Ο λέγει τοιοῦτόν ἐστιν· ʽεἰ ὁ παρὰ τὸ ἔθος ἀνάριστος μείνας, εἶτα δειπνήσας τῶν εἰθισμένων ἐλάττω τῆς νυκτὸς ἐβαρύνθη, πολὺ μειζόνως βαρυνθήσεται ὁ πλείω ἢ ὅσα εἴθιστο δειπνήσας· ὁ δ᾽ ἐπὶ πλείονα χρόνον κενεαγγήσας, εἰ ἐξαπίνης μεταδειπνήσειεν, ἔτι μᾶλλον ἂν βαρυνθείη.᾽ τῶν γὰρ ἀναρίστων μενόντων παρὰ τὸ ἔθος ἔνιοι μὲν ἐπ᾽ ἐλάττονα χρόνον ἐκτείνουσι τὴν ἀσιτίαν, ἔνιοι δ᾽ ἐπὶ πλείονα· τούτους οὖν φησιν ἔτι μᾶλλον βαρυνθήσεσθαι.

II 28 [I 9. II 294, 1 L.] Τὸν οὖν παρὰ τὸ ἔθος κενεαγγήσαντα συμφέρει ταύτην τὴν ἡμέρην ἀντισηκῶσαι ὧδε· ἀρρι- **563** γέως καὶ ἀθαλ|πέως καὶ ἀταλαιπώρως, (ταῦτα γὰρ ἅπαντα βαρέως ἂν ἐνέγκοι), καὶ τὸ δεῖπνον συχνῷ ἔλασσον ποιήσασθαι ἢ ὅσον εἴθιστο καὶ μὴ ξηρόν, ἀλλὰ τοῦ πλαδαρωτέρου τρόπου· καὶ πιεῖν μὴ ὑδαρὲς μηδὲ ἔλασσον ἢ κατὰ λόγον τοῦ βρώματος· καὶ τῇ ὑστεραίῃ ὀλίγα ἀριστῆσαι, ὡς ἐκ προσαγωγῆς ἀφίκηται εἰς τὸ ἔθος.

῞Ωσπερ τῶν ἀριστησάντων οὐκ εἰθισμένως ἐπηνώρθου τὴν βλάβην, οὕτως καὶ τοὺς παρὰ τὸ ἔθος κενωθέντας ἐκ μονοσιτίας ἀξιοῖ πρῶτον μὲν θάλπους καὶ ψύχους καὶ ταλαιπωρίας ἀπέχεσθαι· ταῦτα γὰρ ἄν, φησί, πάντα βαρέως ἐνέγκαιεν· ἔτι τε ἀξιοῖ ἐπ᾽ ἔλαττον ἢ ὅσον ἦσαν εἰθισμένοι δειπνῆσαι. καίτοι τούτου ἐναντιώτατον οἱ πολλοὶ ποιοῦσι· κωλυθέντες γὰρ ὑπό τινος ἀσχολίας ἀριστῆσαι κατὰ τὸ δεῖπνον ἀξιοῦσιν ἀπολαμβάνειν καὶ τὴν παραλελειμμένην ἐπὶ τοῦ ἀρίστου τροφὴν οὐκ εἰδότες, ὅτι δεῖται μὲν ὄντως τὸ σῶμα τῆς παραλελειμμένης τροφῆς, οὐ δύναται δὲ αὐτὴν ἡ γαστὴρ κατεργάσασθαι **564** βεβλαμμένη διὰ τὴν | μακροτέραν ἀσιτίαν. ἀλλ᾽ ὅ γε Ἱπποκράτης ὥσπερ ἐλάττονα κελεύει δοθῆναι τὴν τροφήν, οὕτω καὶ ὑγροτέραν· αὕτη γὰρ οἰκεῖον ἴαμα τῇ τε γαστρὶ καὶ παντὶ τῷ σώματι γενήσεται κατεξηρασμένοις. ἐπιρρῶσαι δ᾽ αὐτῶν βούλεται τὴν γαστέρα καὶ τῇ τοῦ οἴνου πόσει μήθ᾽ ὑδαρὲς μήτ᾽ ἔλαττον τῆς κατὰ τὴν τροφὴν ἀναλογίας κελεύων πιεῖν· τὸ μὲν γὰρ ὑδαρὲς ἐκλύει τὸν τόνον τῆς γαστρός, τὸ δ᾽ ἔλαττον ἀνεπιτήδειον τῇ ἐξηρασμένῃ. καὶ κατὰ τὴν ὑστεραίαν δ᾽ ἔτι

1 ἀνάριστος ABM: ἀναρίστι(η)τος DRST 2 πολὺ *om.* AMST 3 πλείων M: πλεῖον ACST 5 ἀναρίστων M: ἀναριστήτων *cett.* μεινάντων A: μενόντων *cett.* 5. 6 ἔνιοι μὲν ἐπὶ πλείονα χρόνον ἐκτείνουσι τὴν ἀσιτίαν, οὕς φησιν ἔτι μᾶλλον (*om.* A) βαρύνεσθαι (βαρυνθήσεσθαι ST), ἔνιοι δ᾽ ἐπ᾽ ἐλάττονα AMST 8 οὖν] μὲν A: μὲν οὖν PV 9 συμφέρον AT ἡμέραν ABT 11 ἂν A¹CDR: *om. cett.* καὶ *om.* B 13 *post* καὶ *add.* μετὰ ταῦτα CDR: μεταῦτα S μηδὲ *Hipp.*: μήτ᾽ *codd.* 14 ὑστεραίῃ AST: ὑστερέῃ M: ὑστεραία DR ὀλίγον M 17 κενωθέντας A: κακωθέντας *cett.* μονοσιτίης A 18 μὲν *om.* A ταλαιπώρους M 19 ἐνέγκαιεν AM: ἐνέγκοιεν *cett.* 20 ὅσα D ἂν ἦσαν A τοῦτο AMS: *corr.* A¹ 23 δέεται MSTV: δαίεται DR ὄντως *om.* A καὶ τῆς S 25 τὴν *om.* V μακροσιτίαν *pro* μακρ. ἀσ. M 26 τὴν *om.* A 27 τε *om.* AB 28 κατεξηραμμένοις AB: κατεξηραμένοις MS 29 ἔλασσον A τὴν *om.* V 30 ποιεῖν M ἐκλύσει CR: ἐκλύσῃ D 31 ἐξηραμμένη ABT: ἐξηραμένη S δέ τι ABST

προνοήcαcθαι τῆc γαcτρὸc ἀξιοῖ τὸν οὕτω βλαβέντα, τῆc cυνήθουc τροφῆc ἐλάττονα προcενεγκάμενον, ὅπωc ἐκ προcαγωγῆc, τουτέcτι κατ᾽ ὀλίγον, εἰc τὸ παλαιὸν ἔθοc ἐπανέλθοι.

II 29 [I 9. II 296, 1 L.] Αὐτοὶ μέντοι cφῶν αὐτῶν δυcφορώτερον δὴ τὰ τοιαῦτα φέρουcιν οἱ πικρόχολοι τὰ ἄνω.

Εἶπον ἤδη κἀγὼ πρὸ μικροῦ περὶ τῶν πικροχόλων, ὡc | δυcφο- **565**
ρώτεροι γίνονται τῶν φλεγματωδῶν ἐν τῷ μεταβάλλειν ἀθρόωc τὴν δίαιταν ἐπὶ τὴν ἔνδειαν· ἐκχολοῦται γὰρ αὐτοῖc θᾶττον ἤ θ᾽ ὅλη τοῦ cώματοc ἕξιc καὶ ἡ κατὰ τὴν γαcτέρα. διὰ τί δ᾽ οὐχ ἁπλῶc εἶπεν οἱ πικρόχολοι, ἀλλὰ προcέθηκε τὰ ἄνω; ὅτι τῆc ξανθῆc χολῆc, ἣν δὴ καὶ ὠχρὰν καὶ πικρὰν ὀνομάζουcιν, ἐπιπολαζούcηc μὲν τῇ ἄνω γαcτρὶ πικροχόλουc εἰκότωc ἐροῦμεν εἶναι τοὺc τοιούτουc τὰ ἄνω, ὑπιούcηc δὲ δι᾽ ἕδραc πικροχόλουc τὰ κάτω. Παύλῳ μὲν γὰρ τῷ ῥήτορι φλεγματώδη τὴν ὅλην ἕξιν τοῦ cώματοc ἔχοντι καθ᾽ ἑκάcτην ἡμέραν ἐπεπόλαζεν ἡ ξανθὴ χολὴ καὶ πρώτην αὐτὴν ἤμει μετὰ τὸ λουτρὸν οὐκ ὀλίγην, Εὐδήμῳ δὲ τῷ φιλοcόφῳ χολώδει τὴν κρᾶcιν ὄντι διὰ τῆc ἕδραc ὑπήει κάτω καὶ cπανίωc οὗτόc ποτ᾽ ἤμει χολὴν ὠχράν· ἦν δ᾽ ὥcπερ τῷ Παύλῳ τὰ διαχωρήματα χολῆc ὀλίγον ἔχοντα, οὕτω τῷ Εὐδήμῳ πάμπολυ. τοῖc οὖν ἐκλείπουcι παρὰ τὸ ἔθοc τὸ ἄριcτον, ἐὰν μὲν τήν τε ὅλην ἕξιν τοῦ cώματοc ὦcι πικρόχολοι τήν τε ἄνω γαcτέρα, cυμβαίνειν ἀναγκαῖόν ἐcτι πάνθ᾽ ὅcα προεῖπεν ὀλίγον ἔμπροcθεν· | ὅcοιc **566**
δὲ τὴν ἄνω γαcτέρα μόνην ὑπάρχει πικροχόλοιc εἶναι, τὰ μὲν τῆc δυcφορίαc cυμβήcεται ὁμοίωc, τὰ δ᾽ ἄλλα cυμπτώματα τινὰ μὲν οὐδ᾽ ὅλωc ἔcται, τινὰ δὲ μετριώτερα.

προειρήκει δὲ τοὺc ἐκλείποντac τὸ ἄριcτον παρὰ τὸ ἔθοc ʽδειλοὺc εἰc πᾶν ἔργον γίγνεcθαι καὶ καρδιαλγέαc καὶ κρέμαcθαι δοκεῖν αὐτοῖc τὰ cπλάγχνα καὶ οὐρεῖν θερμὸν καὶ χλωρὸν καὶ τὴν ἄφοδον cυγκαίεcθαι, τιcὶ δ᾽ αὐτῶν καὶ τὸ cτόμα πικρὸν γίνεcθαι καὶ τοὺc ὀφθαλμοὺc κοίλουc καὶ τοὺc κροτάφουc πάλλεcθαι καὶ τὰ ἄκρα διαψύχεcθαι.᾽ τούτων δὲ τινὰ μὲν τοῖc ὅλην τὴν ἕξιν πικροχόλοιc μᾶλλον cυμβαίνει, τινὰ δὲ τοῖc τὴν ἄνω γαcτέρα. καὶ διὰ τοῦτο καὶ ἡ πρὸc τὰc ἐνεργείαc ἀτολμία καὶ ἡ τῶν ἄκρων ψῦξιc τό τ᾽ οὐρεῖν θερμὸν καὶ χλωρὸν καὶ τὸ τὰ

4 Αὐτοὶ . . . τὰ ἄνω *(5)*] *affert Gal. paulo infra p. 190, 11 sqq.* 6 πρὸ μικροῦ] *p. 185, 7* 11 ὠχρὰν καὶ πικρὰν] *cf. p. 182, 11* 25 προειρήκει] *p. 184, 15*

1 τῆc γαcτρὸc AMST: τῆc διαίτηc BDRV τῆc cυνήθουc τροφῆc AMST: τροφῆc τῆc c. BCDR 6 ἤδη] δὴ A 9 καὶ ἡ τῆc γαcτρὸc A δ᾽ *om.* S 10 χολῆc *om.* A 11 καὶ *(prius) om.* T πικρὰν] ξηρὰν S: ξανθὴν V 12 τὰ ἄνω *post* εἶναι *transp.* BDRV 14 ἡμέραν *om.* B 15 πρῶτον D 17 οὗτόc ποτε AMST: ποθ᾽ οὗτοc (οὕτωc D) CDR 18 *post* χολῆc *add.* ὠχρᾶc A ὀλίγηc S 20 ὦcιν *post* ὅλην *transp.* CDR 21 cυμβαίνειν . . . ἄνω γαcτέρα *(22) om.* CDT ἐcτι *om.* S ἔμπροcθεν ὀλίγον A 22 γαcτέρα *om.* R ὑπάρχειν CMRT εἶναι *om.* D 24 ἔcται] ἐcτί AS: εἰcί MT 25 προειρηκὼc M 26 εἰc ABMS: ἐc DRTV 28 γίνεται M 32 θερμὸν καὶ χλ. AMST: θ. τε καὶ χλ. BDRV: χλ. κ. θ. S τὸ τὰ AMST: τὰ BDRV

διαχωρήματα cυγκαίεcθαι καὶ τοὺc ὀφθαλμοὺc κοίλουc γίνεcθαι καὶ τοὺc κροτάφουc πάλλεcθαι τοῖc τὴν ὅλην ἕξιν πικροχόλοιc, ἀμφοτέροιc δὲ τό τε δοκεῖν τὰ cπλάγχνα κρέμαcθαι καὶ τὸ cτόμα πικραίνεcθαι. διὰ μὲν γὰρ τὴν παρὰ τὸ ἔθοc ἔνδειαν αἴcθηcιν ἴcχουcιν ἀcτηρίκτων τῶν cπλάγχνων, διὰ δὲ τὴν ἐπικράτειαν τῆc χολῆc πικρὸν γίνεται τὸ **567** cτόμα τοῖc | τὸ πᾶν cῶμα πικροχόλοιc, οὐχ ὡc τοῦ παθήματοc ἐν τῷ cτόματι γιγνομένου μᾶλλον, ἀλλ᾿ ὅτι τῆc αἰcθήcεωc αὐτὸ τὸ μόριον ἡ φύcιc ἐποίηcε χυμῶν ἰδέαc διαγνωcτικόν.

ἡ δὲ γαcτὴρ cυγκαίεται μᾶλλον μὲν οἷc ἡ ἐξ ἥπατοc εἰc αὐτὴν καταρρέουcα χολὴ τὸ ἐπιπολάζειν ἔcχηκεν, ἧττον δὲ οἷc ὑπέρχεται κάτω· τούτοιc μὲν γὰρ ἐρεθίζει τὸ ἔντερον εἰc ἀπόκριcιν, ἐκείνοιc δὲ τὸν cτόμαχον ἀδικεῖ· διὸ καὶ ὁ Εὔδημοc ἑκάcτηc ἡμέραc διεχώρει δίc, ἔcτι δ᾿ ὅτε καὶ τρίc, ὁ δὲ Παῦλοc ἐνίοτε οὐδ᾿ ὅλωc ἐξέκρινεν. εἰ μὴ γὰρ ἐρεθίζοιτο πρόc τινοc δάκνοντοc ἢ τῷ πλήθει τῆc κόπρου βαρύνοιτο τὰ ἔντερα, προθυμίαν ἐκκρίcεωc οὐ λαμβάνει. τούτων δ᾿ οὐδέτερον τοῖc παραλείπουcι τὸ ἄριcτον· οὔτε γὰρ δάκνεται τὰ ἔντερα, τῆc χολῆc ἐπὶ τὸ cτόμα ἐνηνεγμένηc, οὐκ ἐκεῖνα δακνούcηc καὶ ἀνιώcηc, οὔτε βάροc ἐγγίνεται τοῖc μηδ᾿ ὅλωc ἐδηδοκόcιν.

II 30 [I 9. II 296, 3 L.] Τὴν δέ γε ἀcιτίην τὴν παρὰ τὸ ἔθοc **568** οἱ φλεγματίαι τὰ ἄνω | εὐφορώτερον φέρουcι τὸ ἐπίπαν, ὥcτε καὶ τὴν μονοcιτίην τὴν παρὰ τὸ ἔθοc εὐφορώτερον οὗτοι ἂν ἐνέγκαιεν.

Ἔμπροcθεν μὲν εἰρήκει ʽτοὺc πικροχόλουc τὰ ἄνω δυcφορώτερον φέρειν τὴν μονοcιτίαν᾿, νυνὶ δὲ πρὸc τοὺc φλεγματώδειc μεταβὰc ἀντὶ τῆc μονοcιτίαc πρότερον ἐμνημόνευcε τῆc ἀcιτίαc, ἐκ τοῦ cαφεcτέραν ἔχοντοc τὴν βλάβην τὴν μετάβαcιν ἐπὶ τὸ βλάπτον ἧττον ποιηcάμενοc ἐξ ἀναλογίαc. εἰ γὰρ δὴ μᾶλλον μὲν εἰκὸc βλάπτεcθαι τοὺc ὅλην τὴν ἡμέραν ἀcιτήcανταc παρὰ τὸ ἔθοc, ἧττον δὲ τοὺc ἐκλείπονταc τὸ ἄριcτον, εὐφορώτερον δὲ τῶν πικροχόλων οἱ φλεγματώδειc φέρουcι τὴν μονοcιτίαν, εὔδηλον, ὡc καὶ τὴν ἀcιτίαν εὐφορώτερον οἴcουcιν. ἡ δ᾿ αἰτία τοῦ ῥᾷον φέρειν τὴν ἀcιτίαν καὶ τὴν μονοcιτίαν

18 Τὴν δέ γε . . . ἐνέγκαιεν *(22)*] *affert Gal. paulo infra p. 190, 13*
23 ἔμπροcθεν] *p. 187, 5*

1 ὀφθαλμοὺc αὐτοῦ M 2 τ. ἕξιν ὅλην S 3 τὰ cπλάγχνα κρεμᾶcθαι AMST: κρ. τ. cπλ. *cett.* 5 ἐπικράτειαν A¹CDRS: πικρίαν ABMT γίνεcθαι CDR 7 ὅτι] ὡc BDRT αὐτὸ τὸ M¹: αὐτὸ MRS: αὐτῆc ACD: αὐτῆc τοῦ μορίου B 9 εἰ δὲ CD ἡ *(alt.) om.* CDM 10 ἐπιπολάζειν AMST: ἐπιπολάζον BCDR 11 ἐρεθίζειν MT 12 ἀδικεῖν MT 14 ἐρεθίζοιντο MST πρόc . . . βαρύνοιτο *om.* D βαρύνοιντο AMST 16 ἄριcτον ⟨γίγνεται⟩ *Schoene* δάκνεται ABMST: δάκνονται CDR 18 γίνεται A 19 ἀcιτίαν ABS 21 τὴν *post* καὶ *om.* M μονοcιτίαν A τὴν *ante* παρὰ *om.* ABCTV ἐνέγκαιεν *codd.*: ἐνέγκοιεν *a Charterio edd.* 23 μὲν *om.* A 24 μονοcιτίαν ABDS: μονοcιτίην *cett.* 25 μονοcιτίηc ACD 28 ἐκλιπόνταc CDS 29 τὸ εἰθιcμένον ἄριcτον A 30 ἀcιτίην S 31 τὴν ἀcιτίαν κ. τ. μον. (ίην S) BDMRSTV: τ. μονοcιτίην κ. τ. ἀcιτίην A: τὴν ἀc. καὶ *om. ab Aldo edd.*

τοὺς φλεγματώδεις ἐκ τῶν προειρημένων ἐπὶ τοῖς χολώδεσι πρόδηλος. ὁ μὲν γὰρ τῆς χολῆς χυμὸς ἐν ταῖς ἀσιτίαις ἑαυτοῦ γίνεται πικρότερος, ὁ δὲ τοῦ φλέγματος ἐν τῷ χρόνῳ πεττόμενος γίνεται αἷμα, τῶν χολῶν οὐδε|τέρας ἐπανελθεῖν εἰς αἵματος οὐσίαν δυναμένης, ἐπειδὴ τοῦ 569 μὲν αἵματος [ἐν αὐτῷ] θερμανθέντος ἐπὶ πλέον ἡ ξανθὴ γεννᾶται χολή, ταύτης δ᾽ αὐτῆς κατοπτηθείσης ἢ κἀκ τοῦ παχέος αἵματος ἡ μέλαινα· τοῦ δὲ φλέγματος ἡ γένεσις ἐν τοῖς φλεγματώδεσιν ἐδέσμασιν ἀεὶ προηγεῖται τοῦ αἵματος καὶ διὰ μέσης τῆς τούτου γενέσεως ἡ εἰς αἷμα μεταβολὴ γίνεται τοῖς σιτίοις. καὶ τοῦτο συμβέβηκεν οὐ μόνον τοῖς μοχθηροτέροις ἐδέσμασιν, ἀλλὰ καὶ τῶν πάνυ δοκούντων ἐνίοις ὑγιεινῶν εἶναι, καθάπερ ἄρτῳ τε καὶ χόνδρῳ καὶ σεμιδάλει.

ἐγὼ μὲν οὖν ἐξήγημαι τὴν ἀρίστην εἶναί μοι δοκοῦσαν γραφήν· αὐτό τε γὰρ καθ᾽ ἑαυτὸ τὸ ἐν αὐτῇ διδασκόμενον ἀληθές ἐστι καὶ τοῖς προηγουμένοις ἀκόλουθον, οἵπερ εἰσὶ σκοποὶ τῆς ἀρίστης ἐξηγήσεως· οὐ μὴν ἐν ἅπασί γε τοῖς ἀντιγράφοις εὑρήσεις τὴν τοιαύτην γραφήν, ἀλλ᾽ ἐναντίως μὲν καὶ ἀλλήλοις, ἑτέρως δ᾽ ἐν ἅπασι σχεδόν τι τοῖς βιβλίοις ἔστιν εὑρεῖν ἐγγεγραμμένην τὴν ῥῆσιν ταύτην, καὶ ψευδοῦς γινομένου τοῦ λόγου καὶ τοῖς προειρημένοις οὐδεμίαν ἀκολουθίαν σῴζοντος. |

II 31 [I 9. II 296, 6 L.] Ἱκανὸν μὲν οὖν καὶ τοῦτο σημεῖον, 570 ὅτι αἱ μέγισται μεταβολαὶ τῶν περὶ τὰς φύσιας ἡμῶν καὶ τὰς ἕξιας συμβαινόντων μάλιστα νοσοποιέουσιν.

Πολλὰ μὲν σημαίνει παρ᾽ αὐτῷ τὸ τῆς ‘φύσεως’ ὄνομα, νῦν μέντοι τὴν κρᾶσιν ἄν τις ὑπολάβοι δηλοῦσθαι, καθάπερ γε καὶ τὴν αὐτῶν τῶν μορίων κατασκευὴν ‘ἕξιν’ ὠνομάσθαι νῦν, ἐν ᾗ κατασκευῇ καὶ τὸ ἐπιπολάζειν ἄνω τὴν χολὴν ἔστιν ἢ ὑποχωρεῖν κάτω καὶ τὸ κρεμάμενα μᾶλλον ἔχειν ἢ ἐστηριγμένα τὰ σπλάγχνα. μεγάλη μὲν γὰρ οὖσα φύσει ἡ γαστὴρ στηρίζει τὰ σπλάγχνα, κἂν κενὴ σιτίων ᾖ· σμικρὰ δ᾽ ὑπάρχουσα σιτίων μὲν πληρωθεῖσα στηρίζει, κενωθεῖσα δὲ καταλείπει συνιζάνουσα, κἀντεῦθεν αἴσθησις αὐτοῖς γίνεται τοῦ κρέμασθαι τὰ σπλάγχνα. περὶ

15 τὴν τοιαύτην γραφήν] *cf. Hipp. ed. Littré II 296 not.* 19 Ἱκανὸν . . . νοσοποιέουσιν *(21)*] *affert Gal. XVI 315 K.* 26 μεγάλη κτλ.] *cf. Gal. XVI 94*

1 πρόδηλον *codd.*: *corr. Chartier* 2 *post* πικρότερος *add.* ὅτι τὸ φλέγμα γίνεται αἷμα CDR 5 ἐν αὐτῷ] ἑαυτοῦ S: *inclusi* ἐπὶ πλέον . . . κατοπτηθέντος *(6) om.* B: *add.* B¹ *in mrg.* χολὴ γεννᾶται S 6 τούτου δ᾽ αὐτοῦ κατοπτηθέντος *codd.*: *correxi coll. Gal. XVII B 322. XVI 534* ἢ καὶ *codd.*: *correxi* 8 καὶ *om.* M 10 μοχθηροτάτοις M ἐνίοις *om.* ABMT: *supra* τῶν *add.* A¹: *post* εἶναι *transp.* S 11 τε *om.* S σεμιδάλῳ A: σεμιδάλεως M 12 γραφήν] *congruam illam nostris Hipp. codd.* 13 αὐτὸ SV ἐν αὐτῇ *om.* S 14 προειρημένοις S οἵοιπερ M 15 γε *om.* V ἐξήγησιν *suprascr.* γραφὴν S 16 καὶ *om.* AM: *add.* A¹ 19 σημεῖον ἐστιν S 20 παρὰ MST 21 νοσοποιοῦσι(ν) *codd.*: *corr. Aldus sec. p. 190, 28* 22 μὲν AST: μὲν οὖν BMV: *om.* CDR μέντοι] μὲν A 23 ἂν *om.* A ὑπολάβοι τις A γε *om.* CD 25 ἢ ABMST: *om.* D: καὶ *cett.* τὸ] τὰ M κρεμώμενα ABCDM 26 μεγάλη . . . σπλάγχνα *(27) om.* MT: *add.* M¹ *in mrg.* γὰρ *om.* BM¹: μὲν *om.* D 27 *post* κενὴ *add.* ἡ γαστὴρ RV: *om. cett.* σίτων S μικρὰ D 29 γίνεσθαι A

δὲ τοῦ τὴν ξανθὴν χολὴν ἐπιπολάζειν τισὶν ἄνω πρόσθεν εἴρηται, τοῦ καταφέροντος αὐτὴν εἰς τὴν τῆς γαστρὸς ἔκφυσιν ἐξ ἥπατος πόρου
571 διαφέρουσαν ἴσχοντος τὴν | κατασκευήν. ἔσθ᾽ ὅτε γάρ τισιν ἀπ᾽ αὐτοῦ εἰς τὴν γαστέρα παραγίνεται μόριον· τούτοις μὲν οὖν ἐπιπολάζει τὸ χολῶδες περίττωμα, τοῖς δ᾽ ἄλλοις ὑπέρχεται κάτω πᾶν.

II 32 [I 9. II 296, 8 L.] Οὐ δὴ οἷόν τε παρὰ καιρὸν οὔτε σφοδρὰς τὰς κενεαγγείας ποιεῖν οὔτε ἀκμαζόντων τῶν νοσημάτων καὶ ἐν φλεγμασίῃ ἐόντων προσφέρειν, οὔτ᾽ ἐξαπίνης οἷόν τε ὅλῳ τῷ πράγματι μεταβάλλειν οὔτ᾽ ἐπὶ τὰ οὔτ᾽ ἐπὶ τά.

Ἀτάκτως ἡ ῥῆσις αὕτη γέγραπται· συνῆφθαι γὰρ αὐτὴν ἐχρῆν τῇ πρὸ αὐτῆς γεγραμμένῃ, ἵνα ὁ σύμπας λόγος γένηται τοιοῦτος· αὐτοὶ μέντοι σφῶν αὐτῶν δυσφορώτερον δὴ τὰ τοιαῦτα φέρουσιν οἱ πικρόχολοι τὰ ἄνω· τὴν δέ γε ἀσιτίην τὴν παρὰ τὸ ἔθος οἱ φλεγματίαι τὰ ἄνω εὐφορώτερον φέρουσι τὸ ἐπίπαν, ὥστε καὶ τὴν μονοσιτίην τὴν παρὰ τὸ ἔθος εὐφορώτερον ἂν οὗτοι
572 ἐνέγκαιεν· | οὐ δὴ οἷόν τε παρὰ καιρὸν οὔτε σφοδρὰς τὰς κενεαγγείας ποιεῖν, οὔτ᾽ ἀκμαζόντων τῶν νοσημάτων καὶ ἐν φλεγμασίῃ ἐόντων προσφέρειν. συμπληρώσας γὰρ τὸν λόγον, ἐν ᾧ τὰς μεγάλας μεταβολὰς τῆς διαίτης ἐδείκνυε καὶ αὐτοὺς τοὺς ὑγιαίνοντας βλαπτούσας, οὐχ ὅπως τοὺς νοσοῦντας, εἰκότως ἐπήνεγκεν, οὗ χάριν ἐμνημόνευσεν ἁπάντων τούτων, εἰπών· οὐ δὴ οἷόν τε παρὰ καιρὸν οὔτε σφοδρὰς τὰς κενεαγγείας ποιεῖν.

ἀποδεδειγμένου δ᾽ ἱκανῶς αὐτῷ τοῦ προκειμένου καὶ διὰ τῶν εἰρημένων, ὅμως φαίνεται μεταβαίνων καὶ ἐφ᾽ ἕτερον λόγον ἀποδεικνύντα ταῦτα, ἐκ περιουσίας χρώμενος ταῖς πίστεσιν. ἀρχὴ τοίνυν ἐστὶν εἰκότως τοῦ δευτέρου λόγου τούτου ἡ ῥῆσις ἥδε· "ἱκανὸν μὲν οὖν καὶ τοῦτο σημεῖόν ἐστιν, ὅτι αἱ μέγισται μεταβολαὶ τῶν περὶ τὰς φύσιας ἡμῶν καὶ τὰς ἕξιας συμβαινόντων ⟨μάλιστα⟩ νοσοποιέουσιν·" ᾧ λόγῳ συνεχὴς ἂν εἴη καὶ ἀκόλουθος οὗτος· "πολλὰ δ᾽ ἄν τις ἠδελφισμένα τούτοισι τῶν

1 πρόσθεν εἴρηται] *p. 187, 10. 188, 10* 6 Οὐ δὴ . . . ἐπὶ τά *(9)*] *affert Gal. paulo infra p. 194, 4 sqq.* 11 πρὸ αὐτῆς γεγραμμένῃ] *cf. supra p. 187, 4* 26 ἡ ῥῆσις ἥδε] *cf. p. 189, 19* 29 οὗτος] *v. infra p. 191, 8*

1 ἄνω ADMST: ἄνωθεν RV 2 τοῦ *(repet.)* πόρου M 3 τι ASTV: *corr.* A[1] 6 Οὐ] οὐδὲ R δὴ] δεῖ MS: δι C: δὲ V 7 σφοδρὰς τὰς *Hipp. cod. A et Gal. in comment. (16)*: σφοδροτάτας *codd.* κενεαγγίας DV ποιέειν CDR νους. *a Basil. edd.* 9 πρήγματι *ab Aldo edd.*: συνπράγματι V 10 ἀτ. γεγρ. ἡ R ἐχρῆν αὐτὴν S 13 ἀσιτίαν A 14 εὐφορώτερα A: ἀμφότεροι M τουπίπαν M 15 τὴν *(alt.)* DR: τήν γε *cett.* ἂν οὗτοι *om.* S 16 ἐνέγκοιεν M οὐ δὴ BD: οὐδὲ *cett.* 17 κενεαγγίας BV, *item v. 22* ποιέειν AMS 18 γὰρ *om.* S 19 μεγάλας *om.* M 20 νοσούσας *superscr.* βλαπτούσας M ὑπήνεγκεν S: ἐπ. εἰκότως A 21 οὐ δὴ ACDRS: οὐδὲ *cett.* 22 σφοδρὰς τὰς DR: σφοδροτάτας τὰς B: σφοδροτάτας AMST ποιέειν D 23 δ᾽] δὲ ἡμῖν S καὶ *om.* CD 25 εἰκότως *om.* AST 26 τούτου λόγου AMS ἥδε] αὕτη A 27 τὸ σημ. A ὅτι *codd.*: ὅτε *ab Aldo edd.* παρὰ ST 28 μάλιστα *e p. 189, 21 addidi* νοσοποιοῦσιν CDR 29 οὗτος ὁ λόγος A

εἰς κοιλίην καὶ ἄλλα εἴποι.” ταύτην μὲν οὖν τὴν ῥῆσιν ἐξηγήσομαι, νυνὶ δ᾽ ἐπὶ τὴν προκειμένην ἐπανήξω τήνδε τὴν διάνοιαν ἔχουσαν· | οὐχ 573 οἷόν τέ ἐστι παρὰ καιρὸν οὔτε σφόδρα λιμαγχονεῖν οὔτ᾽ ἐν ταῖς ἀκμαῖς τῶν νοσημάτων μεταβάλλειν τὴν δίαιταν ἐξ ἐνδείας ἐπὶ προσφοράν, ὥσπερ οὐδ᾽ ἐπὶ τοὐναντίον ἀθρόως· οἷς ἕπεται δηλονότι τὸ τοιαύτην ποιεῖσθαι τὴν δίαιταν, οἵαν οὗτος ἐκέλευσε· κεφάλαιον δ᾽ αὐτῆς ἐστι πεφυλάχθαι τὰς ἀθρόας μεταβολὰς ἐπὶ τἀναντία.

II 33 [I 10. II 298 L.] Πολλὰ δ᾽ ἄν τις ἠδελφισμένα τούτοισι τῶν ἐς κοιλίην καὶ ἄλλα εἴποι, ὡς εὐφόρως μὲν φέρουσι τὰ βρώματα, ἃ εἰθισμένοι εἰσίν, ἤν καὶ μὴ ἀγαθὰ ᾖ φύσει, ὡσαύτως δὲ καὶ τὰ ποτά, δυσφόρως δὲ φέρουσι τὰ βρώματα, ἃ μὴ εἰθισμένοι εἰσίν, ἢν καὶ μὴ κακὰ ᾖ, ὡσαύτως δὲ καὶ τὰ ποτά.

Τὰ ὡμοιωμένα καὶ ὡς ἂν εἴποι τις ἱκανῶς συγγενῆ καλεῖν ἠδελφισμένα σύνηθες αὐτῷ, διότι τῶν συγγενῶν οἰκειότατοί τέ εἰσι καὶ συγγενέστατοι πάντων οἱ ἀδελφοί· καὶ | γὰρ αἱ ἄλλαι συγγένειαι τού- 574 των εἰσὶν ὕστεραι, θεῖοί τε καὶ θεῖαι καὶ ἀνεψιοὶ καὶ ἀνεψιαὶ καὶ ἄλλα ὅσα τοιαῦτα. τὰ δ᾽ ἄλλα τῆς ῥήσεως δῆλα, δεικνύντος αὐτοῦ τὸν αὐτὸν λόγον, ὃν ἀπ᾽ ἀρχῆς ἐδείκνυε, κεφάλαιον ἔχοντα, μέγιστον μέν τι δύνασθαι τὰ ἔθη, τὴν δ᾽ ἀθρόαν μεταβολὴν οὐ σμικρὰ βλάπτειν τὰ σώματα.

II 34 [I 10. II 298, 6 L.] Καὶ ὁκόσα μὲν κρεηφαγίη πολλὴ παρὰ τὸ ἔθος βρωθεῖσα ποιέει ἢ σκόροδα ἢ σίλφιον ἢ ὀπὸς ἢ καυλὸς ἢ ἄλλα ὁκόσα τοιουτότροπα μεγάλας δυνάμιας ἰδίας ἔχοντα, ἧσσον ἄν τις θαυμάσειεν, εἰ τὰ τοιαῦτα πόνους ἐμποιέει ἐν τῇσι κοιλίῃσι μᾶλλον τῶν ἄλλων· ἀλλ᾽ εἰ καταμάθοι, ὅσον μᾶζα ὄχλον καὶ ὄγκον καὶ φῦσαν καὶ στρόφον κοιλίῃ

8 Πολλὰ . . . τὰ ποτά *(13)*] *affert Gal.* Περὶ ἐθῶν *1 (p. 112 Dietz. Script. min. II 14)* ἠδελφισμένα] *cf. Gal. XVII A 453* 21 Καὶ ὁκόσα . . . ἐξαπίνης μεταβληθέντα *(192, 17)*] *affert Gal.* Περὶ ἐθῶν *1 (p. 112 Dietz. Script. min. II 14)*

1 κοιλίην *codd.*: τὴν κ. *a Charterio edd.* εἴπῃ πολλά S ἐξηγησάμην BMT *et ante corr.* A 2 ἐπὶ *om.* CDR 5 ἐπὶ] αὐτὸς S τὸ *om.* BCD αὐτὴν D 6 ἐκέλευε M 9 εἰς B εἴπῃ AMST 10 εἰθίδαται *cod. Hipp. A, item v. 12* ἢν] εἰ BMST ἢν καὶ . . . εἰθισμένοι εἰσίν *(12) om.* CDR 11 δὲ *ante* καὶ *om.* AS 12 ἢν] εἰ M: *om.* ST καὶ *om.* CDR 14 ὡμοιωμένα ASTV: ὁμοιωμ. M: ὁμοιούμενα CDR εἴπῃ AMS ἱκανῶς *om.* AM: *post* συγγενῆ *transp.* CDR 15 τέ *om.* MT 16 οἱ *om.* A αἱ *om.* CDR 17 ἀνεψιαὶ κ. ἀνεψιοὶ A: καὶ ἀνεψιοὶ *om.* T 18 ὅσα *om.* MT τοσαῦτα T αὐτὸν *om.* ACDR: αὐτοῦ MT 19 ἐδείκνυμεν M μέγιστον ACDMST: μέγιστα RV μέν τι BST: μέντοι *cett.* 21 ὁκόσα] οἷσι S 22 ὁκόσα *ante* ποιέει *add.* S 23. 24 ἰδίας ἔχοντα A *cum optimo Hipp. cod.*: ἔχ. ἰδ. *cett.* 25 ἐν M *cum optimo Hipp. cod.*: *om. cett.* ἀλλ᾽ εἰ . . . ἐξαπίνης μεταβληθέντα *(192, 17) exhibent* AS: *om. cett.* καταμάθοι *Kühlewein Hipp. codicem optimum secutus*: καταμάθοιεν A: καταμάθοις S 26 ὅσον A: ὁκόσον S ἢ ὄγκον ἢ ὄχλ. S κοιλίῃ A: τῇ κ. S

παρέχει παρὰ τὸ ἔθος βρωθεῖcα τῷ ἀρτοφαγέειν εἰθιcμένῳ, ἢ ὁκοῖον ἄρτος βάρος καὶ τάσιν κοιλίης τῷ μαζοφαγεῖν εἰ-
575 θιcμένῳ, ἢ αὐτός γε ὁ ἄρτος | θερμὸς βρωθεὶc οἵην δίψαν παρέχει καὶ ἐξαπιναίην πληθώρην διὰ τὸ ξηραντικόν τε καὶ βραδύπορον, καὶ οἱ ἄγαν καθαροί τε καὶ cυγκομιcτοὶ παρὰ τὸ ἔθος βρωθέντες οἷα διαφέροντα ἀλλήλων ποιέουcι καὶ μᾶζά γε ξηρὴ παρὰ τὸ ἔθος ἢ ὑγρὴ ἢ γλίcχρη, καὶ τὰ ἄλφιτα οἷόν τι ποιεῖ τὰ ποταίνια τοῖcι μὴ εἰωθόcι καὶ τὰ ἑτεροῖα τοῖcι τὰ ποταίνια εἰωθόcι· καὶ οἰνοποcίη καὶ ὑδροποcίη παρὰ τὸ ἔθος εἰc θάτερα μεταβληθέντα ἐξαπίνης, καὶ ὑδαρής τε οἶνος καὶ ἄκρητος παρὰ τὸ ἔθος ἐξαπίνης ποθεὶc (ὁ μὲν γὰρ πλάδον τε ἐν τῇ ἄνω κοιλίῃ ἐμποιήcει καὶ φῦcαν ἐν τῇ κάτω, ὁ δὲ παλμόν τε φλεβῶν καὶ καρηβαρίην καὶ δίψαν) καὶ λευκός τε καὶ μέλας παρὰ τὸ ἔθος μεταβάλλουcιν, εἰ καὶ ἄμφω οἰνώδεες εἶεν, ὅμως πολλὰ ἂν ἑτεροιώcειαν κατὰ τὸ cῶμα, ὥc δὴ γλυκύν τε καὶ οἰνώδεα ἧccον ἄν τις φαίη θαυμαcτὸν εἶναι μὴ τωὐτὸ δύναcθαι ἐξαπίνης μεταβληθέντα. |

576 Τὴν ὅλου τοῦ λόγου τοῦδε διάνοιαν εἰπὼν πρότερον, οὕτως ἐπὶ τὰc κατὰ μέρος ἐν αὐτῷ λέξεις ἀφίξομαι. διάνοια μὲν οὖν ὅλου τοῦ λόγου τοιαύτη τίς ἐcτι· τὴν μὲν εἰc τὰ μεγάλην ἔχοντα δύναμιν ἐδέcματά τε καὶ πόματα μεταβολὴν τῆc διαίτηc οὐκ ἄν τις θαυμάcειε βλάπτουcαν ὁρῶν τὰ cώματα, περὶ δὲ τῆc εἰc τὰ μικρὰ μεταβολῆc οὐδ᾿ αὐτῆc ἀβλαβοῦc γινομένηc εἰκότως ἄν τις θαυμάcειε. τοιαύτη μὲν ἡ τοῦ παντὸc λόγου διάνοια.

κατὰ μέρος δὲ τῆc ὅληc ῥήcεωc ἡ ἀρχὴ τῶν ἰcχυρὰν δύναμιν ἐχόντων cιτίων ὀνομαcτὶ μέμνηται, κρεηφαγίηc τε καὶ cκορόδων καὶ cιλφίου καὶ ὀποῦ καὶ καυλοῦ, δηλονότι τοῦ cιλφίου· καὶ γὰρ ὅλον τὸ cίλφιον ἰcχυρὰν ἔχει δύναμιν καὶ κατὰ μέρος ὁ ὀπὸc αὐτοῦ καὶ ὁ καυλόc. ἀλλὰ ταῦτα μὲν ἁπλῶc εἶπεν· ἐπὶ δὲ τῆc κρεηφαγίηc προcέθηκε καὶ τὸ πολλή· μεγάλην γὰρ οὕτωc ἕξει δύναμιν, οὐκ ἔχουcα μεγάλην, εἰ cύμμετροc εἴη.

1 παρέχει S: *compend.* A: παρέχοι *a Charterio edd.* τῷ ἀρτοφαγέειν . . . τάσιν κοιλίηc *(2) om.* AS: *ex Hipp. add. Chartier* 2 cτάcιν *Hipp. codd. aliquot* μὴ μαζοφαγεῖν AS 3 γε *om.* AS: *ex Hipp. add. Chartier* βρωθεὶc παρὰ τὸ ἔθοc *(gloss.)* AS δίψην A 6 οἷα A *cum melioribus Hipp. codd.*: *om.* S 7 γε *Hipp. cod. optimus*: τε AS 8 ποιεῖ S: ποιέει A τοῖc μὴ S 8. 9 καὶ τὰ ἑτεροῖα τ. τ. π. εἰωθόcι *om.* A: *add.* A[1] *in mrg.* 9 τὰ *om.* S 10 θάτερον S τε S: γε A, *Basil.* 11 παρὰ τὸ ἔθοc *om. Ald.* ποθεὶc ἐξ. *transp.* AS 13 φλεβῶν *suprascr.* κροτάφων A: κροτάφων S καρηβαρίην AS: καρηβαρίαν *ab Aldo edd.* δίψαν AS: δίψην *Aldus* 14 μέλαc A *cum optimo Hipp. cod.*: μ. οἶνοc S μεταβάλλουcι A: μεταβάλλοντι S: μεταβληθεὶc *coni. Kühlewein* 15 ἑτεροίωc εἶεν AS: *corr. Aldus* τὸ *om.* A δὴ *Aldus*: δὲ AS: *an* ὥcτε? 16 φαίη *om.* A: *add.* A[1] 17 μεταβληθῆναι S 18 ὅλην AMT 19 αὐτῷ *scripsi*: αὐτῶν CD: αὐτῇ *cett.* ἀφίκομαι M οὖν *om.* AM 20 οὖν *ante* εἰc *add.* V μεγάλα M δύν. ἔχ. CD 23 ἀβλαβῶc M 24 παντὸc] παρόντοc S 28 τὸ cίλφιον ὅλον *transp.* S 29 κρεηφαγίαc A 30 πολλὴ BDRS: πολλήν ATV: πολύ M ἔχει A 31 εἴη *scripsi*: ἦ *codd.*

ἡ δ᾽ ἐφεξῆς τῆσδε λέξις ἐπὶ τὰ σμικρὰν ἔχοντα δύναμιν ἐδέσματα μεταβαίνει, μᾶζαν καὶ ἄρτον θερμὸν ἢ ψυχρὸν ἢ | καθαρὸν ἢ [577] συγκομιστόν. ὅτι δὲ τὸν μὴ καθαρὸν ὀνομάζει συγκομιστόν, εὔδηλόν ἐστι κἀκ τῆς πρὸς τὸν καθαρὸν ἀντιθέσεως· οἵ γε μὴν νῦν ἄνθρωποι τὸν τοιοῦτον ἄρτον αὐτόπυρον ὀνομάζουσιν, οὐ διακρινομένου τοῦ πιτυρώδους ἀλεύρου κατ᾽ αὐτόν, συναναφυρομένου δὲ τῷ καθαρῷ.

τούτοις ἐφεξῆς καὶ τῆς ἐν τοῖς ἀλφίτοις διαφορᾶς ἐμνημόνευσε, (τὰ δὲ πρόσφατα ποταίνια κέκληκε τῇ τῶν Ἰώνων φωνῇ καὶ τῇ τῶν παλαιοτέρων), οἰνοποσίας τε καὶ ὑδροποσίας παρὰ τὸ ἔθος ὑπαλλαττομένων, ἀκρατεστέρου καὶ ὑδαρεστέρου πόματος. ἐφ᾽ ὧν καὶ προσέθηκεν, ὡς ὁ μὲν ὑδαρὴς οἶνος πλάδον ἐν τῇ ἄνω κοιλίᾳ, τουτέστιν ὑγρότητα, καὶ ἀτονίαν ἐμποιήσει καὶ φῦσαν ἐν τῇ κάτω, ὁ δ᾽ ἄκρατος παλμὸν φλεβῶν καὶ καρηβαρίαν καὶ δίψος, οὗτος μὲν τῇ θερμότητι ταῦτ᾽ ἐργαζόμενος, ὁ δ᾽ ὑδαρὴς τῇ θ᾽ ὑγρότητι καὶ τῇ ψύξει τἀναντία. καὶ τῶν οἴνων δ᾽ αὐτῶν ἐμνημόνευσε τῆς διαφορᾶς, ἐξ ἁπάντων τούτων ἀθροίζων τὸ προκείμενον ἐξ ἀρχῆς αὐτῷ καθόλου, πᾶσαν ἐξάλλαξιν ἔθους ἀθρόως γινομένην οὐ μικρὰν βλάβην κατὰ τὸ σῶμα ἐργάζεσθαι. |

II 35 [I 11. II 302, 6 L.] Τιμωρητέον μὲν δὴ τοιόνδε τι μέ- [578] ρος τῷ ἐναντίῳ λόγῳ· ὅτι ἡ μεταβολὴ τῆς διαίτης τουτέοισιν ἐγένετο, οὐ μεταβάλλοντος τοῦ σώματος οὔτ᾽ ἐπὶ τὴν ῥώμην, ὥστε προσθέσθαι δεῖν σιτία, οὔτ᾽ ἐπὶ τὴν ἀρρωστίην, ὥστ᾽ ἀφαιρεθῆναι.

Τὸ μὲν τιμωρητέον δηλωτικόν ἐστι τοῦ βοηθήματος· ἡ βοήθεια δ᾽ οὐκ ἂν ἄλλη τις εἴη τῷ λόγῳ παρὰ τὴν συνηγορίαν, ὡς ἀληθεύει. δυοῖν γάρ τοι λόγοιν τοῦ μὲν ἀρέσκοντος αὐτῷ, τοῦ δὲ ἐναντίου τούτῳ συνηγόρευσε μὲν ἄχρι τοῦδε τῷ ἀρέσκοντι, νῦν δὲ καὶ πρὸς τὴν θατέρου συνηγορίαν ἐτράπετο, καθ᾽ ὃν εἰκὸς εἶναι φήσειεν ἄν τις ὠφελεῖσθαι τοὺς νοσοῦντας ὑπὸ τῆς ἐν τῇ διαίτῃ μεταβολῆς μεγάλως, ἐπειδὴ καὶ ἡ τοῦ σώματος ὑπήλλακται διάθεσις εἰς τοὐναντίον, εἴ γε πρόσθεν μὲν

1. 2 δύν. ἔχ. μεταβ. ἐδ. *colloc.* A 2 ψυχρ. ἢ θ. A 3 ὅτι δὲ . . . συγκομιστόν *om.* AT: *add.* A[1] *in mrg.* ὅτι] τὸ R 4 ἐστι *om.* D νῦν *add.* A[1] 6 συναφαιρομένου CDR δὲ *om.* V 9 τὰ δὲ πρόσφατα A: τῶν δὲ προσφάτων M: τὸν δὲ πρόσφατον *cett.* (*sed* ποτένια) κέκληται A 11 ὑδατωδεστέρου DR 12 ὑδαρὸς AV: ὑδαρέστερος M κοιλίη A 14 φλεβῶν AT: κροτάφων CDR: φλεβῶν καὶ κροτάφων M: κροτάφων φλεβῶν S: φλεβῶν κροτάφων BV δίψαν B 15 τὴν θερμότητα ταύτην M 18 ἀθρόον AT: ἀθρόαν V γενομένην AB 20 τιμωρηταιον *superscr.* ἀντὶ βοηθητέον B μὲν δὴ S: μὲν A: δὲ MT: μέν τι B: μέντοι CDR τὸ τοιοῦτον δέ τι μέρος S 21 οὐτέοισιν S 22 μεταβαλόντος ST 23 ἀρρωστίαν AV 25 βοηθήματος AMSV: βοηθητέον CDR 26 ἂν *post* τις *transp.* A: *om.* CDR εἴη] φανείη S 27 γάρ τοι STV: γ. τοῖν *cett.* ἐναντίου ABMST: ἐναντίω CDR: ἐνατιουμένου V τούτου AD: *om.* M 28 συνηγόρευσε BCDMRS: συνηγόρησε A μὲν ἄχρι] μέχρι S νυνὶ *edd.* καὶ *om.* A 29 ὃν] ἣν A εἶναι *om.* A 31 εἴγε AB: ἧς γε M: οἷς γε *cett.*

ὑγίαινε, νυνὶ δὲ νοcεῖ. ἀλλά γε πρὸc τοῦτον τὸν λόγον καὶ ἔμπροcθεν
579 εἶπεν ἐν τῷ καθόλου· "τὸ δὲ μεταβάλλειν μὲν εὖ ἔχει μὴ | ὀλίγον, ὀρθῶc μέντοι γε μεταβιβαcτέη ἡ μεταβολή". καὶ τί ποτ' ἐcτὶ τὸ "ὀρθῶc", ἐδήλωcε διὰ πλειόνων, ἃ cυγκεφαλαιούμενοc εἶπεν· "οὐ δὴ οἷόν τε παρὰ καιρὸν οὔτε cφοδρὰc τὰc κενεαγγείαc ποιεῖν, οὔτ' ἀκμαζόντων τῶν νοcημάτων καὶ ἐν φλεγμαcίῃ ἐόντων προcφέρειν οὔτ' ἐξαπίνηc οἷόν τε ὅλῳ τῷ πρήγματι μεταβάλλειν οὔτ' ἐπὶ τὰ οὔτ' ἐπὶ τά." ὥcτ' ἤδη φθάνει λελυκέναι ⟨τὴν⟩ ἀμφιβολίαν, ἣν εἶπεν ἄρτι cυναγορεύων τῷ λόγῳ, προcθήcει δ' αὐτῇ τι καὶ νῦν λέγων· "προcτεκμαρτέα δὴ καὶ ἡ ἰcχὺc καὶ ὁ τρόποc τοῦ νοcήματοc ἑκάcτου" καὶ τἄλλα ὅcα τούτοιc ἐφεξῆc εἶπεν, ἃ κατὰ τὴν ἐφεξῆc ῥῆcιν διηγήcομαι.

II 36 [I 11. II 302, 10 L.] Προcτεκμαρτέα δὴ καὶ ἡ ἰcχὺc καὶ ὁ τρόποc τοῦ νοcήματοc ἑκάcτου καὶ τῆc φύcιοc τοῦ [τ'] ἀνθρώπου καὶ τοῦ ἔθουc τῆc διαίτηc τοῦ κάμνοντοc, οὐ μόνον cιτίων, ἀλλὰ καὶ ποτῶν. |

580 Εἰc τὸ προcηκόντωc ἐπὶ τῶν ὀξέωc νοcούντων καταcτήcαcθαι τὴν δίαιταν οἷc ἐδίδαξε προcτιθέναι κελεύει τήν τε τῆc ἰcχύοc ἐπίcκεψιν καὶ τοῦ νοcήματοc τὸν τρόπον, ἔτι δὲ τὴν φύcιν τἀνθρώπου καὶ τὸ ἔθοc αὐτοῦ. τὸ μὲν γὰρ κεφάλαιόν ἐcτιν, ὃ καταcκευάζει, μὴ μεταβάλλειν τῆc διαίτηc τὸ εἶδοc πρὸ τοῦ γενέcθαι cαφῆ τὰ τῆc πέψεωc cημεῖα· τοῦτο δ' ἔcται προγνόντοc cου, πόcαιc ἡμέραιc ὁ νοcῶν πρὸc τὴν ἀκμὴν ἀφίξεται. δυναμένηc δὲ τῆc διαίτηc, ἧc ἐξελέξω, καὶ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐξαλλάττεcθαι διὰ τὸ καὶ τοὺc κάμνονταc ἀλλήλων διαφέρειν κατά τε ῥώμην καὶ ἀρρωcτίαν τῆc δυνάμεωc καὶ τὴν φυcικὴν κρᾶcιν καὶ τὸν τρόπον τοῦ νοcήματοc καὶ τὸ προγεγονὸc ἔθοc, εἰc ταῦτα ἀποβλέποντί cοι τεχνικῶc ὑπάρξει cτοχάζεcθαι τοῦ τε μᾶλλον καὶ ἧττον καὶ τοῦ τῆc διαίτηc εἴδουc. τὸ τῆc

1 ἔμπροcθεν] *p. 178, 10* 4 οὐ δὴ κτλ.] *cf. p. 190, 6 sqq.*

1 ὑγίαινε ... ἔμπροcθεν *om.* R νῦν CDS γε *om.* S ἔμπροcθεν S: ἔ. μὲν *cett.* 2 μὴ ὀλίγον *om. codd.*: *add. Cornarius et Charterius* 3 μεταβιβαcτέη ἡ B: μεταβιβαcτέον ἡ S: μεταβιβαcθέη χ' ἡ CDR: μεταβιβαcτέη κ' ἡ TV: μεταβιβαcτὴ καὶ ἡ A: μεταβιβαcταίη τῇ (μεταβολῇ) M 4 ἃ *scripsi*: ὅcω D: ὃ *cett.* οὐδ' εἰ M 5 οὔτε C: οὐδὲ *cett.* τὰc *om.* V κενεαγγίαc V οὐκ ἀκμ. A 6 ἔτι *add. ante* τῶν S ἐν τῇ CDR 7 ὅλωc S πράγματι *Cornarius*: cώματι *codd.*: πρήγμ. *Hipp.* ὥcτ'] πότε CDR (τότε *corr.* C¹) 8 τὴν *addidi* ἀμφιβολίην CD 9 νῦν καὶ *transp.* R δὴ] δὲ A 10 τούτων S: *om.* A 12 δὴ] δὲ ABV 13 νουc. *a Charterio edd.* ἑκάcτοιcιν AMS φύcιωc B: φύcεωc *cett.*: *correxi* τ' *del. Littré; equidem articulo* τοῦ *sublato* τἀνθρώπου *scribendum esse suspicor* 14 ἔθεοc *edd.* καὶ τῆc δ. RSV μόνων R 16 εἰc τὸ προc. *om.* CDR ὀξέων νοcημάτων MT 17 οἷc ADMRS: ὡc V 18 τῆc φύcεωc ABV τανθρώπου M: τοῦ ἀνθ. *cett.* 19 τοῦ ἔθουc BV τὸ μὴ M 20 τὸ τῆc δ. εἶδοc BCDRV 21 ὁ νοcῶν ABDMRS: τὸ νόcημα V 22 ἧc] ἣν CDR ἐξελέξω ABMST: ἐξελέγξω CDR 23 καὶ κατὰ ADMRS: καὶ *om.* BV τὸ ἧττον CDR καὶ τὸ τοὺc AM 24 τῆc *om.* M 26 ἀποβλέποντά cε V 27 ἧττον καὶ τοῦ τ. δ. εἴδουc. τὸ τ. δ. μὲν γὰρ (*om.* AB) εἶδοc ABM: ἧττον. τὸ τ. δ. μὲν γὰρ εἶδοc CDRS: ἧττον καὶ τοῦ τῆc δ. μὲν γὰρ εἴδουc T: ἧττον τοῦ τ. δ. εἶδοc V: ἧττον καὶ τοῦ τ. δ. εἴδουc, τοῦ μὲν τ. δ. εἴδουc *Cornarius*

διαίτης μὲν γὰρ εἶδος, εἰ ἐπ᾽ ὀξυμέλιτος ἢ μελικράτου τὸν κάμνοντα χρὴ διαιτᾶν ἢ ὕδατος μόνου διδόναι πίνειν ἄχρι τῶν τῆς πέψεως γνωρισμάτων, ἢ πτισάνην δοτέον ἢ μόνον τὸν χυλὸν αὐτῆς, εἴτ᾽ οὖν δὶς εἴτε καὶ ἅπαξ τῆς ἡμέρας, τὸ δὲ μᾶλλόν τε καὶ ἧττον ἐν τῇ διαίτῃ προστεκμαίρεσθαι χρὴ δι᾽ ὧν εἶπε | νῦν. οὐ δήπου γὰρ ἐὰν εὕρῃς τὸν 581 κάμνοντα χυλοῦ δεόμενον, ἤδη γινώσκεις, ὁπόσον τούτου δοτέον ἐστίν, ὡσαύτως δὲ καὶ ἐπ᾽ ὀξυμέλιτός τε καὶ μελικράτου καὶ ὕδατος· ἀλλ᾽ ὥσπερ εἰς τὴν εὕρεσιν τοῦ τῆς διαίτης εἴδους ἐδεήθης διαγνῶναι, πότερον ἄρρωστος ἢ εὔρωστός ἐστιν ἡ δύναμις τοῦ κάμνοντος, ἐν πόσαις τε τῶν ἡμερῶν ἡ πέψις ἔσται τοῦ νοσήματος, οὕτω καὶ νῦν προσεπισκέπτου, μέχρι πόσου τὰ τῆς ἰσχύος ἢ τὰ τῆς ἀσθενείας αὐτῇ συμβέβηκε· παμπόλλη γὰρ ἡ διαφορὰ καὶ κατὰ τὴν ἰσχὺν τῆς δυνάμεως, ἐπεὶ καὶ κατὰ τὴν ἀσθένειαν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον.

οὕτως δὲ καὶ ἡ τοῦ νοσήματος διαφορὰ π ρ ο σ τ ε κ μ α ρ τ έ α· χρὴ γὰρ οὐ μόνον ὅτι πλευρῖτις ἢ περιπνευμονία γινώσκειν, ἀλλὰ καὶ ποία τίς ἐστιν αὕτη κατά τε τὰς ὀδύνας καὶ τοὺς πυρετοὺς καὶ τὰ πτυόμενα. καὶ γὰρ τῶν ὀδυνηρῶν πλευριτίδων αἱ μὲν μᾶλλον, αἱ δ᾽ ἧττόν εἰσι τοιαῦται, καὶ τὸν σφοδρὸν πυρετὸν ἧττόν τε καὶ μᾶλλον ἔχουσι τοιοῦτον αἱ κατὰ μέρος πλευρίτιδες. ἐν δὲ τοῖς πτυομένοις οὐ σμικρὰ διαφορά, καθότι κἀν τῷ Προγνωστικῷ λέλεκται. ποικιλλο|μένων οὖν τῶν κατὰ 582 μέρος ἀρρώστων ἐν ταῖς εἰρημέναις διαφοραῖς οὐχ οἷόν τε κατὰ τὰς τῶν ἐ μ π ε ι ρ ι κ ῶ ν ὀνομαζομένας συνδρομὰς ποιήσασθαι τὴν διδασκαλίαν· οὐδὲ γὰρ οὐδὲ γράψαι δυνατόν ἐστι τὰς διαφορὰς τῶν κατὰ τὴν δύναμιν ὑπεροχῶν ἢ τὰς τῶν σφοδροτήτων τοῦ πυρετοῦ καὶ τὸ ποσὸν ἐν τοῖς πτύσμασι καὶ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τοῖς κατὰ μέρος χρώμασιν, (εἰσὶ δὲ ἀνομοιότροποι καὶ αἱ ἀναγωγαί), ἀλλ᾽ ἑκάστου πράγματος ἀκηκοότα τὴν δύναμιν ἰδίᾳ καὶ κατὰ μέρος αὐτὸν χρὴ παραβάλλειν γε πάσας ἀλλήλαις, ἀθροίζειν δέ τι κεφάλαιον ἓν ἐξ αὐτῶν. ἐν τούτῳ γάρ ἐστι καὶ τὸ βελτίονας καὶ χείρονας γίνεσθαι τοὺς ἰατρούς, εἰ καὶ τὰ αὐτὰ μεμαθηκότες εἶεν· οἱ γὰρ ὀξύτεροι τὸν λογισμὸν τῶν ἀμβλυτέρων οἵ τε φιλοπονώτεροι τῶν ῥᾳθυμοτέρων οἵ τε τριβακώτεροι τῶν ἀπειροτέρων οἵ τε μνημονικώτεροι τῶν ἀμνημονεστέρων ⟨γίνονται βελτίους⟩.

20 τῷ Προγνωστικῷ] *14 (II 144 sqq. L.)* 21. 22 τὰς τῶν ἐμπειρικῶν ὀνομαζομένας συνδρομὰς] *cf. Gal. I 72. VI 218. VII 516. VIII 14. X 101 al.*

1 ὀξυμέλιτι A 2 πίνειν ABCDRS: πιεῖν MV 3 ἢ εἰ πτισ. CR πτισάνην μόνην BM 4 καὶ *(prius) om.* AM 5 νῦν *om.* D 6 γίνωσκε S τούτῳ A: τοῦτον M 7 δὲ *om.* S τε *om.* ACDS 9 ἐν] καὶ M 10 προσεπισκέπτου ACDR: προσεπισκέπτει M: προσεπισκεπτέον V: ἐπισκέπτου S 12 διαφθορὰ M κατ᾽ αὐτὴν τὴν V ἐπεὶ δὲ M 16 καὶ τὰ] κατὰ S πτύσματα A 20 οὖν *om.* M 21 ἀρρωστιῶν M 22 ὀνομαζομένων ST 23 οὐ γὰρ CDR τὴν *hab. omnes praeter* V 25 τε A: *om. cett.* τὸ ἧττον S 26 εἰσὶ δὲ ἀνομοιότροποι (ὁμοιότροποι B) καὶ (τῆς B) αἱ (*om.* D) ἀναγωγαί *codd.*: ἢ ἀνομοιοτρόποις ἀναγωγαῖς *ab Aldo edd.* 27 τε καὶ AS: γε καὶ T 28 κεφάλαιον] κελεύει M ἐξ αὐτῶν ἓν BM 29 βελτίονα καὶ χείρονα γίν. τὸν ἰατρόν ABMSTV γίνεσθαι A: κρίνεσθαι A[1] 30 μεμαθηκότα BM 32 οἵ τε μνημ. τ. ἀμν. οἵ τε τριβ. τ. ἀπ. *colloc.* S 32. 33 γίνονται βελτίους *addidi*: βελτιονές εἰσιν *add. Cornarius*

ἄμεινον οὖν ἐκ τῆς τῶν κατὰ μέρος πάντων δυνάμεως ἀθροίζειν εἰς ἓν κεφάλαιον ὅλον τε τὸ τῆς διαίτης σχῆμα καὶ τὸ καθ᾽ ἑκάστην τροφὴν ποσόν. ἡ μὲν γὰρ ἀσθένεια πλεονάκις μέν, ἀλλὰ κατ᾽ ὀλίγον
583 διδόναι τὴν τροφὴν ἐνδεί|κνυται· συνεπιμαρτυρεῖ δὲ τούτῳ καὶ τὸ δὶς ἐσθίειν εἰθίσθαι τὸν κάμνοντα. τοὐναντίον δὲ πάλιν ἡ ῥώμη τῆς δυνάμεως ἐὰν ἐπ᾽ ἀνθρώπου μονοσιτεῖν εἰθισμένου φαίνηται, θρεπτέον ἅπαξ τοῦτον· ἐνδείκνυται δ᾽ ἄμφω τὰ τεκμήρια. οὕτω δὲ καὶ τὸ μὲν εὐδιαφόρητον σῶμα πρὸς τὸ διδόναι τροφὴν παρορμᾷ, τὸ δὲ δυσδιαφόρητον ἐπὶ τὸ ἐναντίον ἄγει, καὶ τὸ μὲν λεπτοὺς ἔχον τοὺς χυμοὺς ἐπὶ τὸ διδόναι τροφήν, τὸ δὲ μὴ τοιοῦτον ἐπὶ τἀναντία· καθ᾽ ἕκαστόν τε τῶν εἰρημένων τὸ μᾶλλόν τε καὶ ἧττον ἀνάλογον ἑαυτῷ καὶ τὴν τοῦ βοηθήματος χρῆσιν αὔξάνει τε καὶ ἀνίησι.

λέλεκται δὲ περὶ τῶν τοιούτων ἐν τῇ τῆς Θεραπευτικῆς μεθόδου πραγματείᾳ πάνθ᾽ ἑξῆς κατὰ τάξιν, ὡς μαθεῖν τε δύνασθαι τάχιστα καὶ μνημονεῦσαι ῥᾷστα. δι᾽ ἑνὸς γὰρ βιβλίου τοῦ νῦν ἡμῖν προκειμένου πάντα καλῶς εἰπεῖν τὸν Ἱπποκράτην καὶ κατὰ τάξιν διδάξαι τῶν ἀδυνάτων ἦν καὶ μάλιστ᾽ αὐτοῦ πρώτου τὴν εὕρεσιν αὐτῶν ποιουμένου. τῷ δὲ παρ᾽ αὐτοῦ μὲν αὐτὰ μαθόντι διεστραμμένως τε καὶ ἀτάκτως
584 ὅλον τε τὸν ἑαυτοῦ βίον ἀναθέντι πρὸς τὴν ἐξ | ἔργων ἄσκησιν διδαχθεῖσαν οὐκ ἀδύνατον καὶ σαφήνειαν καὶ τάξιν τῇ διδασκαλίᾳ προσθεῖναι. ἐὰν δὲ καὶ διὰ πλειόνων βιβλίων ὑπάρξῃ τοῦτο πρᾶξαι, δῆλόν ἐστι, πόση γίνεται τῆς σαφηνείας τῶν διδασκομένων ὑπερβολή. μὴ τοίνυν ἀθυμείτω τις, ἐὰν ἐντεῦθεν συγχέηται περικλυζόμενος ἀθρόως τῷ πλήθει τῶν σκοπῶν, ἀλλ᾽ ἐννοήσας, ὅτι κατὰ μέρος ἕκαστον τούτων δέδεικται πρὸς ἡμῶν ἐν τῇ Θεραπευτικῇ πραγματείᾳ, μεταβὰς ἐπ᾽ ἐκείνην ἐκμαθέτω φιλοπόνως ἕκαστον, αὐτά τε τὰ νῦν ἀτάκτως λεγόμενα σαφῶς εἴσεται καὶ τὴν θεωρίαν ἐν τοῖς τῆς τέχνης ἔργοις ἀσκῶν ἐπαινέσει τὴν ἀλήθειαν αὐτῆς.

II 37 [I 11. II 304, 3 L.] Πολλῷ δὲ ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον· ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει, ὅκου διαρκέειν μέλλει ὁ κάμνων, μέχρι ἂν τῆς νόσου ἡ ἀκμὴ πεπανθῇ. |

13. 14 ἐν τῇ τῆς Θεραπευτικῆς μεθόδου πραγματείᾳ] *e. g. II 4. 7. III 1 (X 101 sq. 126 sq. 158 sq. K.)* 25 ἐν τῇ Θεραπευτικῇ πραγματείᾳ] *passim per libros II—XIV (X 78 sqq. K.)* 29 Πολλῷ . . . πεπανθῇ *(32)*] *affert Ps.-Gal. XIX 199 K.*

1 οὖν] ἂν A 2 τε R: *om.* P: γε *cett.* τῆς διαίτης *hab. omnes praeter* V 4 τούτῳ TB *(hic ambigue)*: τοῦτο *cett.* 5 τὸ ἐν. M 6 ἀνθρώπῳ M εἰθισμένος M 7 δ᾽ *om.* S 8 τὴν τροφὴν M: τὴν *om. cett.* δὲ *om.* S 9 τὸ ἐναντίον M: τὰ ἐναντία *cett.* μὲν *om.* CDR 10 τἀναντία ἄγει M 11 τὸ ἧττον S 12 τε *om.* T 13 περὶ τούτων ACDR 14 τε *om.* C τάχιστα δύνασθαι AM 15 μν. ῥᾳδίως A 17 αὐτῶν] αὐτοῦ CDR ποιουμένου αὐτῶν A; *fort.* πεποιημένου 18 τῷ] τοῦ A δὲ *om.* S παρ᾽ αὐτῷ T αὐτὰ *om.* V μαθόντος A τε] δὲ DMRS: *om.* B 19 βίον *om.* V ἀναθέντος A: ἀνατιθέντι S διδαχθεῖσαν ἄσκησιν AST 20 τῶν διδασκάλων R 21 διὰ *om.* C 23 συγχῆται A: συγχεῖται *cett.*: *correxi* 26 τε] περ M 29 ἧσσον AST: ἧττον BM: ἴσον CDR πρόθεσιν MV 31 ὅπου AS διαρκέει S μέχρι B: μέχρις *cett.* νόσου *codd.*: νούσου *a Basil. edd.*

Ἐπεὶ τοῦ καθ᾽ ἑκάστην δίαιταν εἴδους ἐξ ὧν εἶπεν ἔμπροσθεν 585 εὑρισκομένου "προστεκμαίρεσθαι" χρὴ τὰ κατὰ τὴν προγεγραμμένην ῥῆσιν εἰρημένα χάριν τοῦ τὸ ποσὸν εὑρίσκειν ἐν ἑκάστῃ διαίτῃ, διὰ τῆς νῦν προκειμένης λέξεως * * πολλῷ δὲ ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον, ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει. γινώσκων, ὅτι τὸ ποσὸν ἑκάστου βοηθήματος στοχασμοῦ δεῖται τεχνικοῦ, στοχάζεσθαι δὲ τεχνικῶς ἀνδρός ἐστιν ἐκμεμαθηκότος τάς τε δυνάμεις ἁπάντων τῶν κατὰ τὴν τέχνην καὶ μεμνημένου καὶ φιλοπόνως ἐπὶ τῶν ἔργων τετριμμένου, τοιοῦτοι δ᾽ ὀλίγοι παντάπασίν εἰσιν, εἰκότως προσέγραψε ταυτὶ τὰ νῦν εἰρημένα κατὰ τὴν ἐνεστῶσαν λέξιν, τότ᾽ ἐπὶ τὸ ἔλαττον ἐπὶ τῇ ποσότητι μᾶλλον, ὅταν τις ἁμαρτάνῃ τοῦ προσήκοντος μέτρου, παραγίνεσθαι παραινῶν ἤπερ ἐπὶ τὸ πλέον. τὸ μὲν γὰρ πλέον ἀνεπανορθώτους ἐνίοτε τὰς βλάβας ἐργάζεται, τὸ δ᾽ ἔλαττον εὐεπανόρθωτόν ἐστι, δυναμένων ἡμῶν, ἐὰν ἡ δύναμις ὀκλάζειν φαίνηται, τροφῆς ὀλίγον ἐπιδοῦναι· τῆς δὲ φθασάσης εἰς τὴν γαστέρα καταπεπόσθαι τὸ περιττὸν ἀφε|λεῖν οὔτ᾽ ἄλλως ῥᾴδιον καὶ πολὺ μᾶλλον 586 ἐν τοῖς ὀξέσι νοσήμασιν.

ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει, ὅκου διαρκεῖν μέλλει ὁ κάμνων, μέχρι ἂν τῆς νόσου ἡ ἀκμὴ πεπανθῇ. τῆς προγεγραμμένης ῥήσεως τοῦτο τὸ μέρος αὖθις ἀνέλαβεν, ἀναμνῆσαι βουλόμενος τοῦ συνήθους αὐτῷ σκοποῦ κἀνταῦθα καὶ κατὰ τοὺς Ἀφορισμούς· ἐὰν γὰρ φαίνηται δυνάμενος ὁ κάμνων ἄνευ τροφῆς ἐξαρκέσαι τῇ τοῦ νοσήματος ἀκμῇ, διὰ παντελοῦς ἀσιτίας αὐτὸν ἐπὶ τῷ ποτῷ μόνῳ διαιτήσεις, ὅπου περ ἂν εἶναί σοι δόξῃ χρεία.

II 38 [I 11. II 304, 6 L.] Ἐν ὁκοίοισι δὲ τὸ τοιόνδε ποιητέον, γεγράψεται.

Δῆλός ἐστι προῃρημένος μετὰ τὸ διδάξαι τὴν καθόλου δίαιταν ἐν τῷδε τῷ βιβλίῳ μεταβῆναι πρὸς τἄλλα σύμπαντα τὰ ὀξέα· οὐ μὴν εὑρίσκεταί γε τοιοῦτόν τι τούτου σύγγραμμα. τὰ δὲ προσκείμενα ἐν τούτῳ τῷ βιβλίῳ μετὰ | τὸ λουτρόν, εἰ μὲν ὡς ἐν τύπῳ τις ὑπ᾽ αὐτοῦ 587

1 ἔμπροσθεν] *I 9 (p. 179 sqq.)* 2 προγεγραμμένην] *p. 194, 12 sqq.* 6 στοχασμοῦ τεχνικοῦ] *cf. Gal. VIII 14. IX 583. XII 642 sq.* 22 Ἀφορισμούς] *I 9. 10 (IV 464 L.)* 29 προσκείμενα] *II 394 sqq. L.*

1 Ἐπεὶ CD: ἐπὶ R: *om. cett.* ἐξ ὧν ... εὑρισκομένου *(2) om.* TV εἶπον S 4 λέξεως] ῥήσεως CDR; *hiat oratio pluribus, ut videtur, verbis omissis* 5 λυσιτελέειν A: *post* λυσιτελέει *add.* ἐν ἑκάστω βοηθήματι *(cf. v. 6)* BMV 6 γινώσκων] *cf. p. 139, 15* ἑκάστω βοηθήματι AS 9 τοιοῦτοι] πλὴν ὅτι D: πλοῦτοι CR 11 τότ᾽ *del. Cornarius* ἐπὶ *om.* V μᾶλλον CDR: *om. cett.* 12 πλέον *edd.*: πλεῖον *codd.* 15 τροφῆ S ὀλίγον *codd.*: ὀλίγου *edd.* ἐπιδοῦναι ACDMRS: ἐπιδιδόναι BTV 16 τὸ] καὶ S 19 μέχρι V: μέχρις *cett.* 21 αὐτῶ BST: αὐτοῦ *cett.* 22 γὰρ *om.* S 23 διὰ τῆς M 24 τῶ ποτῶ μόνω A[1]BMR: τῶν (*om.* CD) ποτῶν μόνων ACDST ὅτου AV: ὅπερ (*om.* που) M δόξει BV 25 τὸ τοιοῦτον D 26 γράψεται MT 27 προειρημένος AMST 28 τἄλλα M: τὰ ἀ. *cett.* 29 τι τούτου ABMST: τούτου CD: τοῦτο R: *om.* V δὲ *om.* S προκείμενα AM ἐν *om.* ST 30 τοῦτο τὸ λ. V τόπω S

γεγραμμένα ταῦτα, παραcκευάcαντοc εἰc ἀνάμνηcιν ἑαυτῷ, εὑρὼν ἐπὶ τῆc οἰκίαc ἐξέδωκε μετὰ θάνατον τοῦ ἀνδρόc, ἴcωc ἄν τινα λόγον ἔχοι· ὡc cύγγραμμα δ᾽ οὐκ ἔcτιν ἄξιον τῆc Ἱπποκράτουc δυνάμεωc, ὥcπερ οὐδὲ τὰ Περὶ νούcων τε καὶ παθῶν ἐπιγραφόμενα, καίτοι πολλὰ καλῶc ἐν αὐτοῖc εἴρηται· διοριούμεθα δὲ τοῦτο αὐτὸ καὶ διακρινοῦμεν ἐν ταῖc εἰc αὐτὰ γενηcομέναιc ἐξηγήcεcι.

II 39 [I 11. II 304, 6 L.] Πολλὰ δ᾽ ἄν τιc καὶ ἄλλα ἠδελφιcμένα τοῖc εἰρημένοιcι γράφοι.

Πάλιν ἐπὶ τὸν αὐτὸν λόγον ἐπανῆλθεν, ὃν διὰ πολλῶν παραδειγμάτων ἐπιcτώcατο δεικνὺc τὴν τοῦ ἔθουc μεταβολὴν βλάπτειν τοὺc νοcοῦνταc· ἀλλ᾽ ἐπειδήπερ ἀπὸ τῶν ὑγιαινόντων μετέβαινεν ἐπ᾽ αὐτούc, διὰ τοῦτ᾽ εἶπεν ἠδελφιcμένα τὰ ὅμοια καλῶν. ὃ δ᾽ ἐφεξῆc
588 ἐρεῖν μέλλει, "μαρτύριόν" ἐcτι | τοῦ λόγου τούτου οὐκέτι παραπλήcιον οὐδ᾽ ὅμοιον οὐδ᾽, ὡc αὐτὸc ὀνομάcειεν ἄν, "ἠδελφιcμένον", ἀλλὰ τὸ ζητούμενον αὐτό. cαφὴc δ᾽ ἡ γνώμη τοῦ ἀνδρὸc ἔcται cοι κατὰ τὴν ἐξήγηcιν τῆc ἐχομένηc ῥήcεωc.

II 40 [I 11. II 304, 7 L.] Τόδε γε μὴν κρεῖccον μαρτύριον· οὐ γὰρ ἠδελφιcμένον μόνον ἐcτὶ τῷ πρήγματι, περὶ οὗ ὁ πλεῖcτόc μοι λόγοc εἴρηται, ἀλλ᾽ αὐτὸ τὸ πρῆγμα ἐπικαιρότατόν ἐcτι διδακτήριον. οἱ γὰρ ἀρχόμενοι τῶν ὀξέων νούcων ἔcτιν ὅτε οἱ μὲν cιτία ἔφαγον αὐθημερὸν ἠργμένοι ἤδη, οἱ δὲ καὶ τῇ ὑcτεραίῃ, οἱ δὲ καὶ ἐρρόφεον τὸ προcτυχόν, οἱ δὲ καὶ κυκεῶνα ἐρρόφεον· ἅπαντα δὲ ταῦτα κακίω μέν ἐcτιν ἢ εἰ ἑτεροίωc τιc διαιτηθείη, πολλῷ μέντοι ἐλάccω βλάβην φέρει ἐν τούτῳ τῷ χρόνῳ ἁμαρτηθέντα ἢ εἴ τιc τὰc μὲν πρώταc ἡμέραc δύο ἢ τρεῖc κενεαγγήcειε τελείωc, τεταρταῖοc δὲ ὢν τοι-
589 άδε διαιτηθείη ἢ καὶ | πεμπταῖοc. ἔτι μέντοι κάκιον, εἰ ταύ-

4 Περὶ νούcων] *libri III extant VI 138—205. VII 1—161 L.* Περὶ παθῶν] *VI 206—272 L.* 12 ἐφεξῆc] *v. 17 et 18*

1 ἑαυτοῦ M 2 οἰκίαc (τιc *repet.* A) AM[1]: οἰκείαc *cett.* 3 ἄξιον *om.* R 4 νούcων *codd.*: νόcων *edd.* περὶ παθῶν V 5 τοῦτο αὐτὸ BCDMR: αὐτὰ AS: τὸ αὐτὸ V 6 γενηcομέναιc B: γενομέναιc M: γεγενημέναιc *cett.* 7 ἄν τιc *om.* A ἄλλα *om.* S 8 τοῖc M: τοῖcιν *cett.* εἰρημένοιc cοι M γράφει CDMR 11 ἀπὸ] ἐπὶ S 13 εὑρεῖν M μαρτυρία M τούτου τοῦ λόγου M *post* τούτου *add.* καίτοι *Chartier* οὐκέτι ABM: οὐκ ἔcτι *cett.* 14 ἂν ὀνομ. *colloc.* AMS ἠδελφιcμένα BMT 17 τόδε A: τὸ *cett.* 18 μόνον *om.* BMV, *fortasse recte* πρήγματι TM *(hic ambigue)*: πράγματι *cett.* ὁ *om.* V 19 πρῆγμα AMT: πρᾶγμα *cett.* 20 οἱ γὰρ BM: οἱ μὲν γὰρ *cett.* ὀξέων] *cf. ad p. 119, 21, nisi forte* ὀξεῶν *scribendum, quod praetulit Mewaldt p. 75, 8* 21 εἰργαcμένον M 22 ὑcτεραία M καὶ *ante* ἐρρόφεον *om.* AST 24 διατεθείη MT ἐλάccονα V φέρει βλάβην M 25 τὰ *ante* ἁμαρτηθέντα *add.* ADT: *om. cett.* 26 δύο . . . ἡμέραc *(199, 1) om.* CDR ἢ καὶ τρεῖc PV 27 καὶ *ante* πεμπταῖοc *om. Hipp. cod. A* ἔτι] ἤ τι S: ἔcτι V μέντοι] δὲ V εἰ] εἰc MV πάcαc ταύταc *colloc.* A

τας πάσας τὰς ἡμέρας προκενεαγγήσας ἐν τῇσιν ὕστερον ἡμέρῃσιν οὕτω διαιτηθείη, πρὶν πέπειρον γενέσθαι τὴν νοῦσον· οὕτω μὲν γὰρ θάνατον φέρει φανερῶς τοῖσι πλείστοισιν, εἰ μὴ πάμπαν ἡ νοῦσος εὐήθης εἴη· αἱ δὲ κατ' ἀρχὰς ἁμαρτάδες οὐχ ὁμοίως ταύτῃσιν ἀνήκεστοί εἰσιν, ἀλλὰ πολλῷ εὐακεστότεραι.

Ἔμπροσθεν μὲν ἀπὸ τῶν τοῖς ὑγιαίνουσι συμβαινόντων ἐν τῇ μεταβολῇ τῶν ἐθῶν ἐπὶ τοὺς νοσοῦντας μετήει καθ' ὁμοιότητα· μεταβήσεσθαι δὲ μέλλει καὶ νῦν καὶ αὐτὸ δείξειν ἄντικρυς οὕτως ἔχειν τὸ προκείμενον. τί δ' ἦν τοῦτο; τὸ μὴ ἐξ ἀρχῆς μηδ' ἐν ταῖς πρώταις ἡμέραις προταριχεύσαντα τοὺς νοσοῦντας, ὅταν ἤδη πλησίον ἥκωσι τῆς ἀκμῆς, ἐμπιπλάναι. δι' ὧν οὖν εἶπε καθ' ὅλην τὴν ῥῆσιν ἐπιδεῖξαι βούλεται μείζονα γινομένην βλάβην τοῖς νοσοῦσιν ἐπὶ τοῖς αὐτοῖς ἁμαρτήμασιν, ὅταν ἐγγὺς ἤδη τῆς ἀκμῆς ἁμαρτηθῇ ἢ ἐν ταῖς ἀρχαῖς τῶν νοσημάτων. φησὶ γάρ· | πολλῷ μέντοι ἐλάσσω βλάβην φέρει ἐν 590
τούτῳ τῷ χρόνῳ ἁμαρτηθέντα ἢ εἴ τις τὰς μὲν πρώτας ἡμέρας δύο ἢ τρεῖς κενεαγγήσειε τελείως, τεταρταῖος δὲ ὢν τοιάδε διαιτηθείη ἢ καὶ πεμπταῖος· ἔτι μέντοι κάκιον, εἰ ταύτας πάσας τὰς ἡμέρας προκενεαγγήσας ἐν τῇσιν ὕστερον ἡμέρῃσιν οὕτω διαιτηθείη, πρὶν πέπειρον γενέσθαι τὴν νοῦσον. εὔδηλον δ', ὅτι πέπειρον ὀνομάζει τὴν πεπεμμένην. εὐήθεις δὲ νόσους εἴρηκεν οὐ τὰς κακοήθεις, ἀλλὰ τὰς εὐτρέπτους· ἴσμεν γάρ, ὅτι οὕτως κέχρηνται τῇ λέξει πολλοὶ τῶν παλαιῶν καὶ αὐτὸς ὁ Ἱπποκράτης πολλάκις, ὡς ἐν ἑτέροις δέδεικται.

II 41 [I 11. II 306, 13 L.] Τοῦτο οὖν ἡγεῦμαι μέγιστον διδακτήριον, ὅτι οὐ στερητέαι αἱ πρῶται ἡμέραι τοῦ ῥοφήματος ἢ τοίου ἢ τοίου τοῖσι μέλλουσιν ὀλίγον ὕστερον ῥοφήμασιν ἢ τοίοις ἢ τοίοις χρῆσθαι. |

7 ἔμπροσθεν] *p. 179, 10 sqq.* 24 ἐν ἑτέροις δέδεικται] *e. g. Gal. XVI 722. XVIII B 236 sq. 611 K.* 26 ὅτι . . . ῥοφήματος] *affert Gal. XV 723, 3 K.*

1 κενεαγγήσας A ὕστερον] ἀνωτέρησιν S 2 πρὶν *codd.*: πρὶν ἢ *a Charterio edd.* γενήσεσθαι M 3 προφανῶς BM τοῖς DR 4 πάμπαν *codd.*: πάμπασιν *Aldina et Basileensis, inde* παντάπασιν *Cornarius* ἡ νοῦσος εὐήθης *codd.*: τις ἡ ν. εὐ. *Ald. et Basil.*: τις εὐ. ἡ ν. *Cornarius* 5 πολλὰ εὐηθέστεραι S 7 καὶ ἔμπροσθεν A τῶν *om.* M 9 καὶ νῦν CDR: καὶ *om. cett.* αὐτὸ δ.] ἀποδείξειν M 12 ἐμπιπλᾶν AS: ἐπιπλᾶν T οὖν *om.* MS 15 γάρ *om.* V μέντοι] μὲν A τὰ ἐν A 16 τὰ ἁμαρτ. CDR μὲν *om.* M 17 ἢ τρεῖς AV: ἢ καὶ τρ. A[1] *cum cett.* 18 ἢ καὶ . . . διαιτηθείη (20) *om.* M 18. 19 πάσας ταύτας A 20 πρὶν *codd.*: πρὶν ἢ *a Charterio edd.* πέπυρον CDR νοῦσον AMST: νόσον CDRV 21 εὐήθεις κτἑ.] *cf. Gal. XVI 722 ex.* νούσους S 22 ἴσμεν] ἴσως μὲν M 23 αὐτὸς *scripsi*: οὗτος *codd.*: οὕτως *edd.* 25 ἡγοῦμαι S 26 οὐ στερητέαι *ex Hipp.* P[1] (= *Aldus*) *et edd.*: οὐχ ὑστερητέαι *codd. (item p. 723, 3 K.)* 27 ἢ *(prius) om.* CDR ἢ τόσου ἢ τοίου ABS: ἢ τόσου ἢ τοιούτοις (*om.* τοῖσι) M ὀλίγον *om.* CDR 27. 28 ῥοφ. ἢ σιτίοισι χρ. *ex* ῥοφ. ἢ τοῖσι χρ. *corr. Hipp. cod. A* 28 ἢ τόσοις ἢ A *a vocabulis* ἢ τοίοις ἢ τοιοὶ *(sic) deficit* T *usque ad p. 231, 4* χολοποιόν ἢ τοιοῖσι χρ. ASV χρῆσθαι *codd.*: χρέεσθαι *ex Hipp. Chartier*

591 Κἀνταῦθα πάλιν τὸν αὐτὸν εἶπε λόγον, ὃν πολλάκις ἔμπροσθεν ἀπεφήνατο, τρέφειν ἐξ ἀρχῆς κελεύων ῥοφήμασι τοὺς μὴ δυναμένους ἐξαρκέσαι μέχρι τῆς ἀκμῆς ἄνευ τοῦ λαβεῖν τῆς πτισάνης· συμβήσεται γὰρ ἡμῖν ἀναγκασθῆναι τρέφειν αὐτοὺς ἐγγὺς τῆς ἀκμῆς, ὁπότ' ἐχρῆν, εἰ καὶ ἔμπροσθεν ἁδρότερον διῃτῶντο, μεταβαίνειν πρὸς τὸ λεπτότερον εἶδος τῆς διαίτης.

II 42 [I 11. II 308—310 L.] Πυθμενόθεν μὲν οὖν οὐκ ἴσασιν οὐθ' οἱ τῇσι κριθώδεσι πτισάνῃσι χρεόμενοι, ὅτι αὐτέῃσι κακοῦνται, ὁκόταν ῥοφέειν ἄρξωνται, ἢν προκενεαγγήσωσι δύο ἢ τρεῖς ἡμέρας ἢ πλείους, οὔτ' αὖ οἱ τῷ χυλῷ χρεόμενοι γινώσκουσιν, ὅτι τοιούτοισι βλάπτονται ῥοφέοντες, ὁκόταν μὴ ὀρθῶς ἄρξωνται τοῦ ῥοφήματος. τόδε γε μὴν φυλάσσουσι καὶ γινώσκουσιν, ὅτι μεγάλην τὴν βλάβην φέρει, ἢν πρὶν πέπειρον τὴν νοῦσον γενέσθαι, κριθώδεα πτισάνην ῥοφήσῃ ὁ κά-
592 μνων εἰθισμένος χυλῷ χρῆσθαι. πάντ' οὖν ταῦτα | μεγάλα μαρτύρια, ὅτι οὐκ ὀρθῶς ἄγουσιν εἰς τὰ διαιτήματα οἱ ἰατροὶ τοὺς κάμνοντας, ἀλλ' ἐν ᾗσί τε νούσοισιν οὐ χρὴ κενεαγγέειν τοὺς μέλλοντας ῥοφήμασι διαιτᾶσθαι, κενεαγγοῦσιν, ἐν ᾗσί τε οὐ χρὴ μεταβάλλειν ἐκ κενεαγγείης ἐς ῥοφήματα, ἐν ταύτῃσι μεταβάλλουσι.

Πυθμενόθεν μὲν ἤτοι τὸ παντελῶς ἢ τὸ ἐξ ἀρχῆς αὐτῷ δηλοῖ· φησὶ γὰρ ἀγνοεῖν τοὺς ἰατρούς, ὁπότε χρὴ πρῶτον ἤτοι πτισάνην ἢ χυλὸν διδόναι τοῖς κάμνουσιν, ἐπίστασθαί γε μὴν αὐτούς, πρὸ τοῦ πεφθῆναι τὸ νόσημα εἰ κριθώδη πτισάνην δώσουσι, βλαβήσεσθαι τὸν κάμνοντα.

τὴν δ' ἐχομένην τῆσδε τῆς ῥήσεως ὑπὲρ τῶν αὐτῶν ἀποφαινομένην τὰ αὐτὰ τοῖς πολλάκις εἰρημένοις ἑκὼν ὑπερβήσομαι διὰ σαφήνειαν.

II 43 [I 11. II 310, 4 L.] Καὶ ὡς ἐπὶ τὸ πολὺ ἀπαρτὶ [ἐνίοτε] ἐν τοῖσι τοιούτοισι καιροῖσι μεταβάλλουσιν ἐς τὰ ῥοφήματα

1 ἔμπροσθεν] *I 6. 7 (p. 157 sqq. 177)* 27 πολλάκις εἰρημένοις] *I 8. 9 (II 278—296 L.)* 28 ἀπαρτὶ] *Gal. lex. Hipp. s. v. (XIX 82 sq. K.)*: ἀπαρτίως,

1 τὸν αὐτὸν λ. πάλιν εἶπεν *transp.* V 2 ῥοφήμασι *post* δυναμένους *transp. omnes codd.*: *corr.* A[1] 3 ξυμβ. *Chartier* 4 γὰρ] δὲ S ἑαυτοὺς M 7 μὲν οὖν] γὰρ M οὖν *om.* ABV 8 αὐτέοισι BCDMR 9 κενεαγγ. A 10 ἢ πλ. M *cum optimo Hipp. cod.*: ἢ καὶ πλ. *cett.* 11 τοιούτοισι M: αὐτέῃσι A: αὐτέοισι *cett.* 12 τόδε γε μὴν *Hipp. cod. A*: τότε γε μὴν A[1]S: τοῦτο γε μόνον B: τότε μὴν *cett.* καὶ φυλ. S 13 πέπυρον CDR 14 γεν. τὴν νοῦσον V κριθώδη M 15 χρῆσθαι BC: χρέεσθαι *cett.* πάντ' οὖν ... μεταβάλλουσι *(20) om. omnes praeter* A 16 ἰατροὶ A: ἰητροὶ *Aldus* 17 ἐν ᾗσι τε *ex Hipp. Aldus*: ἐνίῃσι τε A αἷς οὐ χρὴ A 18 κενεαγγέουσιν *edd.* 19 κενεαγγίης A: κενεαγγείης *ab Aldo edd.* ἐς A: εἰς *edd.* 21 τὸ *(alt.) om.* M αὐτῷ *Aldus*: αὐτὸ *codd.* 22 ἤτοι] ἢ CR 23 γε] τε A 28 καὶ ὡς ... ἀπαρτὶ *om.* M ἐπὶ *om.* B *post* ἀπαρτὶ *add.* ἁμαρτάνουσιν S ἐνίοτε *del. Littré; cf. p. 201, 6* δὲ *post* ἐνίοτε *add.* M: *om. cett.* 29 τοῖσι τοιούτοισι P[1]: τοῖσι τουτέοισι S: τοῖσι *cett.* εἰς ACDRV

ἐκ τῆϲ κενεαγγείηϲ, | ἐν οἷϲ πολλάκιϲ ἀρήγει ἐκ τῶν ῥοφη- 593
μάτων πληϲιάζειν τῇ κενεαγγείῃ, ἣν οὕτωϲ τύχῃ παροξυνομένη ἡ νοῦϲοϲ.

Τὸ ἀπαρτὶ καὶ παρὰ τοῖϲ Ἀττικοῖϲ ϲυγγραφεῦϲιν ἐπὶ τοῦ ἀπηρτιϲμένωϲ εἴρηται καὶ παρ' αὐτῷ τῷ Ἱπποκράτει. καὶ νῦν οὖν αὐτῷ κέχρηται βουλόμενοϲ δηλοῦν ἐν ἐκείνῳ μάλιϲτα τῷ καιρῷ τοὺϲ ἰατροὺϲ μεταβάλλειν τὴν δίαιταν ἐκ τῆϲ ἀϲιτίαϲ εἰϲ τὰ ῥοφήματα, ἐν ᾧ ϲυμφέρει πληϲιάζειν τῇ ἀϲιτίᾳ, ϲαφέϲτατα κἀνταῦθα δηλῶν· "ὁκόταν ἀκμάζῃ τὸ νόϲημα, τότε καὶ τῇ λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεϲθαι."

II 44 [I 11. II 312, 3 L.] Ἐνίοτε δὲ καὶ ὠμὰ ἐπιϲπῶνται ἀπό τε κεφαλῆϲ καὶ τοῦ περὶ θώρακα τόπου χολώδεα· ἀγρυπνίαι τε ϲυμπίπτουϲιν αὐτέοιϲι, δι' ἃϲ οὐ πέϲϲεται ἡ νοῦϲοϲ, περίλυποί τε καὶ πικροὶ γίνονται καὶ παραφρονέουϲι καὶ μαρμαρυγώδεα ϲφέων τὰ ὄμματα καὶ αἱ ἀκοαὶ ἤχου μεϲταὶ καὶ ἀκρωτήρια κατεψυγμένα καὶ οὖρα ἄπεπτα καὶ πτύϲματα | λεπτὰ 594
καὶ ἁλυκὰ καὶ κεχρωϲμένα ἀκρήτῳ χρώματι ϲμικρὰ καὶ ἱδρῶτεϲ περὶ τράχηλον καὶ διαπορήματα καὶ πνεῦμα προϲπταῖον ἐν τῇ ἄνω φορῇ, πυκνὸν ἢ μέγα λίην, ὀφρύεϲ δεινώϲιοϲ μετέχουϲαι, λειποψυχώδεα πονηρὰ καὶ τῶν ἱματίων ἀπορρίψιεϲ ἀπὸ τοῦ ϲτήθεοϲ καὶ χεῖρεϲ τρομώδεεϲ, ἐνίοτε δὲ καὶ χεῖλοϲ τὸ κάτω ϲείεται.

Ταῦτα πάντα ϲυμβαίνειν φηϲὶ τοῖϲ κακῶϲ διαιτηθεῖϲιν ὑπὸ τῶν ἰατρῶν, ὅϲοι προταριχεύϲαντεϲ ἐν ταῖϲ πρώταιϲ ἡμέραιϲ τοὺϲ κάμνονταϲ ἤτοι κατὰ τὴν τρίτην ἢ τετάρτην ἢ πέμπτην ἢ ἕκτην ἐπὶ ϲιτία μετέβηϲαν ἀθρόωϲ, οὐδέπω τῆϲ ἀκμῆϲ τοῦ νοϲήματοϲ γεγονυίαϲ· ὡϲ εἰ γέγονε, προϲηκόντωϲ αὐτοὺϲ ὑπηλλαχέναι φηϲὶ τὴν δίαιταν. ὅπερ οὖν ἔλεγεν, ὅτι μεταβάλλειν μὲν δεῖ τὴν δίαιταν τῶν ὑγιαινόντων ἐν ταῖϲ

ἀπηρτιϲμένωϲ καὶ ἀκριβῶϲ. Διοϲκουρίδηϲ δὲ ἔφη, ὅτι καὶ πᾶν τὸ ἐναντίον δηλοῖ, ὡϲ ἐν τῷ Περὶ διαίτηϲ ὀξέων, ἐν οἷϲ φηϲί· "καὶ ὡϲ ἐπὶ τὸ πολὺ ἀπαρτίωϲ ἐν τοῖϲι τοιούτοιϲι καιροῖϲι μεταβάλλουϲιν εἰϲ τὰ ῥοφήματα." ἐμοὶ δὲ καὶ ταύτῃ δοκεῖ τὸ ἀπηρτιϲμένωϲ τε καὶ ἀκριβῶϲ δηλοῦν. τῷ δὲ καὶ οἱ Ἀττικοὶ τὸν αὐτὸν τρόπον χρῶνται τῷ ὀνόματι, μυρία δὲ παραδείγματα διὰ τῶν ϲμικρῶν ὑπομνημάτων ἔχειϲ   8 ὁκόταν κτλ.] *Hipp. Aphor. I 8 (IV 464 L.); cf. Gal. XVII B 376*   17 πνεῦμα προϲπταῖον] *cf. Gal. VII 151. XVII A 416 K.*   18 δεινώϲιοϲ] *cf. Gal. VII 920*   20. 21 χεῖλοϲ τὸ κάτω] *cf. Gal. XVII B 396*   27 ἔλεγεν] *supra p. 178 sqq.*

1 κενεαγγίηϲ V   2 κενεαγγίη V   ἢ οὕτωϲ τυγχάνει S   4 ἀπηρτιϲμένου S   5 παρὰ τῷ Ἱπποκράτει αὐτῷ AS   7 τὰ *om.* M   8 ἀϲιτίη A   9 λεπτῇ S   11 τε] τῆϲ *Hipp. cod. A; cf. 203, 17*   θώρακα ABCDM: θώρακοϲ RSV   12 τε γὰρ S   ξυμπ. ACDS   αὐτοῖϲ B   πέττεται CDMR   13 πικρόχολοι S   16 ἀλικὰ MV   17 τὸν τράχηλον R   προϲπνέον D   18 μέγα λίην] μεγάλην R: μεγαλεῖοι D   δεινώϲεωϲ A   20 ϲτήθουϲ (*om.* τοῦ) M   δὲ καὶ BDRSV: καὶ M   καὶ χεῖλοϲ ἐνίοτε (*om.* δὲ) *colloc.* A   22 πάντα *om.* S   διατεθεῖϲι A   24 τὴν *ante* τρίτην *om.* S   ἕκτην CDMR: τὴν ἕκτην *cett.*   τὰ ϲιτία A   27 μὲν] μὲν γὰρ BCDMR: γὰρ S   δεῖ *om.* AC   τοῖϲ A

νόcοιc, οὐ μὴν ὡc ἔτυχέ γε τοῦτο ποιητέον, ἤδη νομίζω γεγονέναι
caφὲc ἐκ τῶν προειρημένων. οὔcηc γὰρ καταcτάcεωc τοῦ cώματοc μιᾶc
μὲν τῆc ὑγιεινῆc, ἑτέραc δὲ τῆc ἐν ἀρχῇ τοῦ νοcήματοc ἄχρι τῆc ἀκ-
595 μῆc, εἶτ' ἄλληc ἄχρι τῆc | παντελοῦc λύcεωc καὶ μετ' αὐτὴν τῆc ἀνα-
λήψεωc ἄχρι τῆc καθ' ἕξιν ὑγιείαc, ἐν ἑκάcτῃ τῶν τεττάρων καταcτά-
cεων οὐ χρὴ ποιεῖcθαι μεγάλαc τὰc μεταβολὰc τῆc διαίτηc, πρὶν εἰc
ἕτερον εἶδοc ἀφικέcθαι καταcτάcεωc. οἱ τοίνυν τοὺc κάμνονταc ἐν
ἀρχῇ τῶν νοcημάτων ἐν ἀcιτίᾳ παντελεῖ φυλάττοντεc, εἰ μὲν ἄχρι τῆc
ἀκμῆc δύναιντο διαφυλάξαι τὸ τοιοῦτον τῆc διαίτηc εἶδοc, οὐκ ἄν τιc
αὐτοῖc μέμψαιτο· μὴ δυνάμενοι δὲ πρᾶξαι τοῦτο διὰ τὸ καταλελύcθαι
μεταξὺ τὴν δύναμιν τῶν νοcούντων, εὔδηλον, ὅτι κακῶc ἐχρῶντο ταῖc
ἀcιτίαιc προταριχεύcαντεc τοὺc κάμνονταc. ἐνδείκνυται δ' ἐναργῶc διὰ
τῆcδε τῆc προcηγορίαc τὴν ἀκαιρίαν τῆc ἀcιτίαc καταξηραίνουcαν τὸ
cῶμα περαιτέρω τοῦ προcήκοντοc· ὅπου γὰρ ἐν ᾧ χρὴ καιρῷ λεπτό-
τερον διαιτᾶν, ἐγγὺc οὔcηc τῆc ἀκμῆc, ἐν τούτῳ προcφέρειν ἠναγκά-
cθηcαν cιτία, πρόδηλόν ἐcτι κατεξηράνθαι διὰ τῆc ἀcιτίαc ἀμέτρωc τοὺc
κάμνονταc, ὅπερ ὠνόμαcται ταριχεύεcθαι.

διὰ τοῦτ' οὖν φηcιν ἕπεcθαι cυμπτώματα τῷ τοιούτῳ τρόπῳ τῆc
διαίτηc πολλὰ καὶ μοχθηρά, καταλέγει δ' ἐφεξῆc αὐτὰ πάντα τὴν ἀρχὴν
596 ἀπὸ χολωδῶν ὠμῶν ποιηcάμενοc· | ὠνόμαcε γὰρ οὕτωc αὐτά, διότι
καὶ τῶν περιττωμάτων ὀνομάζει πέψιν, εἰ καὶ μὴ δυνατὸν μεταβλη-
θέντα θρέψαι τὸ cῶμα, καθάπερ αἱ χολαὶ καὶ οἱ ἰχῶρεc· ἀλλ' ὅμωc
ἐπειδὴ κρατεῖ καὶ τῶν τοιούτων ἡ φύcιc, εἴωθεν ὀνομάζειν πεπεμμένα
μὲν τὰ κρατηθέντα τῶν τοιούτων περιττωμάτων ὑπὸ τῆc φύcεωc,
ἄπεπτα δὲ τὰ μὴ κρατηθέντα. διὰ τοῦτο καὶ τὸ πῦον ἐπὶ ταῖc πεττο-
μέναιc φλεγμοναῖc γίνεcθαί φηcι, καίτοι μηδενὸc μορίου τὴν ἐκ τοῦ
πύου θρέψιν ἀναλαμβάνοντοc ὥcπερ τὴν ἐκ τῶν ὠμῶν ὀνομαζομένων
χυμῶν καὶ τοῦ φλέγματοc, ἅπερ ἀναδεξάμενα τὸ λεῖπον τῆc κατεργα-

2 *post* προειρημένων *sequuntur in* S *haec verba e margine in contextum inserta:* ὅτι τέccαρεc εἰcὶ καταcτάcειc τοῦ cώματοc, μία μὲν ἡ ὑγιεινή, ἑτέρα δὲ ἡ ἀπὸ τῆc ἀρχῆc τοῦ νοcήματοc ἄχρι τῆc ἀκμῆc, ἑτέρα δὲ μέχρι τῆc παντελοῦc λύcεωc καὶ μετ' αὐτὴν ἡ τῆc ἀναλήψεωc ἄχρι τῆc καθ' ἕξιν ὑγείαc, *quae excipiuntur verbis* οὔcηc γὰρ κτλ. *Similiter in* B *textus perturbatus est:* οὔcηc τέccαρεc εἰcὶ καταcτάcειc τοῦ cώματοc, μία μὲν ἡ ὑγιεινή, ἑτέρα δὲ ἡ ἀπὸ τῆc ἀρχῆc τοῦ νοcήματοc ἄχρι τῆc ἀκμῆc, ἑτέρα δὲ ἡ μέχρι τῆc παντελοῦc λύcεωc καὶ μετ' αὐτὴν ἡ τῆc ἀναλύcεωc ἄχρι τῆc καθ' ἕξιν ὑγιείαc. ἐν ἑκάcτῃ κτλ. 25. 26 τὸ πῦον ἐπὶ ταῖc πεττομέναιc φλεγμοναῖc γίνεcθαι] *cf. Gal. VII 738 K.*

1 νόcοιc *scripsi*: νούcοιc *codd.* γε *om.* M: cε A γεγονέναι CDMRS: γέγονε AV 2 γὰρ] δὲ A 3 τῆc *ante* ὑγιεινῆc *om.* A ἐν ἀρχῇ] ἀπὸ τῆc ἀρχῆc A 4 εἶτ' ἄλληc *ut cett.* A[1]: ἑτέρα δὲ ἡ A μέχρι A τῆc *(alt.)*] τὴν M: ἡ τῆc AB 5 τεccάρων ABS 6 τὰc μεταβολὰc A[1]CDR: τὰc *om. cett.* 7 οἱ] οὐ CDR 7. 8 ἐν ἀρχῇ *om.* S 8 παντελῶc M 10 αὐτοῖc *om.* B καταλελύcθαι AMSV: καταλύεcθαι CDR 13 ἀcιτίηc A 15 διαίτηc M 16 κατεξηράνθαι ABCDS: καταξηραίνεcθαι M: κατεξηράνθηcαν R 16. 17 διὰ τῆc ἀc. κατεξ. τοὺc κ. ἀμ. *transp.* A 18 φηcιν *post* cύμπτ. *transp.* S 19 καταλέξω R 20 τῶν χολωδῶν S διὸ A 21 καὶ *(prius)* . . . περιττωμάτων *om.* C: *add.* C[1] *in mrg.* καὶ τῶν BDMRS: καὶ τὴν τῶν AV πέψιν *om.* S 23 κρατεῖ *post* φύcιc *transp.* AS 25 πεπεμμέναιc A 26. 27 τοῦ πύου BMS: πύου ACDR 27 ὠμῶν *om.* CDR 27. 28 χυμῶν ὀνομ. CDR

cίαc καὶ πεφθέντα τελείωc τρέφειν δύναται τὸ ζῷον. οὕτωc οὖν καὶ τῶν χολωδῶν πέψιc χυμῶν ἔcτιν, ὥcπερ καὶ τοῦ κατὰ φλεγμονὴν αἵματοc εἰc πῦον μεταβάλλοντοc, κατὰ τὸ γενικώτερον cημαινόμενον τῆc πέψεωc ἀκουόντων ἡμῶν τῆc προcηγορίαc· γενικώτερον δʼ ἐcτίν, ὅταν ἡ φύcιc τῶν αἰτίων ἰcχυροτέρα ᾖ καὶ μεταβάλλῃ αὐτὰ κατὰ τὴν ἑαυτῆc ἰcχύν· τὰ δʼ ὡc ἐν ἀψύχῳ cώματι cηπόμενα, μηδὲν cυντελούcηc αὐτοῖc τῆc ἐμφύτου θερμότητοc εἰc τὴν ἀλλοίωcιν, ἐκπέπτωκε τοῦ πέττεcθαι. τοῦτʼ οὖν ἐνίοτε καὶ τοῖc ὑδατώδεcιν ἰχῶρcι | cυμβαίνει διʼ οὔρων ἐκ- 597
κενουμένοιc, καὶ διὰ τοῦτο καὶ οὖρα τὰ ἄπεπτα πέττεcθαί φαμεν, καίτοι μὴ δυναμένου τοῦ cώματοc ἐκ τῶν πεπεμμένων οὔρων τρέφεcθαι. τῷ δὲ γενικῷ τούτῳ cημαινομένῳ τῆc πέψεωc χρώμεθα, ἐπειδὰν κατάρρουν ἢ κόρυζαν ἢ τοὺc ἐκ τούτων ῥέονταc ἰχῶραc ἢ τοὺc ἐν ταῖc ὀφθαλμίαιc ἤτοι γε ἀπέπτουc ἢ πεπεμμένουc εἶναι λέγωμεν. οὕτωc γοῦν καὶ χολὴν ἢ ὠμὴν καὶ ἄπεπτον ἢ πεπεμμένην εἶναί φαμεν. ἡ μὲν γὰρ ὠμὴ ξανθή τʼ ἐcτὶν ἱκανῶc καὶ δριμεῖα καὶ δυcώδηc, ἡ πεπεμμένη δὲ ὠχροτέρα τε καὶ ἥκιcτα δυcώδηc. ἄπεπτον οὖν χολήν φηcιν εἰc τὴν γαcτέρα cυρρεῖν ἀναγκάζεcθαι διὰ τὴν κακὴν δίαιταν ἔκ τε τῆc κεφαλῆc καὶ τοῦ θώρακοc ἑλκομένην, καθʼ ἕτερον μὲν καιρόν, ἐν ᾧ λιμαγχονοῦcιν, οὐδενὶ χρηcτῷ παραμυθούμενοι τὴν γαcτέρα, καθʼ ἕτερον δὲ καιρόν, ἐν ᾧ μεταβαίνουcιν ἐκ τῆc ἀcιτίαc εἰc ἰcχυρὰ cιτία πληcίον τῆc ἀκμῆc.

ἐφεξῆc δὲ καὶ ἄλλα cυμπτώματα καταλέγει διὰ τὴν μοχθηρὰν δίαιταν γινόμενα· πρώταc μὲν τὰc ἀγρυπνίαc, ἑπομέναc δηλονότι ἀcιτίαιc μακραῖc καὶ τρο|φαῖc ἀκαίροιc, ἅπερ ἀμφότερα μέμφεται τῆc διαί- 598
τηc τῶν ἰατρῶν. ὅτι δὲ ταῖc ἀγρυπνίαιc ἡ ἀπεψία τοῦ νοcήματοc ἕπεται πρόδηλον, εἴ γε καὶ τοῖc ὕπνοιc ἡ πέψιc.

ἀλλὰ καὶ περίλυποι, φηcί, γίνονται, κατʼ ἀμφότερα δηλονότι, τήν τε μακρὰν ἀcιτίαν καὶ τὴν ἰcχυρὰν τροφὴν τὴν ἐξαίφνηc, ὑφʼ ἧc ἡ γαcτὴρ βαρύνεται, βαρυνομένη δὲ καὶ δυcθύμουc τε καὶ λυπηροὺc ἀπεργάζεται τοὺc κάμνονταc.

ἀλλὰ καὶ πικροὺc αὐτοὺc ἔφη γίνεcθαι, δηλονότι παραπλήcιόν τι τῷ προειρημένῳ· καθάπερ γὰρ ἔνιοι δυcθυμοῦνται μελαγχολικῶc, οὕτωc ἕτεροί τινεc ὀξυθυμοῦνται πολλάκιc, ὡc ἀθροιζομένηc αὐτοῖc τῆc χολῆc κατὰ τὸν cτόμαχον· ἢ καὶ τὴν ἐν τῷ cτόματι γινομένην αὐτοῖc ἐκ τῆc

12 κόρυζαν] *e. g. Gal. XVII B 25 K.*

1 δύνανται AM: δύναιτο S 2 χυμῶν πέψιc CDRS καὶ *om.* A 3 μεταβαλόντοc ABS 5 κατὰ] ἐπὶ A 6 cυντούληc CR αὐτῆc MS 9 τὰ μὲν BCMS 11 τούτου M ἐπειδὴ M: καὶ ἐπειδὰν A 12 τοὺc ἐξ ἑλκῶν *Cornarius* 13 λέγομεν BCMR λέγωμεν . . . πεπεμμένην εἶναι *om.* D 14 οὖν M καὶ ἄπεπτον] ἢ ἀπ. V μὲν *om.* D 15 ἱκανῶc *post* δριμεῖα *transp.* M 16 ὠχρὰ A γοῦν A φαcιν ASV: φαμεν CD: φαcι *post* γαcτέρα *transp.* M 17 τὴν γαcτ. M: τὴν *om. cett.* κακήν τε V 20 ἐν ᾧ] καθʼ ὃν V *ante* μεταβαίνουcιν *add.* ἀκαίρωc V 26 εἴ γε] ἤ γε B 27 κατʼ] καὶ S 28 τε] γε CD 30 ἐργάζεται AM 33 αὐτοῖc A: αὐτῶν M: αὐτῆc *cett.* 34 κατὰ τὸν . . . χολῆc *(204, 1) om.* R γενομένην BM αὐτοῖc RSV: *om. cett.*

τοιαύτης χολῆς πικρότητα δηλοῖ διὰ τοῦ φάναι πικροὺς αὐτοὺς γίνεσθαι.

αἱ παραφροσύναι δὲ καὶ ἐπὶ ταῖς ὀξυθυμίαις καὶ τῇ πικρᾷ χολῇ κατὰ τὸν στόμαχον ἢ τὸν ἐγκέφαλον ἀθροιζομένῃ πεφύκασιν ἕπεσθαι.

τὰ δ' ὄμματα μαρμαρυγώδη γίνεται διά τε τὴν ἀπὸ τῆς γαστρὸς ἀναθυμίασιν καὶ διὰ πλῆθος αἵματος ἐπὶ τὴν κεφαλὴν ἀναφερομένου. τούτων δὲ τὸ μὲν πρότερον ἐπ' ἀκαίροις ἐνίοτε γίνεται προσφοραῖς
599 τῆς τροφῆς, | τὸ δὲ δεύτερον ἢ δι' αἱμορραγίαν κρίσιμον ἢ παραφροσύνην ἐφεδρεύουσαν.

ὡσαύτως δὲ καὶ τὰ ὦτα πληροῦται τοῦ ἤχου διά τε τοὺς ἐκ τῆς γαστρὸς ἀναφερομένους ἀτμοὺς καὶ διὰ πνεῦμα φυσῶδες ἐν αὐτῇ τῇ κεφαλῇ γεννώμενον.

τὰ δ' ἀκρωτήρια τοῦ σώματος, ἅπερ ἔστι πόδες τε καὶ χεῖρες, ἑτοίμως καταψύχονται κακοπαθοῦντος τοῦ στόματος τῆς γαστρός, ὅταν ἤτοι διὰ μακρὰν ἀσιτίαν δάκνηται σφοδρῶς ὑπὸ δακνωδῶν ἰχώρων ἢ διὰ πλῆθος ἄκαιρον τροφῆς βαρύνηται. πάσχει δ' ἀμφότερα κατὰ τὴν προειρημένην δίαιταν, ἐν ᾗ προταριχεύσαντες ἐν ταῖς πρώταις ἡμέραις τοὺς κάμνοντας οἱ ἰατροὶ μεταβαίνουσιν ἀθρόως ἐπὶ σιτώδεις τροφάς, ἐν ᾧ καιρῷ λεπτότερον αὐτοὺς ἐχρῆν διαιτᾶν.

κατὰ δὲ τὸν αὐτὸν λόγον οὐδ' οὖρα πέττεται διαιτωμένων οὕτως, ἐν μὲν τῷ προταριχεύειν ἄνευ τοῦ προσφέρειν ἢ χυλὸν πτισάνης ἢ μελίκρατον ἢ ὀξύμελι τοῦ αἵματος ἐπιχολουμένου διὰ τὸ μὴ καθαίρεσθαι, διὰ δὲ τὴν ἀθρόαν μεταβολὴν ἐπὶ σιτία βαρυνθείσης μὲν τῆς γαστρός, συγκαμνούσης δ' αὐτῇ καὶ τῆς ζωτικῆς δυνάμεως· ὡς αἱ στο-
600 μαχικαὶ καλούμεναι | συγκοπαὶ σαφῶς ἡμῖν ἐνδείκνυνται τὴν συμπάθειαν τῆς ζωτικῆς δυνάμεως πρὸς τὸ τῆς γαστρὸς στόμα· τοῦτο γάρ ἐστι τὸ μᾶλλόν τε καὶ πρῶτον ἐν ταῖς ἀκαίροις ἀσιτίαις τε καὶ προσφοραῖς κακούμενον.

διὰ τοῦτ' οὖν καὶ τὰ πτύσματα λεπτὰ καὶ ἁλυκὰ καὶ σμικρὰ καὶ κεχρωσμένα χρώμασιν ἀκράτοις γίνεσθαί φησι καὶ ἱδρῶτας περὶ τράχηλον μόνον ἀπορίαν τε καὶ δύσπνοιαν· ἄπεπτον μὲν γὰρ μένει τὸ νόσημα δι' ἑκατέραν τὴν ὑπερβολήν, ἀσιτίαν τε μακρὰν καὶ

5 ὄμματα μαρμαρυγώδη] *cf. Hipp. Epid. VII 45 (V 412 L.)* 13 ἀκρωτήρια] *cf. Gal. XVIII A 125. 103. XVII A 179 K.* 24. 25 αἱ στομαχικαὶ κ. συγκοπαί] *cf. Gal. VIII 301 sq. 342. X 830. 844 sqq.*

1 πικρότητα *ante* ἐκ *(203, 34) transp.* A τοῦ] τὸ V 3 καὶ ἐπὶ τῇ S, *fortasse recte* 5 γίνονται CRS 6 τὸ πλῆθος τοῦ M 7 μὲν *om.* S 10 πληροῦνται CDM 11 αὐτῇ *om.* CD 12 γεννώμενον ABMS: γινόμενον *cett.* 13 *post* χεῖρες *add.* ἴσμεν V: *om. cett.* 14 καταψυχόμενα V σώματος DS 16 βαρύνεται CDV 17 προταριχεύσαντες A(?)V: προταριχεύοντες *cett.* πρώταις *om.* D 19 λεπτότερον (λεπτοτέρως M) αὐτοὺς ἐ. δ. BCDMRS: λ. αὐτ. δ. ἐ. A: ἐχρῆν αὐτ. λ. δ. V 20 αὐτὸν] προειρημένον S 21 ἐν τῷ μὲν BR 22 ἐπιχυλουμένου M 23 σιτίοις S μὲν *om.* V 24 ὡς . . . δυνάμεως *(26) om.* M 27 τὸ μᾶλλον (μάλιστα S) ὕστατόν τε καὶ πρῶτον MS τε *post* ἀσιτίαις *om.* ADR 28 καλούμενον DR 29 καὶ σμικρὰ *om.* S 31 ἄπεμπτον M *(sic saepius)* 31. 32 μὲν γὰρ ACDRS: γὰρ BM 32 τὴν *om. omnes praeter* V μακρὰν *om.* V

τροφῆϲ προϲφορὰν ἄκαιρον· τῇ δ᾽ ἀπεψίᾳ ϲυνέπεται τὰ καταλελεγμένα πτύϲματα, καθάπερ γε καὶ οἱ περὶ τράχηλον ἱδρῶτεϲ, καὶ διὰ λιμαγχονίαν καταλυομένηϲ τῆϲ δυνάμεωϲ καὶ διὰ τροφὴν ἄκαιρον βαρυνομένηϲ. ὡϲαύτωϲ δὲ καὶ ἡ ἀπορία κοινὸν ἀμφοῖν ἐϲτι ϲύμπτωμα καὶ διὰ μακρὰν ἀϲιτίαν ἐμπιπλᾶϲαν ἰχώρων τὴν γαϲτέρα καὶ διὰ τροφὴν ἄκαιρον βαρύνουϲαν.

ἥ γε μὴν δύϲπνοια, καθ᾽ ἣν τὸ πνεῦμα προϲπταίει, διὰ τροφὴν ἄκαιρον γίνεται μᾶλλον ἢ δι᾽ ἔνδειαν· ἔϲτι γὰρ ϲτενοχωρίαϲ τε καὶ ϲπαϲμοῦ γνώριϲμα προϲκόπτειν τε καὶ οἷον ἵϲταϲθαι τὸ πνεῦμα κατὰ τὴν ἐκ|πνοήν· ἡ γὰρ ἄνω φορὰ τὴν ἐκπνοὴν ποιεῖται. τῷ τοιού- 601
τῳ δὲ πνεύματι τὸ ἐναντίον ἐν τῷ δευτέρῳ καὶ ἕκτῳ τῶν Ἐπιδημιῶν αὐτὸϲ διῆλθεν εἰπών· “διπλῆ εἴϲω ἐπανάκληϲιϲ οἷον ἐπειϲπνέουϲιν”. ὅτι δὲ διὰ τὴν ἄκαιρον τροφήν, οὐ διὰ τὴν ἔνδειαν ἡ τοιαύτη γίνεται δύϲπνοια, δῆλόν ἐϲτι κἀκ τοῦ φάναι τὸν Ἱπποκράτην· πυκνὸν ἢ μέγα λίην τοῖϲ κακῶϲ διαιτηθεῖϲι γίνεϲθαι τὸ πνεῦμα. καὶ γὰρ τὸ πυκνὸν καὶ τὸ μέγα ϲτενοχωρουμένου τοῦ διαφράγματοϲ ὑπὸ τῆϲ ἐν τῇ κοιλίᾳ περιεχομένηϲ γίνεται τροφῆϲ, ὅταν μὴ κρατουμένη μηδὲ κατεργαζομένη καλῶϲ ὑπὸ τῆϲ γαϲτρὸϲ ἐργάϲηται πνευμάτωϲιν· ἀναγκαῖον γάρ ἐϲτι τηνικαῦτα διὰ τὴν ϲτενοχωρίαν τοῦ διαφράγματοϲ ἔλαττον εἰϲπνεῖϲθαι τὸ πνεῦμα, καίτοι τὴν ἴϲην διαϲτολὴν διαϲτελλομένου τοῦ θώρακοϲ ἣ πρόϲθεν διεϲτέλλετο. τοῦτ᾽ οὖν, ὅϲον λείπεται τὸ νῦν πνεῦμα τοῦ προτέρου, ἐνδεῆ τὴν χρείαν τῆϲ ἀναπνοῆϲ ἐργάζεται καὶ διὰ ταύτην τὴν ἔνδειαν ἤτοι μείζονα τὴν ἀναπνοὴν ἀναγκάζει ποιεῖϲθαι τὸ ζῷον ἢ πυκνοτέραν ἢ ἀμφότερα. λέλεκται δὲ περὶ παϲῶν δυϲπνοιῶν ἐπὶ πλεῖ-
ϲτον ἐν τοῖϲ Περὶ | δυϲπνοίαϲ, ἐν οἷϲ καὶ τούτων καὶ τῶν ἄλλων δυϲ- 602
πνοιῶν τὰϲ αἰτίαϲ ϲὺν ταῖϲ οἰκείαιϲ ἀποδείξεϲιν ἐγράψαμεν· ἀλλ᾽ εἴϲ γε τὸ παρὸν ἀρκεῖ καὶ ταῦτα.

φηϲὶ δ᾽ ἐκ τῆϲ κακῆϲ διαίτηϲ καὶ τὰϲ ὀφρῦϲ γίνεϲθαι δεινώϲιοϲ μετεχούϲαϲ. γέγραπται δὲ διϲϲῶϲ, ἐν τιϲὶ μὲν τῶν ἀντιγράφων

9 ϲπαϲμοῦ γνώριϲμα] *cf. Hipp. Aphor. IV 68 (IV 526 L.). Gal. XVII B 749 K.* 11 Ἐπιδημιῶν] *II 3, 7 (V 108 L.). VI 2, 3 (V 278 L.); cf. Gal. VII 891. 896. XVII A 413 sqq. K.* 12 διπλῆ εἴϲω ἐπανάκληϲιϲ] *cf. Gal. XVII B 750* 25 Περὶ δυϲπνοίαϲ] *Gal. VII 752—960* τὰϲ αἰτίαϲ ... ἐγράψαμεν *(26)*] *imprimis l. l. p. 752 sqq.*

1 ἀθρεψία S καὶ τὰ V λελεγμένα CDR 2 γε *om.* SV 4 δὲ *om.* AS ἐϲτι *om.* AS 5 ἐμπιπλῶϲαν *codd.* (S *ambigue*): *corr. Basil.* 8 ἄκαιρον βαρύνουϲαν S 10 κατὰ τὴν εἰϲπνοήν M¹SV *et* A *ante corr.* 12 διπλὴ V: διπλῆν *cett.* εἴϲω M: *om.* ACDRS: ἔϲω *Gal. l. l.* ἐπανάκληϲιν *omnes praeter* V ἐπειϲπνέουϲιν S: ἐπιπνέουϲιν *cett. (in* M *hoc voc. legi nequit)* 13 καὶ οὐ S 13. 14 δύϲπνοια γιν. M 14. 15 μέγα λίην] μεγάλην R 15 διατιθεῖϲι S 16 ὑπὸ τῆϲ *om.* ACDRS 17 γίνεται *om.* A τῆϲ *(repet.)* τροφῆϲ ABS μηδὲ] μήτε ABCDR μηδὲ κατ. *om.* S κατεργαζομένη] *cf. ad p. 148, 23* 19 τὴν] τε τὴν V 20 τὴν ἴϲην M¹S (*obscur.* M): τὴν οἷον V: τὴν αὐτὴν A: *om.* BCDR ἣν S 21 ὅϲω ACDS 22 ἐργάϲεται (ηται DR) ACSV: ἐργάϲετο B: *corr. Aldus* 24 ἐπὶ ... δυϲπνοιῶν *(25) om.* S 27 γε *om.* CR καὶ ταῦτα] ταῦτα V 28 δ᾽] γὰρ A ἐκ *om.* V

κατὰ τὸν ἑνικὸν ἀριθμὸν ὀφρὺς δεινώσιος μετέχουσα, καθ᾿ ἕτερα δὲ πληθυντικῶς ὀφρύες δεινώσιος μετέχουσαι. δηλοῦται δ᾿ ἐκ τῆς λέξεως τὸ παρεσπάσθαι πως αὐτὰς ἢ ἀνεσπάσθαι· καὶ γίνεται τοῦτο ποτὲ μὲν ἀμφοτέρων τεινομένων σπασμωδῶς ἢ τῆς ἑτέρας μόνης, ποτὲ δὲ τῆς ἑτέρας παραλελυμένης.

εἶθ᾿ ἑξῆς φησι λειποψυχώδεα πονηρά, τὸν λόγον ἀναφέρων ἐπὶ τὰ συμπτώματα, καθ᾿ ἃ καὶ τῶν ἱματίων αἱ ἀπορρίψεις γίνονται διακαιομένων τῶν καμνόντων· ἐνίοτε δὲ καὶ χεῖρες ὅλαι τρομώδεις ἐπὶ πλέον αὐξανομένου τοῦ κακοῦ.

τὸ δὲ κάτω χεῖλος σειόμενον ἐνδείκνυται δῆξιν εἶναι σφοδρὰν ἐν τῷ στόματι τῆς γαστρός, διὸ καὶ σημεῖόν ἐστιν ἐμέτου δριμέων χυμῶν τὸ τοιοῦτον σύμπτωμα. |

603 **II 45** [I 11. II 314, 8 L.] Ταῦτα δ᾿ ἐν ἀρχῇσιν ἐπιφαινόμενα παραφροσύνης ἐστὶ δηλωτικὰ σφοδρῆς καὶ ὡς ἐπὶ τὸ πολὺ θνῄσκουσιν.

Τὰ εἰρημένα, φησί, συμπτώματα κατὰ τὴν ἀρχὴν τῶν νοσημάτων γινόμενα παραφροσύνης ἐστὶ δηλωτικὰ σφοδρᾶς, ἀρχὴν δὲ νόσου νῦν ἀκούειν σε χρὴ τὸν χρόνον ἐκεῖνον ὅλον, ἐν ᾧ μηδέπω πέψεώς ἐστι γνωρίσματα. εἴρηται γὰρ ἐν τοῖς Περὶ κρίσεων, ὅτι τε πλείω σημαίνει τὸ τῆς ἀρχῆς ὄνομα, καὶ ὅτι τὸ νῦν εἰρημένον σημαινόμενον τῆς ἀρχῆς ἐστι κατὰ τὴν τοιαύτην διαίρεσιν γινόμενον, ἐν ᾗ τοὺς τοιούτους καιροὺς τῶν νοσημάτων διαιρούμενοι λέγομεν ἐξ ἀρχῆς αὐτὰ καὶ ἀναβάσεως καὶ ἀκμῆς καὶ παρακμῆς συγκεῖσθαι. τῶν οὖν εἰρημένων ἄρτι συμπτωμάτων, ὅταν ἐγγὺς τῆς ἀκμῆς φαίνηται, κρίσιν ἐσομένην προδηλούντων, ἐν περιεστηκόσι δηλονότι νοσήμασιν, ὅταν ἐν ἀρχῇ γένηται, κρίσιν μὲν οὐ δηλοῖ, (κριθῆναι γὰρ ἐν ἀρχῇ οὐδὲν δύνα-
604 ται), παραφροσύνης δ᾿ ἐστὶ γνωρίσματα. καὶ γέγρα|πται περὶ αὐτῶν ἱκανῶς ἐν τοῖς Περὶ κρίσεων· ἐξ ἐκείνων οὖν καὶ σὺ μάνθανε τὸν ὅλον ὑπὲρ αὐτῶν λόγον· ἔστι γὰρ μακρότερος ἢ ὡς νῦν ἅπαντα διελθεῖν αὐτόν, ἀλλ᾿ ἀρκέσει, καθάπερ ἐπὶ τῶν ἄλλων, οὕτω κἀπὶ τούτων τὸ

10 τὸ δὲ κάτω χεῖλος σειόμενον] *cf. Gal. XVII B 396 K.* 13 Ταῦτα ... θνῄσκουσιν *(15)*] *affert Gal. IX 572 K.* 19 Περὶ κρίσεων] *I 2. 6. 8. 9. (IX 551 sqq. 570 sqq. 580 sqq.)* 22 ἐξ ἀρχῆς κτλ.] *cf. Gal. IX 351* 24 ἄρτι] *II 44 (p. 201, 10 sqq.)* 28 Περὶ κρίσεων] *I 5—9 (IX 562 sqq. K.)*

1 καθ᾿ ... μετέχουσαι *(2) om.* CD: *add.* C¹D¹ *in mrg.* 3 πως] τὰς D 4 μὲν *ante* τοῦτο *transp.* V 6 εἶθ᾿ ἑξῆς BDMS: εἶθ᾿ ἐφεξῆς AC: εἶτ᾿ ἐφ. RV 7 αἱ ἀπορρίψεις BMS: αἱ *om.* CDRV *(in A erasum)* 8 δὲ *om.* A 11 δριμέος χυμοῦ BM 13 δ᾿ *om.* S 14 ἐστὶ BDMR, *Gal. l. l.*: εἰσὶ ASV τὸ *om.* CDR 15 θνήσκουσι *codd.*: ἀποθν. *Gal. l. l., ab Aldo edd.* 17 γινομένων M ἐστὶ BM: εἰσὶ *cett.* ἀρχὴ CDR 18 νούσου S ἀκοῦσαι M σε *om.* M μηδέποτε M 19 ἐστι BDMR: εἰσι AS 20 τὸ νῦν] τὸν S εἰρημένον *om.* V 22 τοιούτους *suspectum* 23 καὶ παρακμῆς *om.* CDR 24 ἄρτι *om.* CD ταῖς ἀκμαῖς S κρίσιν] ἡ κρίσις M 25 περιέστη CDR 27 γνώρισμα S 29 νῦν *om.* M 30 τοῦτο BMV

κεφάλαιον εἰπεῖν, ὡς, ἐπειδὰν ἡ φύσις ἐπείγηται πρὸς ἔκκρισιν, ἀξιόλογος ἐν τῷ σώματι γίνεται ταραχή, δι᾽ ἣν τὰ τοιαῦτα φαίνεται συμπτώματα μετὰ τῶν τῆς πέψεως σαφεστάτων σημείων· χωρὶς δὲ τοῦ παρεσκευάσθαι τὴν φύσιν εἰς τὴν τῶν λυπούντων ἔκκρισιν ὁμοία ταραχὴ γινομένη κινδυνωδέστατόν ἐστι σημεῖον.

εἴρηται δὲ καὶ δι᾽ ἄλλων ὑπομνημάτων ἤδη περὶ κρισίμων συμπτωμάτων, ὁποία τέ τις ἡ φύσις αὐτῶν ἐστι καὶ ὅπη διαφέρει τῶν ἐπιφαινομένων καλουμένων, ἐν οἷς ἔσται καὶ τὰ τῆς πέψεως σημεῖα. τό τε γὰρ Προγνωστικὸν καὶ τὸ Περὶ χυμῶν καὶ τοὺς Ἀφορισμοὺς ἤδη προεξηγήμεθα πρὸ τοῦδε τοῦ βιβλίου· μακρολογοῦντος οὖν ἐστιν ἀεὶ περὶ τῶν αὐτῶν λέγειν τὰ αὐτά. |

II 46 [I 11. II 314, 10 L.] Οἱ δὲ διαφεύγοντες ἢ μετὰ ἀπο- **605**
στήματος ἢ αἵματος ῥύσιος ἐκ τῆς ῥινὸς ἢ πῦον παχὺ πτύσαντες διαφεύγουσιν, ἄλλως δὲ οὔ.

Ἐπειδὴ "θνήσκειν" αὐτοὺς εἶπεν οὐχ ἁπλῶς, ἀλλὰ προσέγραψεν "ὡς ἐπὶ τὸ πολύ", διὰ τοῦτ᾽ ἀκόλουθον ἦν εἰπεῖν, ὅπως ἐξ αὐτῶν ἔνιοι σῴζονται. τούτους οὖν νῦν διεξέρχεται, καί φησιν ἢ δι᾽ αἱμορραγίας ἢ δι᾽ ἀποστήματος ἢ διὰ πύου πτύσεως ἱκανῶς πεπεμμένου σῴζεσθαί τινας ἐξ αὐτῶν, συνενδεικνύμενος ἐξ ὧν εἶπε διὰ πλῆθος τοῖς τοιούτοις περιπίπτειν συμπτώμασι τοὺς κάμνοντας.

II 47 [I 11. II 314, 12 L.] Οὐδὲ γὰρ τῶν τοιούτων ὁρέω ἐμπείρους τοὺς ἰητρούς, ὡς χρὴ διαγινώσκειν τὰς ἀσθενείας ἐν τῇσι νούσοισιν, αἵ τε διὰ κενεαγγείην ἀσθενέονται αἵ τε δι᾽ ἄλλον τινὰ ἐρεθισμὸν αἵ τε διὰ πόνον καὶ ὑπὸ ὀξύτητος τῆς |
νούσου, ὁκόσα τε ἡμέων ἡ φύσις καὶ ἡ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ **606**
πάθεα καὶ εἴδεα παντοῖα· καίτοι σωτηρίην ἢ θάνατον φέρει γινωσκόμενα ἢ ἀγνοούμενα τὰ τοιαῦτα.

Ἐπεὶ περί τε τῆς ἰσχύος τοῦ κάμνοντος πεποίηται καὶ περὶ τῆς ἀσθενείας λόγον, ταῦτα δ᾽ εἰσὶ τῶν ἐκ διαίτης σκοπῶν οὐχ οἱ φαυλό-

6 δι᾽ ἄλλων ὑπομνημάτων] *cf. Gal. XVII B 390 sqq. K.* 9 τό τε Προγνωστικὸν καὶ τὸ Περὶ χυμῶν καὶ τοὺς Ἀφορισμοὺς] *Gal. XVIII B 1—317. XVI 1—488. XVII B 345—887. XVIII A 1—195; cf. XIX 35 sq.* 15 εἶπεν] *paulo ante p. 206, 14* 21 Οὐδὲ ... τοιαῦτα *(27)*] *affert Ps.-Gal. XIX 207 sq.*

1 ἐπειδὴ M ἐπείγεται DMRS 2 δι᾽ ὧν MS φαίνεται] γίνεται DR 3 τῆς *om.* S 4 προπαρασκευάσασθαι S: παρασκευάσασθαι A 7 ἐπιφαινουμένων S 9 τὸ *(alt.) om.* D 10 προεξηγησάμεθα S 13 ῥεύσιος R[1] *in mrg.* πτύον DS πτύσαι S 16 ὡς *om.* M τὸ *om.* CDM 17 τούτους] τοὺς D 19 ἐν τοῖς *codd.*: ἐν *del. Cornarius* 20 περιπίπτειν *om.* CDR καὶ τοὺς κ. M 21 τοιούτων *codd.*: τοιουτέων *edd.* 22 ἰατροὺς ABMS 23 ταῖς R: τοῖς D κενεαγγίην BV 24 καὶ *om.* V καὶ ὀξύτητα S 25 νόσου ABMS ὁκόσα *codd.; sed cf. p. 209, 24* ἡμέων CDR: ἡμῶν *cett.* ἡ *ante* ἕξις *om.* A 26 ἤδεα S: οἴδεα D 27 τὰ τοιαῦτα *om.* B 28 τε *om.* CD 29 ἐκ *om.* CDR τῆς διαίτης CDR: τῆς *om. cett.*

τατοι, διὰ τοῦτο νῦν ἀναλαμβάνει τὸν ὑπὲρ αὐτῆς λόγον, τῆς κατὰ τὴν δύναμιν ἀσθενείας, ᾧτινι τρόπῳ γίνεται, διαγνωστικοὺς λέγων δεῖν εἶναι τοὺς ἰατρούς, ὅτι ἔνιαι μὲν τῶν ἀσθενειῶν διὰ τὴν τῶν ἀγγείων κένωσιν ἀποτελοῦνται, (τοῦτο γὰρ ἡ κενεαγγεία σημαίνει κυρίως τε καὶ πρώτως καὶ διὰ τοῦθ᾽ ἡ ἀσιτία κενεαγγεία πολλάκις εἴρηται, ὡς τῷ τοῦ γένους ὀνόματι καὶ ἐπὶ τοῦ εἴδους συνηθέστατα χρωμένων ἁπάντων ἀνθρώπων), ἔνιαι δὲ διὰ πόνον, ἤτοι τὸν ἰδίως λεγόμενον, ὅσπερ ἐστὶν ὁ αὐτὸς ταῖς ὀδύναις, ἢ τὴν ὡς ἂν εἴποι τις κακοπάθειαν, ἣν κακοπαθοῦσιν οἱ κάμνοντες ἐν ταῖς ὀξείαις νόσοις. ἐνίας δὲ καὶ **607** δι᾽ ἄλλον τινὰ γίνεσθαί φησιν ἐρεθισμόν· εἰ μὲν γὰρ δὴ | τὴν δῆξιν ἐρεῖ ἤτοι γε τὴν τῆς γαστρὸς ἢ τὴν τῶν ἐντέρων, δόξειεν ἂν ὑποπεπτωκέναι τὸ σύμπτωμα τοῦτο ταῖς ὀδύναις, εἰ δ᾽ ἀγρυπνίαν ἤ τι τοῦ στόματος τῆς κοιλίας πάθος, οὐ κυρίως ἂν δόξειεν ἑρμηνεύειν.

ἥ γε μὴν δύναμις ὁρᾶται καταλυομένη διά τε κένωσιν ἐξ αἱμορραγιῶν ἢ ἐμέτων ἢ διαχωρημάτων ἢ ἱδρώτων καὶ δι᾽ ἀσιτίαν μακροτέραν τοῦ προσήκοντος καὶ δι᾽ ἄλγημά τι καὶ ἀγρυπνίαν ἐξαναστάσεις τε συνεχεῖς ἀποπατήσεως ἕνεκα καὶ πρὸς τούτοις, ὅταν ποτὲ πάθῃ τὸ στόμα τῆς γαστρὸς οὕτως, ὡς ἀπειλεῖν συγκοπάς· τοῦτο μέν γε καὶ διὰ τροφῆς πλῆθος βαρυνούσης ἤ τινα τῶν ἀνιαρῶν αὐτῆς ποιοτήτων αὐτό τε κάμνει καὶ συγκαταλύει τὴν δύναμιν ἑαυτῷ τάχιστα. πᾶσαι μὲν οὖν αὗται διὰ φανερὰς αἰτίας γίνονται αἱ βλάβαι τῆς δυνάμεως· ἕτεραι δ᾽ εἰσὶν ἀφανεῖς, ὥσπερ ὅταν ἄνευ κενώσεως φανερᾶς ἢ ἀγρυπνίας ἢ λιμαγχονίας ἢ καὶ τῆς κατὰ τὸ στόμα τῆς κοιλίας αἰσθήσεως οἱ κάμνοντες εἰς τὴν τοιαύτην ὑποσύρωνται τοῦ σώματος διάθεσιν, οἵαν ἐν τῷ Προγνωστικῷ κατὰ τὴν ἀρχὴν αὐτὸς ἔγραψε λέγων· "ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, | **608** κρόταφοι συμπεπτωκότες" ὅσα τε τούτων ἐφεξῆς. αὕτη γὰρ τοῦ σώματος ἡ κατάστασις γίνεται μὲν καὶ δι᾽ ἀγρυπνίαν καὶ δι᾽ ἔκκρισίν τινα πολλὴν καὶ λιμαγχονίαν, γίνεται δὲ καὶ χωρὶς τούτων, ὅταν οἵ τ᾽ ἐν τῷ σώματι χυμοὶ λεπτοὶ τύχωσιν ὄντες ἥ τε τοῦ πυρετοῦ θερμασία δριμεῖα· διαφοροῦνται γὰρ οἱ οὕτως λεπτυνόμενοι κατὰ τὸ ἄδηλον.

ἐνίοις δὲ καὶ κατὰ δυσκρασίαν μιᾶς τῶν ἀρχῶν παθούσης ἀσθενὴς

5 κενεαγγεία] *cf. Gal. XVI 106. 597 K.* 18 συγκοπάς] *cf. Gal. X 837. VII 252.* 24 ἐν τῷ Προγνωστικῷ] *2 (II 114 L.); cf. Gal. XVIII B 25 sqq.* 30 κατὰ τὸ ἄδηλον] *cf. Gal. XVI 368 K.* 31 μιᾶς τῶν ἀρχῶν] *cf. Gal. I 319*

2 τὴν *om.* ACDR 3 τῶν αἰτίων *(v. l.)* τῶν ἀγγείων M 4 ἀπολοῦνται M ἡ *om.* R 5 πολλάκις κεν. *colloc.* M ὡς] πρὸς BV: ἐν A 6 ἐπὶ] τὰ BM: τῶ A: κατὰ A¹S 7 ἁπάντων τῶν CDR 8 ἂν *om.* BMSV 9 ἣν CD: ἡ *cett.* νούσοις ABMV ἐνίας V: ἔνιοι DM: ἐνίοτε S: ἐνίοις *cett.* 10 γίν. *om.* M 11 γε τὴν] τὴν A: γε CD ἢ τὴν τῶν A: τὴν *om. cett.* 12 σύμπτωμα] νόσημα CDR 16 ἀλγήματος (*om.* τι καὶ) M 18 ὡς *add.* A¹ ἀπειλεῖν *codd.*: ἐναπειλεῖν *edd.* γε] γὰρ *Cornarius*: *om.* M 19 αὐτό *Cornarius*: αὐτή *codd.* 20 ἑαυτῷ *Cornarius*: ἑαυτῇ *codd.* τὸ τάχιστα CDR 21 φανερὰς αἰτίας M: φανερῶν αἰτιῶν *cett.* αἱ *om.* ABMSV 23 καὶ τῆς *om.* ABMSV τῆς *ante* κοιλίας *om.* V 24 τὴν τοιαύτην ABMS: τὴν *om. cett.* οἷον A 26. 27 ἡ τοῦ σώματος κ. (διάθεσις S) CDRS 27 καὶ *post* μὲν *om.* M τινα *om.* BM 28 τ᾽ *om.* A 29 τύχωσιν ABCDMRS: τυγχάνουσιν V 31 δυσκρασίαν BCDR: τὴν δ. ASV; *cf. p. 209, 9*

ἡ δύναμις γίνεται· πρώτη μὲν οὖν ἡ πρώτως παθοῦσα κάμνει, κατὰ συμπάθειαν δὲ καὶ αἱ λοιπαὶ δύο. μεμάθηκας γὰρ ἄλλην μὲν εἶναι κατὰ τὰ νεῦρα δύναμιν ἀρχὴν ἔχουσαν τὸν ἐγκέφαλον, ἄλλην δὲ κατὰ τὰς ἀρτηρίας, ἧς ἀρχὴ ἡ καρδία, καὶ τρίτην κατὰ τὰς φλέβας ἐξ ἥπατος ὁρμωμένην· ἐνίοτε γοῦν τῶν μορίων ἑνὸς οὑτινοσοῦν δυσκρασία τὴν οἰκείαν δύναμιν ἐκάκωσεν, ᾗ συνέπαθον αἱ λοιπαὶ δύο δυνάμεις. τάχισται μὲν οὖν ἀπώλειαι γίνονται τῆς καρδίας παθούσης, ἐφεξῆς δὲ τοῦ ἐγκεφάλου, βραδεῖαι δὲ αἱ ἀπὸ τοῦ ἥπατος. ὥσπερ γὰρ ταῦτα τὰ μό-|ρια κατὰ δυσκρασίαν παθόντα μεγίστην βλάβην βλάπτεται τῆς οἰκείας 609 ἕκαστον δυνάμεως, οὕτως ἔνια πλησίον ἑκάστης ἀρχῆς κείμενα κατὰ δυσκρασίαν ἰσχυρῶς νοσήσαντα τὰς ἀρχὰς τῶν δυνάμεων εἰς συμπάθειαν ἑαυτοῖς ἄγει, τινὰ δέ, κἂν μὴ πλησίον ᾖ κείμενα, διὰ τὴν κατὰ γένος κοινωνίαν ἤ τινα διαθέσεως ἰδιότητα τὰ τὰς ἀρχὰς τῶν δυνάμεων ἔχοντα βλάπτει μόρια. τὸ μὲν οὖν στόμα τῆς γαστρός, ὅταν μὲν τὴν ζωτικὴν δύναμιν εἰς συμπάθειαν ἄγῃ, συγκοπὰς ἐπιφέρει, ὅταν δὲ τὴν ἰδίως ψυχικὴν ὀνομαζομένην, παραφροσύνας ἢ σπασμούς, ἡ δὲ μήτρα ποτὲ μὲν ἀπνοίας, ποτὲ δὲ συντάσεις νεύρων.

ἀλλὰ συμπληρωθέντα μὲν ἕκαστα τούτων ἅπασι γνώριμα, συνιστάμενα δὲ καὶ αὐξανόμενα κατὰ βραχὺ λανθάνει τοὺς πολλοὺς τῶν ἰατρῶν. χρὴ δὲ οὐχ, ὅταν ὑπὸ μεγέθους ἀβοήθητα γένηται, τότε γνωρίζειν αὐτὰ τοῖς ἰδιώταις ὡσαύτως, ἀλλ᾽ ἀρχόμενά τε καὶ γινόμενα· τοῦτο γὰρ κάλλιστον· εἰ δὲ μή, ἀλλ᾽ αὐξανόμενά γε πάντως. ἅπαντ᾽ οὖν τὰ τοιαῦτα δοκεῖ μοι δηλῶσαι διὰ τῆσδε τῆς λέξεως ὁ Ἱπποκράτης, ἐν ᾗ φησιν· ὅσα τε ἡμέων | ἡ φύσις καὶ ἡ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ 610 πάθεα καὶ εἴδεα παντοῖα· καὶ νῦν φύσιν λέγει τὴν κρᾶσιν, ἕξιν δ᾽ αὐτοῦ τοῦ σώματος τὴν κατασκευήν. οἱ μὲν γὰρ ἀραιότεροι φύσει διαφοροῦνται καὶ συγκόπτονται ῥᾳδίως, οἱ δὲ πυκνότεροι χρονίζουσιν ἐν ταῖς νόσοις. οὕτω δὲ καὶ μόρια τὰ μὲν ἔχουσί τινες ψυχρότερα, τὰ δὲ θερμότερα, καὶ τὰ μὲν ξηρότερα, τὰ δὲ ὑγρότερα, ἅπασι δὲ οἰκεῖον τῇ κράσει τὸ νόσημα.

II 48 [I 11. II 316, 6 L.] Μεῖζον μὲν γὰρ κακόν ἐστιν, ἣν διὰ τὸν πόνον καὶ τὴν ὀξύτητα τῆς νόσου ἀσθενέοντι προσ-

25 καὶ νῦν κτλ.] *cf. p. 189, 23. Gal. XVI 423* 27 πυκνότεροι] *cf. Gal. XVI 377*

Εἴρηταί μοι περὶ τοῦδε τοῦ οἴνου κατὰ τὸν περὶ τοῦ γλυκέος οἴνου λόγον, ἐπειδὴ παρέβαλέ τε καὶ ἀντεξήτασε τὰς | δυνάμεις αὐτῶν. 644 εἶπον οὖν, ὅτι ζήτημ᾽ ἐστὶν οὐ σμικρόν, εἴτε τὸν λευκὸν ἅμα καὶ αὐστηρὸν οἶνον οἰνώδη λευκὸν εἴρηκεν εἴτε τὸν θερμαίνοντα σφοδρῶς ὡς ἐν λευκοῖς οἴνοις· ἰσχυρῶς γὰρ θερμαίνειν οὐδεὶς δύναται τῶν λευκῶν οἴνων. ὁ μὲν γὰρ ἄκρως θερμὸς οἶνος εὐθὺς καὶ ξανθός ἐστιν, ὥσπερ γε καὶ ὁ ἐφεξῆς αὐτῷ ὁ κιρρός, εἶτ᾽ ἐπ᾽ αὐτοῖς ὁ ἐρυθρός, εἶθ᾽ ὁ γλυκύς· ὁ δὲ λευκὸς ἧττον μὲν ἁπάντων τούτων θερμαίνει, διαφορὰς δ᾽ ἐν αὐτῷ κατὰ μέρος ἔχει, καθὰ καὶ τἄλλα πάντα διαστήματα, κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον. ὁ δὴ τοιοῦτος οἶνος ὅτι ποριμώτερός ἐστιν ἐπὶ κύστιν τοῦ γλυκέος, εἴρηται πρόσθεν. ἀνεπιτηδειότερον δ᾽ αὐτὸν εἰς ἄλλα τοῦ γλυκέος φησὶν εἶναι, ταῦτα δ᾽ ἐστὶν ὑπαγωγή τε γαστρὸς καὶ πτυσμάτων ἀναγωγή. καλὰ δ᾽ ἔφη ταῦτα τεκμήρια εἶναι, τουτέστι γνωρίσματα, τῆς τῶν οἴνων δυνάμεως.

III 7 [I 14. II 334, 14 L.] Κιρρῷ δὲ οἴνῳ καὶ μέλανι αὐστηρῷ ἐν ταύτῃσι τῇσι νού|σοισιν ἐς τάδε ἂν χρήσαιο· εἰ καρηβαρίη μὲν μὴ ἐνείη μηδὲ φρενῶν ἅψις μηδὲ τὸ πτύελον κωλύοιτο τῆς ἀνόδου μηδὲ τὸ οὖρον ἴσχοιτο, τὰ διαχωρήματα δὲ πλαδαρώτερα καὶ ξυσματωδέστερα εἴη, ἐν δὴ τοῖσι τοιουτέοισι πρέποι ἂν μάλιστα μεταβάλλειν ἐκ τοῦ λευκοῦ καὶ ὁκόσα τουτέοισιν ἐμφερέα. 645

Ὁ μὲν γλυκὺς οἶνος εὐθὺς καὶ μέλας ἐστίν, οὐ μὴν ὅ γε μέλας εὐθέως ἅπας καὶ γλυκύς, ἀλλ᾽ αὐστηροί τινες ἐξ αὐτῶν ὑπάρχουσιν,

7 Εἴρηται] *p. 220, 15 sq.* 9 εἶπον] *p. 225, 5 sq.* 12 ὁ μὲν γὰρ ... θερμαίνει *(14)*] *exc. Orib. V 6, 25 (I 346 Daremb.)* 17 εἴρηται πρόσθεν] *p. 225, 3 sq.* 21 Κιρρῷ δὲ ... ἐμφερέα *(27)*] *affert Gal. V 772 K. (p. 790 Müll.)*

1 προσωφελέοι AB: προσωφελοίη S: πρὸς ὠφέλειαν PRV: πρὸς ὠφελέ *(sic)* ἂν C: συνωφελέει M εἰ] καὶ εἰ S 2 ἡ *ante* κάθαρσις *transp. Gal. l. l. et Hipp. cod. A* 3 τὴν κύστιν CR 4 ὁκοῖα CR: ὁκοῖον *cett.* τὰ ABCMRS: τῆς V: *del. Kühlewein* 7 μοι] μὲν S τοῦδε *om.* A: *add.* A¹ 8 παρέβαλλε MS 9 εἶπεν S οὖν *om.* V μικρὸν A τὸν λευκὸν ABCRS: λευκὸν MV 10 λευκοῖσιν S 11 γὰρ S: μὲν γὰρ *cett.* 12 μὲν *om.* ABSV 13 αὐτοῦ M ὁ κιρρός CRS, *Orib.*: ὁ *om. cett.* 15 αὐτῷ *scripsi*: αὐτῷ *codd.* 16 τε *om.* S τὸ ἧττον S ἐστιν *add.* A¹ 19 ἀγωγή R 21 περὶ κιρροῦ οἴνου καὶ μέλανος καὶ αὐστηροῦ A¹ *in mrg.* δὲ αὖ *Gal. l. l.; cf. p. 228, 13* καὶ αὐστηρῷ ABCMS 23 μὲν ... ἅψις *om.* S τὸ *om.* CMR 25 δὴ] δὲ S: *om.* V τοῖσι τουτέοισι BRS 26 πρέπει BCMR 28 μὲν γὰρ M: ὁ μὴν ὅ γε R

οἷοι παρ᾿ ἡμῖν ἐν Ἀσίᾳ πλησίον Περγάμου καὶ κατὰ Περπερίναν τε καὶ Αἰγάς. ὁ δὲ κατὰ τὴν Κιλικίαν Ἀβάτης αὐστηρός τε ἅμα καὶ γλυκύς ἐστιν ἐξ ἐναντίων ποιοτήτων συγκείμενος· διὸ καὶ μοχθηρὸς ὑπάρχει μήτ᾿ ἀναδιδόμενος μήθ᾿ ὑπερχόμενος, ἀλλ᾿ ἐπὶ πλέον τε παραμένων τῇ ἄνω γαστρὶ καὶ πνευματῶν αὐτήν. ὅ γε μὴν ἄνευ τοῦ γλυκὺς εἶναι μέλας οἶνος αὐστηρὸς εἰς τὰ κατὰ τὴν γαστέρα χρήσιμος, ὅταν ἤτοι πλείω τοῦ προσήκοντος ὑπέρχηται κατ᾿ αὐτὴν ἢ ξυσματώδη· τηνικαῦτα γὰρ ἐπιτήδειός ἐστιν, ὥσπερ γε καὶ ὁ λευκὸς οἶνος ὁ αὐστηρὸς
646 ὅσα | τ᾿ ἄλλα φάρμακα στύφοντα.

πρὸς δὴ ταῦτά φησι καὶ τὸν κιρρὸν οἶνον ἁρμόττειν, οὐχ ἁπλῶς ἅπαντα λέγων τὸν κιρρόν, ἀλλὰ τὸν αὐστηρὸν κιρρόν· ἐπ᾿ ἀμφοτέρων γὰρ ἀκούειν σε χρὴ τὸ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἰρημένον οὕτως· κιρρῷ δ᾿ [ἂν] οἴνῳ καὶ μέλανι τοῖς αὐστηροῖς εἰς τάδε ἂν χρήσαιο. διττὸς γὰρ ὁ κιρρός, ὥσπερ καὶ ὁ μέλας, ὁ μὲν γλυκύς, ὁ δ᾿ αὐστηρός, ὄντος καὶ τρίτου παρ᾿ ἑκάτερον ἐξ ἐπιμιξίας ἀμφοτέρων τῶν ποιοτήτων. ἀλλ᾿ ὅ γε μίαν ἔχων ποιότητα διττὸς μὲν ἑκατέρᾳ τῇ χρόᾳ, κεφαλῆς δὲ καὶ γνώμης ὁ κιρρὸς μᾶλλον ἅπτεται, διότι καὶ θερμότερός ἐστι τοῦ μέλανος· τῷ δ᾿ αὐτῷ λόγῳ καὶ τοὺς πυρετοὺς αὐξάνει· τούτοις γὰρ ἐπιτήδειοι μόνοι τῶν οἴνων εἰσὶν οἱ ὑδατώδεις. εἰκότως οὖν ἐκώλυσε χρῆσθαι τοῖς αὐστηροῖς οἴνοις, εἴτε κιρροὶ τὴν χρόαν εἴτε μέλανές εἰσιν, ἔν τε ταῖς καρηβαρίαις καὶ ταῖς βλάβαις τῶν φρενῶν, τουτέστιν ὅπου ὁ πυρετὸς αὐτῶν ἥψατο· καὶ προσέτι κἀκείνοις τῶν κατὰ θώρακα καὶ πνεύμονα νοσημάτων, ἐν οἷς ἴσχεται
647 τὸ πτύελον, ἀνεπιτηδείους τοὺς τοιούτους οἴνους εἶ|ναί φησι καὶ τῶν οὔρων ἐπεχομένων διὰ τὸ πάχος δηλονότι καὶ τὴν στύψιν.

III 8 [I 14. II 336, 5 L.] Προσξυνιέναι δὲ δεῖ, ὅτι τὰ μὲν ἄνω πάντα καὶ τὰ κατὰ κύστιν ἧσσον βλάψει, ἢν ὑδαρέστερος ᾖ, τὰ δὲ κατ᾿ ἔντερον μᾶλλον ὀνήσει, ἢν ἀκρητέστερος ᾖ.

1 Περπερίναν] *cf. Gal. VI 800. 804 sq.* οἶνος Περπερῖνος *Gal. X 833. Gal.* Περὶ λεπτυν. διαίτης *12, 102 ed. Kalbfleisch* 2 Αἰγάς] *cf. Gal. VI 800. X 833* ὁ δὲ . . . χρήσιμος *(6)*] *exc. Orib. V 6, 20 (I 345 Daremb.)* Ἀβάτης] *cf. Gal. VI 800. X 833 (ubi* Ἀβάτης *pro* Ἀλβάτης *legendum). Athen. I 33 b* 10 τὸν κιρρὸν οἶνον] *cf. Gal. X 837. VI 804. Orib. II 6, 23 (I 346 Daremb.)* 16 διττὸς . . . τοῦ μέλανος *(18)*] *exc. Orib. l. l.* 26 Προσξυνιέναι . . . ἀκρητέστερος ᾖ *(28)*] *affert Gal. V 772 K. (p. 790 Müll.)*

1 περπερίνα AS; *scribendum videtur* Περπερίνην *vel* Περπερηνήν, *ut est apud Strab. XIII 607. Plin. V 30, 32* 2 ἀβάτης ABMSV: ἀναβάτης CR 6 αὐστηρὸς οἶνος A ἤτοι *om.* A 7 κατὰ ταύτην CR ἢ *om.* AS 8 γε] τε M 9 στύφοντα φ. ACR 11 *post* λέγων *add.* οἶνον BM 12 σε M: γε *cett.* 13 ἂν *inclusi* *post* αὐστηροῖς *add.* ἐν ταύτῃσι τῇσι νούσοισι *Chartier*: *om. codd.* 14 χρῆσαι M μὲν γὰρ γλ. BM 15 ὄντως CM καὶ τρίτου ὄντος A ἑκάτερον A *(compendiose) et* CR: ἑκατέρῳ BV: ἑκατέρων M 17 τῇ *codd.*: *om. a Charterio edd.* χροιᾷ M 18 τῷ αὐτῷ δὲ A 21 τε ACMS: δὲ RV: δέ τε B ταῖς *ante* καρ. *om.* BM 22 *post* προσέτι *add.* γε V 23 κἀκείνοις ACRS: κἀκεῖνα BMV καὶ AS: τε καὶ *cett.* 24 οἴνους *om.* M 25 τὴν ψύξιν CR 26 προσξυνίεναι *Hipp. codd. plerique*: προξυνιέναι *Gal. codd.* ὅτι τὰ] ὅταν S *ante corr.* 27 κύστιν A: τὴν κ. *cett.; cf. Hipp. de fract. 20 (III 484 L.)* 28 μᾶλλον S: καὶ μᾶλλον *cett.* ἀκρατ. MS

Ὁ ἀκρατέστερος οἶνος, ὡς εἴρηκε, ⟨τοῖς⟩ κατ᾽ ἔντερον μᾶλλον ἐπιτήδειός ἐστιν· εἰκότως οὖν ὀνίνησιν αὐτὰ τῷ λόγῳ τῆς στύψεως, δι᾽ ἣν καὶ τὸ βοηθεῖν ὅλως εἶχεν· ἀλλὰ ταύτην γε τὴν στύψιν ἐκλύει κεραννύμενος ὁ ὑδαρὴς καὶ διὰ τοῦθ᾽ ἧττον ὀνίνησιν αὐτά. καθάπερ δὲ ταῦτα μᾶλλον ὀνίνησι τῷ λόγῳ τῆς στύψεως, ὅταν ἀκρατέστερος ᾖ, οὕτω τὰ κατὰ θώρακα καὶ κεφαλὴν μᾶλλον βλάπτει· ταῦτα δ᾽ ἐστὶν ἃ ἐδήλωσεν εἰπών· τὰ μὲν ἄνω βλάπτει πάντα. βλάπτει δὲ καὶ τὰ δεόμενα δι᾽ οὔρων ἐκκαθαίρεσθαι σώματα· πασῶν γὰρ τῶν ἐκκρίσεων ἐφεκτικός ἐστιν ὁ αὐστηρὸς | οἶνος. **648**

ταῦτα περὶ οἴνων ὁ Ἱπποκράτης εἰπὼν ἐφεξῆς ἐπὶ μελίκρατον μεταβαίνει, τὰ μὲν ἄλλα σχεδὸν ἅπαντα τὰ περὶ τῶν οἴνων δείξας, ἓν δὲ παραλιπὼν ἀνεξέργαστον, ὃ διῆλθον ἐγὼ κατὰ τὸ πάρεργον, ὅτι τοῖς πυρέττουσιν οἶνος ἐπιτηδειότατός ἐστιν ὁ ὑδατώδης. ἔστι δ᾽ οὗτος ὁ λευκὸς μὲν τὴν χρόαν, λεπτὸς δὲ τὴν σύστασιν, ἐπιφανῆ μηδεμίαν ἔχων ποιότητα τῶν τοῖς ἄλλοις οἴνοις ὑπαρχουσῶν, μήτ᾽ αὐστηρότητα μήτε στρυφνότητα μήτε γλυκύτητα μήτε δριμύτητα μήτ᾽ ὀσμήν· τῷ γὰρ τοιούτῳ καὶ τὰς τοῦ ὕδατος κακίας καὶ τὰς τοῦ οἴνου ἐκπεφευγέναι μόνῳ τῶν πάντων οἴνων ὑπάρχει. γεννῶνται δὲ καθ᾽ ἕκαστον ἔθνος οἶνοι τοιοῦτοι, κατὰ μὲν τὴν Ἰταλίαν ὁ ἄτονος Σαβῖνος, ὃν καὶ διδόασι τοῖς πυρέττουσιν, ἐν Ἀσίᾳ δὲ ὅ τε Τιτακαζηνὸς καὶ Τιβηνός. ἀκηκοὼς δ᾽ αὐτοῦ τὰ γνωρίσματα ῥᾳδίως εὑρήσεις καθ᾽ ἕκαστον ἔθνος οἴνους τοιούτους, ἐν οἷς χωρίοις οὐ πάνυ τι λεπτοὶ καὶ ὑδατώδεις οἶνοι γίνονται· ἐγὼ γοῦν καὶ κατὰ τὴν Κιλικίαν καὶ Φοινίκην καὶ Παλαιστίνην καὶ Σκῦρον καὶ Κρήτην εὗρον οἴνους τοιούτους, ἀλλ᾽ ὅμως οἷον εἴρηκα καὶ κατὰ πάντα τὰ χωρία τεθέαμαι καὶ τό γε | θαυμασιώτερον, ὅτι **649** καὶ κατ᾽ Αἴγυπτον· παχεῖς γὰρ οἶνοι καὶ ὀσμὴν ἔχοντες καὶ ἰσχυροὶ σφόδρα ἐν τοῖς θερμοῖς χωρίοις γεννῶνται· κατὰ δὲ τὴν Ἰταλίαν καὶ τὴν Βιθυνίαν καὶ τὴν Ἀσίαν θαυμαστὸν οὐδέν ἐστι πολλοὺς ὑδατώδεις γίνεσθαι.

Ζητήσαι δὲ δὴ προσηκόντως ἄν τις, διὰ τί παρέλιπεν ὁ Ἱππο-

14 ἐπιφανῆ . . . ὀσμήν *(16)*] *exc. Orib. V 6, 4 (I 339 Daremb.)* 19 ὁ ἄτονος Σαβῖνος] *cf. Gal. X 831* 20 Τιτακαζηνὸς] *cf. Gal. VI 276. 806. X 833. XIV 16 K.* Τιβηνός] *cf. Gal. VI 806. 807. Gal. XIV 16*: τοῦ παρ᾽ ἡμῖν ὀνομαζομένου Τιβηνοῦ διὰ τὸ χωρίον, ἐν ᾧ γεωργεῖται, Τίβας ὀνομαζόμενον. *Gal. X 833* Τιβηκῖνος

1 τοῖς *om. codd.*: *add. Chartier* 3 βοηθοῦν V 4 ὁ ὑδαρὴς ABMS: ὁ *om.* CRV 8 δεόμενα *post* ἐκκαθαίρεσθαι *transp.* AS τὰ σώματα V: *om.* B 10 ταῦτα δὲ A ἐφεξῆς BM: ἑξῆς ACRS: εὐθὺς V 11 τὰ *post* ἅπαντα *om.* V 14 ἐπιφανῆ δὲ AS 15 αὐστηρότατος (-ητος M) A 16 στρυφνότατος (-ητος M) A γλυκύτατος (-ητος M) A δριμύτατος (-ητος M) A *post* ὀσμὴν *iterat* ἔχων M 17 τοῦ *ante* οἴνου *om.* BCM 19 οἶνοι ABMSV: *om.* CR: ἔνιοι *ab Aldo edd.* καὶ *om.* M 20 τιβῆνος MS: τιβῖνος *cett.* 21 αὐτῶν M τὰ *om.* BCRS 22 οὐ *codd.*: *om. edd.* 23 ἔγωγ᾽ οὖν V 24 κῦρον AM: σκίρρον S *post* τοιούτους *iterant* ἐν οἷς χωρίοις οὐ πάνυ τι λεπτοὶ καὶ ὑδατώδεις οἶνοι γίνονται *codd. omnes praeter* V εἴρηκε M 25 τίθεμαι BMS 26 καὶ *ante* κατ᾽ *om.* R οἶνοι *om.* CR 28 τὴν *ante* Βιθ. *om.* R 30 ζητήσαι *Kühn*: ζητῆσαι BM: ζητήση S: ζητήσει ACRV δὲ δὴ ACSV: δὲ δεῖ BM: δ᾽ R προσηκόντως *codd.*: *om. edd.* ἄν τις *ante* προσηκόντως *transp.* R

κράτης εἰπεῖν ἰδίᾳ περὶ τῶν τοιούτων οἴνων ἐν τῷ διηνυςμένῳ λόγῳ, καίτοι γε ἀλυποτέρων ὄντων τοῖς πυρέττουςιν ἤπερ οἱ ἄλλοι πάντες. οὐδὲ γὰρ οὐδὲ τοῦτ᾽ εἰπεῖν ἔςτιν, ὡς ἠγνόει τὸν τοιοῦτον οἶνον· αὐτὸς γοῦν ὀλίγον ὕςτερον ἐν τῷ τοῦ μελικράτου λόγῳ τάδε γράφει· "ἀτὰρ καὶ οἴνου λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόςμου, ἐνίῃ μὲν ἰςχυρότερον, ἐνίῃ δὲ καὶ ἀςθενέςτερον"· ταῦτ᾽ εἶπε παραβάλλων τὸ μελίκρατον οἴνῳ λευκῷ καὶ λεπτῷ καὶ ὀλιγοφόρῳ καὶ ἀνόςμῳ· τὸ δ᾽ 'ὀλιγοφόρῳ' ταὐτὸν ςημαίνει τῷ ὀλίγον ὕδωρ φέροντι. ςαφῶς γοῦν καὶ ἀκριβῶς εἰπὼν τὰ γνωρίςματα τοῦ οἰνώδους οἴνου καὶ διελθών, ὡς κεφαλῆς ἅπτοιτο καὶ φρενῶν, ἱκανὴν ἐνόμιςεν εἶναι καὶ περὶ τοῦ ἐναντίου αὐτῷ τοῦ ὑδατώδους τὴν διδαςκαλίαν, ἡμῶν δυναμένων λογίςαςθαι τἀναντία ὑπάρχειν αὐτῷ. |

650 **III 9** [I 15. II 336, 8 L.] Μελίκρητον δὲ πινόμενον διὰ πάςης τῆς νόςου ἐν τῇςιν ὀξείῃςι νούςοιςι τὸ ἐπίπαν μὲν τοῖςι πικροχόλοιςι καὶ μεγαλοςπλάγχνοιςιν ἧςςον ἐπιτήδειον ἢ τοῖςι μὴ τοιούτοιςι.

Τὸ διὰ πάςης τῆς νόςου δηλωτικόν ἐςτι τοῦ τὸν λόγον αὐτῷ γίνεςθαι περὶ τῶν νοςημάτων ἐκείνων, ἐφ᾽ ὧν ἐδίδαξεν ἀνεπιτήδειον εἶναι τρέφειν χυλῷ πρὸ τοῦ τὴν ἀκμὴν τῆς νόςου παρελθεῖν. εἰ γὰρ μήτε τῶν κατὰ θώρακα καὶ πνεύμονά τι νοςημάτων εἴη πυρέττοντος ὀξέως τοῦ κάμνοντος ἥ τε δύναμις ἰςχυρὰ καὶ περαιτέρω τῆς πέμπτης ἡμέρας ἡ νόςος οὐ μέλλει γενήςεςθαι, μελίκρατον αὐταρκές ἐςτι μόνον πινόμενον ἐξαρκέςαι ποιῆςαι τὸν κάμνοντα. τοῖς μὲν οὖν ἄλλοις ἅπαςιν ἐπιτηδειότατόν ἐςτιν ἐπὶ τοῖς τοιούτοις νοςήμαςι τὸ μελίκρατον, ἧττον δὲ τοῖς πικροχόλοις ὠφέλιμον· ἐκχολοῦται γὰρ ἐν αὐτοῖς, ἐὰν μὴ φθάςῃ διεξελθεῖν ἢ κατ᾽ ἔντερον ἢ κατὰ κύςτιν· ὡς εἴ γε διεξέλθοι,

4 γράφει] *infra p. 239, 5 sqq.* 18 ἐδίδαξεν] *supra p. 157, 4 sqq.* 22 μελίκρατον] *cf. Gal. XVII B 369. VI 740 sq. K.* 24 τὸ μελίκρατον ... περίττωμα *(231, 2)*] *exc. Orib. V 14, 1 (I 360 sq. Daremb.)*

1 εἰπεῖν *exhibent omnes praeter* V 3 εἰπεῖν ἔςτιν BCMRS: ἔςτιν εἰπεῖν AV 4 ἐν τῷ] ἐντὸς M λόγου M 5 λεπτοῦ CRV: λεπτοῦ κ. λευκοῦ AB: λευκοῦ κ. λεπτοῦ MS *ad* ὀλιγοφόρου *add.* λευκοῦ R *in mrg.* ἀόςμου R 6 καὶ *ante* ἀςθ. *om.* C 7 λεπτῷ CRV: λεπτῷ καὶ λευκῷ A: λευκῷ κ. λεπτῷ BMS 7. 8 καὶ ἀνόςμῳ· τὸ (τῷ MS) δ᾽ ὀλιγοφόρῳ (περὶ δὲ τὸ λιγοφόρων B) ταὐτὸν ςημαίνει τῷ ὀλίγον ὕδωρ φέροντι ABMS: καὶ ὀλιγοφόρῳ τουτέςτιν ὀλίγον ὕδωρ φέροντι (καὶ ἀνόςμῳ *om.* CR) CRV 9 *post* ὡς *add.* καὶ *edd.*: *om. codd.* 10 ἅπτεςθαι M ἱκανὸν M εἶναι *om.* AS περὶ τουναντίον M αὐτῷ] αὐτοῦ ABM 11 τοῦ *om.* BCMR λογίςαςθαι *superscr.* γρ. ςυ M τἀναντία M: τὰ ἐν. *cett.* 12 αὐτῷ *ante* λογίςαςθαι *transp.* AS: *om.* BCMR 13 μελίκρατον RS 14 νούςου *a Basileensi edd.* μὲν *om.* S τοῖςι BMRS: τοῖς CV 15 πικροχόλοις C μεγαλοςπλάγχνους CR 16 τοιουτέοιςιν CR ἐςτι *post* τοιούτοιςιν *ex Hipp. add. Chartier* 18 γίνεςθαι ... ἐδίδαξεν *om.* B *(lacuna)* 21 τοῦ κάμνοντος ὀξ. V 22 ἡμέρας *om.* CRV νοῦςος C γενήςεςθαι] λυθήςεςθαι A ἐςτι *om.* S 24 ἐπὶ *om.* ABMS τοῖς *om.* S 25 πικροχόλοιςι V 26 μὴ *(repet.)* διεξ. CR κατὰ *ante* κύςτιν *hab. omnes praeter* V εἴ τε S

πρὸς τῷ | βλάψαι μηδὲν ὀνίνηςι μέγιστα· συναπάγει γὰρ αὐτῷ τὸ χολῶδες περίττωμα. 651 συνεδείξατο γοῦν τῷ λόγῳ τῷδε καὶ περὶ τῆς κράσεως αὐτοῦ· συμφέρει γὰρ ὑδαρέστερον ἐπὶ τῶν τοιούτων φύσεων δίδοσθαι τὸ μελίκρατον, ὅπως μήτε διψῶδες εἴη μήτε χολοποιόν.

ὥσπερ δὲ τοῖς πικροχόλοις, οὕτω καὶ τοῖς μεγαλοσπλάγχνοις οὐκ ἐπιτήδειον εἶναί φησιν αὐτό· μεγαλοσπλάγχνους δὲ νῦν εἶπεν οὐχ οἷς φύσει μεγάλα σπλάγχνα ἐστίν, ἀλλ᾽ οἷς κατά τι πάθος εἰς ὄγκον ἤρθη σκιρρούμενα καὶ φλεγμαίνοντα καὶ οἰδισκόμενα. μοχθηρὸν γὰρ ἐν τούτοις γίνεται, μὴ δυνάμενόν γε διεξέρχεσθαι ταχέως αὐτά, ἐκχολούμενον δὲ ῥᾳδίως καὶ μάλιστ᾽ ἐν ταῖς φλεγμοναῖς διὰ τὸ πλῆθος τῆς θερμασίας, ὥς ἔν γε τοῖς ἄλλοις παρὰ φύσιν ὄγκοις ἧττόν ἐστι βλαβερόν.

III 10 [I 15. II 336, 11 L.] Διψῶδές γε μὴν ἧσσον τοῦ γλυκέος οἴνου· πνεύμονός τε γὰρ μαλθακτικόν ἐστι καὶ πτυέλου ἀναγωγὸν μετρίως καὶ βηχὸς | παρηγορικόν· ἔχει γὰρ σμηγματῶδές τι, ὃ μᾶλλον τοῦ καιροῦ καταγλισχραίνει τὸ πτύελον. 652

Διὰ τί μὲν ἧττον οἴνου ἐστὶ γλυκέος διψῶδες, ἔμπροσθεν εἴρηταί μοι δεικνύντι, καθ᾽ ὅσον μέν εἰσιν ἄμφω γλυκέα, κατὰ τοσοῦτον ἐκχολοῦσθαι ῥᾳδίως αὐτά, καθ᾽ ὅσον δὲ λεπτότερόν τ᾽ ἐστὶ καὶ ποριμώτερον, ὡς ἰέναι πάντῃ, τὸ μελίκρατον, κατὰ τοῦθ᾽ ἧττον αὐτοῦ γίνεσθαι διψῶδες· ὡς εἴ γέ ποτε κατὰ τὴν γαστέρα μείνειε χρόνῳ πλείονι καὶ αὐτό, διψῶδες οὐχ ἧττον ἔσται τοῦ γλυκέος οἴνου. τουτὶ μὲν αὐτῷ σπανίως συμβαίνει· τὸ δὲ θᾶττον οἴνου γλυκέος διεξέρχεσθαι τὴν γαστέρα καὶ τὸ ἔντερον ἅπαν, ἔτι δὲ καὶ τὸ ἧπαρ ἄχρι νεφρῶν καὶ κύστεως οὐ σπανίως ἀλλὰ διὰ παντὸς ὑπάρχει τῷ μελικράτῳ. διὰ ταῦτα μὲν οὖν ἧττόν ἐστι διψῶδες γλυκέος οἴνου· ὁ δ᾽ Ἱπποκράτης οὐχ οὕτως εἶπεν, ἀλλ᾽ ἑτέρως ταὐτόν, ἐνδειξάμενος αὐτοῦ τὴν δύναμιν ἐξ ὧν ἐργάζεται κατὰ τὸν πνεύμονα· δῆλον γάρ, ὡς οὐκ ἂν εἰργάζετο ταῦτα, μὴ διεξερχόμενόν γε καὶ διαρρύπτον αὐτοῦ τὰς ὁδούς.

3 συμφέρει . . . τῆς θερμασίας *(11)*] *exc. Orib. V 14, 1. 2 (I 361 Daremb.)*
8 μοχθηρὸν] *cf. Gal. X 800, 16 K.* 16 ἔμπροσθεν] *supra v. 4*

1 βλάψαι (μὴ *eras.*) AS, *Orib.*: μὴ βλ. BCRV: μὴ βλαβῆναι M συναπάγει *Orib.*: συνυπάγει *codd.* αὐτῶ *scripsi*: αὐτῶ *codd.*: ἑαυτῷ *Orib.* τὸ *Orib.*: *om. codd.* 1. 2 χολώδη περιττώματα V 3 *post* γὰρ *add.* αὐτοῦ CR ὑδαρ. *om.* CR 3. 4 τὸ μελ. δίδοσθαι S 4 ἢ AS 5 *ab* ὕστερον (*pro* ὥσπερ δὲ) τοῖς πικροχόλοις *rursus incipit* T τοῖσι πικροχόλοις ABM: τοῖσι πικροχόλοισι CR 6 φησὶν *ante* οὐκ *transp.* M νῦν *om.* B 7 ἐστίν *scripsi*: εἰσίν *codd.* καὶ εἰς A 9 γε *om.* AST: μὲν *Orib.*: δὴ V ταχ. διεξ. A 10 δὲ *Orib.*: γε BM: τε *cett.* τὸ *om.* CRM 11 ὄγκοις π. φ. *colloc.* M 12 *post* ἧσσον *add.* ἐστὶ τὸ μελίκρατον B 13 γὰρ *om.* M μᾶλλον *add. ante* μαλθ. M μαλθακόν A 14 καὶ βηχὸς παρηγορικόν *om.* S *post* παρηγορητικὸν *(sic) iterant* μετρίως AMT 15 καιροῦ A¹CRS: κιρροῦ T: μετρίου καιροῦ BM: μετρίου AV καὶ τὸ γλισχραίνειν CR 16 ἧττον *post* γλυκέος *transp.* A: *om.* M 17 δεικνύοντι M εἰσιν *om.* A, *fort. recte* 20 μείνειε *scripsi*: μείνει ACM: μείνη S: μένει R 21 αὐτῶ *codd.*: αὐτὸ *edd.* 25 τοῦ *ante* γλυκέος *add. ab Aldo edd.* 28 μηδὲ ἐξ. M γε] τε CS ἑαυτῶ ACS: ἑαυτοῦ *cett.*: *corr. Aldus*

653 πτυέλου δ' ἀνα|γωγὸν οὐχ ἁπλῶς εἶπε τὸ μελίκρατον, ἀλλὰ τὸ μετρίως προσέγραψε· τὸ γὰρ ἰσχυρῶς ἀνάγειν οὐκ ἔχει, καθάπερ τὸ ὀξύμελι· τό γε μὴν παρηγορικὸν ἔχει, μηδ' ὅλως ἔχοντος αὐτὸ τοῦ ὀξυμέλιτος· ἐπεγείρει γὰρ ἐκεῖνο τὰς βῆχας ἐρεθίζον τε καὶ τραχῦνον ἐκ τοῦ ῥύπτειν σφοδρῶς. μελικράτῳ δὲ καὶ μάλιστα τῷ ὑδαρεῖ τῆς ῥυπτικῆς δυνάμεως ὀλιγίστης μέτεστι· καλεῖται δ' ἡ τοιαύτη καὶ σμηκτική, καὶ νῦν ὁ Ἱπποκράτης ἀπ' ἐκείνης ἐποιήσατο τὸ σμηγματῶδες ὄνομα περὶ τοῦ μελικράτου γράψας· ἔχει γὰρ σμηγματῶδές τι, μετρίας αὐτῷ μετεῖναι τῆς τοιαύτης δυνάμεως αἰνιξάμενος ἐκ τοῦ προσθεῖναι τῷ σμηγματῶδες τὸ τὶ βραχύτητα δηλοῦν, οἷς ἂν οὕτω προσκέηται. τοῦτ' οὖν τὸ βραχὺ τοῦ μελικράτου σμηγματῶδες οὐχ ὅτι μὴ σμηγματῶδες, διὰ τοῦτ' ἄπρακτον, ἀλλ' ὅτι βραχύ· δεῖ γὰρ ἐπὶ τοῦ γλίσχρου πτυέλου σφοδρῶς εἶναι σμηγματῶδες τὸ φάρμακον ἀπορρύψαι δυνάμενον τὸν ἐνιζηκότα τοῖς βρόγχοις τοῦ πνεύμονος γλίσχρον χυμόν.

εἰ δὲ μεταξὺ θώρακός τε καὶ πνεύμονος εἴη τοιοῦτός τις ἠθροι-
654 σμένος, ἔτι δὴ καὶ μᾶλλόν ἐστι χρεία | πρὸς τὸ καλῶς ἀναπτυσθῆναι τμητικῆς τε καὶ σμηκτικῆς δυνάμεως, ἥτις ἀπορρύψει τε τοῦ ὑπεζωκότος αὐτὸν καὶ διατεμεῖ καὶ λεπτυνεῖ· μεταληφθῆναι γὰρ ἄλλως ἀδύνατόν ἐστι τὸν τοιοῦτον διὰ τοῦ περιέχοντος ὑμένος τὸ σπλάγχνον εἰς τὰ βρογχία τοῦ πνεύμονος. οὐ καλῶς οὖν ἐχρήσατο τῇ λέξει προσθεὶς τῷ ἔχει γὰρ σμηγματῶδές τι τὸ ἐφεξῆς εἰρημένον· ὃ μᾶλλον τοῦ μετρίου καταγλισχραίνει τὸ πτύελον· ἄμεινον γὰρ ἦν εἰπεῖν, 'ἔχει γὰρ σμηγματῶδές τι βραχὺ τὸ μελίκρατον, ὃ μᾶλλον τοῦ μετρίου πολλάκις ἐπιτρέπει τῷ πτυέλῳ καταγλισχραίνεσθαι'· οὐ γὰρ διὰ τὸ μελίκρατον συμβαίνει τῷ πτυέλῳ καταγλισχραίνεσθαι, ἀλλὰ τοῦτο μὲν οἰκεῖον ὑπάρχει τῷ γε τοιούτῳ πτυέλῳ, τὸ μελίκρατον δὲ οὐδὲν ὀνίνησιν, ἀλλὰ διαμένειν ἐᾷ τὴν τοιαύτην φύσιν τοῦ περιττώματος. διὰ τοῦτ' οὖν ἄμεινον ἦν εἰπεῖν μηδὲν ὀνίνασθαι τὸ γλίσχρον πτύελον, οὐ γίνεσθαι τοιοῦτον ὑπὸ τοῦ μελικράτου· τὸ γὰρ καταγλισχραίνει τὸ πρὸς Ἱπποκράτους εἰρημένον ἔμφασιν ἔχει τοῦ γίνεσθαι τοιοῦτον ὑπὸ τοῦ μελικράτου τὸ πτύελον. |

5 τῷ ὑδαρεῖ] *cf. Gal. X 569 K.*

1. 2 ἀλλὰ τὸ *scripsi*: ἀλλ' ὅτι *codd.* 2 οὐκ ἔχει] οὐχ ἁπλῶς CR 3 παρηγορητικὸν AM αὐτοῦ M 4 γὰρ] δὲ C τοὺς βῆχας CRT 5 καὶ *ante* μάλιστα *om.* MV τῷ *om.* CR 6 ὀλιγοστῆς BM: ὀλίγον A 9 αὐτοῦ M 10 τὶ *om.* S βραχύτατον C 11 μέλιτος V 12 μὴ ASV: *om. cett.* ἄπρακτον *codd.*: ἄκρατον *ex Aldo edd.* 13 εἶναι *post* φάρμακον *transp.* CR 14 βρογχίοις C, *fortasse recte* 17 τε *(prius)*] τὰ S: *om.* C *post* ἥτις *add.* καὶ V 18 αὐτὸν M: αὐτὸ *cett.* διατεμεῖ CT *et* R¹ *in mrg.*: διατέμη S: διατέμνει ABMR λεπτυνεῖ CRST: λεπτύνει *cett.* 19 τὸν τοιοῦτον M: τὸ τ. *cett.* εἰς S: ἐς *cett.* 21 τὸ δ' ἐφ. BM 22 καταγλισχραίνει . . . μετρίου *(23) om.* V ἦν] οὖν S 23 βραχύ τι A 24 οὐ γὰρ . . . καταγλισχραίνεσθαι *(25) om.* ABST: *add.* A¹ *in mrg.* οὐδὲ γὰρ M 25 τὸ πτύελον M: τῶ τοιούτω CR 28 οὐ μὴν γιν. A: οὐδὲ γ. M 29 τοιοῦτον ACMRS: τοιοῦτο V καταγλισχραίνει S: καταγλισχραίνειν BCMR: γλισχραίνειν A

III 11 [I 15. II 340, 1 L.] Ἔcτι δὲ καὶ οὐρητικὸν τὸ μελί- 655
κρητον ἱκανῶc, ἢν μή τι τῶν ἀπὸ cπλάγχνων κωλύῃ, —

Λέλεκταί μοι καὶ πρόcθεν, ὅτι τῷ διεξέρχεcθαι ῥᾳδίωc ἁπάcαc τὰc μεταξὺ κοιλίαc τε καὶ νεφρῶν ὁδοὺc οὐρητικόν ἐcτι τὸ μελίκρατον· ἐδείχθη δὲ καί, ὅτι κακοπραγοῦντοc τοῦ ἥπατοc οὐ προcήκει πίνειν αὐτό, βλάπτει δὲ καὶ cπλῆνα φλεγμαίνοντα καὶ πολὺ δὴ μᾶλλον ἔντερά τε καὶ γαcτέρα· ταχέωc γὰρ ἐκπυρούμενον ὑπὸ τῆc κατὰ τὴν φλεγμονὴν θερμαcίαc εἰc χολὴν μεταβάλλει. τάχα γὰρ διὰ τὴν γλυκύτητα χαίρει τὰ cπλάγχνα τῷ μέλιτι, καθάπερ καὶ ἡ γαcτήρ, ὥcτε θᾶττόν τε καὶ ἀθροώτερον ἐπιcπᾶcθαι· καὶ γὰρ οὖν καὶ τἆλλα γλυκέα ταὐτὸν [ἔχειν] τούτῳ λογίcαιτ᾽ ἄν τιc ὡc [δὲ] πρὸc τὴν κοιλίαν, οὕτω καὶ πρὸc τὰ cπλάγχνα πεπονθέναι. φανεῖται δ᾽ ἡ γαcτὴρ ἥδεcθαι τούτοιc· καὶ γὰρ μετὰ τὸ καταπιεῖν αὐτὰ φανερά πώc ἐcτιν εὐφραινομένη πρὸc τῶν εἰλημμένων, ὥcπερ αὖ πάλιν ἀνιωμένη | τοῖc τραχύνουcί τε καὶ 656
πικροῖc, οὐκ ἐν αὐτῷ τῷ λαμβάνεcθαι μόνον, ἀλλὰ καὶ μετὰ τὸ ληφθῆναι μέχρι χρόνου τινόc. ὅθεν οὐδὲ προcφέρεταί τιc αὐτὰ πλὴν εἴ ποθ᾽ ὡc φάρμακον διὰ χυμοὺc παρὰ φύcιν ἠθροιcμένουc ἐν τῇ γαcτρί· κατὰ φύcιν δὲ ἐχούcηc, ἀνιαρὰ πάντ᾽ αὐτῇ τὰ τοιαῦτά ἐcτιν, ἡδέα δὲ μόνα τὰ γλυκέα. καὶ μὲν δὴ καὶ κατὰ τὸν καλούμενον λαιμὸν ἐκ τῶν καταπινομένων γλυκέων ἡδονὴ μεγίcτη γίνεται, τοῦ κατ᾽ αὐτὸ τὸ χωρίον cώματοc οἰκείωc ἔχοντοc τῷ τοιούτῳ χυμῷ· τὸ δ᾽ αὐτὸ τοῦτ᾽ ἐcτὶ cῶμα καὶ τῆc γαcτρὸc ὁ ἔνδον χιτών, ὥcπερ γε καὶ ὁ τὴν γλῶτταν ἀμφιεννύc. ἀλλ᾽ ἐν ταύτῃ μὲν ἐναργεcτάτην ἔχει τὴν τῆc γλυκύτητοc αἴcθηcιν, ἐν δὲ τῷ λαιμῷ τὴν τῆc ἡδονῆc, αἴcθηcιc δὲ cαφὴc ἐν τῷ παραχρῆμα γίνεται καὶ ἐν τῷ cτόματι τῆc γαcτρὸc ἡδομένῳ τοῖc καταπινομένοιc γλυκέcιν, ὅταν κατὰ φύcιν ἔχῃ τὸ ζῷον.

οὕτωc οὖν εἰκόc ἐcτι καὶ τὰ cπλάγχνα χαίρειν μὲν τῷ γλυκεῖ χυμῷ, ταχέωc δ᾽ αὐτοῦ καὶ πλεῖcτον ἐπιcπώμενα, καθ᾽ ὃν μὲν ὑγιαίνει χρόνον, ἀπολαύειν τε καὶ τρέφεcθαι, καθ᾽ ὃν δὲ πυρετώδη | τ᾽ ἐcτὶ καὶ 657
φλεγμαίνει, μεταβάλλειν ἐπὶ τὸ χολῶδεc αὐτόν. ὁρᾶται γοῦν καὶ τὰ καλούμενα cυκωτὰ διὰ τῆc τῶν ἰcχάδων ἐδωδῆc μέγιcτά τε καὶ ἥδιcτα γινόμενα, προφανῶc τοῦ ἥπατοc εὐτροφοῦντοc ἐπὶ τῇ τῶν γλυκέων

3 πρόcθεν] *p. 230, 26 sqq.* 5 ἐδείχθη] *supra p. 231, 5 sqq.*

1 μελίκρατον ACR 3 τῷ A: τὸ *cett.* ἁπάcαc ῥᾳδίωc A 5 καί *om.* BMTV τοῦ CR: *om cett.* 6 δὴ] δὲ B 9 καὶ *om.* M 10 ἀθροωτέρωc R ἐπιcπᾶται ACRS 11 ἔχειν *inclusi tanquam glossema vocabuli* πεπονθέναι τοῦτο M ὡc (ὃc C) δὲ *codd.*: ὃ ὡc δὲ *Aldus*: ὥcπερ *Chartier*: δὲ *inclusi* 12 τὰ *om.* CR 13 καὶ γὰρ οὖν καὶ CR φανερὰ ABMRS: φανερῶc V εὐφραινομένη ABMRS: ἡδομένη V 14 τε *om.* M 15 πικροῖc] λεπτοῖc S: πικροῖc S[1] *in mrg.* 16 μέχρι ABMRS: ἄχρι V 17 χυμοὺc τοὺc A 18 αὐτῇ] ταῦτα C μόνον AS 19 δὴ καὶ AMRS: δὴ V 20 αὐτῷ τῷ χωρίῳ M 21 τὸ *om.* S 22 ὁ *om.* S γλῶccαν AS 23 ἀμφιεννῦcεν S ἐναργεcτάτην AMSV: ἐνεργ. CR τῆc *om.* M γλυκυτάτην M 27 μὲν τῷ ACRSV: μὲν *om.* BM 28 ἐπιcπώμενον M 29 πυρετῶδεc M 30 ἐπὶ ABCSV: ἐcτι R αὐτόν *scripsi*: αὐτό *codd.* 32 γινόμενα *om.* M

ἐδωδῇ· ἀλλ᾽ ἐν ταῖϲ φλεγμοναῖϲ τε καὶ τοῖϲ πυρετοῖϲ οὐκ εἰϲ εὐτροφίαν, ἀλλ᾽ εἰϲ χολῆϲ γένεϲιν ἡ τῶν τοιούτων προϲφορὰ μεταβάλλεται, τοῦ μὲν πυρετώδουϲ θερμοῦ πλεονάζοντοϲ, ἐλλείποντοϲ δὲ τοῦ κατὰ φύϲιν, ὅπερ εὔκρατον ἦν.

III 12 [I 15. II 340, 2 L.] Καὶ διαχωρητικὸν δὲ κάτω χολωδέων ἔϲτι μὲν ὅτε καλῶν, ἔϲτι δ᾽ ὅτε κατακορεϲτέρων μᾶλλον τοῦ καιροῦ καὶ ἀφρωδεϲτέρων· μᾶλλον δὲ τὸ τοιοῦτον τοῖϲι χολώδεϲί τε καὶ μεγαλοϲπλάγχνοιϲι γίνεται.

Ἀναμνηϲθῶμεν τῆϲ προειρημένηϲ λέξεωϲ, ἐν ᾗ παραβάλλων οἴνῳ γλυκεῖ τὸ μελίκρατον ἔλεγε· „διψῶδέϲ γε μὴν ἧϲϲον τοῦ γλυκέοϲ οἴ-
658 νου"· καὶ νῦν οὖν πρὸϲ ἐκεῖνον εἶπε | διαχωρητικώτερον εἶναι κάτω. χολωδέων γὰρ δὴ καὶ ὁ γλυκὺϲ οἶνοϲ διαχωρητικόϲ, ἀλλά τό γε μελίκρατον ἐνίοτε μὲν καλῶν τῶν χολωδέων ὑπακτικόν ἐϲτιν, ἐνίοτε δὲ μοχθηρῶν, ἅπερ ἐϲτὶν ἱκανῶϲ ἄκρατα χολώδη, τὰ πυρρὰν ἢ ξανθὴν ἔχοντα παχεῖαν χολήν. αὕτη τοίνυν ἀφρὸν προϲλαμβάνει, πολλάκιϲ μὲν κατὰ τὸν αὐτὸν λόγον, ὃν καὶ τοῖϲ ἐν πυρὶ θερμαινομένοιϲ ϲφοδρῶϲ ἀφρὸϲ ἐπανθεῖ, πολλάκιϲ δὲ καὶ τοῖϲ κοπτομένοιϲ ὑγροῖϲ ὑπὸ πνεύματοϲ. τούτων δὲ τὸ μὲν πρότερον ὧν εἶπον ὑπερβαλλούϲηϲ ἐϲτὶ θερμαϲίαϲ γνώριϲμα, τὸ δὲ δεύτερον ϲτενοχωρίαϲ τῶν ὀργάνων καὶ ταραχῆϲ φυϲώδουϲ πνεύματοϲ ἐναπειλημμένου καὶ διέξοδον οὐ ῥᾳδίαν ἔχοντοϲ. τοιαῦτα δ᾽ ὑπέρχεται χολώδη τοὐπίπαν ἐν τοῖϲ ϲυντηκτικοῖϲ πυρετοῖϲ, ἐφ᾽ ὧν ἐναντιωτάτη τε καὶ βλαβερωτάτη ϲχεδὸν ἁπάντων ἐϲτὶν ἡ τοῦ μελικράτου πόϲιϲ, ὥϲπερ γε καὶ τοὐναντίον ἡ τοῦ ψυχροῦ πόϲιϲ ὕδατοϲ ὠφελιμωτάτη.

μᾶλλον δὲ τὸ τοιοῦτον διαχώρημά φηϲιν ὑπὸ τοῦ μελικράτου γίνεϲθαι τοῖϲ φύϲει μὲν χολώδεϲι, τουτέϲτι τοῖϲ θερμοῖϲ ἀμέτρωϲ, ἐν
659 δὲ ταῖϲ νόϲοιϲ φλεγμονὴν ἔχου|ϲι κατά τι τῶν ϲπλάγχνων. τὸ γάρ τοι κοινὸν ὄνομα νῦν ἴδιον ἐγένετο τῶν φλεγμαινόντων· οὐ γὰρ δὴ διὰ ϲκίρρον γε ἢ οἴδημα πυρετὸϲ ἐξάπτεται. πρόδηλον οὖν, ὅτι κατὰ τὰϲ ὀξείαϲ νόϲουϲ, ὑπὲρ ὧν ὁ λόγοϲ νῦν αὐτῷ ἐϲτιν, ὅταν ὄγκοϲ ἐν ϲπλάγχνοιϲ γένηται, φλεγμονῆϲ ἐϲτιν, οὐκ οἰδήματοϲ ἢ ϲκίρρου τὸ ϲύμπτωμα· καὶ τούτουϲ νῦν ὠνόμαϲε μεγαλοϲπλάγχνουϲ.

10 ἔλεγε] *p. 231, 12 sq.* 21. 22 ἐν τοῖϲ ϲυντηκτικοῖϲ πυρετοῖϲ] *cf. Gal. XVII A 350. X 733, 10 K.*

2 τοιούτων ἤτοι τῶν γλυκέων B *(gloss.)* 5 διαχωρητικὸν BMSV: διαχωρητικώτερον ACR δὲ *om.* A κάτω] καὶ ST χολωδέων BMV: τῶν χ. *cett.* 6 ὅτε μὲν M *post* καλῶν *repet.* χολωδέων V ἔϲτιν ὅτε δὲ A 7 τὸ τοιοῦτον] τοῦτο V 8 μεγαλοϲπλάγχνοιϲ A 10 ἔλεγε *om.* T 11 οὖν] οὐ M 12 ὁ *om.* A 13 μὲν *post* γε *transp.* CR τῶν *om.* S 15 καὶ παχεῖαν V χολὴν παχ. S 16 *post* μὲν *add.* καὶ CR καὶ] ἐν M 17 καὶ *codd.*: τὸ *Kühn* ἀνακοπτομένοιϲ ACR 18 πνευμάτων M 18. 19 θερμ. ἐϲτὶ M 21 χολώδεα S: *om.* BM τὸ ἐπίπαν MT ἐν *om.* M *ante* τοῖϲ *add.* τὰ (*om.* B) χολώδη BM 22 τε ἁπάντων ϲχεδὸν V 24 δόϲιϲ S 25 μᾶλλον *om.* R τοῦ *om.* S 26 τῆϲ θερμ. ἀμέτρου M 27 νόϲοιϲι M: νούϲοιϲ A τι *om.* AMSV τὸ ϲπλάγχνον M τὸ γάρ . . . φλεγμαινόντων *(28) om.* C 29 γε] τε CR 30 νῦν *om.* V αὐτῷ νῦν *Diels* αὐτοῦ AM: αὐτὸϲ B ὅτε S 31 φλεγμονὴ S

III 13 [I 15. II 342, 3 L.] Πτυέλου μὲν οὖν ἀναγωγὴν καὶ πνεύμονος μάλθαξιν τὸ ὑδαρέστερον μελίκρητον ποιέει μᾶλλον· τὰ μέντοι ἀφρώδεα διαχωρήματα καὶ μᾶλλον τοῦ καιροῦ κατακορέως χολώδεα καὶ μᾶλλον θερμὰ τὸ ἄκρητον μᾶλλον τοῦ ὑδαρέος ἄγει.

Λέλεκται καὶ πρόσθεν, ὡς ἐκχολουμένου τοῦ μέλιτος ἐν ταῖς ὀξείαις νόσοις καὶ κατὰ τοῦτο βλάπτοντος αὐτάς, βραδυπόρου δ᾽ ὄντος τοῦ ὕδατος καὶ μένοντος ἐπὶ πλεῖστον | ἐν τοῖς ὑποχονδρίοις καὶ διὰ τοῦτ᾽ **660** ὄντος φευκτοῦ, τὸ μικτὸν ἐξ ἀμφοῖν ἐπιτήδειον γίνεται, κατὰ τὴν τοιαύτην κρᾶσιν συντιθέμενον, ὅταν ὕδατι πλείονι μέλιτος μιχθῇ τοσοῦτον, ὡς ὁδοποιεῖν τε καὶ πρὸς τὴν ἀνάδοσιν ἄγειν αὐτό. τά τε γὰρ οὖρα ποριμώτερα γίνεται καὶ ἡ τῶν πτυέλων ἀναγωγὴ θᾶττον οὕτω κερασθέντων αὐτῶν· εἰ δὲ πολὺ τοῦ μέλιτος μιχθείη, δίψαν τε ποιεῖ καὶ γλισχραίνει τὸ πτύελον. διὰ ταῦτα μὲν οὖν ἐπιτηδειότερόν ἐστι τὸ ὑδαρέστερον μελίκρατον εἴς τε τὴν τῶν πτυέλων ἀναγωγὴν καὶ τὴν τῶν οὔρων διέξοδον, τὸ δ᾽ ἀκρατέστερον εἰς τὰς τῆς γαστρὸς ὑποχωρήσεις· ὅσῳ γὰρ ἂν ἐρεθιστικώτερον ᾖ, τοσούτῳ μᾶλλόν τε καὶ θᾶττον αὐτὴν ὑπάγει. καὶ διὰ τῶν κλυστήρων δὲ ἐνιέμενον, ὅσῳπερ ἂν ἀκρατέστερον ᾖ, τοσούτῳ μᾶλλον ἐκκριτικὸν γίνεται τὸ τοιοῦτον· καὶ τῶν κατακορέως χολωδῶν, τουτέστι τῶν ἱκανῶς τοιούτων, καὶ τῶν ἀφρωδῶν διαχωρημάτων αἴτιον ὑπάρχει· τὸ γὰρ ἐπισπᾶσθαι τὰ τοιαῦτα μᾶλλον ἔχει τῷ δάκνειν καὶ ῥύπτειν τὸ ἔντερον· ἔτι δὲ καὶ αὐτὸ μεταβάλλον εἰς χολὴν συναύξει καὶ κατὰ τοῦτο τῶν χολωδῶν διαχωρημάτων τὸ πλῆθος, ὅθεν οὐδ᾽ ἐπαινεῖ | τὴν χρῆσιν αὐτοῦ. δηλοῖ **661** δ᾽ ἐκ τοῦ προσθεῖναι καὶ μᾶλλον τοῦ καιροῦ κατακορέως χολώδεα· τὸ γὰρ μᾶλλον τοῦ καιροῦ σύνηθες αὐτῷ λέγειν ἀντὶ τοῦ μᾶλλον τοῦ προσήκοντος. τὸ δὲ ἀφρῶδες διαχώρημα καὶ κατὰ τὸ Προγνωστικὸν ἐμέμψατο· καὶ τὰ κατακορέως δέ, τουτέστιν ἀκράτως, χολώδη μοχθηρά· χρὴ γὰρ οὐ κατακορέως οὐδ᾽ ἀκράτως, ἀλλὰ μετρίως αὐτὰ τοιαῦτα εἶναι.

μεμνημένος οὖν καὶ σὺ τούτων, ὅταν ἤτοι μελικράτου ποθέντος ἢ καὶ χωρὶς αὐτοῦ διαχωρῇ τις ἀφρώδη τε ἅμα καὶ κατακορέως χολώδη,

3 τὰ μέντοι . . . ἄγει *(5)*] *affert Gal. XVI 186 K.* 6 πρόσθεν] *p. 224, 9* ἐκχολουμένου . . . γαστρὸς ὑποχωρήσεις *(17)*] *exc. Orib. V 14, 4 (I 362 Daremb.)* 18 ὅσῳπερ . . . τὸ τοιοῦτον *(19)*] *eadem verba leguntur ap. Gal. XVI 186* 27 Προγνωστικὸν] *11 (II 136 L.)*

1 οὖν *om.* M 2 μελίκρητον T: μελίκρατον *cett.* 3 ἀφρώδη M κεροῦ T 4 χολώδη S: χολώδους M 6 καὶ *om.* CR ὡς *om.* M 7 αὐτὰς A: ἡμᾶς *cett.* 10 μέλιτι A 11 ὡς] ὅσον C τε *(prius) om.* C τά τε] ταῦτα R 14 καὶ διὰ R μὲν οὖν] μὲν R ἐστιν ἐπιτηδ. M ἐπιτηδειότατόν *(sic)* ἐστι *post* μελίκρ. *transp.* A 15 ὑδατωδέστερον C μελίκρητον S 17 τοσοῦτον AS: τοσοῦτο M 18 κλυστηρίων A 19 τοσούτω ACS: τοσοῦτο MR 20 κατακορῶν BMS 21 ἀφρωδῶν] ὀρρωδῶν BM τῶ γὰρ MV 22 τὸ δάκν. SV *post* δάκνειν *add.* τε RV 23 καὶ *(prius) om.* M ξανθὴν *post* χολὴν *add.* CR: *om. cett.* συναυξάνει M καὶ *ante* κατὰ *om.* A 26 αὐτὸ M 28 ἐμέμφετο A τὰ *om.* MRT δέ *om.* T 31 μὲν οὖν C καὶ *om.* B 32 κατακορῆ BCMRS: κατακόρως V: *obscur.* A

ϲυντηκτικὸν εἶναι τὸν πυρετὸν ἴϲθι καὶ διὰ τοῦτ᾽ ἀφίϲταϲο τῆϲ τοῦ μελικράτου χρήϲεωϲ, ἐπὶ δὲ τὸν τῆϲ πτιϲάνηϲ ἧκε χυλὸν ἐπιτηρῶν ἰδεῖν τι γνώριϲμα κἂν βραχὺ διὰ τῶν οὔρων τῆϲ τοῦ νοϲήματοϲ πέψεωϲ· ἐν ἐκείνῳ γὰρ τῷ καιρῷ διδοὺϲ καὶ τὸ ψυχρὸν ὕδωρ ὀνήϲειϲ μέγιϲτα.

III 14 [I 15. II 342, 6 L.] Τὸ δὲ τοιοῦτον διαχώρημα ἔχει μὲν καὶ ἄλλα ϲίνεα μεγάλα· οὔτε γὰρ ἐξ ὑποχονδρίων καῦμα
662 ϲβέννυϲιν, ἀλλ᾽ ὁρμᾷ, | δυϲφορίην τε καὶ ῥιπταϲμὸν τῶν μελέων ποιέει, ἑλκῶδεϲ δ᾽ ἐϲτὶ καὶ ἐντέρου καὶ ἕδρηϲ.

Cύνηθεϲ αὐτῷ τὰϲ βλάβαϲ ϲίνεα λέγειν, ὡϲ κἀν τῷ Περὶ ἀγμῶν καὶ ἄρθρων ἐδείχθη· καὶ γὰρ 'ϲῖναι' λέγουϲιν οἱ Ἴωνεϲ ἀντὶ τοῦ βλάψαι· ἀλλὰ καὶ τὰ βλαβερὰ "ϲινάμωρα" πολλάκιϲ αὐτὸϲ ὠνόμαϲε. βλάβαϲ οὖν μεγάλαϲ ἔχειν φηϲὶ τὸ προειρημένον διαχώρημα, τουτέϲτι τὸ κατακορὲϲ χολῶδεϲ ἅμα τῷ καὶ ἀφρῶδεϲ εἶναι. ϲύνηθεϲ δ᾽ αὐτῷ πολλάκιϲ ἐπὶ τῶν ϲημείων χρῆϲθαι ταῖϲ τῶν αἰτίων τε καὶ βλαπτομένων ϲωμάτων φωναῖϲ· τὸ γοῦν τοιόνδε διαχώρημα κάλλιον ἦν εἰπεῖν 'ϲημαίνειν', ἀλλ᾽ ἔχειν εἶπε· καίτοι τὰ μὲν πεπονθότα ϲώματα τὰϲ βλάβαϲ ἴϲχει, τὰ δ᾽ αἴτια ποιεῖ, τὰ δὲ ϲημεῖα δηλοῖ. τίνα γε μήν ἐϲτιν ἃ ϲυμβαίνει πρὸϲ τῶν εἰρημένων διαχωρημάτων ϲίνεα, παρ᾽ αὐτοῦ ἄκουε λέγοντοϲ· οὔτε γὰρ ἐξ ὑποχονδρίων καῦμα ϲβέννυϲιν, ἀλλ᾽ |
663 ὁρμᾷ· τοῦτο δ᾽ εἶπεν, ἐπειδὴ πολλάκιϲ ἡ τῶν χολωδῶν ὑποχώρηϲιϲ αὐτίκα ϲβέννυϲι τὸ ἐξ ὑποχονδρίων καῦμα· διὰ τοῦτ᾽ οὖν ἐπὶ τῶν κακοήθων χολωδῶν προϲέθηκεν, ὅτι μὴ ϲβέννυται, ἀλλὰ τοὐναντίον ἅπαν αὐξάνεται τοῖϲ τὰ τοιαῦτα διαχωροῦϲι καὶ οὐ παύεται τὸ καῦμα ἐκ τῶν ὑποχονδρίων, ἀλλὰ καὶ ϲφοδρότερον γίνεται, καὶ ῥιπτάζονται, τουτέϲτιν ἄϲην τε καὶ δυϲφορίαν ἔχουϲιν, ἐπειδὴ τῆϲ ἐν τοῖϲ ὑποχονδρίοιϲ διαθέϲεωϲ φλογώδουϲ τὰ τοιαῦτα διαχωρήματα ϲυμπτώματα, καὶ μέντοι καὶ ὅτι κατὰ τὴν τῶν ἐντέρων διέξοδον ἡ δριμύτηϲ αὐτῶν ξυϲματώδη διάθεϲιν ἐργάζεται. ταύτηϲ μὲν οὖν τῆϲ διαθέϲεωϲ αἴτια γίνεται τὰ κατακορῆ χολώδη, τῆϲ δ᾽ ἐν τοῖϲ ὑποχονδρίοιϲ ϲημεῖα· ὅ γε μὴν Ἱπποκράτηϲ, ὡϲ ἔφην, εἴωθεν ἐνίοτε καὶ τοῖϲ τῶν αἰτίων ἐνδεικτικοῖϲ ῥήμαϲιν ἐπὶ τῶν ϲημείων χρῆϲθαι.

10 Περὶ ἀγμῶν καὶ ἄρθρων] *Gal. XVIII B 445 K.* 11 ϲῖναι] *cf. Erotian. p. 118, 12 Klein* 12 ϲινάμωρα πολλάκιϲ αὐτὸϲ ὠνόμαϲε] *De artic. 48. 49 (IV 216; 2. 13 L.)* 31 ὡϲ ἔφην] *v. 14 sqq.*

1 τοῦ *om.* C 2 τὸν *om.* B ἐπιτηρεῖν ST 3 κἂν βραχύ τι γνώριϲμα *colloc.* A: γνώρ. τι R τοῦ *om.* CR 4 γὰρ *om.* C 5 τὰ μέγιϲτα A *post* μέγιϲτα *add.* ἢ τὸ ἀφρῶδεϲ καὶ κατακορῆ χολώδη B 6 τοιόνδε *Hipp.* 8 καὶ ῥιπταϲμὸν κ. δυϲφ. A μελῶν M 9 ἑλκώδηϲ M δ᾽ *om.* BM 11 γάρ τοι C ϲῖναι ABMR: ϲίνεα S: ϲίνειν V βλάψαι M: βλάπτειν *cett.* 12 βλαπτικὰ AS ϲινάμωρα CR: ϲινόμορα ABM: ϲινόμηρα S 12. 13 μεγάλαϲ οὖν βλάβαϲ RV 13 προκείμενον R 22 ὑποχονδρίου T 24 τὰ *om.* MS τοιάδε M 26 δυϲφορίην ST ἴϲχουϲιν ACT 27 τὰ διαχ. ταῦτα V διαχωρήματα *mutatum in* διαχωρεῖται (*superscr.* γρ. καί τιϲ) A *post* ϲυμπτώματα *add.* ἐϲτι *Cornarius* 29 ταῦτα μὲν M 30 τὰ δ᾽ M 30. 31 ὅ γε μὴν] ὅτι μὲν S 31 ὡϲ *om.* M 32 χρᾶϲθαι S

III 15 [I 15. II 342, 10 L.] Ἀλεξητήρια δὲ τούτων γεγράψεται.

Ὅτι προήρηται καθ᾽ ἕκαστον εἶδος νοσήματος ἰάματα γράψαι, καὶ διὰ τῶν ἔμπροσθεν ἐδήλωσε καὶ νῦν οὐχ ἧττον· εἰ δ᾽ ἐστὶν Ἱπποκράτους ἄξια τὰ προσκείμενα τῷδε τῷ βιβλίῳ τὰ μετὰ τὸ λουτρὸν | ὅσα τε ἐν τοῖς Περὶ νούσων ἢ Περὶ παθῶν γέγραπται, κατὰ τὴν ἐξ- 664 ήγησιν αὐτῶν ἐπισκεψώμεθα.

III 16 [I 15. II 342, 11 L.] Ἄνευ μὲν οὖν ῥοφημάτων μελικρήτῳ χρεόμενος ἀντ᾽ ἄλλου ποτοῦ ἐν ταύτῃσι τῇσι νούσοισι πολλὰ ἂν εὐτυχοίης καὶ οὐκ ἂν πολλὰ ἀτυχοίης· οἷσι δὲ δοτέον καὶ οἷσιν οὐ δοτέον, τὰ μέγιστα εἴρηται, καὶ δι᾽ ἃ οὐ δοτέον.

Ἐδήλωσε καὶ νῦν σαφέστατα μέχρι τοῦ κριθῆναι τὸ νόσημα μελικράτῳ μόνῳ χρῆσθαι συμβουλεύων. ἐν μόνοις γὰρ τοῖς συντηκτικοῖς νοσήμασιν ἢ ἐφ᾽ ὧν ἀνθρώπων ἀδύνατόν ἐστιν ἐξαρκέσαι τὴν δύναμιν ἄχρι τῆς κρίσεως ἐπὶ τὸν χυλὸν ἀφιξόμεθα· τὰ δ᾽ ἄλλα βέλτιον ἐπὶ μελικράτου μόνου διαιτᾶν. |

III 17 [I 15. II 344, 1 L.] Κατέγνωσται δὲ μελίκρητον ὑπὸ 665 τῶν ἀνθρώπων, ὡς καταγυιοῖ τοὺς πίνοντας, καὶ διὰ τοῦτο ταχυθάνατον εἶναι νενόμισται. ἐκλήθη δὲ τοῦτο διὰ τοὺς ἀποκαρτερέοντας· ἔνιοι γὰρ μελικρήτῳ μόνῳ χρέονται ποτῷ ὡς τοιῷδε δῆθεν ἐόντι.

Οὐ ταὐτόν ἐστι καταγυιοῦσθαί τι λέγειν ὑπὸ μελικράτου καὶ μηδ᾽ ὅλως τρέφειν ἢ ὀλιγότροφον εἶναι τὸ μελίκρατον, ἀλλὰ [ἐπεὶ] τρία ταῦτα πράγματα διαφέροντα ἀλλήλων ἐστί. τὰ μὲν γὰρ καθαιροῦντα τὴν δύναμιν, ὡς αἱμορραγία καὶ διαχώρησις πολλὴ καὶ ἱδρὼς ἄμετρος καὶ κατά τι συμβεβηκὸς ἀσιτία καταγυιοῦν εἰκότως ἂν λέγοιτο· τὰ δὲ μηδ᾽ ὅλως τρέφοντα, καθάπερ τὸ ὕδωρ, οὔτε καταγυιοῦν οὔτε ῥωννύναι τὴν δύναμιν ἀληθῶς ἄν τις εἴποι πλὴν κατὰ συμβεβηκὸς ἐνίοτε·

1 γεγράψεται] *cf. v. 4 sqq.* 4 ἔμπροσθεν] *p. 214, 23 sqq.* 6 Περὶ νούσων] *VI 138—205. VII 1—161 L.* Περὶ παθῶν] *VI 206—272 L.*

1 τούτων AMSV: τουτέων CR 3 προήρηται B: προείρηται *cett.* 5 τὰ *ante* μετὰ *om.* M 6 ὁκόσα M νούσων ABMV: νόσων CR περὶ *ante* παθῶν *om.* AST 7 ἐπισκεψώμεθα MS: ἐπισκεψόμεθα *cett.* 8 μελικράτω CV 9 χρώμενος BM ταῖς CR 11 καὶ οἷσιν οὐ δ. *om.* V οἷσι μὴ δ. AS 11. 12 δι᾽ ἃ μὴ δ. AST 13 μελικρήτω A 14 ἐκτικοῖς ASV 17 μελικράτω μόνω S μόνου *om.* M 18 δὲ *om.* RS μελίκρητον *post* ἀνθρ. *transp.* BM 22 τοιῷδε δ. ἐόντι A: τοιοῦδε (τοιούτου SV) δ. ἐόντος *cett.* 23 τι A: τε καὶ M: τε *cett.* ὑπὲρ MT μέλιτος V 24 ἐπεὶ *seclusi* 25 ταῦτα *om.* A διαφέροντα *om.* S γὰρ *om.* CS 26 ὡς] καὶ M καὶ *(prius) om.* C τε καὶ δ. M 26. 27 ἄμετρός τε καὶ *omnes praeter* A 27 εἰκότως] ἱκανῶς A

τὸ γὰρ ὕδωρ οὐχ ὡς τροφὴ τὴν δύναμιν ἀνακτᾶται τῶν καμνόντων, ἀλλ᾽ ὡς φάρμακον εἰς συμμετρίαν κράσεως ἄγον τὰ διὰ τὴν ἀμετρίαν
666 αὐτῆς ἀρρω|στοῦντα. τρίτα πρὸς τούτοις τὰ βραχέως τρέφοντα· καὶ δύναιτο μὲν ἄν τις μόνοις αὐτοῖς χρώμενος ἀποθανεῖν, οὐ μὴν ὡς καθαιροῦσι τὴν δύναμιν, ἀλλ᾽ ὡς οὐχ ἱκανῶς ῥωννύουσιν. ἐκ τούτων ἐστὶ καὶ τὸ μελίκρατον· εἰ γάρ τις ἐν τέτταρσιν ἡμέραις ἀσιτήσας ἀποθνήσκειν μέλλοι, δύναιτ᾽ ἂν οὗτος μελικράτῳ χρώμενος οὐ μόνον εἰς τὴν πέμπτην, ἀλλὰ καὶ εἰς τὴν ἕκτην ἀφικέσθαι. ὁ δ᾽ αὐτὸς λόγος καὶ περὶ τοῦ μέλιτος· ἡ γὰρ τούτου φύσις ἐστὶν ἡ καὶ τὸ μελίκρατον ἐκ τῶν βραχέως τρεφόντων ἐργαζομένη· τὴν γὰρ 'ὑγρασίαν τῆς τροφῆς ὄχημα' καὶ οὐ τροφὴν οὐ μόνον ὁ Ἱπποκράτης, ἀλλὰ καὶ σχεδὸν ἅπαντες οἱ ἄριστοι τῶν ἰατρῶν ἀπεφήναντο. ταῦτ᾽ οὖν αὐτὰ τὰ νῦν εἰρημένα ὁ Ἱπποκράτης ἔγραψε περὶ μελικράτου καὶ μέλιτος οὐκ ἀσαφῶς διὰ τῶν ἑξῆς.

III 18 [I 15. II 344, 5 L.] Τὸ δ᾽ οὐ παντάπασιν ὧδε ἔχει. |

667 Οὐ γὰρ παντάπασιν ἀληθές ἐστι τὸ διὰ τὸ μελίκρατον ἀποθνήσκειν τοὺς ἀποκαρτεροῦντας· ἀπέθανον γὰρ ἄν, εἰ καὶ μόνον ὕδωρ ἔπινον· ἀλλὰ διότι βραχεῖαν τροφὴν δίδωσι τῷ σώματι, διὰ τοῦτο, μόνον μὲν ὄν, οὐχ ἱκανόν ἐστι διαφυλάττειν τὴν ζωήν, ὥσπερ καὶ χυλὸς πτισάνης, εἴ τις ἐθέλοι ῥοφεῖν μόνης εἰς ἀεί.

III 19 [I 15. II 344, 5 L.] Ἀλλ᾽ ὕδατος μὲν πολλῷ ἰσχυρότερόν ἐστι πινόμενον μοῦνον, εἰ μὴ ταράσσοι τὴν κοιλίην.

Ἐνδείκνυσθαι δοκεῖ διὰ τῆς ἰσχυρότερον φωνῆς, ὅτι ἔχειν τι καὶ τὸ ὕδωρ δυνατὸν εἰς τὸ τρέφειν· ἐγχωρεῖ δὲ διὰ τὸ τὴν ξηρότητα τοῦ σώματος τῆς γαστρὸς ἐπιτέγγεσθαι διαρκεῖν ἐπὶ πλεῖον τοὺς πίνοντας ὕδωρ τῶν μηδ᾽ ὅλως προσφερομένων. ἀσφαλῶς δὲ προσέθηκεν, εἰ μὴ ταράσσοι τὴν κοιλίην, ἐπὶ τοῦ μελικράτου τὸν λόγον ποιούμενος· ἐκείνους γὰρ ὄντως καὶ χείρονας ἑαυτῶν ἐργάζεται διὰ τὴν κένωσιν,
668 οἷς ταράσσει τὴν κοιλίαν, ἅμα καὶ τοῦ | ταράττειν ῥήματος οὐ τὴν

10 τὴν γὰρ ... ἀπεφήναντο *(12)*] *eadem verba leguntur ap. Gal. XV 417 K.*
11 Ἱπποκράτης] *De alimento 55 (IX 120 L.)*

1 γὰρ] μὲν A 3 τρίτον ASV πρὸς] ἐπὶ BM 5 *post* τούτων *add.* οὖν CR 6 τέταρσιν A: τεσσ. *cett.* 7 μέλλοι BCRTV: μέλλει AMS 11 μόνον M: μόνος *cett.* ὁ *om.* CR 12 αὐτὰ *om.* S 14 ἐφεξῆς M 16 οὐδὲ γὰρ M 18 ἀλλὰ διότι ACMRS: ἀλλ᾽ ὅτι V 18. 19 μὲν ὄν] μένον *Diels* 19 ὥστε *pro* ὥσπερ S χυλὸς *scripsi*: χυλὸν S: χυλῷ CMRTV: καὶ χυλοῦ καὶ πτισάνης B: *obscur.* A 20 θέλοι S: ἐθέλει M μόνου A[1] ἐς ἀεὶ ABM 22 μοῦνον *om.* S: τὸ μελίκρατον B ταράσσοι *Hipp.*: ἐκταράσσοι ABCRS: ἐκταράσσει MV 23 ἰσχυροτέρας CS 24 δυνατὸν M: δύναται *cett.* 25 σώματος] στόματος *Cornarius* τῆς γαστρὸς *om.* C 27 ταράττοι ABMRV: ταράττειν S τὴν *om.* S κοιλίην ST: κοιλίαν *cett.* 28 ὄντως AMSV: δεόντως CR: γρ. καὶ δεόντως A[1] *in mrg.* ἐργάσεται ACMRV 29 κοιλίην BMST ταράττειν] πράττειν CR

cύμμετρον ὑποχώρηcιν, ἀλλὰ τὴν πλεονάζουcαν δηλοῦντοc. εἰδέναι μέντοι χρὴ τὸ μὲν ὠμὸν μελίκρατον ὑπακτικώτερον εἶναι, τὸ δὲ καλῶc ἡψημένον τροφιμώτερον. ἀλλὰ τοῦτο μὲν ἐγνώcθω cοι κατὰ τὸ πάρεργον, ἴδωμεν δὲ ἃ ἑξῆc γράφει παραβάλλων οἴνῳ μελίκρατον.

III 20 [I 15. II 344, 7 L.] Ἀτὰρ καὶ οἴνου λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόcμου ᾗ μὲν ἰcχυρότερόν ἐcτιν, ᾗ δὲ ἀcθενέcτερον.

Ἔνιοι χωρὶc τοῦ ἐcτὶν γράφουcι τὴν ῥῆcιν οὕτωc· ἀτὰρ καὶ οἴνου λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόcμου ᾗ μὲν ἰcχυρότερον, ᾗ δὲ ἀcθενέcτερον. ἔνιοι δ᾽ ἀντὶ τοῦ ᾗ τὸ ἐνίῃ γράφουcιν οὕτωc· ἀτὰρ καὶ οἴνου ὀλιγοφόρου καὶ λεπτοῦ καὶ ἀνόcμου ἐνίῃ μὲν ἰcχυρότερον, ἐνίῃ δὲ ἀcθενέcτερον. ἐξ ἁπάντων γε μὴν ἡ αὐτὴ δηλοῦται δύναμιc καὶ ἔννοια, κατά τι μὲν λέγοντοc ἰcχυρότερον εἶναι τὸ μελίκρατον τοῦ τοιούτου οἴνου, κατά τι δὲ ἀcθενέcτερον. ἐγὼ μὲν οὖν | ἐπεμνήcθην οἴνου τοιούτου κατὰ τὸν περὶ τῶν οἴνων λόγον· ὁ 669
δ᾽ Ἱπποκράτηc αὐτὸν ὥcπερ οὐκ εἰδὼc ἐcιώπηcεν, ἀλλὰ νῦν γε caφῶc ἐδίδαξε τήν τε cύcταcιν αὐτοῦ μηνύcαc ἐκ τοῦ φάναι λεπτοῦ καὶ τὴν τῆc δυνάμεωc ἀcθένειαν ἐκ τοῦ προcγράψαι καὶ ὀλιγοφόρου· καλεῖται γὰρ οὕτωc ὁ τῆc τοῦ ὕδατοc μίξεωc ὀλιγίcτηc χρῄζων εἰc τὸ κραθῆναι· κατὰ τοὐναντίον γὰρ ὁ πολλοῦ δεόμενοc ὕδατοc εἰc εὐκραcίαν ὀνομάζεται πολυφόροc, ἐν ἴcῳ τῷ πολὺ φέρειν ὕδατοc δυνάμενοc εἰc τὴν εὔκρατον μίξιν· ὁ δ᾽ ὀλιγοφόροc οἶνοc ἔκλυτόc τε καὶ ἀcθενὴc καὶ ἄχρηcτοc εἰc ποτὸν γίνεται, εἰ πλείονι κεράcαιc ὕδατι. καὶ μὴν καὶ τὸ ἄοδμον αὐτοῦ μέγιcτον γνώριcμα τῆc ἀcθενείαc τε καὶ ψυχρότητόc ἐcτιν, ὕδατι καὶ κατὰ τοῦτο ἐοικόc, ὥcπερ γε καὶ τῶν ἰcχυρὰν ἐχόντων ὀδμὴν μέγιcτον τοῦτ᾽ ἐcτὶ τῆc ῥώμηc cημεῖον. ὁ μὲν γὰρ ὑδατώδηc οἶνοc ὀλιγίcτην μὲν ἐν τῷ ξύλῳ τῆc ἀμπέλου μεταβολὴν ἔcχηκεν, ὀλιγίcτην δὲ καὶ τοῦ γεώδουc cτοιχείου τὴν μίξιν, ὥcτε ὕδωρ εἶναι, βραχὺ γεώδουc τε | καὶ θερμῆc οὐcίαc προcειληφὼc εἴc τε τὴν τούτων 670

2 τὸ μὲν ὠμὸν μελίκρατον] *cf. Gal. X 824 K.* 5 Ἀτὰρ . . . ἀcθενέcτερον *(6)*] *exscripsit Gal. p. 230, 5 sq.* 14 ἐπεμνήcθην] *p. 218 sq. 229 sq.* 18 καλεῖται γὰρ οὕτωc] *cf. Gal. X 484. VI 806 sq.*

1 δηλοῦντοc *post* ὑποχώρηcιν *transp.* S 3 ἐγνώcθη AM: ἐγνώcθω A¹ 5 λεπτοῦ κ. λευκοῦ ABM: λευκοῦ κ. λεπτοῦ *cett.*: λευκοῦ καὶ *esse delendum apparet ex commentario; cf. p. 230, 5* 6 ἀόcμου R, *item v. 8 et 10* ἐνίῃ μὲν S; *cf. v. 10 et p. 230, 5* ἐcτιν *om.* A: *add.* A¹ ἐνίῃ δὲ S *ab* ἀcθενέcτερον *deficit* T *usque ad* cυμβαίνει δὲ *p. 249, 1* 7 ἔνιοι δὲ καὶ BM: ἔνιοι μὲν C 8 λευκοῦ S 9 ἔνιοι . . . ἀcθενέcτερον *(11) om.* C: *add.* C¹ *in mrg.* 10 ἐνίῃ] *cf. supra p. 230, 5. 6* 12 λέγοντα M 12. 13 τὸ μελ. ἰcχ. εἶναι *transp.* A 13 κατά . . . τοιούτου *(14) om.* CR 14 οὖν *om.* AS τοιούτου *om.* R 15 γε *om.* CR 16 τε *om.* C 18 τῆc τοῦ *codd.*: τοῦ *om. a Charterio edd.* 19 κραθῆναι CRV: γρ. εἰc τὸ κραθῆναι A¹ *in mrg.*: ποθῆναι ABMS (C¹R¹ *in mrg.*); *cf. Gal. l. l.* 20 ὀνομάζεται . . . εὔκρατον *(21) om.* CR ὕδατι A δυνάμενοc BM: δεόμενοc *cett.* 21 τὴν *om.* M τε] γε C 22 πλείονι CM: πλέονι *cett.* κεράcοιc BSV: κεράcειc *cett.*: *correxi* 23 αὐτοῦ *post* γνώριcμα *transp.* A τε *om.* A 24 ἐοικὸc M: ἐοικὼc *cett.* 25 ὀcμὴν V 28 προcειληφὼc ACRV: μετειληφὸc M: προcειληφὸc BS: προcειληφὸc ἢ μετειληφὸc *Chartier* εἴc τε] ὥcτε AS

ἕνωϲιν ὀλιγίϲτηϲ κατεργαϲίαϲ δεηθεῖϲ. ὁ δ᾽ ἐναντίοϲ οἰνώδηϲ τε καὶ πολυφόροϲ οὔθ᾽ ὑπὸ βραχείαϲ κατεργαϲίαϲ γίνεται τοιοῦτοϲ, ὥϲ ἂν ἐπὶ πλεῖϲτον ἀφιϲτάμενοϲ ὕδατοϲ, ἀξιόλογόν τε διὰ τοῦτ᾽ αὐτὸ τὴν θερμαϲίαν καὶ τὴν ὀϲμὴν ἐπικτᾶται.

III 21 [I 15. II 346, 1 L.] Μέγα μὴν διαφέρει καὶ οἴνου καὶ μέλιτοϲ ἀκρητότηϲ ἐϲ ἰϲχὺν ἀμφοῖν. ὅμωϲ τοίνυν, εἰ καὶ διπλάϲιον μέτρον οἴνου ἀκρήτου πίνοι τιϲ ἢ ὁκόϲον μέλι ἐκλείχοι, πολλῷ ἂν δήπου ἰϲχυρότεροϲ εἴη ὑπὸ τοῦ μέλιτοϲ, μοῦνον εἰ μὴ ταράϲϲοι τὴν κοιλίην· πολλαπλάϲιον γὰρ καὶ τὸ κόπριον διεξίοι ἂν αὐτῷ.

Εἰ μελικράτου λέλεκτο καὶ μὴ μέλιτοϲ, ἦν ἂν ϲαφέϲτερον· ὁ γάρ τοι λόγοϲ ἦν αὐτῷ μέχρι δεῦρο περὶ μελικράτου καὶ τοῦτο παρέβαλεν
671 οἴνῳ κεκραμένῳ, δηλονότι μεθ᾽ | ὕδατοϲ, οὐκ αὐτῷ καθ᾽ ἑαυτόν· ἀλλ᾽ ὅπωϲ ἡ παραβολὴ δικαία γίγνοιτο, διὰ τοῦτ᾽ ἐπανήγαγε τὸν λόγον ἐπ᾽ αὐτόν τε τὸν οἶνον καὶ τὸ μέλι. παραλογίζονται δ᾽ ἔνιοι κατὰ τὰϲ τοιαύταϲ παραβολὰϲ οὐκ ἄλλουϲ μόνον ἑκόντεϲ, ἀλλὰ καὶ ϲφᾶϲ αὐτοὺϲ ἄκοντεϲ· [ἔνιοι δὲ] πειραθέντεϲ γοῦν τινων ἀκρατεϲτέρων, οὐ τοῖϲ ἀκράτοιϲ μόνοιϲ, ἀλλὰ καὶ ὁπωϲοῦν κεκραμένοιϲ τὴν ἐπ᾽ ἐκείνων προϲάπτουϲι δύναμιν, ὥϲπερ αὖ πάλιν ἕτεροι πειραθέντεϲ ὑδαρεϲτέρων ἐξ ἐκείνων ὑπὲρ ἁπάντων ἀπεφήναντο τῶν ὁπωϲοῦν κεκραμένων. οὐ μὴν οὕτωϲ ἐχρῆν ποιεῖϲθαι τὰϲ κρίϲειϲ τῶν πραγμάτων, ἀλλὰ λογίϲαϲθαι δεῖν ἀνάλογον ⟨εἶναι⟩ τὸ μελίκρατον ἐν τῇ κράϲει τῶν πινομένων οἴνων κατὰ τὴν τοῦ ὕδατοϲ μίξιν, ὡϲ μὴ τὸν μὲν οἶνον ἀκρατέϲτερον εἶναι, τὸ δὲ μελίκρατον ὑδαρέϲτερον, εἰ μέλλειϲ δικαίαν ποιεῖϲθαι τὴν παραβολὴν αὐτῶν.

ἐπεὶ δὲ χαλεπόν ἐϲτι τὴν ἀναλογίαν ἀκριβῶϲ ἐν τῇ μίξει φυλάξαι, διὰ τοῦτ᾽ ἐπ᾽ αὐτὰ τὰ ὄντωϲ ἄμικτα καὶ κυρίωϲ ἄκρατα καλούμενα μετήνεγκε τὸν λόγον ὁ Ἱπποκράτηϲ οἴνῳ μηδ᾽ ὅλωϲ κεκραμένῳ παρα-
672 βάλλων τὸ μέλι· καί φηϲι διπλάϲιον οἶνον | πινόμενον ἧττον τρέφειν ἁπλοῦ πλήθουϲ μέλιτοϲ. ἐπεὶ δὲ πλείω γένη τῶν οἴνων ἐϲτίν, οὐ τοὺϲ ἰϲχυροὺϲ καὶ κεφαλὴν πλῆξαι δυναμένουϲ καὶ παραφροϲύναϲ ἐργάϲαϲθαι προὐχειρίϲατο κατὰ τὸν λόγον, ἀλλὰ τὸν ἀϲθενῆ καὶ ὑδατώδη καὶ τούτῳ

1 δεηθεῖϲ M *et* A *ante corr.*: δεηθῆναι *cett.*: δεηθὲν *Cornarius* ἐναντίωϲ MS ὁ οἰνώδηϲ A 3 τε A: δὲ *cett.* τοῦτ᾽ αὐτὸ] ταύτην S 4 ὀϲμὴν ABCMS: ὀδμὴν RV 5 μὴν] μὲν δὴ A: μὲν BMR 6 ἀκρητότητοϲ M ἐϲ ἰϲχύν· ἀμφοτέρων δ᾽ ὅμωϲ τούτων *Kühlewein cum Hipp. cod. A*: ἀκρητότηϲ· ἐϲ ἰϲχὺν ἀμφοτέρων δ᾽ ὅμωϲ τούτων *Littré* 7 μέτρου M πίνει M πίνοι τιϲ ἀκρήτου A 8 πολὺν ἂν M 10 κόπρον πρὶν M αὐτῷ B: αὐτέῳ *cett.*
11 λέλεκτο BCRV: λέλεκται *cett.*: ἐλέλεκτο *Chartier* ἀϲαφέϲτερον A: ἀϲφαλέϲτερον CR 13 αὐτῷ (αὐτὸ CS) καθ᾽ ἑαυτὸν ABCS: αὐτὸ κ. ἑαυτὸ M 14 ἐπήγαγε A 15 τε *om.* CR 17 ἔνιοι δὲ *inclusi* γοῦν *om.* V: *del.* A[1]
18 κεκραμένοιϲ . . . τῶν ὁπωϲοῦν *(20) om.* CR 20 ἀπεφήνατο A 22 εἶναι *addidi* 23 τὸν μὲν *codd.*: μὲν *om. ex Aldo edd.* 24 μὲν *(repet.)* εἶναι BM μέλλοιϲ BR δικαίαν *om.* SV 27 ἐπὶ τὰ αὐτὰ ACR καλούμενα *om.* A 29 *post* ἧττον *add.* εἴη A 30 δὲ *om.* C ἐϲτίν A: εἰϲίν *cett.* 31 τε καὶ κεφ. A παραφροϲύνην BCS 32 προὐχ. M: προεχ. *cett.*

παραβάλλων τὸ μέλι τροφιμώτερον ἀπέδειξεν. ὅταν δὲ διπλασίῳ ὄγκῳ οἴνου ἀξιώσῃ μέλιτος ἥμιου παραβάλλειν, οὐ τοῦτό φηcιν, ὅτι μόνον ἑκάτερον ὁ κάμνων αὐτὸ καθ᾿ ἑαυτὸ προσφερέσθω μὴ μιγνὺς ὕδωρ· ἀλλ᾿ εἰ μετὰ τὸ μετρῆσαι τὸ πλῆθος ἑκατέρου προσφέροιτο καθ᾿ ὅ τι βούλοιτο, διαφέρειν οὐδὲν ἧττον. δύναται γάρ, εἰ τύχοι, κύαθον ἕνα μέλιτος ἢ καθ᾿ ἑαυτὸν λαμβάνειν ἢ ὅσῳ βούλεται μιγνὺς ὕδατι προσφέρεσθαι καὶ τοῦτο καθ᾿ ἑκάστην ἡμέραν ποιεῖν, ἢ πάλιν οἴνου δύο κυάθους ἑκάστης ἡμέρας ὡς αὐτὸς βούλεται κεραννὺς ὕδατι προσφέρεσθαι. γνωσθήσεται γὰρ ἐκ τῆς τοιαύτης πείρας ἐπὶ πλειόνων ἀνθρώπων ὁμοίως ἐχόντων κατὰ τἄλλα, καὶ μέντοι καὶ μᾶλλον ἐφ᾿ ἑνός, οὐ κατὰ τὸν αὐτὸν χρόνον ἡ ἑκατέρου δύναμις ἀκριβῶς· εἰ γὰρ μὴ κατά τινα φύσεως ἰδιότητα ταράττοι τὴν γαστέρα τὸ μέλι, | πλείοσιν ἡμέραις 673
ἐξαρκέσουσιν οἱ τῷ μέλιτι χρώμενοι.

διὰ τί οὖν, εἴπερ τοῦθ᾿ οὕτως ἔχει, κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἶπεν· "ἀτὰρ καὶ οἴνου λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόσμου ἐνίῃ μὲν ἰσχυρότερον, ἐνίῃ δὲ ἀσθενέστερον" εἶναι τὸ μελίκρατον; οὐ γὰρ ἐνίοτε μὲν ἰσχυρότερον, ἐνίοτε δὲ ἀσθενέστερον, ἀλλ᾿ ἰσχυρότερον ἀεὶ φαίνεται κατὰ τὸν εἰρημένον ἄρτι λόγον. ὅτι πρὸ τοῦ διορισθῆναι καὶ διδαχθῆναι πρὸς αὐτοῦ περὶ τῆς δικαίας παραβολῆς ἀδιορίστως τοῦ λόγου περαινομένου καλῶς καὶ ἀσφαλῶς εἶπεν εὑρεθήσεσθαι τὸ μελίκρατον τοῦ οἴνου κατά τι μὲν ἰσχυρότερον, κατά τι δὲ ἀσθενέστερον. ἐὰν γὰρ μὴ διορίσηταί τις ἑκατέρου τὴν ἀναλογίαν τῆς κράσεως, ἐνίοτε μὲν ἀσθενέστερος ὁ οἶνος, ἐνίοτε δὲ τὸ μελίκρατον εἶναι δόξει· διορισθέντων δέ, ὡς εἴρηται, καὶ τῆς κατὰ τὴν γαστέρα ταραχῆς ἐπιβλεπομένης, τὸ μελίκρατον ἰσχυρότερον εἰς θρέψιν ἀεὶ φαίνεται τοῦ κεκραμένου κατὰ τὴν αὐτὴν ἀναλογίαν οἴνου.

ἐὰν δ᾿ ὅτι καὶ τὸ κόπριον ἐκκρινόμενον ἐπὶ τῷ μελικράτῳ σύμμετρον, ὡς μὴ καταλύειν τὴν δύναμιν, ἐννοήσῃς, ἔτι καὶ μᾶλλόν σοι φανεῖ|ται πλείων ἡ ἐκ μελικράτου θρέψις ἤπερ ἡ ἐξ οἴνου γινομένη. 674
εἰ γὰρ καὶ κοπρίου πολλαπλασίου διεξιόντος ὅμως ὁ κάμνων ἐξαρκεῖ

15 εἶπεν] *p. 239, 5 sq. 10 sq. cf. p. 230, 5 sq.* 18 ἄρτι] *p. 240, 7*

1 παραβάλλων καὶ τούτῳ *transp.* A 2 μέλιτος ἀξιώσῃ A μόνον *post* τοῦτο *transp.* A 3 ἑκάτερον *om.* A ἑαυτὸ] αὐτὸ CR: αὑτὸ M 5 διαφέρειν *Diels*: διαφέρει δ᾿ (δὲ A) M: διαφέρει *cett.* δύνηται S 6 ὅσῳ ACS: ὅσον *cett.* προστίθεσθαι A: φέρεσθαι A[1] *in mrg.* 7 ἡμέρην A ποιεῖν AMS: πιεῖν CR δύο *om.* V 8 βούλεται *om.* A 9 πλειόνων AS: πλέον οἷον *superscr.* ω M: πλέον τῶν CR 10 κατὰ τἄλλα *correctum ex* κατ᾿ ἄλλα A, *Cornarius*: κατ᾿ ἄλλα *cett.* οὐ ABMRS: *om.* V 11 ἑκατέρα M ἀκριβῶς MS: ἀκριβὴς *cett.* 12 ταράττει A 14 ταῦθ᾿ MR 15 ἀόσμου C: ἀόδμου R
16 εἶναι . . . ἀσθενέστερον *(17) om.* CR μελίκρατον B: μελίκρητον *cett.*
18 ἄρτι *om.* M *post* λόγον *add.* εἶναι τὸ μελίκρατον M 20 εὑρεθήσεσθαι *codd.*: εὑρεθήσεται *ab Aldo edd.* 20. 21 τὸ μελίκρατον τοῦ οἴνου *Chartier*: τοῦ οἴνου τὸ μέλι AS: τὸ μέλι τοῦ οἴνου BCMRV 22 διορισθήσεται M 23 μελίκρητον S, *item v. 25 et 27* διορισθήσεται δέ M 27 τοῦ μελικράτου M
28 ἐννοήσαις ABS: ἐννοήσεις CMR: *correxi* εἴ τι S 28. 29 φανῆναί σοι M 29 πλέον M: πλεῖον B: πλείω S ἐκ] τοῦ A: *om.* BM μελίτου S ἡ *ante* ἐξ *om.* M γενομένη C 30 κοπρίου *scripsi*: *om.* S: κόπρου *cett.*

πλείοσιν ἡμέραις ἐπὶ τῷ μελικράτῳ, δυνατώτερον δηλονότι πρὸς τὴν θρέψιν οἴνου φαίνεται τὸ μέλι.

III 22 [I 15. II 346, 6 L.] Εἰ μέντοι ῥοφήματι χρέοιτο πτισάνῃ, ἐπιπίνοι δὲ μελίκρητον, ἄγαν πλησμονῶδες ἂν εἴη καὶ φυσῶδες καὶ τοῖσι κατὰ τὰ ὑποχόνδρια σπλάγχνοισιν ἀσύμφορον· προπινόμενον μέντοι πρὸ ῥοφημάτων μελίκρητον οὐ βλάπτει ὡς μεταπινόμενον, ἀλλά τι καὶ ὠφελεῖ.

Περὶ τῆς τάξεως ὁ λόγος αὐτῷ, ἐν ᾗ κάλλιστ᾽ ἄν τις χρῷτο μελικράτῳ τε καὶ πτισάνῃ. κοινὸς δ᾽ ἔστω σοι λόγος καὶ οὗτος, ὡς ἐπὶ παραδείγματος ἑνὸς διδασκόμενος μελικράτου τε καὶ πτισάνης· ἀεὶ γὰρ χρὴ πρότερον μὲν προσφέρεσθαι τά τε ῥᾳδίως διαφθειρόμενα καὶ μᾶλλον ὑπιόντα, δεύτερον δὲ τἀναντία. πτισάνη δὲ μελικράτου δυς|-
675 φθαρτοτέρα καὶ ὑπέρχεται βράδιον. πρῶτον μὲν οὖν τοῦ μελικράτου ληφθέντος οἷον ὑφήγησίς τις ἐξ αὐτοῦ γένοιτ᾽ ἂν τῇ πτισάνῃ τῆς διαχωρήσεως· εἰ δὲ πτισάνη πρῶτον ληφθείη, κωλυόμενον ὑπιέναι τὸ μελίκρατον ἐμφυσήσει τε τὸ ὑποχόνδριον εἴς τε τὴν χολὴν μεταβληθὲν τῷ χρόνῳ καὶ τῇ πτισάνῃ τι λυμανεῖται.

III 23 [I 15. II 346, 10 L.] Ἑφθὸν δὲ μελίκρητον ἐσιδεῖν μὲν πολλῷ κάλλιον τοῦ ὠμοῦ· λαμπρὸν γὰρ καὶ λεπτὸν καὶ λευκὸν καὶ διαφανὲς γίνεται· ἀρετὴν δὲ ἥντινα αὐτῷ προσθέω διαφέρουσάν τι τοῦ ὠμοῦ, οὐκ ἔχω· οὐδὲ γὰρ ἥδιόν ἐστι τοῦ ὠμοῦ, ἢν τυγχάνῃ γε τὸ μέλι καλὸν ἐόν. ἀσθενέστερον μέντοι γε τοῦ ὠμοῦ καὶ ἀκοπρωδέστερόν ἐστιν, ὧν οὐδετέρου ἐς τιμωρίην προσδέεται μελίκρητον. ἄγχιστα δὲ χρηστέον αὐτῷ τοιῷδε ἐόντι, ἢν τὸ μέλι τυγχάνῃ πονηρὸν ἐὸν καὶ ἀκάθαρτον καὶ μέλαν καὶ μὴ εὐῶδες· ἀφέλοιτο γὰρ ἂν ἡ ἕψησις τῶν κακοτήτων αὐτοῦ τὰ πλείονα τοῦ αἴσχεος. |

14 ὑφήγησις] *cf. Gal. VI 466, 15 sqq. K.*

1 μελικρήτω S *(sic saepius)*: μέλιτι V 3 ῥοφήματος S πτισάνης M 4 ἐπιπίνει M *a* πλησμονῶδες *vocab. deficit* B *usque ad p. 256, 8* οἷσι 6 μέντοι] μὲν CR 7 ὡς *om.* S μεταπινόμενον ACMRS: ἐπιπιν. V ὠφελεῖ S: ὠφελέει *cett.* 8 αὐτοῦ MR ἐν ᾗ S: ᾗ *cett.* 9 μελικράτω AS: τῶ μελ. *cett.* ὡς *om.* CR 10 τε] δὲ S 11 διαφθειρόμενα] διαφερόμενα S: φαινόμενα CR 12 δεύτερον C *et compendiose* M: δεύτερα *cett.* τἀναντία CMR: τὰ ἐν. *cett.* μελικρήτου AS: μελικράτω M δυσφθαρτοτέρα A: δυσφθαρτότερον *cett.* 13 βραδέως M: ῥάδιον R πρῶτον CMR: πρώτου *cett.* τοῦ *om.* A 14 ἐξήγησις AS 15 πρῶτον CMR: πρώτη S τὸ μελ. ὑπ. S 16 μεταληφθὲν A 17 τῶ χρόνω M: ἐν τῶ χρ. *cett.* 19 μὲν *om.* M λαμπρότερον S 19. 20 λευκὸν κ. λεπτὸν S 20 αὐτῶ A: αὐτέω *cett.* 21 οὐδὲ *Hipp. cod. A*: οὔτε *codd.* 22 γε *ante* τὸ *om.* M 23 ὧν οὐδετέρης τιμωρίης *Hipp. cod. A* οὐδέτερον *codd.*: *corr. Chartier* 24 ἐς τιμωρίην] ἐστι μόριον CR προσδέχεται S ἄγχιστα] μάλιστα AM 24. 25 αὐτῶ χρηστέον *colloc.* C 25 ὄντι AC ἢν μὴ AMS 26 ἂν *om.* AS 27 καὶ *add. ante* τὰ A πλείονα CM: πλέονα ARS

Διαφορὰς ἑφθοῦ τε καὶ ὠμοῦ μελικράτου διδάσκει καθ' ὅλην τήνδε 676
τὴν ῥῆσιν, δεῖται δ' ὁ λόγος οὐδεμιᾶς ἐξηγήσεως.

III 24 [I 16. II 348, 7 L.] Τὸ δ' ὀξύμελι καλεόμενον ποτὸν πολλαχοῦ μὲν εὔχρηστον ἐν ταύτῃσι τῇσι νούσοισιν εὑρήσεις ἐόν· καὶ γὰρ πτυέλου ἀναγωγόν ἐστι καὶ εὔπνοον·

Τὸ καλούμενον καὶ τὸ καλεῖσθαι καὶ τὰ παραπλήσια τούτοις ἔμαθες αὐτὸν προστιθέντα ποτὲ μὲν ὡς οὐδέπω συνήθους ἅπασι τοῖς Ἕλλησι τῆσδε τῆς προσηγορίας οὔσης, ποτὲ δὲ ὡς ἀκύρως λεγομένης, ἐνίοτε δὲ ὡς ἐνδεικνυμένης τι τεχνικόν, ὡς ἐπὶ τῶν κροταφιτῶν καὶ μασητήρων μυῶν ἐδιδάξαμεν. ἀλλ' ὅτι μὲν οὐδὲν ἐνδείκνυται τεχνικὸν ἡ προσηγορία τοῦ ὀξυμέλιτος, ἅπαντι δῆλον. ἀλλ' ἤτοι μεμφόμενος ἢ ὡς οὐδέπω συνήθη διὰ τῆς τοῦ καλεομένου ἐπεσημήνατο προσθήκης. ἐγχωρεῖ δ' ἑκάτερον· ἴσως μὲν γὰρ | τότε πρῶτον εἰς χρῆσιν κοινὴν 677
ἤρχετο. τάχα δὲ καὶ μέμφεται τὴν φωνὴν ὡς ἐμφαίνουσαν ἤτοι ἐκ τοῦ ὄξους καὶ μέλιτος μόνων συγκεῖσθαι τὸ φάρμακον ἢ ὡς μέλιτος διαφορὰν δηλοῦσαν, ὡς εἰ καὶ οὕτως ἔλεγέ τις· τὸ δὲ μέλι τὸ ὀξὺ δύναμιν ἔχει τοιάνδε.

περὶ μὲν δὴ τῆς τοῦ καλεομένου προσθήκης δῆλον· ἐπ' αὐτὸ δὲ τὸ χρήσιμον ἴωμεν. οὐ γὰρ ἐξ ὄξους καὶ μέλιτος μίξεως μόνον ἡ σύνθεσις γίνεται τοῦ ὀξυμέλιτος, ἀλλ' ἐκ μελικράτου βραχὺ προσλαμβάνοντος ὄξους. ἕψεσθαι δ' ἄμεινον αὐτό· καθαιρεῖται γὰρ ἡ δύναμις τοῦ ὄξους ὑπὸ τῆς ἑψήσεως, ὡς τὴν μὲν ὠφέλειαν τὴν ἀπ' αὐτοῦ λαμβάνειν τὸ μελίκρατον, ᾧ μίγνυται, τὴν βλάβην δ' οὐκ ἴσχειν. τὴν μὲν οὖν ὠφέλειαν κατὰ τὴν ἀρχὴν εἶπε τῆς ῥήσεως καὶ μετὰ ταῦτ' ἐρεῖ, τὴν βλάβην δ' ἐπὶ τῇ τελευτῇ τῆς ὅλης ῥήσεως προσθήσει. κατὰ τὴν ἀρχὴν μὲν οὖν εἴρηται πτυέλου γὰρ ἀναγωγόν ἐστι καὶ εὔπνοον, ἐφεξῆς δ' ὅσα ταῖς λέξεσιν ἐπακολουθήσαντες αὐτοῦ μαθησόμεθα.

III 25 [I 16. II 348, 9 L.] Καιροὺς μέντοι τοιούσδε ἔχει.

Τοὺς καιροὺς ἤτοι τοὺς τῆς χρήσεως αὐτοῦ λέγει, καθότι σύνηθες, ἢ | τὰς ὠφελείας, ἐπειδὴ καὶ κατὰ τοῦτο τὸ σημαινόμενον ἐδείχθη 678
χρώμενος ἐνίοτε τῇ τοῦ καιροῦ προσηγορίᾳ.

3 τὸ δ' ὀξύμελι] *cf. Gal. XVIII B 467 K.* 10 ἐδιδάξαμεν] *cf. Gal. II 422. III 853 sq. XVIII A 429 sq. B 933* 19. 20 ἡ σύνθεσις γ. τοῦ ὀξυμέλιτος] *cf. Gal. VI 271 sqq. XVIII B 466, 8. XI 374 sq.* 30 ἐδείχθη] *nescio ubi*

1 ὠμοῦ τε καὶ ἑφθοῦ V τήνδε *om.* CR 3 καλούμ. V ποτὸν *om.* V 4 πολλαχοῦ μὲν ACMSV: μὲν *om.* R 5 καὶ γὰρ πτυέλου] *sed v. 26* πτυέλου γὰρ *ut hic Hipp. cod. A* 6 καλεῖσθαι] κάλλιον M ἔμαθον M 9 καὶ MSV: τε καὶ ACR 10 ἐνδείκνυται A¹: ἐνδεικνυμένη AMSV: ἐνδεικνύμενος CR 11 ἅπασι *corr.* A¹ 13 ἑκάτερα V 14 τὴν φωνὴν M: τῇ φωνῇ *cett.* ἐμφαίνουσαν M: ἐμφαινούσῃ *cett.* ἐκ *om.* ARSV 15 μόνον MR¹S 16 δηλοῦσαν AMSV: δηλούσῃ CR μέλι τὸ *om.* S 18 δὴ] οὖν R τοῦ *om.* V 20 τοῦ ὀξ. γίν. A 21 αὐτῷ CR γὰρ *om.* R 22 ὑπὸ] ἐπὶ A μὲν τὴν M: τὴν μὲν *cett.* ἀπ'] παρ' RV 23 δ' *om.* S 24 τῆς ῥ. εἶπε *colloc.* CR 25 τῇ *om.* S τελευταῖον S 27 τοῖς *(sic)* αὐτοῦ C αὐτοῦ ἐπακολουθήσοντες A 28 τούσδε S 29 τοὺς *ante* τῆς *om.* CS 30 τὰς CMRS: *obscur.* A: τοὺς τῆς V καὶ *om.* MSV 31 τῇ *om.* C

III 26 [I 16. II 348, 10 L.] Τὸ μὲν γὰρ κάρτα ὀξὺ οὐδὲν ἂν μέϲον ποιήϲειε πρὸϲ τὰ πτύελα τὰ μὴ ῥηϊδίωϲ ἀνιόντα· εἰ γὰρ ἀνάγοι μὲν τὰ ἐγκέρχνοντα καὶ ὄλιϲθον ἐμποιήϲειε καὶ ὥϲπερεὶ διαπτερώϲειε τὸν βρόγχον, παρηγορήϲειεν ἂν τὸν πνεύμονα (μαλθακτικὸν γὰρ αὐτέου), καὶ εἰ μὲν ταῦτα ϲυγκυρήϲειε, μεγάλην ἂν ὠφέλειαν ἐμποιήϲειεν, ἔϲτι δ' ὅτε τὸ κάρτα ὀξὺ οὐκ ἐκράτηϲε τῆϲ ἀναγωγῆϲ τοῦ πτυέλου, ἀλλὰ προϲεγλίϲχρηνέ τε καὶ ἔβλαψεν.

Ἐφ' ὧν ἐϲτι χρεία τοῦ ὀξέοϲ ὀξυμέλιτοϲ, ἐπὶ τούτων διδάϲκει τὴν ἐξ αὐτοῦ γινομένην ἐνίοτε βλάβην, ἐφ' ὧν δ' οὐδ' ὅλωϲ ἂν χρήϲαιτό τιϲ τῷ οὕτωϲ ὀξεῖ φαρμάκῳ, περιττὸν τὸ καταλέγειν τὰϲ τοιαύταϲ βλάβαϲ. οὐδὲ γὰρ οὐδ' ἁπλῶϲ εἶπε περὶ ⟨ὀξέοϲ⟩ ὀξυμέλιτοϲ, ἀλλὰ
679 τὸ κάρτα προϲέ|θηκεν, ὅπερ ϲημαίνει ταὐτὸν τῷ λίαν καὶ ϲφόδρα. τὸ τοιοῦτον οὖν ὀξύμελι μέϲον οὐδὲν εἴωθεν ἐργάζεϲθαι τοῖϲ κατὰ τὸν πνεύμονα παχέϲι τε καὶ γλίϲχροιϲ πτυέλοιϲ, ἐφ' ὧν ἄν τιϲ αὐτῷ χρήϲαιτο μόνῳ, ἀλλ' ἤτοι τεμὸν αὐτὰ καὶ ἀπορρύψαν ἀνήγαγεν ἢ τοῦτο πρᾶξαι μὴ δυνηθὲν ἐξήρανεν. ὥϲπερ γὰρ τμητικὸν τὸ τοιοῦτον φάρμακον, οὕτω καὶ ξηραντικόν· ἔχομεν δ' αὐτὸ ἐπὶ τῶν κατὰ τὸν πνεύμονα παχέων πτυέλων, οὐχ ὡϲ ξηραῖνον (οὕτωϲ γὰρ ἂν βλάψειεν), ἀλλ' ὡϲ τέμνον τε καὶ ῥύπτον. ὅταν οὖν ἀδυνατήϲῃ τοῦτο ποιῆϲαι, χρηϲτὸν μὲν οὐδὲν ἔπραξε, μεγίϲτην δὲ βλάβην εἰργάϲατο. πότ' οὖν ἀποτυγχάνει ῥύπτειν καὶ τέμνειν, αὐτὸϲ ἐφεξῆϲ ἐδίδαξε, νυνὶ δὲ βούλομαι περὶ τῆϲ γραφῆϲ τῆϲ ἐν πολλοῖϲ τῶν βιβλίων εἰπεῖν.

οὐ γὰρ διὰ τοῦ ϲ̄ τὴν δευτέραν ϲυλλαβὴν τοῦ μέϲον ὀνόματοϲ, ἀλλὰ διὰ τοῦ ζ̄ γεγραμμένην εὑρίϲκομεν, ὡϲ εἶναι τὴν ὅλην λέξιν τοιάνδε· τὸ μὲν γὰρ κάρτα ὀξὺ οὐδὲν ἂν μέζον ποιήϲειεν. ἔϲτι δὲ τοῦτο ψεῦδοϲ· αὐτὸϲ γὰρ ἐπιφέρων δείκνυϲιν ἐνίοτε μὲν μεγάλην |
680 ὠφέλειαν ἐξ αὐτοῦ γινομένην, ἐνίοτε δὲ βλάβην· ὥϲτ' ἀεὶ μέγα τι ποιεῖ καὶ οὐδέποτε μικρόν. ἐφ' οὗ δ' ἀληθὲϲ εἰπεῖν ἐϲτιν ἀεί τι γί-

20 τέμνον] *cf. p. 157, 5. Gal. VI 809, 16.* Περὶ λεπτυν. διαίτηϲ *12, 111 sq. ed. Kalbfleisch* 22 ἐφεξῆϲ] *p. 245, 6 sq.*

1 μὲν γὰρ ACMR: μὲν SV 2 μέϲον A¹MS: μέζον ACR: μεῖζον V πρὸϲ] εἰϲ AS 3 ἀνάγει A: ἀναγάγοι *Hipp. cod. A* ἐγκέρχοντα ACR: ἀκέρχοντα *suprascr.* γ M 4 ἂν *om. a Basil. edd.* 5 μαλθακὸν R: μαλθακώτερον M 6 μεγάλωϲ M ὠφέλειαν A: ὠφελείην S: ὠφελίην *cett.* ἐμποιήϲειεν *scripsi*: ἐμποιήϲει M: ποιήϲειε *cett.* 8 προϲεγλίϲχρανε A: προϲεγλιϲχραίνεται καὶ M 9 *post* ἐϲτι *add.* μόνη A¹: μόνον M μέλιτοϲ CR 10 αὐτῶν M δ' οὐδ' ὅλωϲ (ἂν *om.*) AMS: γὰρ ὅλωϲ οὐδ' ἂν CRV 11 τῷ (*om.* A) οὕτ. ὀξὺ (ὀξεῖ A) AMS: ὀξεῖ τῷ τοιούτῳ CRV 12 οὐδ' *ante* ἁπλῶϲ *om.* AS ὀξέοϲ *om. codd : add. Chartier* 13 τὸ *codd.*: καὶ *edd.* ταὐτὸν ϲημαίνει AS ταὐτὸν τῷ] τὸ M ϲφοδρῶϲ M 16 μόνῳ *om.* M ἤτοι γε S *post* τοῦτο *add.* μὴ V (*item post* πρᾶξαι): μὲν *Cornarius* 18 τὸν *om.* CR 19 ἂν M: *om. cett.* ὡϲ (*alt.*) *om.* V 20 τε *om.* M ὅταν M: ὅταν μὲν *cett.* τοῦτο ACMRS: ταῦτα V 22 τέμνειν καὶ ῥύπτειν A αὐτοῖϲ M διδάξει CR 24 οὐδὲ γὰρ M τοῦ (*prius*) *codd.*: τὸ *edd.* μέϲου MS 26 ἂν *om.* M μεῖζον AMS 27 γὰρ *om.* CR 28 ἐξ αὐτοῦ *ante* μεγάλην *transp.* A 28. 29 ποιεῖ τι CR 29 ἐϲτιν εἰπεῖν A

νεcθαι κακὸν μέγα ἢ ἀγαθόν, περὶ τούτου κάλλιον ἄν τις εἴποι μηδὲν μέcον ὑπ᾿ αὐτοῦ γίνεcθαι.

III 27 [I 16. II 350, 7 L.] Μάλιcτα δὲ τοῦτο πάcχουcιν, οἵπερ καὶ ἄλλως ὀλέθριοί εἰcι καὶ ἀδύνατοι βήccειν τε καὶ ἀποχρέμπτεcθαι τὰ ἐνεχόμενα.

Τὸ καταγλιcχραίνεcθαι τὰ παχέα πτύελα μηδὲν ὀνινάμενα τῇ προcφορᾷ τοῦ ὀξέος ὀξυμέλιτος ἐκείνοις φηcὶ cυμβαίνειν, οἵπερ καὶ ἄλλως ὀλεθρίως ἔχουcι, τουτέcτιν ἐφ᾿ ὧν ἄπεπτος ἱκανῶς ἐcτιν ἡ νόcος· οὗτοι γὰρ οὐδὲν ἀναπτύουcιν.

III 28 [I 16. II 352, 2 L.] Ἐς μὲν οὖν τόδε προcτεκμαίρεcθαι χρὴ τὴν ῥώμην τοῦ ἀνθρώπου καί, ἣν ἐλπίδα ἔχῃ, διδόναι. |

Ἐπειδὴ προείρηκεν ὑπὸ τοῦ ὀξέος ὀξυμέλιτος οὐδὲν ὀνίναcθαι τοὺς 681
"καὶ ἄλλως ὀλεθρίως ἔχοντας", ἔνιοι δὲ cπανίως ἐξ αὐτῶν cῴζονται βοηθούμενοι, διὰ τοῦτο καὶ τὴν τούτου cπανίαν βοήθειαν οὐ παρέλιπεν· ἔcτι δ᾿ αὕτη διὰ τοῦ ὀξέος ἱκανῶς ὀξυμέλιτος, ὅταν ὁ κάμνων ἰcχυρὸς ᾖ τὴν δύναμιν· ἄλλως γὰρ οὐδὲν ὀνίνηcι τὸ τοιοῦτον ὀξύμελι, δυοῖν θάτερον ἐργαcάμενον, ἢ μηδ᾿ ὅλως τεμόν, ἀλλ᾿ ἐπιγλιcχρᾶναν τὰ γλίcχρα, ἢ τεμὸν καὶ ἀπορρύψαν, ἀθρόαν δ᾿ ἀναγωγὴν κινῆcαν. τῆς δυνάμεως δὲ μὴ φερούcης ἀκολουθήcει πνιγῆναι τὸν ἄνθρωπον.

III 29 [I 16. II 352, 3 L.] Διδόναι δέ, ἣν διδῷς, ἀκροχλίαρον καὶ κατ᾿ ὀλίγον τὸ τοιόνδε καὶ μὴ λάβρως.

Ἣν μηδὲν ἀναπτύῃ τι διὰ πάχος καὶ γλιcχρότητα τῶν πτυcμάτων, οὐ μὴν ἀcθενῆ γε τὴν δύναμιν, ὀξύμελι κελεύει δίδοcθαι τὸ λίαν ὀξὺ κατ᾿ ὀλίγον τε καὶ ἀκροχλίαρον, ὅπερ | ἔcτιν ἄκρως χλιαρόν 682
(ἄκρως δ᾿ ἐcτὶ χλιαρόν, ὅπερ ἂν ᾖ μέcον ἀκριβῶς τοῦ τε ψυχροῦ καὶ τοῦ θερμοῦ)· ἰcχυρὰν γὰρ ἔχον αὐτὸ τὴν δύναμιν εὐλαβεῖται πολὺ προc-

9 οὐδὲν ἀναπτύουcιν] *cf. Gal. IX 563, 17 K.* 12 προείρηκεν] *v. 4 et p. 244, 7 sq.*

1 μέγα κακὸν γίν. CR ἂν] εἰ ASV μηδὲν M: καὶ μ. *cett.* 4 ἀδύνατον M 6 *supra* τὸ *add.* γὰρ A[1] 8 νοῦcoc AV 10 ἐς μὲν AM: εἰς μὲν CS: ἴcμεν R: εἰ μὲν V προτεκμ. AMS 11 κάμνοντος *ante* ἀνθρώπου *add. Chartier* καὶ ἣν M: κ᾿ ἣν AS: καὶ CR ἐλπίδας AS ἔχει MS 13 καὶ *om.* M ἄλλους M ἐξ αὐτῶν *om.* M 14 τούτου *om.* A 15 ἔcτι δ᾿ αὕτη] ἡ δ᾿ αὐτὴ M 16 γὰρ] δὲ A δυοῖν οὖν CMR 17 ἐπιγλιcχράναν AS: ἐπιγλιcχραῖνον CMRV 18 καὶ] καὶ μὴ CMV: ἢ μὴ R δ᾿] τε A ἀγωγὴν CR *post* ἀναγωγὴν *add.* καὶ κένωcιν *edd.; cf. Gal. XVII A 55* 19 δὲ A: *om. cett.* ἀκολουθῆcαι M 20 ἀκροχλίερον MR 21 καὶ κατ᾿ *Hipp.*: καὶ *om. codd.* τὸ τοιοῦτο V λαύρως ACMRV 22 μηδέν τι *coniunge coll. III 576, 7 K.; subiectum verbo* ἀναπτύῃ *est* ὁ ἄνθρωπος; *cf. v. 11* τε καὶ A
23 ἀcθενῆ *Chartier*: ἀcθενεῖ A: ἀcθενῆ *cett.* δίδοcθαι κελ. A: διδόναι κελ. M 24 ἀκροχλίερον AMRV ἔcτιν . . . ὅπερ *(25) om.* V 25 ἐcτι τὸ χλιαρόν C

φέρειν εἰς ἅπαξ. ὡσαύτως δὲ καὶ τὸ ψυχρὸν ἐν θέρει διδόναι, καθάπερ ἔμπροσθεν ἐκέλευσεν, εὐλαβεῖται διὰ τὸ τὰς μὲν ἀπτύστους πλευρίτιδας καὶ περιπνευμονίας ἀπέπτους εἶναι, τῇ πέψει δ' ἀεὶ τὸ μὲν θερμὸν συντελεῖν, τὸ δὲ ψυχρὸν ἐναντιοῦσθαι. τί δή ποτ' οὖν καὶ τὸ θερμὸν ὀξύμελι φεύγει; ἢ ὅτι διὰ τὸ κακόηθες τοῦ νοσήματος, μή πως εὐθέως ἐν τῇ τοιαύτῃ προσφορᾷ τοῦ τοιούτου πόματος αὐτὸ μὲν τὸ πάθος ἄπεπτον ἔτι διαμένῃ, συμβῇ δὲ τὸν ἄνθρωπον ὑπὸ τοῦ θερμοῦ ὀξυμέλιτος διψωδέστερον γενέσθαι ἑαυτοῦ; δέδεικται δ', ὅτι τὸ σύμπτωμα τοῦτο γλίσχρον ἐργάζεται πτύελον. ἀσφαλέστερον οὖν αὐτῷ δοκεῖ μετρίως χλιαρὸν εἶναι τὸ ὀξύμελι, φεύγοντι τοῦ μὲν θερμοῦ τὴν ἐνδεχομένην ἀκολουθῆσαι βλάβην, τοῦ δὲ ψυχροῦ τὴν ἐξ ἀνάγκης ἑπομένην. |

683 **III 30** [I 16. II 352, 5 L.] Τὸ μέντοι ὀλίγον ὕποξυ ὑγραίνει μὲν τὸ στόμα καὶ φάρυγγα, ἀναγωγὸν δὲ πτυέλου ἐστὶ καὶ ἄδιψον, ὑποχονδρίῳ δὲ καὶ σπλάγχνοισι τοῖσι ταύτῃ εὐμενὲς καὶ τὰς ἀπὸ μέλιτος βλάβας κωλύει· τὸ γὰρ ἐν μέλιτι χολῶδες κολάζεται.

Περὶ τοῦ λίαν ὀξέος ὀξυμέλιτος συμπληρώσας τὸν λόγον ἐπὶ τὸ μετρίως ὀξὺ μετέβη κατὰ τήνδε τὴν ῥῆσιν, ὑγραίνειν αὐτὸ λέγων τὸ στόμα καὶ φάρυγγα καὶ τῶν πτυέλων ἀναγωγὸν εἶναι καὶ ἄδιψον. ἅπαντα γὰρ ἔχον, ὑφ' ὧν ὠφελεῖσθαι πεφύκασιν αἱ τοιαῦται νόσοι, τῶν βλαπτόντων οὐδὲν ἔχει διὰ τὴν τῆς κράσεως ἀρετήν, ἐπειδὴ τοσοῦτον τῷ μελικράτῳ μέμικται τοῦ ὄξους, ὅσον ἱκανόν ἐστι τὸ χολῶδες ἐν αὐτῷ κολάσαι, τουτέστι καθελεῖν καὶ ταπεινῶσαι· δέδεικται γάρ σοι κατὰ τὸ τέταρτον γράμμα Περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἐναντιωτάτην δύναμιν ἔχειν ὁ γλυκὺς χυμὸς τῷ ὀξεῖ. τῆς
684 οὖν τοῦ μελικράτου δυνάμεως | τὰ ἄλλα μὲν πάντα ἐχούσης, ὧν δεῖται τὰ τοιαῦτα νοσήματα, καθ' ἓν δὲ μόνον ἐναντιουμένης αὐτοῖς, ὅταν ὑπερθερμανθὲν ἐκχολωθῇ, τὴν τοιαύτην αὐτοῦ μεταβολὴν ἡ τοῦ ὄξους

2 ἔμπροσθεν] *p. 155, 17* ἀπτύστους πλευρίτιδας] *cf. p. 166, 26. Gal. XVII A 55. IX 686. VIII 326. 327* 8 δέδεικται] *p. 223, 5 sq. 226, 20 sqq.* 25 Περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως] *IV 11—13 (XI 653—62)* 26. 27 τῆς οὖν . . . τὰ σπλάγχνα *(247, 6)*] *exc. Orib. V 24 (I 391 sq.)*

1 διδόναι *om.* A: *add.* A[1] 2 μὲν *om.* A ἀπτύστους CMR: ἄνευ πτυσμάτων ASV: ἀπτ. πτυσμάτων *edd.* 3 μὲν *om.* M 4 συντελεῖ AM ἐναντιοῦται A 7 ἔτι *om.* MV διαμένει CR: μένει A τοῦ *om.* CR 8 γενέσθαι ACMS: γίν. RV 9 τὸ πτύελον M ἀσφαλεστέρως M οὖν *om.* V 10 μὲν S: *om. cett.* 11 ἀκολουθοῦσαν M 13 ὕποξυ A: ἐπ' ὀξὺ ὀξύμελι V: ὀξὺ M: ὀξύμελι CRS *et* A[1] *in mrg.* 14 δὲ] τε *Hipp. cod. A* 15 ὑποχονδρίοις M δὲ *om.* M καὶ τοῖσι ASV ταύτης S 16 *post* βλάβας *add.* ταύτῃ *edd.* 17 κολάζεται M *cum Hipp. codd.*: κολάζει ACRSV 18 ἐπὶ τὸ] αὐτὸ S 19 μετέβη] μεταίρει SV 22 νοῦσοι ACRSV 23 τοσοῦτον . . . ἐστι τὸ *om.* C: *add.* C[1] *in mrg. inferiore* μελικρήτῳ S, *item v. 27* 26 ἔχει S 27 τὰ μὲν ἄλλα M 28 αὐτοῖς *Cornarius*: αὐτῆς ACMSV: αὐταῖς R: *om. Orib.* 29 αὐτῷ M μεταβολὴν] βλάβην A

μίξις κωλύουσα κάλλιστον ἐργάζεται φάρμακον. ἄδιψόν τε γὰρ ἔσται καὶ διὰ τοῦτο καὶ τὰ πτύελα, τά γε μὴ παντάπασι παχέα καὶ γλίσχρα, ῥᾳδίως ἀνάξει· τούτοις δ᾽ ἀμφοτέροις αὐτοῦ τοῖς ἔργοις ἕπεται καὶ ἡ τῶν κατὰ τὸ στόμα καὶ τὴν φάρυγγα μορίων ὑγρότης. ᾧ δὲ λόγῳ δρᾷ ταῦτα, τούτῳ δὴ καὶ σπληνὶ καὶ ἥπατι προσφορώτατόν ἐστι διακαθαῖρον ἀλύπως τὰ σπλάγχνα.

III 31 [I 16. II 352, 9 L.] Ἔστι δὲ καὶ φυσῶν καταρρηκτικὸν καὶ ἐς οὔρησιν προτρεπτικόν.

Περὶ τοῦ μετρίως ὀξέος ὀξυμέλιτος ἔτι διαλεγόμενος εἴρηκε ταῦτα, πολλήν τε τὴν χρῆσιν ἔχοντος ἐπὶ τῶν κατὰ πνεύμονα καὶ θώρακα παθῶν ἀξιολογωτάτην τε τὴν ὠφέ|λειαν διὰ τὴν ἔμμετρον μίξιν ὕδατός 685 τε καὶ ὄξους καὶ μέλιτος. τὸ γὰρ τοιοῦτον ὀξύμελι τέμνον τε τὸ παχὺ καὶ φυσῶδες ἐν ὑποχονδρίῳ πνεῦμα καὶ καταρρηγνύον τὰς φύσας διακαθαῖρόν τε τὰς διεξόδους πάσας ἐπ᾽ οὖρα ποδηγεῖ τοῖς ὀρώδεσί τε καὶ χολώδεσι περιττώμασιν.

III 32 [I 16. II 352, 10 L.] Ἐντέρου μέντοι τῷ κάτω μέρει πλαδαρώτερον καὶ ξύσματα ἐμποιέει.

Τὴν ὑπὲρ τὸ κατὰ φύσιν ἐγγινομένην ὑγρότητα τοῖς μορίοις ἴσμεν αὐτὸν ἀεὶ ʽπλάδονʼ ὀνομάζοντα· τοῦτ᾽ οὖν ἐργάζεται, φησί, τὸ ὀξύμελι, ξύον τε τῶν ἄνωθεν ὅσον ἐμπέπλασται παχέων χυμῶν ἢ γλίσχρων, τέμνον τε τοῦτο καὶ ὑπάγον ὡς πρὸς τὴν ἔκκρισιν. εὐπετεῖς δὲ κατὰ τὴν τοιαύτην δύναμιν ἐργάζεται καὶ τὰς ἐξ ἥπατος ὑπαγωγὰς τῶν περιττωμάτων, ὥστε πασῶν τῶν ἄνωθεν ὑγροτήτων ἀθροιζομένων ἐν τοῖς ἐντέροις καὶ μάλιστα τοῖς κάτω διὰ μὲν τὸ πλῆ|θος αὐτῶν τὸν 686 πλάδον ἐγγίνεσθαι, διὰ δὲ τὴν ποιότητα ξύεσθαι τὸ ἔντερον. καὶ γὰρ καὶ αὐτὸ τὸ ὀξύμελι ῥυπτικὴν ἔχον δύναμιν ἐν τῷ χρόνῳ ξύσειεν ἂν τὸ ἔντερον καὶ τὸ συγκατερχόμενον αὐτῷ χολῶδες περίττωμα τὴν αὐτὴν ἔχει δύναμιν· ὅθεν καὶ χωρὶς ὀξυμέλιτος, ἢν πλεονάσαν ποτὲ τύχῃ, ξύει τὸ ἔντερον.

10 πολλήν τε . . . περιττώμασιν *(15)*] *exc. Orib. V 24, 4 (I 392 sq. Daremb.)*
19 ἀεὶ πλάδον] *cf. Gal. XVII A 105*

1 τε *om.* S ἐστὶ M 3 αὐτοῦ τοῖς A[1], *Orib.*: αὐτοῖς *cett.* 4 τὸ *om.* AS τὴν *om.* AS: τὸν CR 4. 5 ταῦτα δρᾷ V 5 τοῦτο MS καὶ σπληνὶ *om.* M 7 φυσῶν *codd.*: φυσέων *edd.* καθαιρετικὸν M 8 ἐς] ἐπ᾽ V 9 Περὶ τοῦ μετρίως *om.* M ὀξέος *om.* V ὀξυμέλιτος *om.* AMS 10 τε AM: δὲ CRV: *om.* S τὸν πνεύμονα M: τὸν πν. τε καὶ τὸν θ. *Orib.* 13 ὑποχονδρίοις A παραγνύων *corr. in* παράγων A 14 τε καὶ τὰς A 15 ὀρώδεσι A: οὐρρ. S: ὀρρ. *cett.* 16 μέντοι] μὲν R 17 ξυσμάτων CR 18 τὴν μὲν M 19 πλαδαρὸν R: πλάδον R[1] *in mrg.* ὀνομάζοντες M 20 ἐμπέπλασται *scripsi*: ἐμπεπλᾶσθαι ACR: πέπλασται M: ἐνεπλάσθη S: ἐμπλάττεται V 21 τε *scripsi*: δὲ *codd.* ὡς πρὸς *codd.*: ὡς *om. edd.* δὲ καὶ M 22 τὴν τοιαύτην AMSV: τοιαύτην τὴν R: τοιαύτην C ὑπαγωγὰς ACMSV: ἐπαγ. R 23 ἐν] ἐπὶ A: *om.* C 26 καὶ αὐτὸ CMR: αὐτὸ AS: *om.* V ξύει (*om.* ἂν) A 27 χολῶδες *add.* A[1] 28 ἔχει ACMRS: ἔχον V

III 33 [I 16. II 354, 1 L.] Ἔϲτι δ᾽ ὅτε καὶ φλαῦρον τοῦτο ἐν τῇϲιν ὀξείῃϲι νούϲοιϲι γίνεται, μάλιϲτα μὲν ὅτι φῦϲαν κωλύει περαιοῦϲθαι, ἀλλὰ παλινδρομεῖν ποιεῖ· ἔτι δὲ καὶ ἄλλωϲ γυιοῖ καὶ ἀκρωτήρια ψύχει.

Τὸ ξυϲθῆναι τὸ ἔντερον οὐκ ἀγαθόν ἐϲτιν ἐνίοτε κατὰ τὰϲ ὀξείαϲ νόϲουϲ· ἕλκωϲιϲ γάρ τιϲ ἐπιπολῆϲ ἐϲτιν ἡ ξυϲματώδηϲ διάθεϲιϲ. οὖϲα
687 δὲ τοιαύτη λυπεῖται πρὸϲ ἁπάν|των τῶν διεξερχομένων καὶ μάλιϲτα τῶν ἐχόντων τινὰ δῆξιν· λυπηθὲν δὲ τὸ ἔντερον, εἰ μὴ παραχρῆμα τὴν ἔκκριϲιν τῶν δακνόντων ποιήϲαιτο, πρὸϲ τὴν ἄνω χώραν ἀναπέμπει τὰ διεξερχόμενα. κατὰ τοῦτον οὖν τὸν λόγον καὶ ταῖϲ φύϲαιϲ οὕτω ϲυμβαίνει παλινδρομεῖν. φυϲικὴν γὰρ ἐνέργειαν ἔχει τὰ ἔντερα τὴν περιϲταλτικήν, ὡϲ ἐν τοῖϲ Περὶ τῶν φυϲικῶν δυνάμεων ὑπομνήμαϲι δέδεικται· ταχυτῆτοϲ δ᾽ ἔργον ἐϲτὶν ἀπωθεῖϲθαι τὰ περιεχόμενα πρὸϲ τῶν μερῶν ἐκείνων ἐν οἷϲ περιέχεται. ὅταν μὲν οὖν ἄνωθεν ἡ κίνηϲιϲ ἄρξηται, κάτω τὴν ἔκκριϲιν ἴϲχει τὰ περιεχόμενα· κάτωθεν δ᾽ ἀρξαμένηϲ αὐτῆϲ ἄνω φέρεται. καὶ τοῦτό γε ϲαφῶϲ φαίνεται κἀν τῷ κατὰ φύϲιν ἔχειν ϲυμβαῖνον, ὅταν ὑπιούϲηϲ ἀθρόωϲ ποτὲ χολῆϲ εἰϲ τὰ κάτω τῶν ἐντέρων ἐπίϲχωμεν τὴν ἔκκριϲιν ἢ τῷ παρεῖναι τοιαύτην πρᾶξιν, ἣν μὴ διακόπτειν δυνατόν ἐϲτιν, ἢ τῷ μὴ παρεῖναι πληϲίον ἀπόπατον· ἐν γὰρ τοῖϲ τοιούτοιϲ καιροῖϲ ἀνατρεχούϲηϲ αἰϲθανόμεθα τῆϲ χολῆϲ οὕτωϲ
688 ὡϲ μηκέτ᾽ ἐκκριθῆναι. τινὲϲ μὲν | οὖν ἐπὶ τῇ τοιαύτῃ τῆϲ χολῆϲ ἀναδρομῇ τὸν ϲτόμαχον ἴϲχουϲι κακῶϲ, ἔνιοι δὲ πληροῦνταί τε καὶ δακνωδῶϲ ἀλγοῦϲι τὴν κεφαλήν, ἔνιοι δ᾽ ἀμφότερα πάϲχουϲιν. οὕτωϲ οὖν καὶ ἡ ξυϲματώδηϲ ἐν τοῖϲ ἐντέροιϲ διάθεϲιϲ ἐνίοτε μὲν τὴν ἔκκριϲιν εἰϲ τὸ κάτωθεν ἐργάζεται ταχέωϲ, οὐχ ὑπομένουϲα τὴν τῶν παϲχόντων ἀνίαν, ἐνίοτε δὲ κάτωθεν πρὸϲ τὴν ἄνω χώραν, ὅταν μὴ παραχρῆμα τὸ διεξερχόμενον ἐκπέϲῃ διὰ τῆϲ ἕδραϲ, ἀλλ᾽ ὁ κατ᾽ αὐτὴν μῦϲ ὁ κυκλοτερὴϲ ϲυϲταλεὶϲ καὶ ϲφίγξαϲ τὸ πέραϲ τοῦ ἀπευθυϲμένου τὴν ἀρχὴν τῆϲ περιϲταλτικῆϲ κινήϲεωϲ ἐκ τῶν κάτω μερῶν ἄνω ποιήϲηται. διὰ τοῦτο μὲν οὖν οὐ φῦϲα μόνον, ἀλλὰ καὶ περίττωμα κατὰ τὰϲ τοιαύταϲ

12 ἐν τοῖϲ Περὶ τῶν φυϲικῶν δυνάμεων] *III 8 (II 168 sq. K. Script. min. III 223 sqq.)*

1 ἔτι δ᾽ S καὶ *om.* AP φαῦλον A τοῦτο] αὐτὸ V: τοῦ M 2 φύϲιϲ PV: *corr.* P¹: φύϲαϲ *Hipp. cod. A, quod commentario confirmari videtur; cf. v. 10* 3 παλινδρομεῖν M: παλινδρομέειν *cett.* ποιεῖ A: ποιέει *cett.* ἄλλοιϲ R: ἄλλωϲ R¹ *in mrg.* γυεῖ A: *om.* PV: *add.* P¹ 4 ἀκρωτήρια *codd.*: τὰ ἀκρωτήρια *ex Hipp. Cornarius et Chartier* 5 τὰϲ *om.* S 6 τιϲ *om.* V τίϲ ἐϲτιν ἐπιπ. *colloc.* A 10 *post* ταῖϲ *add.* τούτου CR οὕτω(ϲ) AM: τοῦτο CRS: ἄνω *edd.* 11 γὰρ *om.* S 12 ὡϲ] καὶ M τῶν περὶ S: τῶν *om.* CR 13 ἀποδέδεικται A ἀπωθῆναι *(sic)* M 15 ἄρχηται V: ἀρξαμένη M κάτω] κάτωθεν S: κατὰ M: κατὰ δὲ CR ἴϲχῃ A: ἴϲχεται CR: ἴϲχηται M 16 ἄνω φ.] ἀναφέρεται M καὶ ... φαίνεται *om.* S 17 ϲυμβαίνειν V ποτὲ ἀθρ. AS 19 δ. ἐϲτιν] δύναται CR 20 τῆϲ] ποτε M 21 τῇ *om.* M: τῇ τῆϲ τοιαύτηϲ A 22 πληροῦνται MS: ϲυμπληροῦνται ACRV 23. 24 οὕτωϲ ἐν τοῖϲ ἐντ. ἡ ξ. διάθεϲιϲ *colloc.* A 24 καὶ ἡ M: ἡ καὶ S: εἰ καὶ CR 24. 25 εἰϲ τὰ AS 26 ἄνω M: ἄνωθι S: ἄνωθεν *cett.* 27 κυκλοτερῶϲ V: κυκλοτερὴϲ *cett.; cf. Gal. II 587* 28 τοῦ] αὐτοῦ R: αὐτοῦ τοῦ C

διαθέσεις παλινδρομεῖ. συμβαίνει δὲ καὶ τὴν δύναμιν βλάπτεσθαι διὰ τὴν ἑπομένην δῆξιν ἐν τῇ διόδῳ· τὰ γὰρ ξυόμενα, κἂν βραχυτάτην ἔχῃ τὸ διεξερχόμενον δῆξιν, ἀνιᾶται σφοδρῶς· ἴσμεν δ᾿, ὅτι πᾶν ἄλγημα καταλυτικόν ἐστι δυνάμεως καὶ διὰ τοῦτο καὶ τῶν ἀκρωτηρίων ψυκτικόν.

III 34 [I 16. II 354, 5 L.] Ταύτην καὶ οἶδα μούνην βλάβην τὴν δι᾿ ὀξυμέλιτος γινομένην, ἥτις καὶ ἀξίη γρα|φῆς. **689**

Ἐδίδαξεν ὁ λόγος ὀλίγον ἔμπροσθεν ἁπάσας τὰς ἐκ μελικράτου καὶ οἴνου καὶ ὕδατος βλάβας ἐκπεφευγὸς τὸ μετρίως κεκραμένον ὀξύμελι· μόνον οὖν, ὅταν βλάπτῃ τοῦτο, βλάπτει τῷ ξύειν τὸ ἔντερον· ἐργάζεται δὲ τοῦτο ποτὲ τοῖς ἀσθενέστερον ἔχουσι φύσει καὶ παθεῖν ἐπιτήδειον τὸ ἔντερον.

III 35 [I 16. II 354, 6 L.] Ὀλίγον δὲ τὸ τοιόνδε ποτὸν νυκτὸς μὲν καὶ νήστει πρὸ ῥοφήματος ἐπιτήδειον προπίνεσθαι· ἀτὰρ καὶ ὁκόταν πολὺ μετὰ ῥόφημα ᾖ, οὐδὲν κωλύει πίνειν.

Τὴν δύναμιν ἣν ἔχει διελθὼν ἐπὶ τὸν τοῦ καιροῦ λόγον νῦν ἀφίκετο, ἐν ᾧ μάλιστ᾿ ἄν τις αὐτὸ προσφέροιτο τῶν ἐπὶ ῥοφήμασι διαιτωμένων· ἐφεξῆς δ᾿ εἰ καὶ μὴ ῥοφήμασιν, ἀλλ᾿ ἐπὶ τῷ ποτῷ μόνῳ διαιτώμενός τις εἴη, καὶ τὸν ἐπ᾿ ἐκείνοις καιρὸν | διδάσκει. **690**
φησὶν οὖν ἐπὶ τῶν ῥοφήμασι χρωμένων ἐκεῖνον μόνον φυλάττεσθαι δεῖν τὸν καιρόν, ἐν ᾧ τὰ ῥοφήματα προσφέρονται. πτισάνης δὲ δηλονότι χυλός ἐστι τὸ ῥόφημα χάριν τοῦ θρέψαι τὸ σῶμα καὶ τὴν δύναμιν ῥῶσαι λαμβανόμενος· ἔστι δὲ ἐς ταῦτα καλός, εἰ μόνος ἐν τῇ γαστρὶ περιέχοιτο κατὰ τὸν τῆς θρέψεως καιρόν· ἔμαθες γὰρ ἔμπροσθεν, ὡς ἡ ποικιλία τῶν προσφερομένων, καὶ μάλισθ᾿ ὅταν ἀνόμοια ταῖς δυνάμεσιν ᾖ, ταραχὴν ἐργάζεται κατὰ τὴν γαστέρα. καὶ διὰ τοῦτ᾿

8 ἔμπροσθεν] *p. 243, 22 sqq.* ἁπάσας . . . ἔντερον *(12)*] *exc. Orib. V 24, 5 (I 393 Daremb.)* 24 ἔμπροσθεν] *p. 138, 24. 139, 4 sqq.*

1 *a verbis* καὶ τὴν δύναμιν *rursus incipit* T τὴν *om.* M 3 ἔχῃ AST: ἔχει CMRV: ἴσχει *Aldus* πᾶν] τὸ μὲν AT 4 τῶν *om.* M ἀκροτήτων CR 6 καὶ *om.* S μούνην *om.* S: βλάβην μούνην *colloc.* A 7 γραφῆς ἐστιν AS 8 τὰς *om.* ST 9 βλάβας M¹: μεταβολὰς M ἐστι *supra* ἐκπεφευγὸς *add.* A¹ 10 τοῦτο βλάπτει *om.* CR 11 δὲ *om.* S ἀσθενέστερον ACMST: ἀσθενεστέραν RV φύσει AS: φύσεως CMR: φύσιν TV 14 νήστιν ST: νήστι R προπίνεσθαι *Hipp.*: πίνεσθαι CRSV: πίνειν A: πιεῖν MT 15 πολὺ] τὸ διάστημα τοῦ καιροῦ ἢ πολὺ AS μετὰ *om.* A: *add.* A¹ ῥόφημα *Hipp.*: ῥοφήματος *codd.* ᾖ V: ἦν A: *om. cett.* 16. 17 νῦν ἀφίκετο *om.* S: *post* προσφέροιτο *colloc. cett.*: *transp. Diels* 17 αὐτὸ προσφέροιτο] ὀξυμέλιτι χρῷτο S *post* ἀφίκετο *add.* πότε μάλιστ᾿ ἄν τις ὀξυμέλιτι χρῷτο ATV: *del.* A¹: *om.* CMRS 18 μὴ καὶ M ποτῷ *om.* S μόνῳ ACRS: μόνον MV 19 τις *om.* M 20 τῶν *om.* A ῥοφήμασι ARSV: ῥοφημάτων M χρωμένων] διαιτωμένων A φυλάσσ. ACMRST 21 δεῖ ST τὰ ῥοφήματα A: τῷ ῥοφήματι M: ῥόφηματι CRST προσφέρονται ACMR: προσφέρεσθαι ST: δεῖ προσφέρεσθαι *edd.* 22 τὸ ῥόφημα ACMR: τὸ *om.* ST 23 ἐς *om.* CR εἰ μὴ μόνος CMR 26 ᾖ *scripsi*: εἴη *codd.*

οὖν ἄχρι τοῦ πεφθῆναι τὸν χυλὸν οὐ χρὴ πίνειν ὀξύμελι· πεφθέντος δ᾽ ἔξεστι καὶ διὰ τῆς νυκτὸς λαμβάνειν καὶ κατὰ τὴν ἐπιοῦσαν ἡμέραν πρὸ τοῦ ῥοφήματος· ἀρκεῖ δὲ τὸν μεταξὺ χρόνον τοῦ ῥοφήματος καὶ τοῦ ὀξυμέλιτος ⟨εἶναι τοσοῦτον⟩, ὥστ᾽ εἰς κενήν τε ἅμα καὶ καθαρὰν ἐκ τοῦ προδιεσμῆχθαι τὴν γαστέρα τὸν χυλὸν τῆς πτισάνης ἐμπεσεῖν.

III 36 [I 16. II 354, 9 L.] Τοῖσι δὲ ποτῷ μοῦνον διαιτωμένοισιν ἄνευ ῥοφημάτων διὰ τόδε οὐκ ἐπιτήδειόν ἐστιν αἰεὶ
691 μούνῳ διὰ παντὸς | χρέεσθαι τούτῳ· μάλιστα μὲν διὰ ξύσιν
καὶ τρηχυσμὸν τοῦ ἐντέρου (ἀκόπρῳ γὰρ ἐόντι μᾶλλον ἂν ἐμποιοίη ταῦτα κενεαγγείης παρεούσης), ἔπειτα δὲ καὶ τὸ μελίκρητον τῆς ἰσχύος ἀφαιρέοιτ᾽ ἄν.

Τοῖς ἐπὶ πόματος μόνου διαιτωμένοις ἄνευ πτισάνης οὐκ ἐπιτήδειόν ἐστι τὸ ὀξύμελι δι᾽ ὅλης τῆς νόσου πινόμενον, ὅτι τε σφοδρότερον ξύει τὸ ἔντερον γυμνὸν ὂν (ἐπαλείφεται γάρ πως ὑπὸ τῆς πτισάνης, ὅταν ἐκείνης ῥοφήσωσι) καὶ ὅτι τῆς ἐκ μελικράτου ὠφελείας οὐδ᾽ ὅλως μεταλαμβάνει τὸ σῶμα. προείρηκε δὲ ἐν τῷ περὶ μελικράτου λόγῳ τὴν γινομένην ἐξ αὐτοῦ τοῖς σώμασιν ὠφέλειαν.

III 37 [I 16. II 356, 4 L.] Ἢν μέντοι ἀρήγειν φαίνηται πρὸς τὴν ξύμπασαν νοῦσον πολλῷ ποτῷ τούτῳ χρέεσθαι, ὀλίγον χρὴ τὸ ὄξος παραχέειν, ὅσον μοῦνον γινώσκεσθαι· οὕτω γὰρ
692 ἂν καὶ ἃ φι|λέει βλάπτειν, ἥκιστα ἂν βλάπτοι, καὶ ἃ δεῖται
ὠφελείης, προσωφελοίη ἄν.

Ὅταν διψώδεις μὲν ἐργάζηται τὸ μελίκρατον, ἤτοι δὲ γλίσχρα πτύελα περιέχηται κατὰ τὰ βρόγχια τοῦ πνεύμονος ἢ λίαν παχέα, τηνικαῦτα μόνου τοῦ ὀξυμέλιτός ἐστι χρεία, μεμνημένων ἡμῶν, ὅτι ταῦτα λέλεκται περὶ τῶν ποτῷ μόνῳ χρωμένων ἄνευ ῥοφήματος. ἐὰν οὖν, ὡς ἔφην, ὀξυμέλιτος ᾖ χρεία, παραχέειν αὐτοῦ τοῦ ὄξους ὀλίγον

16 προείρηκε] *p. 230, 13 sqq.* 26 λέλεκται] *p. 232, 3 sqq.*

1 τοῦ πεφθ. ACRT: τοῦ πεμφθ. MS: τοῦ *om. edd.* 2 τῆς *om.* MV 3 ἀρκεῖ . . . ῥοφήματος *om.* S 4 εἶναι τοσοῦτον *addidi* τε *om.* S 5 προδιεσμῆχθαι AMS: προδιεσβῆχθαι CR: προδιασμήχεσθαι V 6 μοῦνον C: μόνῳ A: μούνω *cett.* διαιτωμένοις CR 7 ῥοφήματος M αἰεὶ CT: ἀεὶ *cett.* 8 μούνω S: καὶ AR: *om.* CMT διὰ παντὸς *delendum videtur; cf. quae Littraeus ad hunc locum p. 355 adnotavit* 9 καὶ] ἢ V: *om.* M 10 ἐμποιέει MS: ἐμποιέη *cett.*: *corr. Kühlewein* ταῦτα καὶ A: καὶ ταῦτα *Chartier* κενεαγγίης TV περαιούσης M 11 ἀφαιροῖτ᾽ CR 13 τὸ RV: *om. cett.* τῆς *om.* MSTV 14 πως *om.* M 15 ῥοφήσουσι *edd.* ὅτι ACMRS: ὅταν V ἐκ *om.* AST τοῦ μελ. AM 16 μεταλαμβάνει CMRS: μεταλάβη AV ἐν τῶ λόγω τῶ μελικράτω M περὶ *add.* A¹S¹ 17 γενομένην S τοῦ σώματος M 18 ἢν M: εἰ AST: ἓν CR φαίνεται S 19 τούτῳ *om.* S 20 περιχέειν M: παρέχειν RS 21 ἃ φιλέει (φιλέη A) AS: ὠφελέει CMRV βλάπτειν] καὶ βλάπτον (ων) CMRTV βλάπτοι] βλάπτη καὶ βλάπτον ἥκιστα ἂν βλάπτη *(repet.)* S δεῖ S 22 ὠφελείης CMRSV: ὠφελέειν A: *om. Aldus* προσωφελέοι A 24 βρογχία ACM 25 χρεία A: ἡ χρ. *cett.* ὅτι] ἐπὶ M 26 οὖν *om.* M 27 αὐτῶ ACRST: γρ. καὶ αὐτοῦ A¹: αὐτοῖς M

τῷ μελικράτῳ προςήκει χάριν τοῦ καὶ τῆς χρείας ἀπολαύειν τοῦ ὄξους καὶ φεύγειν τὴν ἐξ αὐτοῦ βλάβην. συνεψεῖν δὲ δηλονότι προςήκει τῷ μελικράτῳ τὸ ὄξος· ἀςθενέςτερον γὰρ οὕτως εἰς τὸ βλάπτειν γίνεται.

III 38 [I 16. II 356, 8 L.] Ἐν κεφαλαίῳ δὲ εἰρῆςθαι αἱ ἀπὸ ὄξεος ὀξύτητες πικροχόλοιςι μᾶλλον ἢ μελαγχολικοῖςι ξυμφέρουςι. τὰ μὲν γὰρ πικρὰ διαλύεται καὶ ἐκφλεγματοῦται μετεωριζόμενα ὑπ᾿ αὐ|τέου, τὰ δὲ μέλανα ζυμοῦται καὶ μετ- 693
εωρίζεται καὶ πολλαπλαςιοῦται· ἀναγωγὸν γὰρ μελάνων ὄξος.

Πικροχόλους φύςεις ὀνομάζει τὰς τὸν πικρὸν γεννώςας χυμόν, οἷόςπερ ἐςτὶν ὁ τῆς ξανθῆς χολῆς, αἷς ἐπιτήδειον εἶναί φηςι τὸ ὄξος, ἐναντιώτατον ὑπάρχον ταῖς μελαγχολικαῖς, διότι καὶ τὴν μέλαιναν χολὴν αὐτὴν ὀξεῖαν εἶναι ςυμβέβηκεν, ὅταν γ᾿ ἤδη κατακορὴς ᾖ παρὰ φύςιν ἔχοντος τοῦ ςώματος· ὡς ὑγιαίνοντός γε πληςίον μέν ἐςτι τῆς εἰρημένης ποιότητος, οὐ μὴν ἀκριβῆ γε αὐτὴν ἔχει. τὰ δ᾿ ἄλλα τῆς ῥήςεως ςαφῆ· διδάςκει γὰρ ἐν αὐτῇ, ὅπως ὠφελεῖ τὸ ὄξος τοὺς πικροχόλους ἐπικρατουμένους ἐν τῇ κράςει τῷ θερμῷ ψυχρὸν ὑπάρχον αὐτό.

III 39 [I 16. II 358, 5 L.] Γυναιξὶ δὲ τὸ ἐπίπαν πολεμιώτερον ἢ ἀνδράςιν ὄξος· ὑςτεραλγὲς γάρ ἐςτιν. |

Ὅτι μὲν τὸ ὄξος τὰ νεῦρα βλάπτειν πέφυκεν, ἥ τε πεῖρα μαρτυρεῖ 694
καὶ ὁ λόγος δείκνυςιν· ἄναιμα γὰρ ὄντα καὶ διὰ τοῦτο ψυχρὰ πάςχει ῥᾳδίως ὑπὸ τοῦ ψύχοντός τε ἅμα καὶ λεπτομεροῦς φαρμάκου. βλάπτεται μὲν γὰρ καὶ ὑπὸ τῶν ἄλλων ἁπάντων τῶν ψυχόντων, ἀλλὰ τὸ τῆς τοῦ ὄξους οὐςίας λεπτομερὲς εἰς τὸ βάθος αὐτῶν διαδύεται καὶ διεξέρχεται διὰ παντὸς μέρους, ὡς μηδὲν μηδὲ τοὐλάχιςτον ἀβλαβὲς ἐᾶν. οὕτω μὲν ὄξος τὰ νευρώδη μόρια βλάπτει.

τὴν μήτραν δ᾿ ἅπαντες ςχεδὸν οἱ ἀνατομικοὶ λέγουςιν εἶναι νευρώδη· καὶ χωρὶς δὲ τῆς ἐκείνων ἀποφάςεως, ἣν ἐκ τῆς ἀνατομικῆς αὐτοψίας ἐποιήςαντο, πάρεςτί ςοι ςυλλογίςαςθαι περὶ αὐτῆς, ὡς ἐπὶ

5 πικροχόλοιςι] *cf. Gal. XI 438 K.* 19 τὰ νεῦρα βλάπτειν] *cf. Gal. XVIII B 467* 21 ψύχοντος] *cf. Gal. XII 90* λεπτομεροῦς] *cf. Gal. XI 425 sqq.*

1 τῆς *codd.*: *om. ab Aldo edd.* 2 *post* προςήκει *add.* μιγνυμένων V: μιγνύμενον *edd.* 4 δεῖ εἰρ. T: δὲ δεῖ εἰρ. ARSV: δὲ διαιρεῖςθαι CR αἱ] ὡς εἰ S 5 ὄξεος M: ὄξους CR: ὀξέος *cett.* ςυμφ. V 6 φλεγματοῦται V 7 αὐτοῦ T *post* ζυμοῦται *add.* καὶ ἀναλύεται S 10 οἷόςπερ CR: ὥςπερ S: ὅςπερ *cett.* 11 τοῖς μελαγχολικοῖς A 11. 12 αὐτὴν χολὴν *colloc.* AST 12 γ᾿] δ᾿ S κατακορὴς ACMR: κατάκορος STV 13 ὡς] ὃς V πληςίον AMS: πλεῖον CRT 16 τοῦ θερμοῦ A: τὸ θερμὸν A^{1}: τῶν θερμῶν M αὐτῷ S 17 τὸ ἐπίπαν *post* πολ. *transp.* M πολεμιώτερον S: πολεμιώτατον *cett.* 19 μὲν γὰρ M 21 ἀπὸ CR 22 καὶ *om.* AM τὸ *om.* A: *ante* λεπτ. *transp.* A^{1} 23 τῆς *ante* οὐςίας *transp.* CR αὐτοῦ A διαδύεται A^{1}M: δύεται CRSTV 24 μηδὲ τούτου τοὐλ. CR τὸ ἐλαχ. M 25 μὲν οὖν AM βλάπτει] πάςχει M 26 οἱ *om.* CR νευρ. εἶναι A 28 *post* αὐτοψίας *add.* ςοι M *post* ςοι *add.* λοιπὸν S ὡς *om.* V

πλεῖστον μὲν διαστελλομένης, εἰς ἐλάχιστον δὲ συνιζανούσης· ἀεὶ γὰρ ὁπηλίκον ἂν ᾖ τὸ ἔμβρυον, ἐν κύκλῳ περιείληφεν αὐτό, καὶ πεπλήρωται τὸ πᾶν κύτος ὑπ᾿ ἐκείνου, κἂν μικρὸν ᾖ, καθάπερ καὶ ἡ γαστὴρ ὑπὸ τῶν σιτίων· ἀλλὰ ταύτης μὲν οὐ μεγάλη πρὸς τἀναντία ἡ μετα-
695 βολή, τῆς μήτρας δὲ μέγισται· τὸ δ᾿ ἐπὶ πλεῖ|στον διαστέλλεσθαι νευρωδῶν ἴδιόν ἐστι σωμάτων, οὐ σαρκωδῶν.

III 40 [I 17. II 358, 7 L.] Ὕδατι δὲ ποτῷ ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἄλλο μὲν οὐδὲν ἔχω ἔργον ὅ τι προσθέω. οὔτε γὰρ βηχὸς παρηγορικόν ἐστιν ἐν τοῖσι περιπνευμονικοῖσιν οὔτε πτυέλου ἀναγωγόν, ἀλλ᾿ ἧσσον τῶν ἄλλων, εἴ τις διὰ παντὸς ὕδατι ποτῷ χρέοιτο· μεσηγὺ μέντοι ὀξυμέλιτος καὶ μελικρήτου ὕδωρ ἐπιρροφεόμενον ὀλίγον πτυάλου ἀναγωγόν ἐστι διὰ τὴν μεταβολὴν τῆς ποιότητος τῶν ποτῶν· πλημμυρίδα γάρ τινα ἐμποιέει. ἄλλως δὲ οὐδὲ δίψαν παύει, ἀλλ᾿ ἐπιπικραίνει· χολῶδες γὰρ φύσει χολώδει καὶ ὑποχονδρίῳ κακὸν καὶ κάκιστον ἑωυτοῦ καὶ χολωδέστατον καὶ φιλαδυναμώτατον, ὅταν ἐς κενεότητα ἐσέλθῃ. καὶ σπληνὸς δὲ αὐξητικὸν καὶ ἥπατός ἐστιν, ὁκόταν πεπυρωμένον ᾖ, καὶ ἐγκλυδαστικόν τε καὶ ἐπιπολαστικόν· βραδύπορόν τε γὰρ διὰ τὸ ὑπόψυχρον καὶ |
696 ἄπεπτον εἶναι, καὶ οὔτε διαχωρητικὸν οὔτε διουρητικόν. προσβλάπτει δέ τι καὶ διὰ τόδε, ὅτι ἄκοπρόν ἐστι φύσει. ἢν δὲ δὴ καὶ ποδῶν ψυχρῶν ἐόντων ποτὲ ποθῇ, πάντα ταῦτα πολλαπλασίως βλάπτει, ἐς ὅ τι ἂν αὐτέων ὁρμήσῃ.

Οὔτε τμητικὸν ἔχει τι τὸ ὕδωρ, ὥσπερ τὸ ὄξος, ἀλλ᾿ οὔτε θερμὸν ὥσπερ τὸ μέλι (τούτῳ μέν γε πρὸς τῷ θερμαίνειν ἔτι καὶ τὸ ῥύπτειν καὶ τέμνειν ὑπάρχει)· βραδύπορον οὖν εἰκότως ἐστὶ καὶ δύσπεπτον καὶ δυσυποβίβαστον ἅπαν ὕδωρ, κἂν ἄλλως ἄριστόν τε καὶ ἄμεμπτον ᾖ· τὸ γὰρ ἰλυῶδες ἢ δυσῶδες ἢ ἁλυκὸν ἤ τινος ἑτέρας φαρμακώδους ποιότητος ἔμφασιν ἔχον οὐχ ἁπλῶς ὕδωρ ἐστίν, ἀλλὰ μετὰ τοιοῦδέ

14 ἄλλως ... ἐσέλθῃ *(17)*] *affert Gal. XVIII B 608 K.* 24 Οὔτε τμητικὸν ... ἄριστον ᾖ *(27)*] *exc. Orib. V 1, 16 (I 312 sq. Daremb.)*

1 ἐκ πλείστου CRST μὲν διαστ. *om.* CRST εἰς ἐλάχιστον δὲ] ἐκ πλείονος δὲ εἰς ἐλάχ. M δὲ *om.* CRST 2 ᾖ *scripsi*: εἴη *codd.* 3 ὑπ᾿] ἐπ᾿ M 4 ὑπὸ] ἀπὸ M 6 σωμάτων ἐστὶν ἴδ. A ἐστι *om.* M 7 περὶ ὕδατος πόσεως *praescr.* S *et in mrg. appos.* A[1] 9 παρηγορητικόν AMST περιπνευμονικοῖσιν AMSV: πλευριτικοῖσιν CR: πλευριτικοῖσι καὶ περιπν. *Chartier* 11 χρέοιτο] χρώμενος A μεσηγὺ CRS: μεσσηγὺ A: μεσηγγῆ *(sic)* M 12 ἐπιφερόμενον S πτυάλων M: πτυέλου *cett.* 14 δὲ] τε δὲ S: τε M 15 χολῶδες A: χολώδει S: χολώδεσι A[1] γὰρ] μὲν γὰρ A χολώδει *om.* MSTV 16 καὶ κάκιστον] κάκιστον δὲ *Gal. l. l.* 17 εἰς MS κενεότητα AR[1]: κενεώτατον (α) MRSV ἔλθῃ S: εἰσέλθοι AM: ἐπέλθῃ V 18 ἐστιν *post* αὐξητ. *transp.* M πεπυρωμένα, *superscr.* ω *super* υ S τε *om.* S 19 γάρ ἐστι *a Basil. edd.* 21 ἢν] εἰ AST 22 δὴ *om.* ASTV ψυχρῶν ποδῶν V ποθῇ ποτε M: π. ποθείη V ταῦτα π. AST 23 τι *om.* C 24 ἀλλ᾿ *om.* S 25 θ. τε καὶ τεμν. ἔτι καὶ τὸ ῥ. ὑ. A 26 τὸ τέμνειν S 27 ἅπαν ὕδωρ AMT: ἅπαν τὸ ὕδωρ CRS 28 ἢ *(primum)*] καὶ A 29 τοῦ τοιοῦδε M

τινος ἐπιμιξίας φαρμάκου, καθάπερ καὶ εἰ μέλι μοχθηρὸν ἢ πτισάνην ἢ ὄξος ἢ οἶνον ἤ τι τοιοῦτον προχειρίσαιο· μέμψῃ γὰρ οὐχ ὅλον ἐπ᾽ ἐκείνου τὸ γένος, ἀλλ᾽ αὐτὸ μόνον, ὃ μεταχειρίζῃ.

τοῦ λόγου τοίνυν ὄντος ἐφ᾽ | ἑκάστου τῶν κρινομένων ὑπ᾽ αὐτοῦ 697 περὶ τῶν ἀρίστων, οὕτω καὶ νῦν ἄκουε, πρὸς τὸ κάλλιστον ὕδωρ ἕκαστον τῶν λεγομένων ἀναφέρων, ὃ καθαρώτατόν ἐστι καὶ πάσης ἀλλοτρίας ἄμικτον ποιότητος· τοῦτ᾽ οὖν αὐτό, κἂν ἄριστον ᾖ, κατὰ τὴν γαστέρα μένει πολλῷ χρόνῳ κλύδωνας αὐτῇ τοὐπίπαν ἐργαζόμενον, ὡς, ὅταν γε ᾖ χολώδης ἐκείνη, συνδιαφθείρεται καὶ αὐτό. κἀπειδὰν ὑπέλθῃ μόλις ἐκ τῆς κοιλίας εἰς τὴν νῆστιν, οὐκ ἀναδίδοται ῥᾳδίως, οὔτ᾽ εἰς ἧπαρ οὔτε πολὺ μᾶλλον εἰς νεφροὺς καὶ θώρακα καὶ πνεύμονα· διόπερ οὔτ᾽ οὖρα κινεῖν πέφυκεν οὔτε πτύελον ἀνάγειν, ἀλλ᾽ οὐδὲ τὰς δι᾽ ὅλου τοῦ σώματος ἐργάζεσθαι διαπνοάς· λεπτομεροῦς γὰρ οὐσίας ἔργον ἐστὶ τοῦτο καὶ θερμῆς, οὐ ψυχρᾶς καὶ παχυμεροῦς. οὐ μὴν οὐδὲ δίψος παύει, μένον ἐπὶ πλεῖστον ἐν ταῖς εὐρυχωρίαις τῶν κατὰ γαστέρα καὶ ἔντερον ὀργάνων τοῦ ζῴου καὶ μὴ διαδυόμενον εἰς ὅλον τὸ βάθος αὐτῶν μηδ᾽ ἐπιτέγγον τὸν αὐχμόν. ὅτι δ᾽ οὐδὲ τρέφει, πρόσθεν εἴρηται· διὰ τοῦτ᾽ οὖν οὐδὲ τὴν ζωτικὴν δύναμιν οἷόν τ᾽ ἐστὶ ῥωννύναι. καὶ ταῦτ᾽ ἐστὶ τὰ αἴτια, δι᾽ ἃ πρός τε με|λίκρατον Ἱππο- 698 κράτης ἀφικνεῖται καὶ ὀξύμελι καὶ οἶνον ἐπὶ τῶν νοσούντων ἀποχωρῶν τοῦ ὕδατος. ὅσον μὲν οὖν ἐπὶ τούτοις, οὐδέποτ᾽ ἄν τις αὐτῷ χρήσαιτο.

χρῶνται δὲ καὶ οἱ ἄλλοι μὲν ἰατροὶ καὶ μέντοι καὶ αὐτὸς ὁ Ἱπποκράτης, ἀλλ᾽ ἧττον μὲν οὗτος, οἱ δ᾽ ἄλλοι μᾶλλον. ἐκ γὰρ τοῦ χρῆσθαι τοῖς ἄλλοις κακῶς σφαλλόμενοι καταφεύγουσιν ἐπὶ τὸ ὕδωρ οὐκ ἔχον μεγάλην ἀποτυχίαν, ὅτι μηδὲ τὴν δύναμιν· οὕτω γὰρ ὁ Ἐρασίστρατος ἔλεγεν· "ἰσχυραὶ δυνάμεις σίτων τε καὶ πομάτων ἐγκαίρως μὲν παραλαμβανόμεναι μεγίστην ὠφέλειαν ἔχουσιν, ἀκαίρως δὲ μεγίστην βλάβην." ἣν δέ φημι μοχθηρὰν εἶναι χρῆσιν ὀξυμέλιτός τε καὶ μελικράτου καὶ οἴνου, γίνεται μὲν διὰ τὰς ἀθρόας μεταβολάς, ὡς αὐτὸς ἐδίδαξε, γίνεται δὲ καὶ διὰ τὴν μίξιν ἄκρατον ὑπὸ τῶν ἰατρῶν γινομένην ὡς τὸ πολύ.

7 κατὰ τὴν . . . πτύελον ἀνάγειν *(12)*] *exc. Orib. V 1, 16 (I 313 Daremb.)* 14 οὐ μὴν . . . χρήσαιτο *(22)*] *exc. Orib. l. l. 17—19* 18 πρόσθεν εἴρηται] *p. 237, 28 sqq.* 25 σφαλλόμενοι . . . τὴν δύναμιν *(26)*] *exc. Orib. l. l. 19 (I 314)* 29 μοχθηρὰν . . . τὸ πολύ *(31)*] *exc. Orib. l. c.* 30 ἐδίδαξε] *p. 179 sqq.*

2 προχειρίσοιο AMST μέμψει M ἐπ᾽] ἀπ᾽ S 3 μεταχειρίζει MT 4 ὑπ᾽ . . . λεγομένων *(6) om.* M 6 ἀλλότριόν τε καὶ ἄμ. A 7 αὐτὸ *om.* AST 9 καπειδὴ M 10 ὑπέλθοι AR 12 πτύελα M 13 ἐργάζεσθαι *codd.*: ἐργάζεται *edd* 14 καὶ τοῦτο M 15 οὐδὲ] οὐ S 16 τὴν γαστέρα T ἔντερον ACMST: ἔντερα RV καὶ *(alt.) om.* A 17 δ᾽ οὐδὲ CMRST: δ᾽ οὐ A 18 (τοι *add.* V[1]) τοῦτο οὖν *codd.*: τοι τοῦτο *edd.* 19 ἱπποκράτους MR 23 οἱ ἄλλοι μὲν AMT: οἱ μὲν ἄλλοι S: οἱ *om.* CRV ὁ αὐτὸς M ὁ *om.* S 25 σφαλλομένοις A *ante corr.* 26 γὰρ CMR: γὰρ καὶ AST 27 σίτων ACRST: σιτίων M παραβαλλόμεναι M: παραλαμβανόμενα V: *an* παραλαμβανομένων? 28 ἔχουσιν *om.* V 29 χρῆσιν] χρὴ φύσιν AS *a* μελι[κράτου *vocabulo deficit* T *usque ad* εἰς *p. 254, 29* 30 μὲν A: μὲν καὶ *cett.* 31 γενομένη M

διδόντος οὖν ἐμοῦ πρεσβύτῃ νοσοῦντι καθ᾽ ἑκάστην ἡμέραν οἴνου ὑδατώδους, παραγινόμενός τις τῶν τοιούτων ἰατρῶν, εἶτ᾽ ἰδὼν ἐλά-
699 χιστον ἐπισταζόμενον αὐτοῦ τῷ ὕδατι γελάσας ἔφη μὴ πίνειν οἴ|νου τὸν ἄρρωστον, ἀλλ᾽ ὁρᾶν μόνον, οὐκ ἐννοῶν, ὅτι τὸ μὲν ἡδονῆς ἕνεκα τὸν οἶνον διδόναι ἑτέραν ἔχει συμμετρίαν τῆς πρὸς ὕδωρ αὐτοῦ μίξεως, τὸ δ᾽ ὠφελείας ἄλλην. ὥσπερ γὰρ ὁρμήν τινα πρὸς τὴν ἀνάδοσιν ἀφελκομένην τὸ ὕδωρ ἐπιμίγνυσθαι χρὴ τὸν οἶνον ἐλάχιστον παντελῶς, ὡς παῦσαι τὸ ὕδωρ αὐτὸ τοῦτο μόνον εἰλικρινὲς εἶναι, οὐχ ὥστε καὶ οἶνον αὐτὸ ποιῆσαι. οἱ πολλοὶ δὲ τῶν ὑγιαινόντων πίνουσιν οἶνον ὑδατωμένον, οὐ μὴν προσήκει τὸ ὕδωρ ἐπικρατεῖν κατὰ τὴν γεῦσιν, ἀλλὰ τὸν οἶνον· ἐπὶ δὲ τῶν νοσούντων ἔτι καὶ μᾶλλον, ὡς ἔμφασιν εἶναι τοῦ οἴνου βραχεῖαν.

οὕτω δὲ καὶ περὶ τοῦ ὀξυμέλιτος ὀλίγον αὐτὸς ἔμπροσθεν ἔλεγεν ἐπαινῶν τὸ ὑδαρές. καὶ μελικράτῳ δ᾽ ἄν τις ἀκινδυνότερον χρῷτο τῷ ὑδαρεῖ· τὸ γὰρ ἄκρατον, εἰ μὴ φθάσειεν ὑπαγαγεῖν τὴν γαστέρα, βλαβερώτατον γίνεται καὶ μάλιστ᾽ ἐν τοῖς πικροχόλοις τε καὶ μεγαλοσπλάγχνοις, ἐφ᾽ ὧν καὶ τὸ ὕδωρ ἐστὶ βλαβερόν, ὅταν ἐκχολωθῇ μεῖναν ἐπὶ πλέον ἐν τοῖς ὑποχονδρίοις· πρὸς γὰρ δὴ τούτοις ἅπασιν οἷς ἔχει
700 κακοῖς ἔτι καὶ ἄκοπρον ὂν οὐδ᾽ ὑπαγωγήν τινα | τῆς γαστρὸς ἐργάζεται. τὸ δ᾽ ἐν ἀρχαῖς τῶν παροξυσμῶν αὐτὸ πινόμενον βλάπτειν (ὅπερ ἐδήλωσε διὰ τοῦ φάναι· ἢν δὲ δὴ καὶ ποδῶν ἐόντων ψυχρῶν ποτε ποθῇ, ταῦτα πάντα πολλαπλασίως βλάπτει) τῶν γινωσκομένων τε πᾶσι καὶ ὁμολογουμένων ἐστί.

πότ᾽ οὖν χρήσιμόν ἐστιν ὕδωρ πινόμενον; ὅταν ἐπὶ μόνων ποτῶν ὁ κάμνων διαιτώμενος ᾖ μηδέπω χυλὸν πτισάνης λαμβάνων· τότε γὰρ μεταξὺ τῶν ἄλλων ποτῶν ὕδωρ ἄν τις ἐν καιρῷ προσφέροι, καὶ μάλισθ᾽ ὅταν ὁ κάμνων ᾖ διψώδης. πλημμυρίδα γάρ τινα ποιεῖν αὐτό φησι, τουτέστι πλῆθος ὑγροῦ τινος· διὸ καὶ μεταξὺ μελικράτου τε καὶ ὀξυμέλιτος δίδωσιν ὀλίγον εἰς ὑγρότητα τοῖς ἀναπτυσθησομένοις συντελέσον. ἀλλὰ κἀπειδὰν ὁ οἶνος ᾖ μεγάλως βλαβερός, καὶ τότε δίδωσιν ὕδατος· ἀκούσωμεν δ᾽ αὐτοῦ τοῦ Ἱπποκράτους, ὅπως ἀπεφήνατο περὶ τούτου.

6 ὥσπερ γὰρ . . . εἰλικρινὲς *(8)*] *exc. Orib. V 1, 19 (I 314 Daremb.)* 13 οὕτω δὲ . . . ὕδατος *(31)*] *exc. Orib. l. c. 19—21* ἔμπροσθεν] *p. 250, 18 sqq.*

3 αὐτῷ M 4 ἕνεκεν S 5 τὸ ὕδωρ M 6 γὰρ *om.* A ὁρμὴν] χεῖρα *Orib.* τὴν *om.* CR 7 ἀφελκομένην M, *Orib.*: ἐφελκ. *cett.* τὸν οἶνον χρὴ AM 8 ὡς παύσαιτο τὸ ὕδωρ ὂν εἰλικρινές *Orib.* εἶναι *om.* M; *sed cf. Plat. rep. III 416 C* 13 τοῦ *om.* V αὐτὸς *om.* S 14 ὑδαρῶδες S μελικρήτῳ AS τῷ] τε M: *om.* V 15 ἄκρητον AS ὑπάγειν M βλαβερώτατον *Orib.*: βλαβερώτερον *codd.* 16 μεγαλοσπλάγχνοισι A 18 πλεῖον M, *Orib.* 20 αὐτοῦ M πίνειν A 21 καὶ διὰ A δὴ καὶ ACRSV: δὴ *om.* M: δή ποτε καὶ *edd.* 22 πολλαπλάσιον M τε βλάπτει A 23 πᾶσι *om.* M 24 μόνων (μόνον R) ποτῶν *codd.*: μόνῳ ποτῷ *Orib., edd.* 25 μηδέποτε S 26 προσφέροιτο A 27. 28 φησὶν αὐτὸ ποιεῖν A 28 φασὶν M μελικρήτου AS 29 εἰς] καὶ S ὑγρότητα] *rursus incipit* T συντελέσον ACRS: συντελές MT: εὐπετὲς ὂν *Orib.* 31 τοῦ *om.* M

III 41 [I 17. II 360, 9 L.] Ὑποπτεύcαντι μέντοι ἐν ταύτηιcι τῆιcι νούcοιcιν ἢ καρηβαρίην ἰcχυρὴν ἢ φρενῶν ἄψιν, παντάπαcιν οἴνου ἀποcχε|τέον, ὕδατι δὲ ἐν τῷ τοιῷδε χρηcτέον ἢ 701 ὑδαρέα καὶ κιρρὸν παντελῶc δοτέον οἶνον καὶ ἄοcμον παντάπαcι καὶ μετὰ τὴν πόcιν αὐτοῦ ὕδωρ μεταποτέον ὀλίγον· οὕτω γὰρ ἂν ἧccον τὸ ἀπὸ τοῦ οἴνου μένοc ἅπτοιτο τῆc κεφαλῆc καὶ γνώμηc.

Ἅπτεcθαι φρενῶν λέγεται τηνικαῦτα, ὅταν ὁ κάμνων πυρέccων παραφρονῇ· καὶ νῦν οὖν φρενῶν ἄψιν ἔφη τὴν παραφροcύνην, ἐν ᾗ φεύγειν κελεύει τὸν οἶνον, ὡcαύτωc δὲ κἀν ταῖc ἰcχυραῖc κεφαλαλγίαιc· εἴρηται δὲ περὶ ἀμφοῖν πρόcθεν. ἀλλὰ νῦν γε προειπὼν παντάπαcιν ἀποcχετέον εἶναι τοῦ οἴνου κατὰ τὰ προειρημένα cυμπτώματά φηcιν ἐφεξῆc ὑδαρέα καὶ κιρρὸν παντελῶc δοτέον καὶ ἄοcμον. τὸ μὲν οὖν ὑδαρῆ καὶ ἄοcμον διδόναι καλῶc εἴρηται, τὸ δὲ κιρρὸν οὐ πάνυ προcίεμαι· βελτίων γὰρ ὁ ὑδατώδηc εἰc ταῦτα λευκὸc ὢν δηλονότι. τό γε μήν, ἡνίκα δοίημέν ποτε ἐπὶ τῶν οὕτωc ἐχόντων οἶνον, εὐθέωc ἐπιπίνειν ὕδωρ ἀcφαλῶc cυνεβούλευcεν· ἧccον γὰρ ἄν, φηcί, τὸ | ἀπὸ τοῦ οἴνου μένοc, ὅπερ ἔcτιν ἡ ἰcχύc, ἅπτοιτο 702 τῆc κεφαλῆc καὶ τῆc γνώμηc, ἅπτοιτο μὲν εἰπὼν κατὰ τὸ cύνηθεc αὐτῷ καὶ δηλώcαc, ὅτι καὶ τὴν ἄψιν τῶν φρενῶν ἀπὸ τούτου τοῦ ῥήματοc ἐποίηcε cυνηθεcτέρου τοῖc ἀνθρώποιc ὄντοc ἢ τὸ τῆc ἅψεωc ὄνομα. κεφαλῆc δὲ καὶ γνώμηc εἶπεν ἅπτεcθαι τὸν οἶνον, διότι θερμὸc ὢν αὐτόc τε διὰ ταχέων ἐπὶ τὴν κεφαλὴν ἀναφέρεται καὶ cυναναφέρει τοὺc ζέονταc ἐν τῷ cώματι χυμούc. ὅτι δὲ τὴν κεφαλὴν κακοῖ, διὰ τοῦτο καὶ τὴν γνώμην· ἐν ταύτῃ γάρ ἐcτι τὸ φρονοῦν καὶ λογιζόμενον μέροc τῆc ψυχῆc.

III 42 [I 17. II 362, 3 L.] Ἐν οἷcι δὲ μάλιcτα αὐτῷ ὕδατι ποτῷ χρηcτέον καὶ ὁκότε πολλῷ κάρτα καὶ ὅκου μετρίῳ καὶ ὅκου ψυχρῷ καὶ ὅκου θερμῷ, τὰ μέν που πρόcθεν εἴρηται, τὰ δ᾽ ἐν αὐτέοιcι τοῖcι καιροῖcι ῥηθήcεται.

8 ὅταν . . . παραφρονῇ *(9)*] *Orib. V 1, 21 (I 316 Daremb.)* 11 πρόcθεν] *p. 228, 20 sq. 223, 22 sqq.* 19 ἅπτοιτο] *cf. Gal. XV 194, 17. XVIII B 223* 25 ἐν ταύτῃ] *cf. Gal. X 636. XVI 93. XV 293. V 288 sq. 521. VI 73. VIII 159*

1 ὑποπτεύcαντεc R ἐν ταύτηιcι *om.* AST: *add.* A¹ 2 ἰcχυρὰν ACR 3 δὲ ποτῷ ἐν τῷ τοιούτῳ S τῷ *om.* AR 4 ὑδαρὲc M κιρρὸν] λευκὸν CMR 6 ἧττον A 7 τῆc γνώμηc A 8 ὅταν *om.* M 9 παραφρονεῖ M ἄψιν φρενῶν A 12 εἶναι *om.* A 13 ἑξῆc M κιρρὸν] λευκὸν CMR: γρ. κιρρὸν C¹ 14 οὖν *om.* AS 15 κιρρὸν] λευκὸν CR: γρ. κιρρὸν R¹ *in mrg.* εἰc] πρὸc A: ἐc ST ταῦτα πάντα M 17 οἶνον *ante* ἐπὶ *transp.* M: οἴνων ACRV ἐπιπίην C: ἐπιπίειν R 18 ἡ AST: *om.* CMR 19 γνώcεωc A εἰπὼν *om.* M 20 αὐτοῦ A 23 διὰ *om.* A ταχέωc A: διὰ ταχέοc S τὴν *om.* M 27 αὐτῷ ACMRT: αὐτέῳ S: αὐτῶν *a Basil. edd.* ὕδατι S: *om. cett.* 28 ποτῷ *om.* S ὁκόταν AST 29 τὸ μὲν S που] τοι M πρόcθεν ACMRST: καὶ πρόcθεν PV εἴρηται AM: εἰρέαται *cett.* 30 αὐτέοιc CR τοῖc CR: *om.* AMT καιροῖc T

703 Ἐρασίστρατος μὲν ἐν τοῖς Περὶ πυρετῶν κακοήθως | πάνυ διαβάλλει τὸν Ἱπποκράτην, τοὺς μαθητὰς αὐτοῦ δῆθεν μεμφόμενος Ἀπολλώνιόν τε καὶ Δέξιππον, οὕς φησι, κηρίνους κυάθους δώδεκα ποιήσαντας εἰς τὸν ἑκτημορίτην τῆς κοτύλης κύαθον, ἕνα τούτων ἢ δύο ἀπομετρεῖν τοῖς πυρέττουσιν· ὁ δ' Ἱπποκράτης οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἔμπροσθεν εὔδηλός ἐστι δαψιλέσι χρώμενος ἅπασι τοῖς ποτοῖς, νυνὶ δὲ καὶ διὰ τῆς λέξεως σαφῶς ἐδήλωσεν εἰπών· ⟨ἐν⟩ οἷσι δὲ μάλιστα αὐτῷ ὕδατι χρηστέον καὶ ὁπότε κάρτα πολλῷ· δηλοῖ γὰρ [καὶ] τὸ κάρτα πολλῷ τὸ λίαν πολλῷ. ἤρκει δ' εἰπεῖν καὶ πολὺ δίδοσθαί ποτε τὸ ὕδωρ χωρὶς τοῦ προσθεῖναι τὸ κάρτα πρὸς τὸν ἔλεγχον τῆς Ἐρασιστράτου κακοηθείας, ὃς Ἀπολλωνίου μὲν καὶ Δεξίππου μνημονεύει μηδὲν ἔχων αὐτῶν δεῖξαι βιβλίον, Ἱπποκράτους δ' αὐτοῦ λέγοντος σαφῶς οὐκ ἀκούει, 'χρῆσθαι δ' ἐνίοτε πολλῷ κάρτα τῷ ὕδατι', καὶ μέντοι καὶ ἀνωτέρω μετ' ὀξυμέλιτος αὐτὸ διδοὺς ἔφη χρήσιμον εἶναι, ὅτι "πλημμυρίδα τινὰ ἐμποιέει," τουτέστι πλῆθος ὑγρότητος· καὶ ⟨περὶ⟩ μελικράτου τε καὶ ὀξυμέλιτος τῶν
704 ὑδαρῶν ἔμπροσθεν ὡς ὑγραι|νόντων τε τὸ στόμα καὶ οὖρα κινούντων ἔγραψεν, οὐ δήπου κύαθον αὐτῶν διδούς, ἀλλὰ πλῆθος ἀξιόλογον, ἀφ' οὗ καὶ τὸ στόμα δυνατὸν ὑγρανθῆναι καὶ τὰ οὖρα κινηθῆναι καὶ ἐκ πνεύμονος ἀναχθῆναι· ἐπὶ δ' ὀξυμέλιτος καὶ οὕτως ἔγραψεν· "ἢν μέντοι ἀρήγειν φαίνηται πρὸς τὴν ξύμπασαν νοῦσον, πολλῷ ποτῷ τούτῳ χρέεσθαι" προσθεὶς κἀνταῦθα τὸ "πολλῷ". περὶ μὲν οὖν τῆς Ἐρασιστράτου πρὸς Ἱπποκράτην κακοηθείας ἀρκεῖ καὶ ταῦτα.

μεμνήμεθα δ' ἡμεῖς, ὅτι καθάπερ ἔμπροσθεν, οὕτω καὶ νῦν ὁ Ἱπποκράτης ἐπαγγέλλεται καθ' ἕκαστον νόσημα διδασκαλίαν ἰδίαν ποιήσασθαι, ὡς οὐχ ἱκανῶς ἐν τούτῳ τῷ βιβλίῳ τὴν διαιτητικὴν τέχνην ἐξειργασμένος, ἀλλὰ τὰ καθόλου μόνα διεληλυθὼς ἐπὶ παραδείγματος ἑνὸς νοσήματος τῆς πλευρίτιδος.

III 43 [I 17. II 362, 6 L.] Κατὰ ταῦτα δὲ καὶ περὶ τῶν ἄλλων ποτῶν, οἷον τὸ κρίθινον καὶ τὰ ἀπὸ χλοίης ποιεύμενα

3 Ἀπολλώνιόν τε καὶ Δέξιππον] *cf. ad p. 145, 22* 6 ἔμπροσθεν] *e. g. p. 255, 3 sq. 250, 6* 14 ἀνωτέρω] *p. 252, 11 sqq.* 17 ἔμπροσθεν] *p. 246, 13 sq. 247, 8* 20 ἔγραψεν] *p. 250, 18* 24 ἔμπροσθεν] *p. 197, 26. 210, 24. 215, 12*

1 Ὁ ἐρας. S 3 κυάθους] κύλικας M; *cf. Gal. I 144* 4 τούτοις M 5 δύο AC^{1}MR^1: δεύτερον CRSTV τοῖς πυρ. ἀπομετρεῖν A 7 νῦν R καὶ *om.* A τῆσδε τῆς CR 8 ἐν *sec. p. 255, 27 addidi* *a* δὲ μάλιστα *rursus incipit* B αὐτῶν *codd.*: *correxi* 9 γὰρ καὶ CR: καὶ γὰρ *cett.*: καὶ *del. Cornarius* πολλῷ λίαν AST 10 τὸ ὕδ. ποτὲ A 11 τὸν *om.* V 12 μὲν] τε A: *om.* V 13 δὲ λέγοντος σαφῶς αὐτοῦ A 14 καὶ *ante* ἀνωτέρω CMR: *om. cett.* 14. 15 μεταξὺ μελικράτου καὶ ὀξυμέλιτος *coniecit Cornarius* 15 δίδοσθαι S ἐμποιήσει CR 16 περὶ *om. codd.*: *add. Cornarius* 17 ὡς *om.* CR τε τὸ ABMST: τε *om.* CRV 18 ἔγραφεν T, *item v. 20* κυάθους M 19 τε καὶ τὰ S 20 οὗτος M 21 νόσον SV ποτῷ] τῷ A *ante corr.*: ποτὲ B: *om. edd.* 22 προσθεὶς γὰρ A οὖν CR: *om. cett.* 23 κακοηθ. πρὸς ἱππ. M καὶ *ante* ταῦτα *om.* CR 24 δ'] δὲ καὶ BM 28 σώματος A: νοσήματος A^1 29 κατὰ ταῦτα δὲ καὶ περὶ (*om.* A) *codd.*: περὶ δὲ *edd.* 30 χλοίης CR: χλόης *cett.* ποιούμενα CS

καὶ τὰ ἀπὸ σταφίδος καὶ στεμφύλων καὶ πυρῶν καὶ κνήκου καὶ μύρτων καὶ ῥοιῆς καὶ | τῶν ἄλλων, ὅταν τινὸς αὐτῶν 705 καιρὸς ᾖ χρῆσθαι, γεγράψεται παρ' αὐτῷ τῷ νοσήματι, ὅκωσπερ καὶ τἄλλα τῶν συνθέτων φαρμάκων.

Καὶ ἥδε ἡ ῥῆσις ἐπαγγελίαν ἔχει διδασκαλίας ἑτέρας ἑκάστου τῶν νοσημάτων ἰδίας. πρόδηλον οὖν, ὡς ἤτοι οὐ σῴζεται τὰ γραφέντα ὑπ' αὐτοῦ βιβλία θεραπευτικὰ τῶν ὀξέων νοσημάτων ἑκάστου κατὰ μέρος ἢ ὅλως οὐκ ἐγράφη· ταυτὶ γὰρ τὰ νῦν φερόμενα τῆς Ἱπποκράτους ἀξίας οὐκ ἔστιν, ἔχει μέντοι πολλὰ τῆς γνώμης αὐτοῦ, καθάπερ καὶ ταῦτα αὐτὰ τὰ προσκείμενα τῷδε τῷ βιβλίῳ τὰ μετὰ τὸ λουτρόν. κάλλιον δ', ὡς ἔφην, ὑπὲρ ἑκάστου σκεψόμεθα κατὰ τὰς ἐξηγήσεις αὐτῶν.

III 44 [I 18. II 364, 5 L.] Λουτρὸν δὲ συχνοῖσι τῶν νοσημάτων ἀρήγοι ἂν χρεομένοισιν ἐς τὰ μὲν ξυνεχέως, ἐς τὰ δ' οὔ, ἔστι δ' ὅτε ἧσσον χρηστέον διὰ τὴν ἀπαρασκευασίην τῶν ἀνθρώπων· ἐν ὀλίγῃσι γὰρ οἰκίῃσι παρεσκεύασται τὰ ἄρμενα καὶ οἱ θερα|πεύοντες ὡς δεῖ, εἰ δὲ μὴ παγκάλως λούοιτο, 706 βλάπτοιτ' ἂν οὐ σμικρά. καὶ γὰρ σκέπης ἀκάπνου δεῖ καὶ ὕδατος δαψιλέος καὶ τοῦ λουτροῦ συχνοῦ καὶ μὴ λίην λάβρου, ἢν γε μὴ οὕτω δέῃ.

Ἔοικε κατὰ τοὺς Ἱπποκράτους χρόνους οὐδέπω ταυτὶ τὰ βαλανεῖα κατεσκευάσθαι· τό τε γὰρ ἐν ὀλίγαις οἰκίαις λέγειν αὐτὸν παρεσκευάσθαι τά τε ἄρμενα καὶ τοὺς θεραπεύσοντας, ὡς δεῖ, καὶ πρὸς τούτοις ἔτι καὶ σκέπης ἀκάπνου χρείαν εἶναι καὶ ὕδατος δαψιλοῦς καὶ τἄλλα ὅσα τούτοις ἐφεξῆς εἶπεν, ὡς ἐν ταῖς οἰκίαις ἔτι θερμαινομένου τοῦ ὕδατος ἐν λέβησιν, εἶτ' ἐγχεομένου τῶν ἐμβατῶν ταῖς πυέλοις ἔνδειξιν ἔχει. τὸ δ' ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον,

10 τὰ μετὰ τὸ λουτρόν] *p. 272, 4 sqq.* 11 ἔφην] *p. 237, 4 sqq.* 15 ἐν ὀλίγῃσι . . . ὡς δεῖ *(16)*] *exscripsit Gal. XVIII B 671* 20 οὐδέπω ταυτὶ τὰ βαλανεῖα] *cf. Gal. XVIII B 900*

1 σταφύδων M στεμφ.] σταφυλῶν M πυρετῶν B κνήκου CRV: κνίκου *cett.* 2 ῥυῆς A: ῥοιδίων M[1]: ῥοιηδῶν S: ῥοιῆς *cett.* ὅταν *Hipp.*: ὅταν οὖν ἂν V: ὅτ' οὖν ἂν *cett.* αὐτῶν M: αὐτέων *cett.* 3 χρέεσθαι R: χρῆσθαι *cett.* γεγράψαι M 4 τὰ ἄλλα M 6 ἰδίας *aut* ἰδίαν A: ἰδία *cett.* οὖν ἐστι A ὡς ἤτοι BCMRS: ἢ ὡς A οὐ *om.* BST ὑπ'] παρ' M 7 τῶν νοσ. τῶν ὀξ. B 8 νῦν *om.* M φαινόμενα C 10 ταῦτα αὐτὰ τὰ A: ταῦτα CR: τοῦτο αὐτὸ (αὐτοῦ B) τὸ *cett.* προσκείμενα ACR: προκείμενον (*at* τὰ μετὰ) *cett.* τὰ *ante* μετὰ *om.* CR 11 σκεψώμεθα CMTV 12 νοσημάτων *codd.*: νοσεύντων *Kühlewein* 13 χρεωμένοισιν M: χρεομ. *cett.* ἐς *(alt.)*] ἔστι C 14 ἧσσον *om.* M 15 παρεσκεύασθαι A: παρασκευάσθαι S τὰ ἄρμενα *superscr.* τὰ ἁρμόδια C 16 θεραπεύοντες MS: θεραπεύσοντες ABRT: θεραπεύσαντες C: θεραπευθέντες V δὲ *om.* M 18 τοῦ *hab. omnes praeter* R λίαν ST λαύρου AM 20 ἔοικεν ὡς *omnes praeter* V κατὰ] καὶ CR τὰ β. ταυτὶ A 21 κατεσκεύασται C λέγειν αὐτὸν *ante* ἐν *transp.* A 22 θεραπεύοντας BS: θεραπεύσοντας *cett.* 23 καὶ *(alt.)* *om.* T 25 ἔτι *om.* M 26 πτυέλοις M τῷ τέλει] τόδε M

ὡς καὶ λουτροῦ συχνοῦ χρεία ἐστὶ καὶ μὴ λίην λάβρου, ἤν γε μὴ οὕτω δέῃ, εἴ γε μεμνήμεθα, παραφυλάττειν δεῖ κατὰ τὴν ἑξῆς διδασκαλίαν· αὐτὸς γὰρ ἐρεῖ, τίνες εἰσὶν οἱ λάβρου ποτὲ δεόμενοι τοῦ
707 λουτροῦ, τουτέστι καταντλουμένου τοῦ | κάμνοντος ὕδατι πολλῷ. εἰ γὰρ μὴ φαίνοιτο λέγων αὐτός, ἡμεῖς ζητήσομεν οὐχ ἁπλῶς οὐδ᾽ ὡς ἔτυχεν, ἀλλὰ μετὰ τοῦ τὴν ἀκολουθίαν φυλάττειν τοῖς ὑπ᾽ αὐτοῦ γεγραμμένοις.

III 45 [I 18. II 364, 12 L.] Καὶ μᾶλλον μὲν μὴ σμήχεσθαι· ἢν δὲ σμήχηται, θερμῷ χρέεσθαι αὐτῷ καὶ πολλαπλασίῳ ἢ ὡς νομίζεται σμήγματι καὶ προσκαταχεῖσθαι μὴ ὀλίγῳ καὶ ταχέως μετακαταχεῖσθαι.

Οὐ δεῖται τοῦ σμήχεσθαι κάμνων οὐδείς, ὅταν λούηται, πλὴν εἰ ῥυπῶν εἴη καὶ κνησμώδης. χρῄζουσι γὰρ οἱ κάμνοντες ἀκοπώτατα καὶ ἀοχλητότατα διαβραχῆναι τῷ ὕδατι· τὸ δὲ σμήχεσθαι διὰ ῥυμμάτων γίνεται δακνωδῶν ὄντων ἁπάντων καὶ ξηραντικῶν, ὥστ᾽ ἐναντιώτατόν ἐστι τοῦτο τῇ δυνάμει τε καὶ τῇ χρείᾳ τοῦ λουτροῦ. δεομένου μέντοι σμήχεσθαι τοῦ κάμνοντος ἢ διὰ ῥύπον ἢ διὰ κνησμόν, ἐκλύειν |
708 χρὴ τὴν δύναμιν τοῦ σμηκτικοῦ φαρμάκου μίξει πλείονος ὕδατος, ἐπεμβάλλοντας καὶ τοῦ ἐλαίου· καὶ διὰ τοῦτ᾽ εἶπεν ὁ Ἱπποκράτης· πολλαπλασίῳ δεῖ χρῆσθαι ἢ ὡς νομίζεται τῷ σμήγματι, τουτέστιν ἢ ὡς εἴθισται πρὸς τῶν ὑγιαινόντων. οὐ γὰρ δὴ τήν γ᾽ οὐσίαν τοῦ σμήχοντος φαρμάκου κελεύει πολλαπλασίαν ἐπὶ τῶν νοσούντων παραλαμβάνειν, ὅς γε καὶ τὸ μὴ σμᾶσθαι μᾶλλον αἱρεῖται τοῦ σμᾶσθαι, ἀλλὰ τὸ πλῆθος τοῦ σμήγματος ἀξιοῖ πολλαπλάσιον ἐπὶ τῶν νοσούντων γίνεσθαι κατὰ τὴν τοῦ ὕδατος μίξιν. ὁ γὰρ αὐτὸς λογισμὸς ὑπαγορεύει καὶ τὸ φεύγειν τὰ σμῶντα, μὴ κνήσεως ἢ ῥύπου κατεπείγοντος, καὶ τὸ δριμέσιν αὐτοῖς καὶ ἀκράτοις μὴ χρῆσθαι. ὥσπερ δὲ τῷ πλήθει τῆς τοῦ ὕδατος μίξεως ἐξέλυσε τὴν ἐκ τοῦ σμῶντος φαρμάκου δριμύτητα, κατὰ τὸν αὐτὸν λόγον ὅλου τοῦ σμήγματος ἐκλύει τὴν

3 ἐρεῖ] *v. 10; cf. p. 265, 13*   12 Οὐ δεῖται . . . τοῦ ἐλαίου *(19)*] *exc. Orib. X 1, 12 (II 373 Daremb.)*

1 συχνοῦ *om.* S   λίαν BCV   λαύρου AMV   2 δεῖ *om.* V   3 λαύρου AMV   4 ὕδατος BM: *om.* C   πολλῷ *post* τουτέστι *transp.* ACR: *om.* MS   5 λέγειν M   ζητήσωμεν BCMR   6 τοῦ τὴν B: τὴν M: τὸ A: τοῦ *cett.*   9 δὲ *add.* A[1]   αὐτέῳ AS   πολλαπλάσιον M   10 μὴ . . . μετακαταχ. *(11) om.* CR   11 μεταχεῖσθαι A: *om.* S   12 μηδεὶς M   πλὴν] πλεῖον M   13 εἰ *(sic)* A: ἢ *cett.*   ἢ κνησμ. *Orib.*   14 σμήχεσθαι BCRS: σμήξασθαι AM   15 ἁπάντων *Orib.*: αὐτῶν *codd.*   16 τε καὶ . . . δύναμιν *(18) om.* CR   τῇ χρείᾳ MS: χρείᾳ *cett., Orib.*   17 σμίχεσθαι A[1]: σχεδὸν A: τοῦ σμᾶσθαι *Orib.*   κνῆσιν *Orib.*   18 (δὲ *add.* S) χρὴ τὴν AMSTV: τὴν B   19 τι καὶ τοῦ *Orib.*   ὁ *om.* V   21 γ᾽ BST: γε MR: τε A   23 περιλ. M   ὅς γε] ὡς γε V   μὴ *om.* CMR: μὲν B   σμᾶσθαι (*ante* μᾶλλον) ABSTV: σμηχᾶσθαι M: σμηγμᾶσθαι CR   24 τὸ] τοῦ M   25 μίξιν AMSV: αὔξησιν CR: σμῆξιν BT   26 μὴ V: καὶ τὸ A[1]CMR: καὶ τὸ μὴ AST: *om.* B   27 καὶ τὸ V: *om. cett.*   χρᾶσθαι AS   29 τοῦ ABCMST: *om.* R

δύναμιν ἐπικαταχέων ὕδωρ εὐθέως θερμὸν καθαρὸν δαψιλές, εἶτ᾽ αὖθις ἐπὶ τούτῳ πάλιν ἕτερον. |

III 46 [I 18. II 366, 2 L.] Δεῖ δὲ καὶ τῆς ὁδοῦ βραχείης ἐς 709
τὴν πύελον καὶ ἐς εὐέμβατον καὶ ἐς εὐέκβατον.

Τοῦτο κοινόν ἐστιν, ἐάν τ᾽ ἐν βαλανείῳ λούῃς τὸν ἄνθρωπον, ἐάν τ᾽ ἐν οἴκῳ τινὶ πυρὰν ποιήσας καὶ πύελον ὕδατος πληρώσας, ὅπερ καὶ νῦν ἐν τοῖς στρατοπέδοις γίνεται πολλάκις, ὁπόταν δέῃ μέν τινα λούεσθαι, βαλανεῖον δ᾽ ὁ τόπος οὐκ ἔχῃ.

καὶ εἰς εὐέμβατον καὶ εἰς εὐέκβατον. παντελῶς γὰρ ἄκοπον φυλαχθῆναι βούλεται τὸν κάμνοντα· διὰ τοῦτ᾽ οὖν καὶ τὴν πύελον εὐέμβατόν τε καὶ εὐέκβατον ὑπάρχειν ἀξιοῖ. γένοιτο δ᾽ ἂν τοῦτο μήτε ὑψηλοῦ περιστέγοντος τοῦ τοίχου τὸ ὕδωρ μήτε στενοῦ· κάλλιστον δὲ καὶ ἀκοπώτατόν ἐστι τὸ κατὰ τὰς κολυμβήθρας ἐν τοῖς αὐτοφυέσιν ὕδασιν, ἃς ταπεινὰς ποιοῦνται σχεδὸν ἅπαντες οὕτως, ὡς μηδὲν ὑπερέχειν τοῦ πλησίον ἐδάφους. |

III 47 [I 18. II 366, 3 L.] Εἶναι δὲ τὸν λουόμενον κόσμιον 710
καὶ σιγηλὸν καὶ μηδὲν αὐτὸν προσεργάζεσθαι, ἀλλ᾽ ἄλλους καὶ καταχέειν καὶ σμήχειν.

Καὶ ταῦτα τῶν συντελούντων ἐστὶν εἰς τὸ τοῦ κάμνοντος ἄκοπον ὁμοίως τοῖς προειρημένοις· ἤδη δὲ καὶ πρὸς τὸ χαλασθῆναί τε καὶ μαλαχθῆναι μᾶλλον ἐν τῷ λουτρῷ τὸ σῶμα χρήσιμός ἐστιν ἡ τοῦ κάμνοντος ἡσυχία· τείνονται γὰρ ἐν ταῖς κινήσεσιν οἱ μύες, οἵτινες ἧττον μαλάττονται καὶ χαλῶνται.

III 48 [I 18. II 366, 6 L.] Καὶ μετακέρασμα πολλὸν ἡτοιμάσθαι.

Ἔνεστι μὲν καὶ ὑφ᾽ ἓν ἀναγνῶναι μετακέρασμα, δυνατὸν δὲ καὶ καθ᾽ ἑαυτὴν ἀκοῦσαι τὴν ʻμετάʼ πρόθεσιν, ἰδίᾳ δὲ πάλιν τὸ ʻκέρασμαʼ.

1 ἐπικαταχέων . . . δαψιλές] *exc. Orib. X 1, 12 (II 374 Daremb.)* 9 παντελῶς . . . στενοῦ *(12)*] *exc. Orib. X 1, 13 (II 374 Daremb.)* 13 κολυμβήθρας] *cf. Gal. X 473* 20 καὶ πρὸς . . . χαλῶνται *(23)*] *exc. Orib. X 113 (II 374 Daremb.)*

1 ἐπιταχέων A: *corr.* A[1]: ἐπὶ τῶν παχέων CR καὶ *ante* καθαρὸν *add.* CRV 2 τούτοις A 3 βραχείας A 4 πτύελον AMS ἐς *ante* εὐέμβατον *om.* C ἔμβατον R ἐς *ante* εὐέκβ. *om.* A: *add.* A[1] ἔκβατον CR 5 Τοῦτο τὸ V: τὸ *om. cett.* ἐν *om.* S 6 πτύελον AC 7 ἐν] ἐπὶ MS 8 ἔχει *codd.*: *correxi* 9 εἰς εὐέμβ. κ. εἰς εὐέκβ. BMSTV: εἰς εὐέκβατον κ. εἰς εὐέμβ. A: εἰς ἔμβατον καὶ εἰς ἔκβατον CR 10 οὖν *om.* RV: *hab. cett.* 11 τε *om.* RV 12 περιστέγοντος *codd.*: περιέχοντος *a Basil. edd.* τοῦ M: *om. cett. cum Orib.* 14 μηδὲ A 16 δὲ καὶ *Hipp.* 17 προσεργάζεσθαι S: ἐξεργ. ACM: ἐργ. RV 17. 18 ἀλλ᾽ ἄλλους τοὺς καταχέοντας καὶ σμήχοντας εἶναι S 18 καὶ *(prius) om.* ABCR 19 Καὶ *om.* M ταῦτα μὲν R: τ. δὲ C: ταῦτα *cett.* 20 πρὸς *om.* A 21 χρήσιμον BCRSV 22 τείνοντες R οἵτινες] τεινόμενοι δὲ *Orib., quod interpres lat. confirmare videtur, qui haec ita vertit: ʻlacerti tenduntur in hora motus et quando tenduntur lacerti, minoratur lenitas eius et ipsius mollificatioʼ* 24 μετὰ κέρασμα A πολλὸν M: πολὺ *cett. cum Hipp. cod. A* 25 ἔστι γάρ τοι καὶ AST ἀναγνωσθῆναι S 26 ἑαυτὴν ACMRS: αὑτὴν V ἰδίᾳ] διὰ R

711 καὶ γὰρ ἐν τούτῳ τῷ βιβλίῳ καὶ ἐν ἄλλοις | Ἱπποκράτης φαίνεται χρώμενος τῇ ʽμετά' προθέσει κατὰ τὸ τῶν Ἰώνων ἔθος ἐλλειπτικῶς· ἔστι γὰρ τὸ πλῆρες τοιοῦτον· ʽκαὶ μετὰ ταῦτα κέρασμα πολὺ ἡτοιμάσθαι.' εἴτε δ' ὑφ' ἓν ἀκούει τις μετακέρασμα εἴτε καὶ διελὼν ἀντὶ τοῦ μετὰ ταῦτα κέρασμα, μία διάνοια κοινὴ τῶν λέξεων ἀμφοτέρων ἐστίν· ἡτοιμάσθαι γὰρ βούλεται κέρασμα μέλλον καταχεῖσθαι τοῦ λουομένου μετὰ τὸ χρήσασθαι τῷ κατὰ τὴν πύελον λουτρῷ. ὅπερ καὶ νῦν εἰώθασι πάντες οἱ ἰατροὶ ποιεῖν, ὅταν ἀσθενοῦντα λούσωσιν· οὐ γὰρ εἰς τὴν ψυχρὰν δεξαμενὴν ἐπιτρέπουσιν ἐμβῆναι, ἀλλ' ἀντ' ἐκείνης ἐπιχέουσιν ὕδωρ χλιαρόν, ἔνιοι δὲ καὶ πυέλους ὅλας ὕδατος τοιούτου πληροῦσιν. ὥσπερ γὰρ ἐχαλάσθη καὶ ἠραιώθη τὸ σῶμα κατὰ τὸ θερμὸν λουτρόν, οὕτως αὖ πάλιν ἠρέμα συναγαγεῖν αὐτὸ βούλεται καὶ σφίγξαι· τοῦτο γὰρ εἰς ῥώμην δυνάμεως συντελεῖ καὶ πρὸς τὸ μὴ ῥᾳδίως βλάπτεσθαι τὸν ἄνθρωπον, εἴ τις ἐξαιφνίδιος ἐν τῷ περιέχοντι γίγνοιτο πρὸς τὸ ψυχρὸν μεταβολή. κατὰ τοῦτο γοῦν καὶ ὑγιαίνοντες εἰς τὸ
712 ψυχρὸν ὕδωρ ἑαυτοὺς ἐμβάλλουσι μετὰ τὸ θερμὸν λουτρόν. | ἀλλ' οἵ γ' ἀσθενοῦντες οὐ φέρουσιν ἀβλαβῶς τὴν ὁμιλίαν τοῦ ψυχροῦ, διὸ θραύομεν αὐτὸ θερμὸν ἐπιμιγνύντες. ἡ δὲ τῆς μίξεως ποσότης εὑρίσκεται, πρῶτον μὲν εἰς τὴν τοῦ σώματος ἡμῶν ἀποβλεπόντων διάθεσιν, εἶθ' ἑξῆς εἰς τὴν οἰκείαν τοῦ κάμνοντος φύσιν ἡλικίαν τε καὶ ὥραν καὶ χώραν καὶ τὴν παροῦσαν κατάστασιν τοῦ περιέχοντος.

κάλλιον δὲ ποιήσουσιν ὅσοι τῶν τριῶν οὐκ ἐλάττω παρασκευάζουσι τὰ μετὰ τὸ θερμὸν λουτρὸν ὕδατα χλιαρά, διαφέροντα ἀλλήλων, ὡς τὸ μὲν πρῶτον ἱκανῶς εἶναι χλιαρόν, τὸ δὲ δεύτερον ἧττον ἐκείνου χλιαρόν, τὸ δὲ τρίτον ἔτι καὶ μᾶλλον ἀποκεχωρηκὸς ἐπὶ τὸ ψυχρόν. ἔοικε δὲ ὁ Ἱπποκράτης τοιοῦτόν τι βούλεσθαι, κελεύων τὸ μετακέρασμα πολὺ παρασκευάζειν· οὐ γὰρ μόνον ἁπλῶς πολύ, ἀλλὰ καὶ πολυειδὲς ἄμεινον εἶναι τὸ παρεσκευασμένον, ὡς ἀπὸ τοῦ θερμοῦ κατὰ βραχὺ πρὸς τὸ ψυχρὸν ἔρχεσθαι, τὴν ἀθρόαν ἐπὶ τοὐναντίον μεταβολὴν οὐ φέροντος τοῦ κάμνοντος. |

2 Ἰώνων] *cf. Herodoteum* μετὰ δὲ *(e. g. I 30)* 6 ἡτοιμάσθαι . . . ἐπὶ τὸ ψυχρὸν *(25)*] *exc. Orib. X 1, 14 sq. (II 375 sq. Daremb.)* 28 ὡς ἀπὸ . . . κάμνοντος *(30)*] *exc. Orib. X 1, 17 (II 376)*

2 τὸ *om.* CRT 3 γὰρ] δὲ R τοιοῦτον AMS: τοιούτῳ CR 4 ἀκούοι ST τις κέρασμα M 6 καταχρῆσθαι R 7 τὸ] τοῦ S τὸν πτύελον A: τὴν πτύ. CRSV: τὸ πτύ. M: τὴν *om.* B 9 δεξαμενὴν *om.* S ἐπιτρ. ἐμβ. *Orib.*: ἐμβ. (ἐσβ. B) ἐπιτρ. *codd.* 10 ἐπιχέουσιν] ἐπιτρέπουσι χυθῆναι CR πτυέλους M: πτυέλας A 11 γὰρ *om.* MS 12 βούλονται *Orib.* συσφίγξαι S 14 τις] τοι S γένοιτο C 15 μεταβολὴ . . . ψυχρὸν *(16) om.* T 17 ἀβλαβῶς *ante* τὴν *colloc. Orib.*: *post* ψυχροῦ *transp. codd.* 20 *post* φύσιν *add.* καὶ τὸ ἔθος *Orib.* 20. 21 χώραν κ. ὥραν A 22 παρασκευάζουσι *codd.*: παρασκευάσουσι *Chartier* 24 πρῶτον *codd.*: *om. a Charterio edd.* 28 πολυειδῶς S 29 ψύχον BV τὸ ἐναντίον S: τουναντίου M

III 49 [I 18. II 366, 6 L.] Καὶ τὰς ἐπαντλήσιας ταχείας ποιέ- **713**
εσθαι.

Τὸ ταχείας ἀκούειν προσήκει καὶ κατ᾽ αὐτῆς μὲν τῆς γινομένης ἐνεργείας ἐν τῷ καταχεῖν, οὐδὲν δ᾽ ἧττον καὶ κατὰ τοῦ μεταξὺ τῶν ἐνεργειῶν χρόνου, ὡς μὴ διαλείπειν πολὺ τὴν δευτέραν ἐπάντλησιν ἀπὸ τῆς προτέρας· ὅπερ ὀνομάζων τις κυρίως οὐ⟨κ ἂν⟩ ταχείας, ἀλλὰ πυκνὰς ποιεῖσθαι τὰς ἐπαντλήσεις εἴποι· συγκέχυταί γε μὴν παρὰ τοῖς παλαιοῖς ἡ χρῆσις τῶν ὀνομάτων τοῦ τε πυκνοῦ καὶ τοῦ ταχέος, ἔστιν ὅτε τὰς πυκνὰς ἐνεργείας ταχείας ὀνομάζουσιν.

III 50 [I 18. II 366, 7 L.] Καὶ σπόγγοισι χρέεσθαι ἀντὶ στλεγγίδος.

Οὐδ᾽ οἱ νῦν ἰατροὶ χρῶνται στλεγγίσιν ἐπὶ τῶν ἀσθενούντων, οὐ μὴν οὐδὲ σπόγγῳ, ἀλλ᾽ ἐνελίττουσιν αὐτοὺς μετὰ τὸ λουτρὸν εἰς ὀθόνας, οἱ δ᾽ εἰς ἱμάτια καὶ μάλιστά | γε τὰ ἄγναπτα περιστέλλουσι παντα- **714**
χόθεν, ὡς ἱδρῶσαι πλεῖστον. ἔστι δ᾽ οὐκ ἀεὶ χρεία τοῦ πλεῖστον ἱδροῦν μετὰ τὸ λουτρὸν τὸν κάμνοντα· πολλάκις γὰρ οὐ τοῦ κενῶσαι τὸ σῶμα χάριν ἐπὶ τὸ λουτρὸν τὸν κάμνοντα ἄγομεν, ἀλλὰ τοὐναντίον ἅπαν ὑγρᾶναί τε καὶ τέγξαι δι᾽ ὅλου κατεξηρασμένον ἀμετρότερον. ἐπὶ τῶν τοιούτων οὖν οὐδ᾽ ἔνδον κατὰ τὸ βαλανεῖον ἱδρῶτας ἀναμένειν χρὴ πολλούς, ἀλλ᾽ ὅτι τάχιστα τῷ κατὰ τὴν πύελον ἐμβάλλειν ὕδατι καὶ μετὰ ταῦτα ἐξελθόντας ἐκ τοῦ λουτροῦ διὰ ταχέων ἐκμάττειν.

III 51 [I 18. II 366, 8 L.] Καὶ μὴ ἄγαν ξηρὸν χρίεσθαι τὸ σῶμα.

Καὶ οὗτος ὁ λόγος εἴρηται μὲν ἐφεξῆς τῷ "καὶ σπόγγοισι χρῆσθαι ἀντὶ στλεγγίδος", οἰκειότερον δ᾽ ἄν τις ἀκούσειεν αὐτοῦ περὶ τῆς ἐν τῷ λουτρῷ χρίσεως, ἵνα μὴ δόξῃ τι παραλελοιπέναι τῶν ἀναγκαίων ῥηθῆναι. μετὰ γὰρ τὸ λουτρὸν ἀποσπογγίσας τὸ ὕδωρ ὁ Ἱπποκράτης |
ἄδηλον μέν, εἰ καὶ ἔχρισέ πω, πρόδηλον δὲ μὴ καθύγρου τοῦ σώματος **715**

13 ἐνελίττουσιν . . . σῶμα *(23)*] *exc. Orib. X 1, 18 sq. (II 376 sq. Daremb.)*
24 τῷ κτἑ.] *cf. v. 10*

1 ἐπαντλήσεις BCMR: ἐπαντλήσειας A ταχέως AB 3 καὶ *om.* S αὐτοῦ M 4 κατασχεῖν MS μετὰ τοῦ M 6 πρώτης BM ἂν *addidi* ταχείας *ante* κυρίως *transp.* A 7 εἴπη S: εἶπε A 8 *ad* παλαιοῖς *add. in mrg.* γρ. τῶν πολλῶν A 9 δ᾽ ὅτε R ὀνομάζουσιν V: ὀνομαζόντων *cett.* 11 στλεγγίδος ACR: στελεγγ. BMS 12 οἱ νῦν] οὖν οἱ S στλεγγίσιν A: στελεγγ. *cett.* οὐ] οὐδὲ A 13 σπόγγον A ἐνελίττουσιν RST: ἐνυλ. C: ἐνειλ. *cett.* ὀθόνην V: ὀθόνας *cett.* 14 γε *om.* R τὰ *om.* S ἄγναμπτα S: ἄγναφα *Orib.* καὶ περιστέγουσί τε *Orib.* 15 ἱδρῶσαι M: ἱδρῶσε T: ἱδρῶσι *cett.* 16 πολλάκις . . . κάμνοντα *(17) om.* R 17 ἄγομεν τὸν κ. M 18 κατεξηραμμένον AS 19 οὐδ᾽ *scripsi*: οὔτ᾽ *codd.* 20 τῷ *om.* CR ἐμβάλλειν B: ἐμβαλεῖν *cett.* 21 ἐξελθόντα S ἐκ *om.* V 22 χρέεσθαι S 24 καὶ *(alt.) om.* BM σπόγγοισι CR: σπόγγῳ MSTV: σπόγγον A 25 στελεγγίδος BCMRT: στλεγγίης A 26 χρίσεως R^1: χρήσεως *cett.* *post* χρίσεως *add.* τοῦ λίπους CR: *om. cett.* παραλελοιπέναι *post* ῥηθῆναι *transp.* A 28 δὲ] μὲν S μὴ BMSTV: καὶ CR: *obscur.* A

ὄντος ἀλείφειν τὸν κάμνοντα, πλὴν εἰ τοῦτό τίς φησιν, ὅτι πάλιν ἀπομάττει τοῦτ᾽ αὐτὸ τὸ μετὰ τοῦ ὕδατος ἔλαιον. ἔστι μὲν οὖν χρήσιμον ἐσκέφθαι καὶ περὶ τῆς μετὰ τὸ λουτρὸν χρήσεως τοῦ λίπους· ἀναγκαιότερον δὲ τὸ περὶ τῆς κατὰ τὸ λουτρόν, εἴθ᾽ ἱδρώσαντι τῷ λουομένῳ περιχεῖν προσήκει τὸ ἔλαιον, εἴτε καὶ πρὶν ἱδρῶσαι ξηρῷ παραχρῆμα μετὰ τὸ ἀποδύσασθαι, ἢ τούτων μὲν οὐδέτερον, ὅταν δ᾽ ἄρξηται νοτίζεσθαι. καὶ ὅστις μέμνηται τῶν εἰρημένων περὶ δυνάμεως ἐλαίου κατὰ τὴν Περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείαν, οἶδεν ἀκριβῶς αὐτὸς ἄριστον εἶναι τὸν εἰρημένον τρίτον καιρὸν ἐλαίου χρήσεως ἐπὶ τῶν λουομένων, οἶδε δὲ καί, ὅτι προτεθερμασμένον χρὴ προσφέρεσθαι τῷ τοῦ λουομένου σώματι· καὶ γὰρ μαλάττει τοῦτο καὶ ἀραιοῖ τὸ σῶμα, τοῦ ψυχροῦ κατὰ τὴν θίξιν οὐ μόνον οὐδέτερον τούτων ἐργάζεσθαι πεφυκότος, ἀλλὰ καὶ φρικώδεις τοὺς λουομένους ἀποτελοῦντος. |

716 **III 52** [I 18. II 366, 8 L.] Κεφαλὴν μέντοι ἀνεξηράνθαι χρὴ ὡς οἷόν τε μάλιστα ὑπὸ σπόγγου ἐκμασσομένην.

Τὸ μὲν ἐπὶ τῷ λουτρῷ τὴν κεφαλὴν ἀκριβῶς ἐκμάττειν, ὡς μηδὲ τοὐλάχιστον ὑπολείποιτο τῆς ὑγρότητος, εὔδηλόν ἐστι· τὸ γὰρ ὑπολειπόμενον ἅπαν ψύχειν εἴωθεν· οὐ μὴν ὑπὸ σπόγγου τοῦτο ποιεῖν ἔτι δυνατόν, ὅτι μὴ κατ᾽ ἀρχὰς εὐθέως μετὰ τὸ χρήσασθαι τῷ "μετακεράσματι". βέλτιον δὲ τούτου τὸ δι᾽ ὀθόνης ἐκμάττειν τῆς κεφαλῆς τὸ ὕδωρ.

III 53 [I 18. II 366, 10 L.] Καὶ μὴ διαψύχεσθαι τὴν κεφαλὴν μηδὲ τὰ ἄκρα μηδὲ τὸ ἄλλο σῶμα.

Τοῦτό μοι δοκεῖ μικρὸν ἢ καθ᾽ ἑαυτὸν εἰρηκέναι, πρόδηλον ὂν
717 ἅπασιν, ὡς οὐδὲν δεῖ μέρος ἐπὶ πολὺ γυμνοῦσθαι, | καθ᾽ ὃν καιρὸν ἐκμάττουσι τῶν λουομένων τὸ μετὰ τὸ λουτρὸν ὕδωρ· ἴσασι γὰρ ἅπαντες, ὅτι ταχέως ψύχεται τὰ οὕτω γυμνούμενα.

III 54 [I 18. II 368, 1 L.] Καὶ μήτε νεορρόφητον μήτε νεόποτον λούεσθαι.

2 ἔστι μὲν . . . ἀποτελοῦντος *(13)*] *exc. Orib. X 1, 21 (II 377 Daremb.)* 8 Περὶ τῶν ἁπλῶν φαρμάκων] *II 5 (XI 471 sq. K.)* 19 μετακεράσματι] *cf. p. 259, 24*

1 πλὴν δὲ εἰ M φήσει MR 2 τὸ *om.* MV 3 μετὰ *codd.*: κατὰ *edd.* χρίσεως A 4 τῆς ABMST: *om.* CR: τοῦ *a Charterio edd.* 5 ξηρὸν BMSTV 8 Περὶ *hab. omnes praeter* V τῶν *om.* A αὐτὸς] οὗτος *Orib.* 10 *post* λουομένων *add.* σωμάτων S οἶδα A 10. 11 τῷ λουομένῳ σώματι AMS 12 τούτων οὐδέτερον A 17 ὑπολοίπηται *(sic)* M: ἀπολείποιτο A: ὑπολείποιτο *cett.* 18 ποιεῖν τοῦτο AM 18. 19 δυνατὸν ἔτι A: δ. ἐστι A[1] 19 τῷ κεράσματι CR 20 τοῦτο AM 23 μηδὲ *(bis) Hipp.*: μήτε *codd.* τὰ ἄκρα AM: τὰ ἄκρεα CRST: ἄκρεα BV 24 μικρὸν ἢ καθ᾽ ἑαυτὸν] *scribendum videtur* μικρότερον ἢ ὡς (*vel* ὥστε) καθ᾽ ἑαυτὸ ὂν *codd.*: οὖν *edd.* 26 τῷ λουομένῳ *(corr.)* A[1] 28 νεορρόφυτον S

Οὐ μόνον ἐπὶ τῶν νοσούντων, ἀλλὰ καὶ ἐπὶ τῶν ὑγιαινόντων οὐ χρὴ μετὰ τὸ προσενέγκασθαι τροφὴν ἢ πόμα παραχρῆμα λούεσθαι· τῶν μὲν γὰρ πεπωκότων ἡ κεφαλὴ πληροῦται, τῶν δ᾽ ἐδηδοκότων οὐκ αὐτὴ μόνη ἀλλὰ καὶ τὸ πᾶν σῶμα τὴν τροφὴν ἕλκον εἰς ἑαυτὸ πρὶν πεφθῆναι.

III 55 [I 18. II 368, 2 L.] Μηδὲ ῥοφεῖν μηδὲ πίνειν ταχὺ μετὰ τὸ λουτρόν.

Ἄμεινόν ἐστι καταστάσης τῆς ἐκ τοῦ λουτροῦ ταραχῆς | ἐσθίειν 718 καὶ πίνειν, ὥσπερ γε καὶ τῆς μετὰ τὰ γυμνάσια· τὸ γὰρ εὐθέως προσφέρεσθαι σιτία καὶ πόματα τήν τε κεφαλὴν πληροῖ καὶ τὸ καταποθὲν ἐνίοτε ἐπιπολάζειν ποιεῖ.

III 56 [I 18. II 368, 3 L.] Μέγα μὲν δὴ μέρος χρὴ νέμειν τῷ κάμνοντι, ἢν ὑγιαίνων ᾖ φιλόλουτρος ἄγαν καὶ εἰθισμένος λούεσθαι· καὶ γὰρ ποθέουσι μᾶλλον οἱ τοιοίδε καὶ ὠφελέονται λουσάμενοι καὶ βλάπτονται μὴ λουσάμενοι.

Ταῦτα δι᾽ ὅλου σχεδόν τι τοῦ δευτέρου τῶνδε τῶν ὑπομνημάτων ἐδείχθη, τὰς λέξεις ἡμῶν ἐξηγουμένων, ἐν αἷς ἐπὶ πλεῖστον αὐτὸς ἐδήλωσε τὴν δύναμιν τῶν ἐθῶν.

III 57 [I 18. II 368, 6 L.] Ἁρμόζει δ᾽ ἐν περιπνευμονίῃσι μᾶλλον ἢ ἐν καύσοισι τὸ ἐπίπαν· καὶ γὰρ ὀδύνης τῆς κατὰ πλευρὴν καὶ στῆθος | καὶ μετάφρενον παρηγορικόν ἐστι τὸ 719 λουτρὸν καὶ πτυέλου πεπαντικὸν καὶ ἀναγωγὸν καὶ εὔπνοον καὶ ἄκοπον· μαλθακτικὸν γὰρ καὶ ἄρθρων καὶ τοῦ ἐπιπολαίου δέρματος καὶ οὐρητικὸν δὲ καὶ καρηβαρίην λύει καὶ ῥῖνας ὑγραίνει. ἀγαθὰ μὲν οὖν λουτρῷ τοσαῦτα πάρεστιν, ὧν πάντων δεῖ· εἰ μέντοι τῆς παρασκευῆς ἔνδειά τις ἔσται ἢ ἑνὸς ἢ πλειόνων, κίνδυνος μὴ λυσιτελέειν τὸ λουτρόν, ἀλλὰ μᾶλλον βλάπτειν· ἓν γὰρ ἕκαστον αὐτέων μεγάλην φέρει βλάβην μὴ προπαρασκευασθὲν ὑπὸ τῶν ὑπουργῶν ὡς δεῖ.

1 οὐ χρὴ . . . πεφθῆναι *(5)*] *exc. Orib. X 1, 22 (II 378 Daremb.)*
8 Ἄμεινον . . . ποιεῖ *(11)*] *exc. Orib. X 1, 23 (II 378)* 17 ἐδείχθη] *p. 180 sqq.*

1 ἐπὶ *ante* τῶν ὑγ. *hab. omnes praeter* V 2 ἢ ποτὸν A 4 τὴν *om.* M ἕλκει M 6 μηδὲ *(prius) Hipp.*: μήτε *codd.* μηδὲ *(alt.)* S: μήτε *cett.* 7 τὸ *om.* A *post* λουτρὸν *add.* αὐτίκα M 9 γε BCMST: *om.* AR 10 καὶ ποτὸν A τε *om.* M 12 χρὴ *om.* S νέμει S 13 ᾖ *Hipp.*: εἴη *codd.* ἄγαν καὶ AMSTV: καὶ *om.* BR 14 οἱ τοιοῦτοι A 15 καὶ βλάπτονται μὴ λουσάμενοι *om.* A: *add.* A[1] *in mrg.* 16 τῶνδε *om.* A 17 τὸ πλεῖστον ABST 19 περιπνευμονίῃσι ABCMSV: περιπλευμ. R 21 πλευρὰν ABM παρηγορικὸν TV: παρηγορητικὸν *cett.* 22 πεπτικὸν A: πεπαντώτερον R 23 μαλακτικὸν A ἄρθροις M 24 ῥῖνα R 25 ἀγαθὰ . . . ὡς δεῖ *(29) hab.* AS: *om. cett.* οὖν *om.* S λουτροῦ S 26 εἰ AS: ἢν *Chartier* μέν τι A ἔσται ἢ AS: ἢ *Chartier* 28 αὐτέων S: ἑαυτῶν A βλάβην AS: τὴν βλ. *Chartier* 29 προπαρασκευασθὲν AS: παρασκ. *Aldus*

Διὰ τί μᾶλλον περιπνευμονίας ἢ καύσους ὠφελεῖ τὸ λουτρόν, αὐτὸς ἐδήλωσεν εἰπών· καὶ γὰρ ὀδύνης τῆς κατὰ πλευρὴν καὶ στῆθος καὶ μετάφρενον παρηγορικόν ἐστι τὸ λουτρὸν καὶ πτυέλου ἀναγωγὸν καὶ πεπαντικὸν καὶ εὔπνοον· διὰ ταῦτα γὰρ πάντα περιπνευμονικοῖς ἐστιν ὠφελιμώτατον· θεραπεύονται γὰρ ἀναπτύοντες τὰ κατὰ τὸν πνεύμονα περιεχόμενα πτύελα. πλευριτικοὶ 720 δὲ καὶ τῷ παρηγορεῖσθαι τὰς | ὀδύνας ὀνίνανται μεγάλως· διὸ καὶ δυοῖν θάτερον ἢ οὕτω γραπτέον ἐστὶν ἁρμόζει δ᾿ ⟨ἐν⟩ περιπνευμονίῃσι καὶ πλευρίτισι μᾶλλον ἢ ἐν καύσοισιν ἢ προσυπακούειν χρὴ τῇ περιπνευμονίᾳ τὴν πλευρῖτιν· αὕτη γὰρ ὀδύνην ἔχει κατὰ τὴν πλευράν, οὐχ ἡ περιπνευμονία.

μᾶλλον δ᾿ ἁρμόττειν μὲν περιπνευμονίαις ἢ καύσοις εἰπὼν τὸ λουτρὸν ἐδήλωσεν, ὅτι καὶ τῶν καυσουμένων ἐνίους ὠφελεῖ· διορισμοῦ δὲ χρεία δηλονότι πρὸς τὴν λέξιν ταύτην, ὃν οὔπω δυνάμεθα ποιήσασθαι διὰ τὸ μηδὲν εἰρῆσθαι περὶ τοῦ καιροῦ, καθ᾿ ὃν δὴ κελεύει λούειν τοὺς κάμνοντας. τίνας οὖν οὐδ᾿ ὅλως ἀξιοῖ λούειν, πρότερον ἀκούσαντες αὐτοῦ κατὰ τὴν ἑξῆς ῥῆσιν ἐρεῖν μέλλοντος, οὕτως ἀφιξόμεθα πρὸς τὸν τοῦ λουτροῦ καιρόν.

III 58 [I 18. II 370, 3 L.] Ἥκιστα δὲ λούειν καιρὸς τούτους, οἷσιν ἡ κοιλίη ὑγροτέρη τοῦ καιροῦ ἐν τῇσι νούσοισιν, ἀτὰρ οὐδὲ οἷσιν ἕστηκε μᾶλλον τοῦ καιροῦ καὶ μὴ προδιελήλυθεν. 721 οὐδὲ τοὺς | γεγυιωμένους χρὴ λούειν, οὐδὲ τοὺς ἀσώδεας ἢ ἐμετικούς, οὐδὲ τοὺς ἐπανερευγομένους χολῶδες, οὐδὲ τοὺς αἱμορραγέοντας ἐκ ῥινῶν, εἰ μὴ ἔλασσον τοῦ καιροῦ ῥέοι· τοὺς δὲ καιροὺς οἶδας· εἰ δὲ ἔλασσον τοῦ καιροῦ ῥέοι, λούειν, ἤν τε ὅλον τὸ σῶμα πρὸς τὰ ἄλλα ἀρήγῃ ἤν τε τὴν κεφαλὴν μοῦνον. ἢν οὖν αἵ τε παρασκευαὶ ἔωσιν ἐπιτήδειοι καὶ ὁ κάμνων μέλλῃ εὖ δέξασθαι τὸ λουτρόν, λούειν χρὴ ἑκάστης ἡμέρης.

10 κατὰ τὴν πλευράν] *cf. Gal. IX 563. VIII 326. XI 77* 17 ἀφιξόμεθα] *p. 266, 6 sqq.*

1 τί] τὸ S ὠφελεῖν S 2 πλευρὴν CRST: πλευρὰν AM 3 παρηγορικὸν TV: παρηγορητικὸν *cett.* 5 ὠφέλιμον A γὰρ A: γοῦν *cett.* 6 τὸν ABCSM: *om.* RV 8 ἢ οὕτω *Aldus*: ἢ οὕτω γε V: *totum om. cett.* 9 καύσεσι CR τῇ τε M 10 περιπνευμονίᾳ *scripsi*: περιπνευμονίῃ *codd.* πλευρίτιδα M ἣν ἔχει RS 11 *post* περιπνευμονία *add.* φέρει *codd., sed del.* A 14 οὐδέπω AST 15 δεῖ κελεύειν S 16 οὖν *om.* S οὐδ᾿ BCMR: οὔθ᾿ AS 17 μέλλοντος ἐρεῖν M: ἀκούειν μέλλοντες T πρὸς] περὶ M 18 τὸν τοῦ AMST: τὸν περὶ τοῦ BCR 19 τούτους V: τούτοισιν (τουτοίοισιν M) *cett.* 20 ὑγροτέρα AM 21 ἕστηκε *Hipp.*: ἑστήκει *codd.* προδιελήλυθεν S: προεληλύθει *cett.* 22 οὐδὲ *(prius) Hipp.*: οὕτω R: οὔτε *cett.*: ἀλλ᾿ οὐδὲ *Chartier* οὐδὲ *(alt.) Hipp.*: οὔτε *codd.*: οὔτε δὴ *Chartier* 23 οὐδὲ *(utroque loco)* ACMS: οὔτε RV 25 τοὺς δὲ . . . ῥέοι *om.* T εἰ δὲ *Hipp.*: ἢν δὲ *codd.* 26 τἄλλα M 27 μοῦνον T: μόνον ABRS: μόνην CMV ἢν . . . ἡμέρης *(29) exhibent* ACRS: *om.* BMTV τε AS: *om. cett.* ἔωσιν ACS: *om.* R 28 μέλλῃ A: μέλλει *cett.* εὖ *om.* C *cum Hipp. cod. A* 29 ἡμέρας AS

Οἷς μὲν ὑπέρχεται τὰ κατὰ τὴν γαστέρα πλείονα, τὸ βαλανεῖον ἵστησιν ἀντισπῶν αὐτὰ πρὸς ὅλον τὸ σῶμα, καὶ ταύτῃ βλάπτεται· τοῖς δὲ μηδ᾽ ὅλως διακεχωρηκόσιν ὅτι προεκκενῶσαι βέλτιόν ἐστι τὴν παλαιὰν κόπρον, οὐδεὶς ἀγνοεῖ, καθάπερ οὐδ᾽ ὅτι τοὺς γεγυιωμένους, τουτέστι τοὺς καταλελυμένους τὴν δύναμιν, ἐπικαταλύει τὸ βαλανεῖον. ἀλλὰ καὶ τοὺς ἀσώδεις, φησί, καὶ ἐμετικοὺς οὐ χρὴ λούειν· καὶ γὰρ καὶ τούτους ἐξαίφνης καταλυθῆναι φόβος, ὥστε τὴν καλουμένην ἀκολουθῆσαι στομαχικὴν συγκοπήν. ἐγγὺς δ᾽ αὐτοῖς εἰσι | καὶ οἱ ἐκκεχολω- 722 μένοι τὸ στόμα τῆς κοιλίας, οὓς διὰ τοῦ γνωρίσματος ἐδήλωσεν εἰπών· οὐδὲ τοὺς ἐπανερευγομένους χολῶδες. ὡσαύτως οὐδὲ τοὺς αἱμορραγοῦντας ἐκ ῥινῶν αὐτάρκως προσήκει λούειν. εὔλογον γὰρ οὖν, ἐὰν ἐλλιπέστερον αἱμορραγῶσιν, λούειν αὐτούς· οὗτοι δ᾽ εἰσὶ καὶ οἱ λάβρου τοῦ λουτροῦ δεόμενοι κινήσεως σφοδροτέρας ἕνεκα τοῦ κατὰ τὴν κεφαλὴν αἵματος· ὡσαύτως δὲ λούσομεν, εἰ χρῄζοντες αἱμορραγίας μηδ᾽ ὅλως αἱμορραγοῖεν. ἐκ δὲ τοῦ προσθεῖναι ἤν τε ὅλον τὸ σῶμα πρὸς τὰ ἄλλα ἀρήγῃ ἤν τε τὴν κεφαλὴν μοῦνον, ἔτι σαφέστερον ἐδήλωσεν, ὡς πολλάκις ἐν οἴκῳ τεθερμασμένῳ καθίζων τὸν κάμνοντα χωρὶς τῆς πυέλου καταντλεῖ τὴν κεφαλὴν μόνην χωρὶς τοῦ λοιποῦ σώματος ὕδατι θερμῷ.

III 59 [I 18. II 371, 13 L.] Τοὺς δὲ φιλολουτροῦντας, οὐδ᾽ εἰ δὶς τῆς ἡμέρης λούοις, οὐδὲν ἂν βλάπτοις.

Καὶ ταύτην τὴν ῥῆσιν ὁ δοὺς ἰατρὸς | Βίκτωρι τῷ Ῥώμης ἐπάρχῳ 723 τὸ Περὶ τῆς καθ᾽ Ἱπποκράτην διαίτης καὶ ἄλλας τινὰς ἐξ ἡμισείας ἐνέγραψε τῷ βιβλίῳ, καθάπερ κἀκείνην, ἐν ᾗ φησιν "ὅτι οὐ στερητέαι αἱ πρῶται ἡμέραι τοῦ ῥοφήματος", ἔτι δὲ πρὸς αὐτῇ "καὶ τοῖσι μέν γε εἰθισμένοισι δὶς σιτεῖσθαι τῆς ἡμέρης δὶς δοτέον". ἀλλὰ τούτων μὲν τῶν δύο ῥήσεων ἑκατέρας ἀφεῖλε τὸ ἥμισυ μέρος, τῆς δὲ νῦν προ-

1 Οἷς μὲν . . . αἱμορραγοῖεν *(15)*] *exc. Orib. X 1, 24 sqq. (II 378 sq.)* 7 τὴν καλουμένην στομαχικὴν συγκοπήν] *cf. Gal. VIII 301 sq. 342* 10 οὐδὲ τοὺς αἱμορραγοῦντας] *cf. Gal. XI 53* 24 φησιν] *p. 199, 26* 25 καὶ τοῖσι] *p. 141, 14 sq.*

1 τὴν *om. Orib.* τὸ βαλανεῖον *om.* ASTV: *add.* A[1] 2 αὐτὸ AS 3 προκεκενῶσθαι M 5 τῷ βαλανείῳ A 6 οὐ χρὴ λ. *Orib.*: λούειν οὐ χρὴ A: οὐ λ. *cett.* 6. 7 καὶ γὰρ καὶ CR, *Orib.*: καὶ γὰρ *cett.* 8 δ᾽ *om.* M 11 *post* λούειν *add.* ἀμετρότερον γὰρ αἱμορραγήσουσιν *Orib.*, *quae interpres quoque lat. legisse videtur vertens 'quia habentes fluxum sanguinis narium quando balneantur pertransit mensuram in multitudine sua'* εὔλογον . . . λούειν *om.* AST: *add.* A[1] *in mrg.* γὰρ *om. Orib.* 13 καὶ κινήσεως ACMRST 14 χρῄζοιεν A: χρῄζομεν S 15 εἰ μηδ᾽ S τὸ ὅλον c. A 16 τἄλλα CMR 18 τῆς AMRS: τοῦ CTV πτυέλης M 20 φιλολουτροῦντας *codd.*: φιλολουτρέοντας *Aldus* οὐδ᾽ *om.* CMR 21 εἰ ABMSV: εἰ δ᾽ οὐ CR: εἰ καὶ *Chartier* ἡμέρης BT: ἡμέρας *cett.* λούοις BST: λούεις ACMR: λούσῃς V βλάπτοις ABMSTV: βλάπτεις R: βλάπτῃς C: ἁμάρτοις *edd.* 22 ὑπάρχῳ R: ἐπάρχῳ *cett.* 23 ἔγραψε BM 24 οὐχ A[1]C: *om.* ABMST στερητέαι *Hipp.*: ὑστερητέαι *codd.; cf. supra l. l.* 26 γε *om.* M 27 ἀφεῖλε . . . τοὺς *(266, 2) om.* M

κειμένης ἀφεῖλε μὲν οὐδέν, οὐ προςέθηκε δὲ τὸν καιρόν, ἐν ᾧ τοὺς φιλολουτροῦντας ἐπιλέγει τοὺς ἐν τῷ τῆς ὑγιείας χρόνῳ χαίροντας τῷ λούεσθαι καὶ διὰ τοῦτο πολλάκις λουομένους· οὗτοι γὰρ εἰς τὸ λούσασθαι προςλαμβάνουσι τὸν ἐκ τοῦ ἔθους σκοπόν. ἐφεξῆς γοῦν ἀκούσωμεν αὐτοῦ τὸν καιρόν, ἐν ᾧ κελεύει λούεσθαι τοὺς κάμνοντας.

III 60 [I 18. II 372 L.] Χρῆσθαι δὲ λουτροῖσι τοῖσιν ὅλῃσι πτισάνῃσι χρεομένοισι παρὰ πολὺ μᾶλλον ἐνδέχεται ἢ τοῖσι χυλῷ μούνῳ χρεομένοισιν· ἐνδέχεται δὲ καὶ τούτοισιν ἐνίοτε, ἥκιστα δὲ καὶ τοῖσι ποτῷ μούνῳ χρεομένοισιν. |

724 Ἐν τούτῳ τῷ λόγῳ τὸν καιρὸν ἐδήλωσεν, ἐν ᾧ προςήκει λούεσθαι, καὶ εἴπερ ἐν ἀρχῇ προείρητο, πολλὰ ἂν οὕτω τῶν μεταξὺ λεγομένων οὐκ ἦν ἀσαφῆ. πτισάνας γὰρ ὅλας δίδωσι τοῖς ἐπιεικῶς ἔχουσιν, ὅσοι δ᾽ αὐτῶν φαυλότερον διάγουσι, χυλὸν μόνον· ὅσοι δὲ καὶ τούτων ἔτι σφαλερώτερον ἢ ὀξύτερον νοσοῦσι, μόνα τὰ ποτά. καὶ ὅτι δὲ τὸν λόγον ἐπὶ τῶν κατὰ θώρακα καὶ πνεύμονα παθῶν ἐν ὅλῳ τῷ συγγράμματι πεποίηται, τὰ πλεῖστα τῶν καθόλου διδάσκων ὡς ἐπὶ παραδειγμάτων ἐν τοῖσδε τοῖς μέρεσι τῶν νοσημάτων καὶ μάλιστα τῆς πλευρίτιδος, ἐπιδέδεικται πολλάκις· ἐδείχθη δ᾽, ὅτι πεφθέντων τῶν παθῶν χρῆσθαι κελεύει πτισάνῃ. τότ᾽ οὖν καὶ τὸ λουτρὸν ἀκινδύνως προςάγεται, μέγιστα συντελοῦν εἰς τὴν ἐκκάθαρσιν τῶν περιεχομένων πτυέλων ἐν θώρακι καὶ πνεύμονι. τοῖς οὖν οὕτως ἔχουσιν, ὅταν καὶ ἡ ἀπὸ τοῦ ἔθους ἔνδειξις προςέλθῃ, διπλασιάσαι τὸ λουτρὸν οὐδὲν κωλύει· τοῖς μέντοι ποτῷ μόνῳ χρωμένοις ἥκιστά φησιν ἁρμόττειν τὸ λουτρόν, ὅπερ
725 ση|μαίνει τὸ ἐλάχιστα καὶ οὐχ, ὡς ἔνιοί φασι, τὸ οὐδαμῶς· ἐπιφέρων γοῦν ἐρεῖ·

III 61 [I 18. II 372,5 L.] Ἔστι δ᾽ οἷσι καὶ τούτων ἐνδέχεται. τεκμαίρεσθαι δὲ χρὴ τοῖσι προγεγραμμένοισιν, οὕς τε μέλλει λουτρὸν ὠφελέειν ἐν ἑκάστοισι τῶν τρόπων τῆς διαίτης οὕς

18 ἐπιδέδεικται πολλάκις] *e. g. p. 155, 7 sq.* ἐδείχθη] *p. 200, 23 sq.* πεφθέντων . . . κωλύει *(22)*] *exc. Orib. X 1, 30 (II 379 Daremb.)*

1 οὐ *om.* ST 3 καὶ διὰ . . . λούσασθαι *(4) om.* T 4 λούεσθαι A ἑξῆς M 6 χρῆσθαι] αἱρῆσθαι CR: χρέεσθαι *edd.* δὲ *om.* S τοῖσιν *om.* MR 8 μούνω S: μόνω *cett., item v. 9* 9 δὲ *om.* S *Huic lemmati commentario transposito subiungit sequens* ἔστι δ᾽ οἷσι . . . οὐ δεῖ λούειν A 13 φαυλοτέρως S: φλαυρότερον R δοτέον *add. ante* μόνον A 14 ἔτι *om.* A σφαλερ.] φαυλότερον CR 15 τὸν θώρακα M 17 τῆς *om.* A 18 *post* ὅτι *add.* καὶ V 19 τῇ πτισάνῃ V 20 μέγιστα] μάλιστα R *a vocabulo* πτυ[έλων *deficit* T *usque ad* κατὰ *p. 268, 8* 21 καὶ *(alt.) om.* AS τοῦ *Orib.*: *om. codd.* 22 διπλάσαι A^1 23 μέντοι γε B μόνω ποτῶ M τὸ *om.* BCMRS 24 ἐλάχιστα ABCRS: ἐλάχιστον M φασι] νομίζουσι A οὐδόλως M 26 δὲ καὶ (τοῦτο μὲν S) οἷσι CS τούτων A^1B: τοῦτο AMV: τουτέων *cett.* *ante* ἐνδέχεται *inserunt* μὲν *codd.*: *omisi cum Hipp. codd.* *post* ἐνδέχεται *add.* χρῆσθαι M 27 τεκμαίρεσθαι . . . λούειν *(267, 4) praebent* AS: *om.* CMRV: τεκμαίρεσθαι . . . ἐνδέχεται *(267,5) om.* B προςγεγρ. S

τε μή· οἷϲι μὲν γὰρ προϲδεῖταί τινοϲ κάρτα τούτων, ὅϲα λουτρὸν ἀγαθὰ ποιέει, λούειν, καὶ ὃϲ ἂν λουτρῷ ὠφελῆται· οἷϲι δὲ τούτων μηδενὸϲ προϲδεῖ καὶ πρόϲεϲτιν αὐτοῖϲι τῶν ϲημείων, ἐφ᾽ οἷϲ λούεϲθαι οὐ ξυμφέρει, οὐ δεῖ λούειν.

Οὐ προϲέθηκε δὲ τὸ πότε τούτοιϲ ἐνδέχεται χρῆϲθαι λουτρῷ· λεκτέον οὖν ἡμῖν ἐϲτιν ἑπομένοιϲ αὐτοῦ τῇ ὅλῃ διανοίᾳ. ποτοῖϲ μόνοιϲ διαιτᾷ ὁ Ἱπποκράτηϲ τοὺϲ ὀξέωϲ νοϲοῦνταϲ, ὅταν ἐλπίζῃ τὴν δύναμιν αὐτῶν ἐξαρκέϲαι εἰϲ τὴν τοῦ νοϲήματοϲ ἀκμήν, ἐνίοτε μὲν ἅμα τῇ πέψει γίνε|ϲθαι πεφυκυῖαν, καθάπερ ἐπὶ τῶν κατὰ θώρακα καὶ πνεύμονα· 726 πεφθέντων γὰρ τῶν ἐργαζομένων τὰ πάθη χυμῶν εὐθέωϲ ἀναπτύουϲιν· ἂν δ᾽ ἄρξωνται μόνον πτύειν οἷα δεῖ, κατ᾽ οὐδέτερον ἔτι τῶν τρόπων ἡ νόϲοϲ αὐξηθήϲεται, οὔτε κατὰ τὴν διάθεϲιν οὔτε κατὰ τὰ ϲυμπτώματα. πολλάκιϲ γὰρ ἡ μὲν διάθεϲιϲ αὐτή, καθ᾽ ἣν νοϲοῦϲιν, ἐπιεικεϲτέρα γίνεται, τὰ δὲ ϲυμπτώματα αὐξάνεται, καθάπερ ἐπὶ τῶν φλεγμαινόντων μορίων, ὡϲ αὐτὸϲ εἶπε· "περὶ τὰϲ γενέϲιαϲ τοῦ πύου οἱ πόνοι καὶ οἱ πυρετοὶ ϲυμβαίνουϲι μᾶλλον ἢ γενομένου." πολλάκιϲ δ᾽ ἀλλήλοιϲ ϲυναυξάνεται καὶ ϲυμμειοῦται τά τε τῶν ϲυμπτωμάτων μεγέθη καὶ τὸ τῆϲ διαθέϲεωϲ, καὶ γίνεταί γε τοῦτο κατ᾽ ἐκείναϲ τὰϲ φλεγμονάϲ, ἐν αἷϲ ἐκροὴν ἔχει τὸ γεννώμενον πῦον, ὡϲ ἐπὶ τραυμάτων τέ τινων εἴωθε γίνεϲθαι καὶ κατὰ τὰϲ περιπνευμονίαϲ τε καὶ πλευρίτιδαϲ.

ἐνδέχεται οὖν ἐν τούτοιϲ τοῖϲ νοϲήμαϲιν ἔτι διαιτωμένουϲ τοὺϲ κάμνονταϲ ἐπὶ ποτοῖϲ μόνοιϲ οὐκ ἀνωφελῶϲ χρῆϲθαι λουτροῖϲ, ἐπειδὴ καὶ τῆϲ ὀδύνηϲ αὐτῶν ἔφη παρηγορικὸν εἶναι τὸ λουτρὸν καὶ πτυέλου πεπαντικόν. ἀλλὰ δηλονότι προκενώϲανταϲ τοῦτο χρὴ ποιεῖν, εἰδόταϲ | ἐν τῷ καθόλου περὶ λουτροῦ δυνάμεωϲ, ὡϲ, ἐὰν μὴ προκεκενωμένῳ 727 τῷ ϲώματι προϲάγηται, ῥευματίζει τὰ πεπονθότα· κεκενωμένῳ δὲ προϲφερόμενον τῇ πέψει ϲυνεργεῖ δύναμιν ἔχον προϲκενοῦν προκεκενωμένου τοῦ ὅλου ϲώματοϲ. διὸ καὶ τῶν καυϲωδῶϲ νοϲούντων ἐκείνοιϲ ἁρμόϲει μόνοιϲ, ὅϲοι χωρὶϲ ὄγκου φλεγμονώδουϲ ἢ ἐρυϲιπελατώδουϲ νοϲοῦϲι,

15 εἶπε] *Hipp. Aph. II 47 (IV 482 L.)* 23 ἔφη] *p. 263, 20 sq.* 25 ἐν τῷ καθόλου . . . ϲυνεργεῖ *(27)*] *exc. Orib. X 1, 31 (II 380 Daremb.)*

1 προϲδεῖται AS: προϲδέεται *edd.* τούτων A: τουτέων S ὅϲα . . . τούτων *(3) om.* S ὅϲα A: ὁκόϲα *edd.* 2 ἀγαθὰ A: ἀγαθὸν *edd.* λούειν A: οὐ λ. *a Basil. edd.* καὶ ὃϲ *scripsi*: δὲ καὶ ὃϲ A: καὶ ὅϲα *edd.*: καθ᾽ ὅϲα *Kühlewein; cf. Littré p. 373, 33 not.* ὠφελῆται A: ὠφελέηται *edd.* 3 αὐτοῖϲι A: αὐτέοιϲι S 4 οἷϲ AS: οἷϲι *edd.* οὐ ξυμφέρει AS: οὐ *om. edd.* οὐ δεῖ AS: δεῖ *edd.* 5 τούτοιϲ ACR: τούτουϲ *cett.* χρήϲαϲθαι AS 6 ἐϲτιν *om.* M 7 διαιτᾶν M 8 ἐνίοτε μὲν ABCMS: ἐνίοτε R: ἥτιϲ ἐνίοτε V τὸ τὴν πέψιν M 9 γίνεϲθαι πεφυκυῖαν (-υῖα BCR) ABCMR: γίνεϲθαι S: γίνεται V
10 ἀναπτύουϲιν A: -ύϲουϲιν RS: -ύϲωϲιν BMV: -ύϲονται C 11 τὸν τρόπον M 13 μὲν γὰρ ἡ μὲν C αὕτη ABS 15. 16 οἱ πόνοι καὶ οἱ πυρετοὶ ϲυμβαίνουϲι M, *Hipp.*: τοὺϲ πόνουϲ καὶ τοὺϲ πυρετοὺϲ ϲυμπίπτειν *cett.* 17 πλήθη A: μεγέθη A[1] 18 γε] τε V: *om.* M 19 γενόμενον A 22 χρήϲαϲθαι AS
λουτροῖϲ ABMSV: τοῖϲ λ. CR 23 ἔφη *om.* A παρηγορητικὸν AS 24 πρόκ. δηλ. A προκενώϲανταϲ ABMS: προκενώϲαντα CR ποιεῖϲθαι A 25 λουτροῦ δυνάμεωϲ ABRS: λουτρῶν δυνάμεων MV ἕωϲ S ἂν SV, *Orib.*
25. 26 προκεκενωμένου τοῦ ϲώματοϲ S 26 κεκενωμένου M 27 ϲυνεργεῖ τῇ πέψει A τὸ μέροϲ *supra* προϲκενοῦν *add.* A[1] 28 ἁρμότει B 29 ὅϲοιϲ M

ζεούσης αὐτοῖς τῆς ἐν ὅλῳ τῷ σώματι χολῆς· ἐὰν δὲ καὶ πέψεως ἔχωσι γνωρίσματα, πολλῷ μᾶλλον αὐτοῖς ἁρμόσει. γινομένου δὲ καυσώδους πυρετοῦ καὶ δι' ἁλυκὸν φλέγμα σηπόμενον ἰστέον ἐπ' ἐκείνων ἐναντιώτατον ὑπάρχειν τὸ βαλανεῖον· οὔτε γὰρ διαφορεῖται κατὰ τὸ δέρμα, καθάπερ ὁ πικρόχολος χυμός, οὕτω καὶ ὁ φλεγματικὸς διὰ τὸ παχύς τε καὶ γλίσχρος ὑπάρχειν οὔτε σβέννυται πολυχρονίου πέψεως δεόμενος.

Περὶ τῶν ἀναβληθέντων ὕστερον ῥηθῆναι.

Μέμνημαι κατὰ τὴν ἀρχὴν τῆς ἐξηγήσεως τοῦ βιβλίου τούτου πρὸς τοὺς Κνιδίους ἰατροὺς εἰπόντος Ἱπποκράτους· "ὁκόσα δὲ προσ-
728 καταμαθεῖν δεῖ τὸν ἰατρὸν μὴ λέγοντος τοῦ | κάμνοντος, τούτων [τὰ] πολλὰ παρεῖται." ταῦτα οἱ μὲν δογματικὸν εἶναι νομίζοντες τὸν Ἱπποκράτην τοὺς πεπονθότας τόπους ἔφασαν εἶναι καὶ τὰς διαθέσεις αὐτῶν καὶ τὰς αἰτίας, οἱ δ' ἐμπειρικόν, ὥρας τε καὶ χώρας καὶ ἡλικίας ἔθη τε καὶ καταστάσεις τοῦ περιέχοντος ἡμᾶς ἀέρος. ἐγὼ δὲ καὶ ταῦτα μὲν ἅπαντα χρήσιμα τοῖς ἰατροῖς οἶδα, τά θ' ὑπὸ τῶν δογματικῶν εἰρημένα καὶ τῶν ἐμπειρικῶν· ἀλλὰ κατά γε τὸ βιβλίον τοῦτο σκοποὺς εἰπὼν ὁ Ἱπποκράτης πολλούς, πρὸς οὓς ἀποβλέπων τις εὑρήσει τὰ διαιτήματα, τῶν εἰρημένων οὐδενὸς ἐμνημόνευσεν ὅτι μὴ τῶν ἐθῶν, ἄλλα δέ τινα προὐχειρίσατο περὶ ὧν ἀναμνήσεως ἔδει, καὶ διὰ ταῦτα τὸν λόγον ἀνεβαλόμην, ἵνα διὰ συντόμων ἑρμηνεύων ὅμως ἔχω παρακολουθοῦντας τῷ λόγῳ τοὺς ἀνεγνωκότας ὅλον τὸ βιβλίον.

εἷς μὲν δὴ καὶ πρῶτος αὐτῷ σκοπός, ὡς ἐπὶ παραδείγματος τοῦ νοσήματος τῆς πλευρίτιδος, οὕτως εἴρηται κατὰ λέξιν· "ἢν μὲν ξηρότερον ᾖ τὸ νόσημα ἢ ὡς ἄν τις οἴοιτο, οὐ χρὴ ἐπὶ πλέον διδόναι,
729 ἀλλὰ προπίνειν | πρὸ τοῦ ῥοφήματος ἢ μελίκρητον ἢ οἶνον ὁκότερον ⟨ἂν⟩ ἁρμόζῃ." καὶ μετὰ τοῦτο πάλιν ἐφεξῆς τάδε λέγει· "ἢν δὲ ὑγραίνηται τὸ στόμα καὶ τὰ ἀπὸ τοῦ πνεύμονος ᾖ ὁκοῖα δεῖ, χρὴ ἐς πλῆθος ἐπιδιδόναι τοῦ ῥοφήματος, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι." ταῦτα μὲν οὖν καὶ τὰ τούτοις ἐφεξῆς οὐ διώρισται παρὰ τοῖς Κνιδίοις ἰατροῖς. ἀλλὰ καὶ μετὰ ταῦτα τῇ πέψει τοῦ νοσήματός φησι χρῆναι προσέχειν, καὶ ὁ σκοπὸς οὗτος αὐτῷ σχεδόν ἐστι τοῦ τε παντὸς εἴδους τῆς διαίτης ὅσαι τε κατὰ μέρος αὐτῆς γίνονται μεταβολαί. ἀλλὰ καὶ τούτων ἐφεξῆς ἄλλους διορισμοὺς τοιούτους λέγει· "οἷσι γὰρ σῖτος αὐτίκα ἐγ-

9 ὁκόσα δὲ . . . παρεῖται *(11)*] *p. 117, 8* 23 ἢν μὲν . . . ἁρμόζῃ *(26)*] *p. 142, 23* 26 ἢν δὲ . . . εἰρῆσθαι *(28)*] *p. 143, 19* 33 οἷσι γὰρ . . . ποιήσειεν *(269, 2)*] *p. 149, 7*

1 αὐτῆς τῆς C 8 μέμνηται ACR *a vocab.* τὴν *rursus inc.* T 9 προκαταμαθεῖν V 10 δεῖ] χρὴ A τὰ *delevi; cf. Gal. l. l.* 11 μὲν οἱ M 18 οὐδ' ἑνὸς M 19 δεῖ M 20 ἀνεβαλόμην BMT: ἀνεβαλλόμην CRS: ἀνελαβόμην A διασυντόμως M ἑρμηνεύσω M 21 τὸ βιβλίον ὅλον S 22 αὐτῷ] αὐτοῦ ὁ M 22. 23 τοῦ νοσήματος *om.* V 23 οὕτως ABCMRS: οὗτος V εἴρηκε M *(compendiose)* 24 πλεῖον AST 25 πρὸ *om.* A μελίκρατον AS ὁκότερον A: ἢ ὁκ. *cett.* 26 ἂν *sec. p. 142,25 addidi* ἁρμόζει *codd.* λέγει τάδε M 27 τοῦ *om.* S ᾖ *scripsi*: εἴη *codd.* 28 τοῦ ῥοφ. ἐπιδοῦναι A 29 παρὰ] περὶ MS 31 ὁ *om.* A τε *om.* A 32 αὐτῆς BM: αὐτῷ A: ἐν αὐτῷ CRS: *om.* V 33 οἷσι BCMR: ὅσοισι ASV αὐτίκα A: *om. cett.*

κατακέκλειςται, εἰ μή τις ὑποκενώςας τὸ ῥόφημα δοίη, τὴν ὀδύνην ἐνεοῦ-σαν προςπαροξύνειεν ἂν καὶ μὴ ἐνεοῦςαν εὐθέως ποιήςειεν.'' καὶ πάλιν ἐφεξῆς· ''τοῦτο δ', ἢν ἔτι τῆς ὀδύνης τοῦ πλευροῦ ςυνεχέος ἐούςης καὶ πρὸς τὰ θερμάςματα μὴ χαλώςης καὶ τοῦ πτυέλου μὴ ἀνιόντος, ἀλλὰ καταγλιςχραινομένου ἀςαπέως, ἢν μὴ λύςῃ τις τὴν ὀδύνην ἢ κοιλίην μαλθάξας ἢ φλέβα ταμών, ὁκότερον ἂν τούτων ςημαίνῃ, τὰς δὲ πτιςάνας ἢν οὕτως ἔχουςι | διδῷ, ταχέως οἱ θάνατοι τῶν τοιούτων 730 γίνονται.'' μετὰ ταῦτά γε πάλιν διοριζόμενός φηςιν· ''ἢν μὲν νεοβρῶτι αὐτῷ ἐόντι καὶ κοιλίης μήπω ὑποκεχωρηκυίης ἄρξηται ὁ πυρετός, ἤν τε ςὺν ὀδύνῃ ἤν τ' ἄνευ ὀδύνης, ἐπιςχεῖν τὴν δόςιν τοῦ ῥοφήματος, ἔςτ' ἂν οἴηται κεχωρηκέναι ἐπὶ τὸ κάτω μέρος τοῦ ἐντέρου τὸ ςιτίον.'' καὶ πάλιν ἐφεξῆς· ''ἢν δὲ μὴ ὑπεληλύθῃ ὁ παλαιότερος ςῖτος νε-οβρῶτι ἐόντι, εἰ μὲν ἰςχύει τε καὶ ἀκμάζει τὴν ἡλικίαν, κλύςαι, ἢν δὲ ἀςθενέςτερος ᾖ, βαλάνῳ προςχρήςαςθαι, ἢν μὴ αὐτόματα διεξίῃ καλῶς.'' ἐνταῦθ' οὖν προςέθηκε καὶ τὸν ἀπὸ τῆς δυνάμεως ςκοπὸν ὥςπερ κἀν τοῖς ἐφεξῆς πολλάκις, ἅμα καὶ τοῦτο κελεύων ἐπιςκοπεῖςθαι, τίς αἰτία καὶ διάθεςίς ἐςτιν ἡ καταβάλλουςα τὴν δύναμιν· ἔνθα καὶ προςέθηκεν, ὡς ἀγνοοῦνται ταῦτά ⟨τε⟩ τοῖς ἰατροῖς καὶ μέντοι καὶ ὅτι τοῖς μὲν εἰς ὑποχόνδριον τὴν ὀδύνην περαινομένην ἔχουςιν ἡ κάθαρςις ἡ διὰ τῶν τοιῶνδε φαρμάκων ὠφέλιμός ἐςτι, τοῖς δὲ πρὸς βραχίονα καὶ ςτῆθος ἀνατεινομένην αὐτὴν μετὰ βάρους ἔχουςι φλεβοτομία.

ταῦτά τε οὖν καὶ ἄλλα τοιαῦτα καὶ ἔτι τὰ περὶ τῶν ἐθῶν | προ- 731 ειρημένα παραλέλειπται παντάπαςιν ὑπὸ τῶν Κνιδίων ἰατρῶν καὶ πολὺ μᾶλλον τούτων αἱ φύςεις καὶ αἱ κράςεις τῶν ςωμάτων, ὧν πολλάκις ἐμνημόνευςεν ἐν τῷ βιβλίῳ, τοὺς μὲν πικροχόλους ὀνομάζων, τοὺς δὲ μελαγχολικούς. ἐχόμενος δὲ τῶν ςκοπῶν τούτων καὶ περὶ τῆς τῶν ὑγιαινόντων ἐν τῇ διαίτῃ μεταβολῆς ἐδίδαξεν, ὅπως ἐπανορθωτέον ἐςτί, καὶ περὶ τῆς τῶν καμνόντων. ἔν τε τῷ περὶ οἴνου καὶ μελικράτου καὶ ὀξυμέλιτος καὶ ὕδατος λόγῳ τῶν αὐτῶν τούτων ἐμνημόνευςε ςκοπῶν.

3 τοῦτο . . . γίνονται *(8)*] *p. 150, 8* 8 ἢν μὲν . . . ςιτίον *(11)*] *p. 154, 12* 12 ἢν δὲ μὴ . . . καλῶς *(14)*] *p. 160, 15* 25 πικροχόλους] *p. 220, 9 sqq.* 26 μελαγχολικούς] *p. 251, 5* 27 ἐδίδαξεν] *p. 179, 10 sqq.* 29 λόγῳ] *p. 218–257*

1 εἰ AM: ἢν *cett.* ἐνεοῦςαν ACMST: ἐνοῦςαν BRV 2 *supra* παροξ. *add.* προς A[1]: παροξ. *cett.* ἐνεοῦςαν ACST: ἐοῦςαν BMRV 3 οὔςης CR 4 θερμὰ BM ἀνιόντος *Gal. p. 150, 10*: ἀπιόντος *codd.* 5 καταγλιςχρο-μένου V ἀςαπῶς ABMSV: ἀςαπέος CR 6 κοιλίην A: τὴν κ. *cett.* τεμών *codd.*: ταμών *Gal. p. 150, 12* ἢ ὁκ. A ςημεῖον M 7 ἔχωςι MRSV διδῷ *scripsi*: δίδως *codd.* ταχέες S τοιούτων ACR: τοιουτέων *cett.* 8 μετὰ δὲ τ. γε S ἢν] εἰ A μὲν οὖν M νεοβρώτῳ CV 9 ὑποκεχωρηκυίας A: κεχωρηκυίης MS: ὑποκεχωρημένης R 10 *a vocab.* ςὺν *defic.* T *usque ad* προ]-αίρεςιν *p. 271, 8* 11 κεχωρηκέναι *post* ἐντέρου *transp.* A 12 ἢν *Gal. l. l.*: εἰ *codd.* δὲ] μὲν M μὴ] οὐ M ὑπεληλύθῃ CR: ὑπεληλύθει *cett.* ςῖτος A[1]: *om. cett.* νεοβρώτῳ R 14 προςχρήςαςθαι AS: προςχρῆςθαι *cett.* *supra* ἢν *add.* γε A[1] 15 οὖν *om.* S 16 ἅμα *post* κελεῦον *(sic) transp.* A 17 καταβάλουςα M 18 ταῦτα *om.* M: *delebat Diels* τε *addidit Mewaldt* εἰς *om.* MV 19 τὴν ὀδύνην *om.* M περαινομένην *scripsi*: περαιουμένην *codd.* ἔχουςιν . . . βάρους *(21) om.* CR 21 φλεβοτομίαν AS 22 τε *om.* S τὰ *om.* AMS προςειρημένα R 23 κνιδείων M 28 μελικρήτου S

ἐμνημόνευσε δὲ καὶ περὶ τῆς πέψεως τοῦ νοσήματος πολλάκις, οὐ σμικρὸν σκοπὸν οὐδὲ τοῦτον ποιούμενος ὅλης τε τῆς διαίτης καὶ τῶν ἐν ταύτῃ μεταβολῶν· ὁμοίως δὲ καὶ περὶ ἀκμῆς νοσήματος εἶπέ τι καὶ πρὸς τοῦτον ἀποβλέπων τρέφει οὐχ ὡς πρὸς τὸν φαυλότατον σκοπὸν ἐν διαίτῃ. πάντα ταῦτα καὶ ἄλλα τοιαῦτα παραλέλειπται τοῖς Κνιδίοις ἰατροῖς, ἃ χρὴ προσκαταμανθάνειν τὸν ἰατρὸν μὴ λέγοντος τοῦ κάμνοντος. |

1 ἐμνημόνευσε] *p. 196, 32 sqq. 200, 13. 201, 12. 215, 10* 3 εἶπέ τι] *p. 190, 7*

2 σμικρὸν ABCM: μικρὸν S τε *om.* C 3 ἐν ταύτῃ A[1]BCRSV: ἐνταῦθα AM τῆς ἀκμῆς C νοσημάτων AS 4 τοῦτο M 5 ταῦτα πάντα A τοιαῦτα *om.* V κνιδείοις CM 6 προσκαταμανθάνειν BCSV: προκαταμ. AM καὶ μὴ S

post κάμνοντος *subscribunt* τέλος τοῦ τρίτου λόγου A: τέλος γαληνοῦ τὸ (*om.* B) περὶ διαίτης ἱπποκράτους ὑπόμνημα τρίτον BM: τέλος τοῦ τρίτου γαληνοῦ εἰς τὸ π. δ. ὀξ. νοσημάτων ἱπποκράτους R

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΤΕΤΑΡΤΟΝ 732

Ἐν τῷ Περὶ διαίτης τὰ μετὰ τὸν περὶ τοῦ λουτροῦ λόγον εἰρη-
μένα προσηκόντως ὑπώπτευσαν οὐκ ὀλίγοι τῶν ἰατρῶν ὡς οὐχ Ἱππο-
κράτους ὄντα· καὶ γὰρ τῇ τῆς ἑρμηνείας δυνάμει καὶ τῇ τῶν θεωρη-
μάτων ἀκριβείᾳ λείπεται πολὺ τῶν ἔμπροσθεν. οὐ μὴν οὐδ᾽ ἀλόγως
ἐκινήθησαν οἱ νομίσαντες Ἱπποκράτους εἶναι καὶ ταῦτα· κατὰ γὰρ
τὴν ἐκείνου προαίρεσιν ἡ διάνοια τῶν γε|γραμμένων ἐστίν, ὡς ὑπο- 733
νοῆσαι μαθητὴν αὐτοῦ τινα γεγραφέναι. πολλὰ δ᾽ ἐν αὐτοῖς καὶ τὴν
λέξιν ἄμεμπτον ἔχει μετὰ τῆς διανοίας, ὡς ὑπονοῆσαι πάλιν ὑπ᾽ αὐτοῦ
τοῦ Ἱπποκράτους αὐτὰ γεγράφθαι παρασκευαζομένου συνθεῖναι βι-
βλίον, ὡς ὑπέσχετο κατ᾽ αὐτὸ τὸ Περὶ διαίτης ὀξέων, ἐν ᾧ κατὰ μέρος
ἑκάστου τῶν ὀξέων νοσημάτων τὴν θεραπείαν διδάξει. καὶ μὲν δὴ καὶ
ἄλλας ἔστι ῥήσεις εὑρεῖν ἐν τῷ προκειμένῳ βιβλίῳ φανερῶς οὐκ οὔσας
ἀξίας Ἱπποκράτους, ὡς ὑπονοῆσαι παρεγγεγράφθαι τοῖς γνησίοις,
ὥσπερ γε καὶ κατὰ τοὺς Ἀφορισμοὺς ἐφάνησαν ἔνιοι τοιοῦτοι πρὸς
τοῖς τελευταίοις μέρεσι τοῦ βιβλίου. τῷ γὰρ ἐν μνήμῃ πολλοῖς εἶναι
τὰ πρῶτα τῶν συγγραμμάτων οἱ παρεγγράφοντες εἰς τὰ τελευταῖα
παρεγγράφουσι· τοῦτο γοῦν αὐτὸ καὶ κατὰ τὸ Περὶ τῶν ἐν κεφαλῇ
τρωμάτων ἐφάνη γεγονὸς ἔτι τε κατὰ τὸ δεύτερον τῶν Ἐπιδημιῶν.
ὁμοίως δὲ καὶ κατὰ τὸ νῦν ἡμῖν προκείμενον βιβλίον ἔστιν εὑρεῖν παρεγ-
κείμενα καὶ μᾶλλον ἔτι πρὸς τοῖς τελευταίοις. τεσσάρων οὖν ὡς ⟨ἂν⟩ εἴ-
ποι τις εἰδῶν ὄντων ἐν αὐτῷ, τοῦ μὲν ἀξίου καὶ | κατὰ τὴν λέξιν καὶ κατὰ 734

9 πολλὰ] *cf. Gal. XVII A 578, 3 K.* 12 ὑπέσχετο] *p. 197, 26. 210, 24. 215, 12. 257, 3* 16 Ἀφορισμοὺς] *cf. Gal. XVIII A, 151—196* 19 Περὶ τῶν ἐν κεφαλῇ τρωμάτων] *III 182—261 L. cf. Gal. XVI 532. XIX 35. 36. XVII A 577* 20 τὸ δεύτερον τῶν Ἐπιδημιῶν] *V 72—139 L. cf. Gal. XVII A 579*

1 ἀρχὴ τοῦ τετάρτου M: Γαληνοῦ ὑπόμνημα εἰς τὸ περὶ διαίτης ὀξέων ἱπποκράτους λόγος τέταρτος A: Γαληνοῦ εἰς τὸ π. δ. ὀξ. νοσ. ἱπποκράτους λόγος δ̄ C: Γ. ὑπόμνημα εἰς τὸ π. δ. ὀξ. δ̄ S 3 τοῦ λουτροῦ A: λουτροῦ BCMR: λουτρὸν S: λουτρῶν V εἰρημένα] γεγραμμένα M 4 ὡς οὐχ A[1] *in mrg.*: οὐχ ὡς *cett.* 5 τῇ *(prius)*] τῶν C 6 τῆς ἔμπροσθεν S: τοῖς ἐ. M οὐδ᾽] δὲ S 8 *a vocab.* προ]αίρεσιν *rursus inc.* T 10 ἄμεπτον S: ἄμετρον R 11 γεγραφέναι S 12 αὐτὸ *om.* MV: τὸ *om.* S 12. 13 ἑκάστου κ. μ. C 13 διδάσκει S 14 εὑρεῖν ῥήσεις *colloc.* M 15 ἱππ. ἀξίας AST παραγ. BM 16 γε *om.* R ἐφάνησαν *om.* S 19 τὸ Περὶ *om.* A ἐν A: ἐν τῇ *cett.; cf. Gal. Script. min. II 112* 20 ἔτι δὲ V: ἔτι τε καὶ S 21 δὲ] εἰ S εὑρεῖν *om.* BM 22 τοῖς *om.* S ἂν *addidi* 23 καὶ *(prius)* CR: *om. cett.*

τὴν διάνοιαν Ἱπποκράτους, τοῦ δὲ καθ᾽ ἕτερον μόνον, ἤτοι τὴν λέξιν ἢ τὴν διάνοιαν, ἐνίων δὲ κατ᾽ οὐδέτερον, σημανοῦμεν τοῦτ᾽ αὐτὸ καθ᾽ ἑκάστην τῶν προχειριζομένων εἰς τὴν ἐξήγησιν λέξεων.

IV 1 [II 1. II 394 L.] Καῦσος δὲ γίνεται, ὅταν ἀναξηρανθέντα τὰ φλέβια ἐν θερινῇ ὥρῃ ἐπισπάσηται δριμέας καὶ χολώδεας ἰχῶρας ἐς ἑωυτά.

Θερινὴν ὥραν εἴρηκε τὴν θερμὴν καὶ ξηράν, ἄν τ᾽ ἐπὶ τῇ τελευτῇ τοῦ ἔαρος ἄν τ᾽ ἐν ἀρχῇ τοῦ θέρους ἄν τ᾽ ἐν τοῖς μέσοις ἢ τοῖς τελευταίοις ἄν τε κατὰ τὴν ἀρχὴν τοῦ φθινοπώρου ᾖ. δέδεικται δ᾽ ἐν τοῖς ὑπομνήμασι τῶν Ἐπιδημιῶν ἡ τοῦ περιέχοντος ἀέρος κρᾶσις ἑαυτῇ συμμεταβάλλουσα τὴν τοῦ σώματος διάθεσιν, ἡ μὲν ξηρὰ πρὸς τὸ ξηρότερον, ἡ δ᾽ ὑγρὰ πρὸς τὸ ὑγρότερον. ἐπιδέδεικται δὲ καί, ὅτι τὴν κατὰ | 735 φύσιν κρᾶσιν ἡ σύμμετρος ὥρα φυλάττει, τῶν ἄλλων δηλονότι πάντων ὡσαύτως ἐχόντων, ὅσα κατὰ τὴν ὅλην δίαιταν οἱ ἄνθρωποι πράττουσιν. ἐπιδέδεικται δὲ καί, ὅτι τῆς κατὰ φύσιν τε καὶ συμμέτρου καταστάσεως ἐξιστάμενον τὸ σῶμα, καθ᾽ ὅ τι ἂν ἐξίστηταί τε καὶ μεταβάλληται, κατὰ τοῦτο καὶ τῆς οἰκείας ἐπικουρίας δεῖται, ξηραινόμενον μὲν ὑγραίνεσθαι, ὑγραινόμενον δὲ ξηραίνεσθαι, θερμαινόμενον δὲ ψύχεσθαι, ψυχόμενον δὲ θερμαίνεσθαι. ὅταν οὖν κατά τινα περίστασιν πραγμάτων, ὧν αὐτὸς ἐρεῖ παραδείγματα, συμβῇ τινα ξηρανθῆναι φλέβια καθ᾽ ὁτιοῦν μέρος τοῦ σώματος, ἐπισπᾶται ταῦτα τὰς ἐκ τῶν πλησιαζόντων μορίων ὑγρότητας. ἐὰν μὲν οὖν, ὡς τῇ συστάσει φύσιν ὑγρὰν ἔχουσιν, οὕτω καὶ τὴν δύναμιν ἔχωσιν ὑγραντικὴν αἱ εἰς τὰς ξηρανθείσας φλέβας ὑγρότητες ἐνεχθεῖσαι, τὴν κατὰ φύσιν εὐκρασίαν ἀναλαμβάνει τὸ μόριον· ἐὰν δὲ δριμεῖα μὲν ᾖ κατὰ τὴν ποιότητα, ξηραντικὴ δὲ κατὰ τὴν δύναμιν ἡ ὑγρότης, ἐκπυροῦται τὸ σῶμα, καθάπερ εἰ καί ἡμῶν τις αὐτῶν 736 διψήσας ἐκπίοι χανδὸν ἢ οἶνον τεθαλασσωμένον ἄκρατον ἢ | ὕδωρ ἁλμυρόν. ἐγὼ γοῦν οἶδα καὶ αὐτός ποτε ἐξ ὁδοιπορίας θερινῆς διψώδης

4 Καῦσος . . . ἑωυτά *(6)*] *affert Gal. XVII B 736 sq. K.* 10 Ἐπιδημιῶν] *Gal. XVII A 4. 31. 42 al.* 12 ἐπιδέδεικται] *e. g. Gal. XVII B 617, 8* 15 ἐπιδέδεικται] *e. g. Gal. XV 184* 20 ἐρεῖ] *p. 274, 17 sqq.*

1 διάνοιαν] δύναμιν M ἑκάτερον BM 2 ἢ] ἤτοι C 4 περὶ καύσου *add. in mrg.* AS ὁκόταν R: ὅταν *cett.* 5 ἐπισπᾶται A χολώδεις S 6 ἐφ᾽ *Hipp. cod. A*: ἐπ᾽ B: ἐς *cett.* ἑωυτά AS: αὐτὰ BM: ἑαυτά *cett.* 7 εἴρηκε] εἶπε R τῇ *om.* AST 8 ἀέρος S ἄν (*post* θέρους) AMSV: ἣν R τοῖς *ante* μέσοις *om.* A 10 ἀέρος *om.* A ἑαυτῇ] ταύτῃ MS 13 ἡ AB: *om. cett.* τῶν δ᾽ MB 14 ἄλλην S 16 καὶ *om.* M μεταβάλλεται AM: μεταβέβληται *cett.*: *correxi* 17 οἰκείας *om.* A 18 ὑγραινόμενον . . . ψύχεσθαι *om.* CR 19 ὅταν BRST: ὅτ᾽ A: ὅτι M 20 εἰ συμβῇ A τὰ *ante* φλέβια *add.* A[1] 21 ταύτας M πλησίον A 22 μὲν *om.* A ἔχουσιν ST: ἔχωσιν *cett.* 23 ἔχωσιν ABCMRTV: ἔχουσιν S: *om. edd.* 24 ἑλχθεῖσαι B 25 τὴν *(prius) om.* M 26 ἡ *om.* CR ἐκπυροῦσα A: ἐκπυρεῖται A[1] αὐτοῦ C 27 ἐκπίοι ABST: ἐκπίει CMR *supra* ἄκρατον *add.* ἢ A[1] ὕδωρ] οἶνον AV 28 ἔγωγ᾽ οὖν ABS

γενόμενος, εἶτα πιὼν οἴνου παλαιοῦ κύλικα μίαν ἀκρατεστέρου βραχύ, παραυξήσας μᾶλλον, οὐ παύσας ἐπ᾽ αὐτῷ τὸ δίψος.

ὥσπερ οὖν ἡμεῖς καίτοι λογισμὸν ἔχοντες ἐπιστατοῦντα ταῖς ὀρέξεσιν ἐνίοτε μὲν ἀμελέστερον, ἐνίοτε δὲ προπετέστερον, ἔστι δ᾽ ὅτε τῷ μὴ παρεῖναι βέλτιον, ἠναγκάσθημεν ἐπί τι τῶν ἁλμυρῶν καὶ δριμέων ἀφικέσθαι ποτῶν, οὕτω καὶ ἡ ἐν ταῖς φλεψὶ δύναμις ἑλκτικὴ διὰ παντὸς ἐπισπᾶται τὴν ἐκ τῶν πλησιαζόντων ὑγρότητα, μὴ διακρίνουσα τὴν οὐσίαν αὐτῆς ὁποία τίς ἐστιν· οὐ γὰρ ἔχει λογισμόν, ὡς σκέψασθαί τι περὶ τοῦ βελτίονος, ἀλλ᾽ ὥσπερ τὰ παιδία καὶ τὰ βοσκήματα τὸ προστυχὸν ὑγρὸν αἱρεῖται διψῶντα, κατὰ τὸν αὐτὸν τρόπον κἀκείνη. ἐὰν μὲν οὖν καθ᾽ ἕν τι μέρος τοῦ σώματος ἡ διάθεσις αὕτη γένηται, κατὰ τοῦτο μόνον ἐρυσιπελατῶδές τι πάθος ἔσται· αἱ δὲ καθ᾽ ὅλον τὸ σῶμα φλέβες ὑπερξηρανθεῖσαι τὰς ἐκ τῶν σαρκῶν ὑγρότητας εἰ ἐπισπάσονται θερμὰς οὔσας, ἐν ὅλῳ τῷ σώματι γίνεται καυσώδης | διάθεσις. ἀλλ᾽ 737 ὅ γε καῦσος ἰδίως καλούμενος οὐ μόνον τῇ σφοδρότητι τῆς καθ᾽ ὅλον τὸ σῶμα γινομένης θερμασίας διαφέρει, ἀλλὰ καὶ τῷ δίψει· βίαιόν τε γάρ ἐστιν ἐν τούτῳ καὶ ἄπαυστον.

ἐλλείπει τοίνυν τῇ προκειμένῃ ῥήσει περὶ τῆς τοῦ καύσου γενέσεως ὁ περὶ τῶν μορίων λόγος, ὃν ἡμεῖς ἀρτίως προσεθήκαμεν. ἐνίοτε μὲν γὰρ καθ᾽ ἓν ὁτιοῦν, ἐνίοτε δὲ καὶ καθ᾽ ὅλον τὸ σῶμα καῦσος γίνεται. ἐπὶ μὲν οὖν τοῦ καθ᾽ ὅλον τὸ σῶμα γενομένου ἐξ ἅπαντος δίψα γίνεται, ἐπὶ δὲ τῶν καθ᾽ ἕν τι μέρος οὐκ ἐξ ἀνάγκης, εἰ μὴ αὐτὸ τὸ μέρος τὴν δίψαν ἐργάζεται, πάντων μὲν πρῶτον καὶ μάλιστα τὸ στόμα τῆς γαστρός, ἐφεξῆς δ᾽ ἡ γαστὴρ καὶ μετὰ ταύτην ὁ στόμαχος, εἶτα πνεύμων, εἶτα νῆστις.

ἆρ᾽ οὖν οὕτως μόνον γίνεται καῦσος, ὡς εἶπεν, ὅταν ἐπισπάσηται τὰ φλέβια δριμεῖς καὶ χολώδεις ἰχῶρας ἐς ἑωυτά; ἢ καὶ τῆς σαρκὸς ταὐτὸ τοῦτο παθούσης ἔσται καῦσος, εἴτ᾽ οὖν καθ᾽ ἕν τι μόριον εἴτε καὶ καθ᾽ ὅλον τὸ σῶμα συμβαίη παθεῖν αὐτήν; ἐδείχθη γὰρ καὶ αὕτη δύναμιν ἑλκτικὴν ἔχουσα τῶν ἐνδεόντων αὐτῇ. καὶ μέντοι καὶ καθ᾽ ἕτερον τρόπον ἐγχω|ρεῖ γενέσθαι τὴν ὁμοίαν διάθεσιν· ἕτερον 738

19 ἀρτίως] *v. 10 sq.*   29 ἐδείχθη] *cf. Gal. II 60 sqq. 75 sqq. K.*

1 γιν. BM   παλαιοῦ] πάλιν S   ἀκρατεστέραν MS   2 παραμίξας M: γρ. παραυξήσας M¹   οὐ] ἢ R   αὐτῶ A: αὐτῇ *cett.*   3 οὖν *om.* A: δὲ *add.* A¹   καὶ ἡμεῖς S   καίτοι A: καὶ τὸν MSTV: καίτοι (καίτι B) τὸν BCR   4 ἐνίοτε μὲν ἀμελ. *om.* S   5 τι *om.* R   7 διακρίνουσαν S   7. 8 τὴν οὐσίαν *om.* M   8 αὐταῖς *superscr.* αὐτῶν *compendiose* M   σκέπτεσθαι M   12 εἰ δὲ BCR   καθ᾽ ABMS: καὶ (αἱ *add.* C) καθ᾽ CR   13 εἰ AMSTV: *om.* BCR   ἐπισπάσονται ABCST: ἐπισπάσωνται R: *obscur.* M   15 τῆς *om.* M   17 ἐν τούτῳ] τοῦτο M   18 τοίνυν *add.* M¹   20 καὶ *om.* CM   καῦσος . . . σῶμα *(21) om.* C   21 μὲν οὖν B: μὲν *cett.*   δίψα γίνεται *scripsi*: δίψαν ἐργάζεται *e v. 23 codd.*   22 ἐπὶ δὲ . . . ἐργάζεται *(23) om.* CRST   23 *post* ἐργάζεται *add.* αὐτὸ δὲ τὸ μέρος τὴν δίψαν ἐργάζεται A   μὲν *om.* M   σῶμα M   23. 24 τὸ τῆς γαστρὸς στόμα A   25 ὁ πνεύμων A   26 εἰς αὐτὰ *add. ante* ἐπ. A   27 ἐς ἑωυτά A¹BMS: εἰς ἑαυτὰ CR: *om.* A   28 αὐτὸ A   καθ᾽ ἕν *om.* AMSV   τι A: *om. cett.*   29 εἴτε καὶ A: εἴτε *cett.*   συμβαίη *scripsi*: συμβῇ *codd.*   30 καὶ *(prius) om.* C   δεόντων AMST: ἐνδ. A¹ *cum cett.*

δὲ λέγω τρόπον, ὅταν πέμπηται πρός τι μόριον ἀcθενέcτερον ἐκ τῶν ἰcχυροτέρων τὰ περιττώματα. δέδεικται γάρ, ὥcπερ ἑλκτικὴ δύναμις ἐν ἑκάcτῳ τῶν μορίων ἐcτίν, οὕτω καὶ ἀποκριτική· οὐκ ἀδύνατον οὖν ἐcτιν ἐνίοτε μὲν ἐξ ἑνὸc μέρουc, ἐνίοτε δ' ἐκ πλειόνων δριμεῖc καὶ χολώδειc ἰχῶραc ἀποκριθένταc ἐπί τι χυθῆναι τῶν εἰρημένων μορίων, ὅ τι περ ἂν αὐτῶν ἀcθενέcτερον ᾖ· ὅτι δ' ἰχῶραc ὀνομάζει τὰc λεπτὰc ὑγρότηταc, εὔδηλον.

IV 2 [II 1. II 394, 3 L.] Καὶ πυρετὸc πολὺc ἴcχει, τό τε cῶμα ὥcπερ ὑπὸ κόπου ἐχόμενον κοπιᾷ καὶ ἀλγέει.

Πυρετὸc μὲν οὖν πολὺc ἴcχει διὰ τὴν τῶν ἰχώρων φύcιν, οὓc δριμεῖc ἔφη καὶ χολώδειc· τοῖc τοιούτοιc γὰρ οἱ cφοδρότατοι τῶν πυρετῶν ἐπιγίνονται, τουτέcτιν οἱ πολλήν τε καὶ δριμυτάτην ἔχοντεc
739 τὴν θερμαcίαν, ὥcπερ γε καὶ οἱ | τὴν ἐλάττονά τε καὶ ἧττον δριμεῖαν τοῖc φλεγματώδεcιν ἕπονται χυμοῖc. κοπιᾷ δὲ τὸ cῶμα cύμπαν διὰ τὴν δριμύτητα τῶν ἰχώρων τὸν ἑλκώδη κόπον· εἴρηται δὲ τελέωc περὶ πάντων τῶν κόπων διαφορᾶc ἐν τοῖc Ὑγιεινοῖc.

IV 3 [II 1. II 394, 4 L.] Γίνεται δὲ ὡc ἐπὶ τὸ πολὺ καὶ ἐκ πορείηc μακρῆc καὶ δίψεοc μακροῦ, ὁκόταν ἀναξηρανθέντα τὰ φλέβια δριμέα καὶ θερμὰ ῥεύματα ἐπιcπάcηται πρὸc ἑαυτά.

Καὶ κατὰ τὴν ἀρχὴν εἴρητο καὶ νυνὶ δ' αὖ τοῦ ἀναξηρανθῆναι προcέθηκε τὰc προκαταρκτικὰc καλουμέναc αἰτίαc ὡc ἐν παραδείγματι· πᾶcαι μὲν γὰρ αἱ θερμαὶ καὶ ξηραὶ τοὺc καύcουc ἐργάζεcθαι δύνανται. τινὰc γοῦν οἶδα διὰ πόcιν οἴνου τεθαλαccωμένου πλείονοc ἁλόνταc καύcῳ, καθάπερ ἄλλουc διὰ ταρίχων καὶ ταριχηρῶν κρεῶν καί τινων ἄλλων ἁλυκῶν ἐδωδὴν ἄμετρον. ἕτεροc δέ τιc ἐξ ὁδοιπορίαc τε καὶ

2. 3 ἑλκτικὴ δύναμιc καὶ ἀποκριτική] *cf. Gal. De nat. facult. libros III (II 1—214 K.) passim et VII 63. VIII 367. XV 124 K.* 16 Ὑγιεινοῖc] *III 5—IV 11 (VI 192—304 K.); cf. Gal. XVII B 459. XI 485 sqq.* 20 εἴρητο] *p. 272, 4 sq.* 21 τὰc προκαταρκτικὰc αἰτίαc] *cf. Gal. VII 302. X 66. 242 sqq. XV 303. Gal. liber de causis procatarcticis lat. conversus in Iunt. 1625 class. III f. 95ʳ*

1 λέγω τρόπον A: τρόπον λ. *cett.* τι] τὸ M ἀcθενὲc BCMST 3. 4 οὖν ἐcτιν ἐνίοτε *om.* M 4 ἐνίοτε . . . μέρουc *om.* B μορίου M 5 ἐπί τι χεθῆναι S: ἐπιχεθ. AB: ἐπιχυθ. *cett.* 6 ὅ τι περ . . . ᾖ *om.* V 7 δῆλον CR 8 τε *om.* M τε (τῷ S) τὸ cῶμα STV 9 ὑπὸ *om.* S κόπου A¹BCR: ὀcτεοκόπου ASTV: ὀcτεοκόπων M; *cf. Littré not.* 10 οὖν *om.* AST φύcιν] φοράν S οὓc καὶ S 11 τοῖc *om.* ACR cφοδρότεροι AST 13 γε] γὰρ ST τε *om.* CR 14 ἕπονται CRU: ἑπόμενοι *cett.* 16 πάντων BCMRS: τῆc π. A τῶν CR: *om. cett.* καὶ ἐν S 18 πορείηc ABCSV: πορείαc M μακρᾶc A ὁκόταν] εἰκότωc S 19 τὰ *om.* S *post* ῥεύματα *add.* δριμεῖc καὶ χολώδειc ἰχῶραc CMR: καὶ χολ. ἰχ. B ἐπιcπάcεται ABMS: ἐπιcπᾶται V πρὸc ἑαυτά *om. Hipp. codd. plurimi* 20 εἴρηται S καὶ *ante* νυνὶ *om.* MSV τοῦ (*quod pendet ex* προκαταρκτικάc) *recte* B: τῷ AMS: τὸ *cett.* 21 αἰτίαc *om.* CRU *post* αἰτίαc *add.* δηλῶν A¹: *om. cett.* 22 *post* ξηραὶ *add.* αἰτίαι A¹BCR 23 γοῦν] γὰρ οὖν C 24 ταρίχου ST καὶ (*prius*)] ἢ καὶ B: ἢ CS καὶ ταριχηρῶν κρειῶν (*sic*) *punctis del.* A κρειῶν S 25 ὁδοιπορίηc AT καὶ *om.* M

καύματος ἥκων ἐλούσατο μὲν πρῶτον, ἀφικόμενος δ᾽ | οἴκαδε καὶ πιὼν 740 οἴνου κατὰ τὴν κρᾶσιν ἔχοντος τὸ πλεῖον ἤρξατο πυρέττειν αὐτίκα καυσώδη πυρετόν, καὶ ἄλλος δέ τις σφοδρῶς ὀργισθεὶς καὶ ἀγρυπνήσας ἄλλος.

IV 4 [II 1. II 394, 7 L.] Γίνεται δ᾽ ἡ γλῶσσα τρηχεῖα καὶ ξηρὰ καὶ μέλαινα κάρτα, καὶ τὰ περὶ τὴν νηδὺν δακνόμενος ἀλγέει, τά θ᾽ ὑποχωρήματα ἔξυγρα καὶ ὠχρὰ γίνεται καὶ δίψαι σφοδραὶ ἔνεισι καὶ ἀγρυπνίαι, ἐνίοτε δὲ καὶ παραλλάξιες φρενῶν.

Τὰ παρακολουθοῦντα τοῖς καύσοις ἐν τῷδε τῷ λόγῳ διῆλθεν, ἃ δὴ καὶ ʽσυνεδρεύονταʼ καλοῦσιν· ἔστι δὲ ταῦτα γλῶσσα τραχεῖα καὶ ξηρὰ καὶ μέλαινα δῆξίς τε τῆς γαστρός, ὑποχωρήματα ὠχρὰ καὶ δίψα σφοδρὰ καὶ ἀγρυπνία, ποτὲ δὲ καὶ παραφροσύνη. ἡ μὲν οὖν γλῶσσα ξηρὰ γίνεται, διότι καὶ ἡ διάθεσις ὅλου τοῦ σώματος ξηρά ἐστι καὶ θερμὴ καὶ ὁ πυρετὸς αὐτὸς τοιοῦτος, ἡ δὲ δῆξις τῶν κατὰ τὴν γαστέρα διὰ τὴν τῶν εἰς αὐτὴν συρρεόντων ἰχώ|ρων δριμύ- 741 τητα, τὰ δὲ διαχωρούμενα κατὰ τὸν πλεονάζοντα χυμόν· ἔξυγρα δ᾽ εἶπεν αὐτὰ τὸ μηδ᾽ ὅλως πεπέφθαι δηλῶν· ἡ γάρ τοι πέψις ἅπαντα συνάγει τε καὶ παχύνει. τὸ δ᾽ ἀγρυπνεῖν τοῖς οὕτω πάσχουσι συμβαίνει διὰ τὴν ξηρότητα· δέδεικται γὰρ ἡ μὲν ἄμετρος ὑγρότης τὰς καταφοράς, τὰς δ᾽ ἀγρυπνίας ἡ πολλὴ ξηρότης ἐργαζομένη· προσέρχεται δὲ καὶ ἀπὸ τῶν ἄλλων συμπτωμάτων ταλαιπωρία τῆς ἀγρυπνίας αἰτία γινομένη. παραφροσύνην δ᾽ ἐμάθομεν γίνεσθαι διά τε χολὴν ἀναδραμοῦσαν ἐπὶ κεφαλὴν καὶ διὰ ξηρότητα καὶ θερμότητα κράσεως. ὅτι δ᾽, ὅταν εἴπῃ τις ἁπλῶς χολήν, ἡ πικρὰ δηλοῦται, προείρηται, καὶ ὅτι γε τὴν αὐτὴν χολὴν ὠχράν τε καὶ ξανθὴν ὀνομάζουσιν. ὥσπερ οὖν οὐδὲν παραλέλειπται τῶν κατὰ τὸν χολώδη καῦσον, ὅτι γε μὴ καὶ κατὰ τὴν ἐπιρροὴν τῶν ἰχώρων αὐτόν, οὐ μόνον διὰ τὴν ὁλκὴν γίνεσθαι, οὕτως ἀτάκτως γέγραπταί τινα. τῶν γάρ τοι λελεγμένων ἔνια

11 συνεδρεύοντα] *cf. Gal. XVII B 390. 399 sq.* 11. 12 γλῶσσα τραχεῖα καὶ ξηρὰ] *cf. Gal. XVI 508* 20 δέδεικται] *cf. Gal. VII 143. XVI 222. 525. XVII A 540* 23 ἐμάθομεν] *p. 204, 2 sq.; cf. Gal. XVII A 533* 25 προείρηται] *p. 224, 1 sqq.*

2 πλεῖστον M 3. 4 ἄλλος ἀγρυπνήσας *ab Aldo edd.* 6 τὰ *om.* CMRT δακνόμενα *corr.* A[1] 8 δὲ *om.* S παραλλάξιες *Gal. in comment. (p. 276, 12)*: παραλλάξεις *codd.* 11. 12 τραχεῖα κ. ξ. BMT: ξ. κ. τρ. ARS 12 δῆξις RUV: δήξεις ABMST: δείξεις C ἐπὶ τῆς *codd., sed* ἐπὶ *punctis del.* A[1] 13 δίψα σφοδρὰ *codd.*: δίψαι σφοδραὶ *edd.* 14 ὅλου AMT: ὅλη *cett.* 15 ἐστι *post* θερμὴ *transp.* CR 16 κατὰ γαστέρα A 17 καλούμενα διαχωρ. CR 19 καὶ παχύνει] κοὐ λεπτύνει A: τε καὶ λεπτύνει S 20 διά τε τὴν AMS 22 δὲ *om.* S 25 εἴποι AV χολὴν ἁπλῶς M: ἁπλῶς *om.* T προείρηται] δῆλον παντὶ M: γρ. προείρηται M[1] *in mrg.* 27 ὅτι γε μὴ] *verte ʽpraeterquam quodʼ* γε τὸ μὴ BMSTV 28 κατὰ . . . ὁλκὴν *om.* BM: *add.* B[1] *in mrg.* αὐτόν *codd.*: αὐτῶν *Chartier* 29 αὐτάρκως CR λεγομένων AT

μέν ἐστι παθογνωμονικὰ συμπτώματα τῶν καύσων, ἔνια δὲ συνεδρεύοντα· τῶν γεννώντων δ᾽ αὐτοὺς τὰ μέν ἐστι προηγούμενα, τὰ δὲ προ|-
742 κατάρχοντά γε καλούμενα ὑπὸ τῶν ἰατρῶν.

πάντων γοῦν ὧν εἶπον συμπτωμάτων ἔξεστί σοι τὸν κατάλογον ὡς ἂν ἐθέλῃς ποιεῖσθαι· ἀλλ᾽ ὅ γε γράψας τὸ βιβλίον ἤρξατο μὲν ἀπὸ τῶν προηγουμένων (τὸ γὰρ ἀναξηρανθῆναι τὰ φλέβια προηγούμενον αἴτιόν ἐστιν), ἐφεξῆς δὲ δέον εἰπεῖν τὰ προκαταρκτικά, οἷον ὁδοιπορίαν μακρὰν καὶ δίψος, οὐ ταῦτ᾽ εἶπεν, ἀλλὰ τῶν παθογνωμονικῶν τι, τὸν πολὺν πυρετόν. ἐχρῆν δ᾽ ἐνταῦθα προσθεῖναι καὶ τὸ σφοδρὸν δίψος, ὃ μετὰ ταῦθ᾽ ἅμα τοῖς ἄλλοις εἶπε συμπτώμασι τοῖς συνεδρεύουσιν ὀνομαζομένοις, ὧν τὰ μὲν ἐνίοτε, τὰ δ᾽ ἀεὶ ὑπάρχει τοῖς καύσοις. τοῦτο δὲ καὶ αὐτὸς ἐδήλωσεν εἰπών· ἐνίοτε δὲ καὶ παραλλάξιες φρενῶν· τὸ γὰρ ἐνίοτε τῷ διὰ παντὸς ἀντίκειται. ἐγὼ δέ φημι καὶ τὸ τὰ περὶ τὴν νηδὺν δάκνεσθαι καὶ διαχωρεῖν χολώδη οὐ τῶν διὰ παντὸς συνόντων τοῖς καύσοις εἶναι· διὰ γὰρ τὸ μέγεθος τοῦ νοσήματος καὶ τὴν ἔσω ῥοπὴν τῶν δριμέων ἰχώρων ταῦτα συμβαίνει τοῖς κατὰ γαστέρα καὶ ἧπαρ ἔχουσι τὴν οἷον ἑστίαν τοῦ καύσου, τοῖς δὲ
743 κατὰ πνεύμονα, ταῦτα μὲν οὐ | πάνυ τι συμπίπτει, τὰ δὲ κατὰ τὰς γλώσσας εἰρημένα καὶ τὰς παραφροσύνας μᾶλλον. ἀλλὰ καὶ δυσπνοοῦσιν οὗτοι τὴν κατὰ τὸ πυκνὸν καὶ μέγα πνεῦμα δύσπνοιαν ἐκφυσῶσί τε συνεχῶς ἀνοιγνύντες τὸ στόμα καὶ τῇ τοῦ πυρώδους πνεύματος ἀποχύσει κουφιζόμενοι. τὸ μὲν οὖν τῆς δυσπνοίας ὅλον παραλέλειπται, καίτοι γ᾽ ἐν Προγνωστικῷ λελεγμένον ἡμεῖς ἐδείκνυμεν.

ἀτάκτως δ᾽ εἴρηται τὰ κατὰ τὴν γλῶσσαν συμπτώματα· προτέραν μὲν γὰρ ἐχρῆν γεγράφθαι τὴν ξηράν, δευτέραν δὲ τὴν τραχεῖαν· διὰ γὰρ τὴν ἄμετρον ξηρότητα τραχεῖαν συμβαίνει γίνεσθαι τὴν γλῶσσαν, ὥστε τὴν τραχεῖαν εἶναι πάντως καὶ ξηράν. ὅτι δὲ μελαίνεται διὰ τὴν ἄμετρον θερμασίαν, ὥσπερ τοῖς εἱληθεροῦσι τὸ δέρμα, προμεμαθήκαμεν ἤδη.

1 παθογνωμονικὰ συμπτώματα] *cf. Gal. I 273. XVII B 390. 399 K.* συνεδρεύοντα] *Gal. l. l.* 2 προκατάρχοντα] *cf. Gal. XVII A 852* 6 προηγούμενον] *cf. Gal. VII 10. X 66. 762. XV 112. 302. VIII 10.* 23 Προγνωστικῷ] *5 (II 122 L.); cf. Gal. XVIII B 76 sq. VII 901 sqq.* 28 προμεμαθήκαμεν] *cf. Gal. VIII 47. XVII B 273*

1 παθογνωμικὰ CR 2 αὐτοὺς V: αὐτῶν C: αὐτὸν *cett.* 3 ὑπὸ] παρὰ AST 4 *post* εἶπον *add.* προηγουμένων *edd.*: *om. codd.* 5 ἐθέλῃς *scripsi*: ἐθέλοις *codd.* μὲν *om.* CR 7 δέον *om.* T 7. 8 ὁδοιπορίην μακρὴν AST 8 παθογνωμικῶν R 9 καὶ *om.* V 10 συμπτώμασι . . . ἐνίοτε, τὰ *(11) om.* B 12 αὐτὸ R παραλλάξεις CM 14 τὰ *om.* B περὶ τὴν *om.* T *(lacuna)* οὐ *om.* M 15 παντὸς *om.* T *(lac.)* 16 ἔσω] μέσα S 17 τὴν γαστέρα M παρέχουσι CR καύματος T 18 τὸν πνεύμονα S τι ABCMS: *om.* R 20 πνεῦμα *om.* M: δύσπνοιαν πνεῦμα C 22 ὅλην B 24 πρότερον AS 25 δὲ *om.* A 27 εἶναι *scripsi*: οὖσαν *codd.* *post* δὲ *add.* καὶ V: *om. cett.* 28 εἱληθεροῦσι ACMRS: εἰλιθ. V: ἡλιθ. B μεμαθήκαμεν BT

IV 5 [II 1. II 396, 1 L.] Τῷ τοιῷδε πίνειν ὕδωρ τε καὶ μελίκρητον ἑφθὸν δίδου ὑδαρές, ὅσον ἐθέλει. |

Τοῦτο τὸ βιβλίον εἰ καὶ μὴ Ἱπποκράτους ἐστὶ σύγγραμμα, πα- **744**
λαιὸν γοῦν ἐστιν, ὡς κατὰ τοὺς Ἐρασιστράτου χρόνους ἤδη προσκεῖσθαι τῷ γνησίῳ. θαυμαστὸν οὖν, ὅπως ἐτόλμησεν εἰς Ἀπολλώνιον καὶ Δέξιππον ἀποσκῶψαι τὰ περὶ τῶν κηρίνων κυλίκων ὁ Ἐρασίστρατος· ὁ γὰρ ταῦτα γράψας τὴν Ἱπποκράτους γνώμην ἄμεινον Ἐρασιστράτου γινώσκων, ὁπόσον ἐθέλουσι πίνειν ἐπιτρέπει τοῖς καυσουμένοις. ἔδειξα δὲ καὶ κατὰ τὸ γνήσιον μέρος τοῦ συγγράμματος οὕτω γινώσκοντα τὸν Ἱπποκράτην. περὶ μὲν οὖν τῆς Ἐρασιστράτου κακοηθείας ἱκανὰ καὶ ταῦτα.

σκοπῶμεν δ᾽ ἤδη τὰ κατὰ τὴν ῥῆσιν εἰρημένα. κελεύει γὰρ μήτ᾽ ἐφ᾽ ὕδατος μόνου διαιτᾶν τοὺς καυσουμένους μήτ᾽ ἐπὶ μελικράτου μόνου. τὸ μὲν γὰρ ὕδωρ ἔμαθες, ὡς τῇ φύσει ψυχρὸν ὄν, βραδύπορον εἶναι καὶ μένον ἐν ὑποχονδρίῳ πλεῖστον χρόνον διαφθείρεσθαι κατὰ τοὺς ὀξεῖς πυρετούς, τὸ δὲ μέλι ῥᾳδίως ἐκχολοῦσθαι. διὰ τοῦτ᾽ ἀξιοῖ καὶ ὑδαρὲς διδόναι τὸ μελίκρατον, ἵνα τὸ ὕδωρ μὴ μείνῃ κατὰ τὴν ἄνω γαστέρα ποδηγούμενον ὑπὸ τοῦ μιγνυμένου μέλιτος εἰς τὴν | ἀνά- **745**
δοσιν. δι᾽ αὐτὰ δὲ ταῦτα καὶ ἑφθὸν αὐτὸ δίδωσιν· ἀδιψότερον γὰρ καὶ ἀφυσότερον τοῦτο τοῦ ὠμοῦ καὶ τὴν οὔρησιν μᾶλλον κινοῦν, ὥσπερ γε τὴν διαχώρησιν τὸ ὠμόν· ἧττον γὰρ γίνεται δριμὺ τὸ ἡψημένον οὐ μόνον τῷ πέττεσθαι κατὰ τὴν ἕψησιν, ἀλλὰ καὶ τῷ τὸ ἀφρῶδες αὐτοῦ πᾶν ἀφαιρεῖσθαι, καθότι τὸ δριμὺ καὶ φυσῶδές ἐστιν ἐν τῇ τοῦ μέλιτος οὐσίᾳ. τὸ δ᾽ ἡψημένον ἄδηκτόν τε καὶ ἄφυσον γινόμενον ἀναδίδοται μᾶλλον ἢ ὑπέρχεται κατ᾽ ἔντερα, ὥστε καὶ διὰ τοῦτο τρέφει μᾶλλον τοῦ ὠμοῦ. χρῄζουσι δ᾽ οἱ οὕτω νοσοῦντες, ὡς ἂν μὴ λαμβάνοντες τὸν χυλὸν τῆς πτισάνης, ἐκ τοῦ μελικράτου τρέφεσθαι. προείρηται δ᾽ ἐν τῷ γνησίῳ μέρει τοῦ βιβλίου περὶ τοῦ χρῆναι διαιτᾶν ἐν τοῖς ὀξυτάτοις νοσήμασιν ἐπὶ μόνων τῶν πομάτων, καὶ ταῦτά μοι πάντα τὰ κατὰ τὴν ἐξήγησιν τοῦδε τοῦ νῦν προκειμένου γράμματος

5. 6 Ἀπολλώνιον καὶ Δέξιππον] *cf. ad p. 145, 22. 256, 3* 9 ἔδειξα] *p. 255, 18 sq.* 14 ἔμαθες] *p. 235, 7. 252, 26 sqq.* 16 ἀξιοῖ] *p. 235, 2 sqq.* 19 ἑφθὸν] *cf. p. 242, 18 sqq.* 27 προείρηται] *p. 158, 11 sq.*

1 τε *om.* AS 2 ὅσον M: ὁκόσον *cett.* ἐθέλοι AT: ἐθέλῃ M: θέλοι S 4 γοῦν] γὰρ οὖν R: οὖν C 8 ὁπόσον . . . γινώσκοντα *(10) om.* C: *add.* C[1] *in mrg.* ὁκόσον A καὶ τοῖς R: καὶ *om. cett.* 10 οὖν *om.* ABS τοῦ ἐρ. CR 11 καὶ *om.* CR 13 μηδ᾽ ἐπὶ BST 15 ὑποχονδρίοις A χρόνον πλεῖστον CR 16 ἀξιοῖ *om.* S 17 καὶ ὑδαρὲς A: καὶ *om. cett.* μελίκρητον S μηκύνῃ V: μείνῃ *cett.* 18 τὴν *om.* A 19 δι᾽ αὐτὰ δὲ ταῦτα CR: διὰ δὲ αὐτὰ τ. AMV: διὰ δὲ ταῦτα (αὐτὰ T) S; *a* ταῦτα *vocabulo deficit* T *usque ad* μᾶλλον *p. 280, 12* γὰρ *om.* V 20 τοῦτο *post* γὰρ *transp.* AS 21 γε *om.* V ἑψημένον CM 22 τῷ *(alt.) om.* CR 23 καθ᾽ ὃ S ἐστιν *om.* S 24 μελικράτου CR ἡψημένον ABCRSV: ἑψ. M 25 *post* μᾶλλον *add.* τοῦ ὠμοῦ M ἔντερον ABCRS 26 δ᾽ οἱ *codd.*: οἱ *om. edd.* 30 πάντα S: πάντα τὰ *cett.*

τοῖς προανεγνωκόσι τε καὶ μεμνημένοις τὰς ἐν ἐκείνοις γεγονυίας ἐξηγήσεις οὕτω λέγεταί τε καὶ λεχθήσεται. |

746 **IV 6** [II 1. II 396, 2 L.] Καὶ ἢν πικρὸν τὸ στόμα γίνηται, ἐμέειν συμφέρει καὶ τὴν κοιλίην ὑποκλύσαι.

Ἡ πικρία τῆς χολῆς πικρὸν ἐργάζεται τὸ στόμα· κοινὸς γὰρ καὶ εἷς χιτών ἐστιν, ὅ τ' ἔνδον τῆς γαστρὸς καὶ ἅπας ὁ ὑπαλείφων τὸ στόμα. κατὰ λόγον οὖν ὁ συγγραφεὺς ἐκκενοῖ τὴν χολὴν δι' ἐμέτων τε καὶ κλύσματος.

IV 7 [II 1. II 396, 4 L.] Ἦν δὲ μὴ πρὸς ταῦτα λύηται, γάλακτι ὄνου ἀφεψήσας κάθαιρε.

Ἐπειδὴ πάντως μὲν ἐκκενῶσαι βούλεται τὴν εἰς τὴν γαστέρα χολήν, εὐλαβεῖται δὲ τὰ καθαίροντα φάρμακα, διότι δριμέα καὶ θερμὰ παντελῶς ἐστι, διὰ τοῦτ' ἐπὶ τὸ τῆς ὄνου γάλα παραγίνεται δριμύτητα μὲν οὐδεμίαν ἔχον ὥσπερ οὐδ' ἄλλ' οὐδέν, ἀλλὰ πλεονεκτοῦν τῇ ὑγρότητι μόνον τῶν ἄλλων ἁπάντων, καὶ διὰ τοῦτο μόνον ὑπέρχεται·
747 προέψει | δ' αὐτὸ διὰ τὸ φυσῶδες. ἀλλὰ σύ γε καὶ μόνῳ τῷ ὀρῷ δυνήσῃ χρῆσθαι χωρίζων αὐτόν, ὅταν τὸ γάλα προαφεψήσας διὰ ὀξυμέλιτος ἐγκαθῇς ἀγγεῖον χαλκοῦν ὕδατος πλῆρες ψυχροῦ συνεχῶς εἰς τὸ γάλα· καὶ γὰρ αὕτη καλῶς ἡ κάθεσις γινομένη χωρίζει τὸν ὀρὸν τοῦ τυρώδους.

IV 8 [II 1. II 396, 5 L.] Ἁλμυρὸν δὲ μηδὲν μηδὲ δριμὺ προσφέρειν· οὐ γὰρ ὑποίσει.

Ὁ μὲν ἁλμυρὸς χυμὸς ὁποῖός τίς ἐστιν, ἐν τοῖς ἁλσὶ φαίνεται· περὶ δὲ τῆς τοῦ δριμέος οὐσίας τε καὶ δυνάμεως εἴρηται κατὰ

9. 10 γάλακτι ὄνου κάθαιρε] *cf. Hipp. VII 176, 18. II 496, 6 L.* 16 ὀρῷ] *cf. Gal. XII 266. VI 684*

1 προαναγινώσκουσι CR τε *om.* A ἐν *om.* BM: οὖν C 2 λέγεται *codd.*: λέλεκται *edd.* 3 γένηται BM 4 ἐμμέσειν *(sic)* CRU ξυμφ. TV 5 ἡ *om.* CRU 6 ἅπαν *Cornarius* 9 ἂν δὲ C μὴ πρὸς ταῦτα AS: πρὸς ταῦτα μὴ *cett.* γάλακτι *codd.*: γάλα *edd.* 10 ἀφεψήσας A *cum optimo Hipp. cod. A*: ἑψήσας *cett.* κάθαρε ABCRV: κάθαραι M: ὑποκάθαραι S: κάθαιρε *Hipp. cod. A* 12 δριμὺ κ. θερμὸν M θερμὰ *ante* ἐστι *transp.* S 13 παντελῶς AS: πάνυ M: πάντα BCRU ἐπὶ τὸ τῆς ὄνου γ. παραγ.] εἶπε χρηστέον τοῦ τῆς ὄνου γάλακτος CRU 14 πλεονεκτοῦντα CRU 15 διὰ *om.* A 16 προέψει *scripsi*: προεφθᾶ ABUV: προεφθῆ M: προεφθῶ CS: προεφθῶς R καὶ *om.* V ὀρῷ B: ὀρρῷ *cett.* 17 χρήσασθαι M αὐτῷ A προαφεψήσας *codd.*: προαφεψήσῃς *edd.* 18 ἐγκαθῇς CRU: ἐγκαθεὶς AM: ἐγκαθὶς B: καθῇς εἰς S χαλκοῦν *om.* M ὕδατι B εἰς *om.* S 19 κάθαρσις CMU 21 μηδὲ *Hipp.*: μήτε *codd.* 23 ὁ μὲν ἁλμ. *om.* S μὲν γὰρ M τίς *om.* S 24 τοῦ *om.* A δριμείας A

τὸ τέταρτον βιβλίον τῶν Ἁπλῶν φαρμάκων, ὅτι πέπερι καὶ νᾶπυ καὶ πύρεθρον ὅcα τ᾿ ἄλλα θερμὰ ταῖc δυνάμεcίν ἐcτι καὶ δριμέα γευομένοιc φαίνεται. ὡc οὖν cυναυξάνοντα τὴν διάθεcιν τῶν καυcωδῶν, φεύγειν κελεύει τὰ δριμέα καὶ τὰ ἁλμυρά· ταῦτα δὲ καὶ ξηραίνει μᾶλλον τῶν δριμέων, εἰ καὶ μὴ παραπληcίωc ἐκείνοιc θερμαίνει, ἀλλ᾿ ἧττον. |

IV 9 [II 1. II 396, 6 L.] Ῥόφημα δέ, ἔcτ᾿ ἂν ἔξω τῶν κρί- 748
cεων γένηται, μὴ δίδου.

Ὡc προcυπακουcθηcομένου τοῦ τὴν δύναμιν ἐρρῶcθαι, τὸν λόγον ἄκουε· ποιεῖται γὰρ οὕτω τὴν διδαcκαλίαν καὶ αὐτὸc ὁ Ἱπποκράτηc, ὡc τὰ πολλὰ τὰ καθ᾿ ἕκαcτον cκοπὸν ὑπαγορευόμενα γράφων, εἶθ᾿ οὕτωc ἅπαξ εἰπὼν ἀλλήλοιc χρῆναι παραβάλλειν τὰ δεδειγμένα τὰc δυνάμειc αὐτῶν ἐπιcκοπούμενον. ὅτι δ᾿ οὐ προcήκει διδόναι ῥόφημα πρὸ τῆc κρίcεωc, ἐὰν ἡ δύναμιc ἐξαρκῇ, κατὰ τὸ πρῶτον μέροc τοῦ βιβλίου δεδήλωται τὸ γνήcιον.

IV 10 [II 1. II 396, 7 L.] Καὶ ἢν αἷμα ἐκ τῶν ῥινῶν ῥυῇ, λύεται τὸ πάθοc, καὶ ἢν ἱδρῶτεc ἐπιγένωνται κριτικοὶ γνήcιοι μετ᾿ οὔρων λευκῶν καὶ παχέων καὶ λείων ὑφιcταμένων.

Ἐν τοῖc ὀξέcι πυρετοῖc ἐπὶ τὴν κεφαλὴν φέρεται τὸ | ζέον τοῦ 749
αἵματοc· ὅταν οὖν ἀναρρήξαcα τὰc φλέβαc ἡ φύcιc ἀποχέῃ τοῦτο μετὰ τῶν cυναχθέντων ἀτμῶν, ἑτοιμότερον κρατεῖ τῶν λοιπῶν· κατὰ δὲ τὸν αὐτὸν λόγον, ὅταν καὶ διὰ τῶν ἱδρώτων ἀποχέῃ τοὺc ζέονταc ἰχῶραc, ἰᾶται τὴν νόcον, ὅταν γε πεπεμμένου τοῦ νοcήματοc ἐπιγένωνται. λέλεκται γὰρ ἤδη περὶ τούτου πολλάκιc ἔν ἄλλοιc τέ τιcιν ὑπομνήμαcιν ἐξηγητικοῖc καὶ ἐν τοῖc Περὶ κρίcεων. ὥcπερ οὖν ἐν τῷ πρώτῳ μέρει τοῦδε τοῦ βιβλίου, τῷ κατὰ πάνταc ὡμολογημένῳ γνηcίῳ, τὸν ἀπὸ τῆc πέψεωc τοῦ νοcήματοc cκοπὸν ὡc χρήcιμον εἰc δίαιταν παρέλαβεν, οὕτω καὶ νῦν εἰc πρόρρηcιν· αὐτὸ μὲν οὐκ ἔγραψε τὸ τῆc πέψεωc ὄνομα, τὸ δὲ βεβαιότατον αὐτῆc cημεῖον ἐν τοῖc οὔροιc ἔγρα-

1 τὸ τέταρτον βιβλίον τῶν Ἁπλῶν φαρμάκων] *IV 18 (XI 679 sq. K.)* 14 δεδήλωται] *p. 157, 8 sqq. 177, 13* 23 ἐν ἄλλοιc τέ τιcιν ὑπόμνημαcιν ἐξηγητικοῖc] *e. g. Gal. XVII B 396. 711 sq. XVIII B 82* 24 ἐν τοῖc Περὶ κρίcεων] *e. g. III 3 (IX 707 sqq. K.)* 24. 25 ἐν τῷ πρώτῳ μέρει] *p. 194, 20 sqq.*

1 βιβλίον *post* φαρμάκων *transp.* AS; *an glossema?* ὅταν CR πέπερι CR: περ AMSV 3 οὖν AV: *om. cett.* δὲ τὴν R: δὲ (*om.* τὴν) B 5 καὶ *om.* AS: *add.* A[1] 6 κριcίμων UV: γρ. κριcίμων R[1] *in mrg.* 8 προcυπακουομένου A τοῦ τὴν] τούτοιc M: τὴν S τῶν λόγων S 10 τὰ *ante* καθ᾿ *om.* M 11 παραβάλλει M 12 δ᾿ οὐ] οὐδὲ M 15 ῥυῇ ABSV: ῥύει M: ῥέῃ CR 16 ἐπιγένωνται *Hipp.*: ἐπιγίνονται MS: ἐπιγίνωνται *cett.* 17 μετ᾿] ἢ καὶ μετ᾿ S καὶ παχέων *del.* A 18 πυρετοῖcι S 20 cυναχθέντων *superscr.* να (*i. e.* cυναναχθέντων) A: cυναφθ. S: cυνcχεθέντων C κρατεῖ *codd.*: κρατεῖν *a Basil. edd.* 22 νοῦcον BM ἐπιγένωνται ABS: γένωνται M: ἐπιγίνωνται CR: ἐπιγεννῶνται V 23 γὰρ] δὲ CR τούτων M 25 πάνταc V ὡμολογουμένω S 27 παρέβαλεν CR 28 αὐτῆc *scripsi*: αὐτοῦ *codd.*

ψεν. ʽἄριστον μὲν οὖν ἐστι τὸ λευκήν τε καὶ λείην ἔχον τὴν ὑπόστασιν οὖρον', ὡς ἐν τῷ Προγνωστικῷ δεδήλωται· οὐ μὴν ἀξιώσεις γ' ἀεὶ φαίνεσθαι, ἀλλ' ἀρκέσει σοι πολλάκις ἐπὶ τῇ κατὰ φύσιν χροιᾷ τε καὶ συστάσει χρηστὸν ἐναιώρημα φανὲν εἰς τὴν τῆς σωτηρίας ἐλπίδα. καὶ
750 δὴ τούτων οὕτως ἐχόντων πεπλεόνασται κατὰ τὴν ἑρμηνείαν ἡ | λέξις· ὑπὸ γὰρ τῶν εἰρημένων οὔρων δηλοῦται καὶ τὸ κριτικοὺς εἶναι τοὺς ἱδρῶτας, ὥστ' ἐκ περιττοῦ πρόσκειται. τὸ δὲ γνήσιοι οὐκ ⟨ἂν⟩ κυρίως ἐπ' αὐτῶν λέγοιτο· κατὰ γὰρ τῆς τῶν νοσημάτων ἰδέας ἐπιφέρειν εἰώθασι τὴν τοιαύτην προσηγορίαν οἵ τ' ἄλλοι τῶν ἀρίστων ἰατρῶν καὶ αὐτὸς ὁ Ἱπποκράτης.

IV 11 [II 1. II 396, 10 L.] Καὶ ἢν ἀπόστημά που γένηται.

Σπανιώτατόν ἐστι τὸ δι' ἀποστήματος κριθῆναι καῦσον, ἔτι δὲ μᾶλλον, εἰ χωρὶς τοῦ μόριόν τι τοῦ σώματος προσθεῖναι τὴν ἀπόφασίν τις ποιοῖτο. παρωτίσι μὲν γὰρ οἶδά τινας καύσους κριθέντας, ἀλλ' οὐ τοὺς γνησίους. τοῦτο δ' ὀλίγον ὕστερον μαθήσῃ κατὰ τὴν ἐξήγησιν.

IV 12 [II 1. II 396, 10 L.] Ἢν δ' ἄνευ τούτων λυθῇ, ὑπο-
751 στροφὴ πάλιν ἔσται τῆς ἀρ|ρωστίης ἢ ἰσχίου ἢ σκελέων ἄλγημα συμβήσεται, καὶ πτύσεται παχέα, ἢν μέλλῃ ὑγιὴς ἔσεσθαι.

Αἱμορραγίας καὶ ἱδρῶτος μνημονεύσας, ἂν χωρὶς τούτων ὁ καῦσος παύσηται, φησὶν ἄπιστον εἶναι τὴν λύσιν· ὑποστρέψει γὰρ ὀλίγον ὕστερον· ἔσται γάρ, φησί, κατὰ τὴν ὑποστροφὴν ἄλγημα σκελέων ἢ ἰσχίου καὶ πτύσει παχέα. τὸ μὲν γὰρ αἱμορραγίας ἢ ἱδρῶτος ἢ ἀποστήματος δεῖσθαι τὸν μέλλοντα κριθῆναι δύναιτ' ἄν τις εἰρῆσθαι δοκεῖν ὑγιῶς, ἐὰν προστεθῇ τοῖς εἰρημένοις ἃ θεραπεύων αὐτὸς ἔγραψεν ἐμεῖν τε κελεύων καὶ τὴν κοιλίαν ὑπάγειν διδούς τε ποτὸν ὕδωρ καὶ μελίκρατον ὑδαρὲς ἑφθόν· ὥστ' ἐὰν μετὰ τούτων τις λέγῃ τὴν αἱμορραγίαν καὶ τὸν ἱδρῶτα καὶ τὸ ἀπόστημα λύειν τὸν καῦσον, ἄλλως δὲ μὴ δύνασθαι λυθῆναι, τάχα δόξει λόγον τινὰ ἐπιεικῆ λέγειν· ἐπι-

2 ἐν τῷ Προγνωστικῷ] *12 (II 138 sqq. L.); cf. Gal. XVIII B 146 sqq.* 15 ὀλίγον ὕστερον] *infra p. 284, 18 sq.* 19 Αἱμορραγίας] *cf. Gal. IX 707. 752*

1 λίην M: λεῖον S: λείην *cett.* ὑπόστασιν ἔχον (*om.* τὴν) A 2 ἀξίως S γέ σοι ἀεὶ R 3 χροιῇ AS 4. 5 καὶ δὴ καὶ B 5 δὴ *om.* CR 6 δεδήλωται CRU 7 πρόκειται M ἂν *addidi* 8 ἐπ'] ὑπ' CRU τὰς R: τῆς *cett.* νοσούντων A 11 καὶ ἢν ABR: κἢν SV: ἢν M που *codd.*: τι *edd.* 13 *ab* εἰ χωρὶς *rursus inc.* T μορίου C[1]R προσθεῖναι τοῦ σώματος *colloc.* AS 14 τις] τε S ποιεῖτο CR παρωτίσι] παρατοῖσι M 15 ὕστερον *om.* S κατὰ B: μετὰ *cett.; cf. p. 277, 30. 281, 13* 17 ἀρρωστίας CRS ἰσχίου *codd.*: ἰσχίων *a Basil. edd.* σκελῶν ABCT 18 συμβ. *codd.*: ξυμβ. *Basil.* 20 παύσῃ S ἄπιστον . . . λύσιν *om.* V 22 μὲν *om.* V 24 ὑγρῶς S ἐὰν *codd.*: ἐάν τε *edd.* 25 κοιλίην ASTV τε] δὲ M 26 μελίκρητον AST 28 δὲ] τε ST λέγειν *ante* λόγον *transp.* AMST

εικῆ δὲ εἶπον, ὡς μετρίως ἀληθεύοντα καὶ μᾶλλον τοῦ πρόσθεν, οὐ μὴν ἄμεμπτόν γε παντάπασιν· οὐ γὰρ ἀληθής ἐστιν ὁ λόγος. τὸ γὰρ κατὰ τοὺς Ἀφορισμοὺς εἰρημένον "ὑπὸ καύσου | ἐχομένῳ ῥίγεος ἐπι- 752 γενομένου λύσις" ἀληθέστατόν ἐστιν· ἕπεται δ᾽ ἐξ ἀνάγκης τῷ ῥίγει τούτῳ ποτὲ μὲν ἱδρὼς μόνος, ἐνίοτε δ᾽ ἔμετος χολωδῶν μόνος ἢ κάτω διαχώρησις μόνη· πολλάκις δὲ τῶν εἰρημένων τριῶν γίνεται τὰ δύο καί ποτε τὰ τρία. τῶν γὰρ δύο τούτων ἀναγκαῖόν ἐστιν ἐπὶ τοῦ καύσου γενέσθαι θάτερον, εἰ μέλλοι λυθήσεσθαι τελέως, ἢ ἐκκριθῆναι τοὺς χολώδεις χυμοὺς ἢ σβεσθῆναι.

διὸ καὶ παραλελεῖφθαι δόξει τὸ κυριώτατον ἴαμα τῶν καύσων, ἡ τοῦ ψυχροῦ πόσις, ᾗ διὰ παντὸς ἡμεῖς ἐθεραπεύσαμεν τοὺς καύσους, οὐδ᾽ ἑνὸς ἀποθανόντος, ᾧ ψυχρὸν ὕδωρ ἐδώκαμεν ἐν τῷ προσήκοντι καιρῷ, περὶ οὗ κατὰ τὴν ἐξήγησιν τοῦ προτέρου μέρους τοῦδε τοῦ βιβλίου διῆλθον ἐπ᾽ ὀλίγον ἐν ἄλλοις θ᾽ ὑπομνήμασί τε καὶ συγγράμμασιν ἐπὶ πλέον. ἴσως οὖν οἰήσεταί με λέγειν τις μηδένα τῶν καυσουμένων τεθνήξεσθαι πιόντα ψυχρὸν ὕδωρ ἐν τῷ προσήκοντι καιρῷ· καίτοι οὐ τοῦτ᾽ αὐτὸς εἶπον, ἀλλ᾽ ὅτι πᾶσιν οἷς ἔδωκα παμπόλλοις οὖσιν, ὡς μηδὲ μεμνῆσθαι τὸν ἀριθμὸν αὐτῶν, ἠκολούθησεν ὠφέλειά τε καὶ σω|τηρία. τοῦτο δ᾽ οὐ ταὐτόν ἐστι τῷ πάντας τοὺς καυσουμένους, ἂν 753 πίωσι ψυχρὸν ὕδωρ, σωθήσεσθαι· οὓς γὰρ ὀλεθρίως τε καὶ ἀσώστως ἔχοντας οὔτε δι᾽ ἄλλου τινὸς οὔτε δι᾽ ὕδατος σῶσαι δυνατόν ἐστι, τούτοις οὐδ᾽ ἐπεχείρησα δοῦναι.

τὸ δ᾽ ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον καὶ πτύσεται παχέα, ἢν μέλλῃ ὑγιὴς ἔσεσθαι παραφυλακτέον ἐστί σοι κατ᾽ ἐκείνους μόνους τοὺς καύσους, ὁπόσοι πεπονθότος τοῦ πνεύμονος γίνονται.

IV 13 [II 2. II 396, 13 L.] Καύσου γένος ἄλλο· κοιλίη ὑπάγουσα δίψης μεστή, γλῶσσα τρηχεῖα, ξηρή, ἁλυκώδης.

Τὸ τοῦ γένους ὄνομα τοὺς παλαιοὺς Ἕλληνας εὑρίσκω καὶ κατὰ τῶν ὁμωνύμως λεγομένων ἐνίοτε φέροντας, τῶν ἓν μὲν ἐχόντων τὸ σημαινόμενον, ἐκ δὲ τῆς κατ᾽ αὐτὸ τομῆς εἰς διαφορὰς πλείους ἀφ-

3 κατὰ τοὺς Ἀφορισμοὺς] *Hipp. Aphor. IV 58 (IV 522 L.); cf. Gal. IX 651*
13 τοῦ προτέρου μέρους] *p. 252, 7 sqq.*

2 ὁ *om.* S 4 ἀληθεύοντος CRU 5 ἐνίοτε . . . μόνη *(6) om.* S μόνος *(alt.) Aldus*: μόνων AMRV: μόνον BCTU 7 *post* ποτε *add.* πάλιν BM: *om. cett.* 8 γενέσθαι ABCMS: γίνεσθαι RV μέλλει S 9 *ante* χολώδεις *add.* τελέως CRS: *om. cett.* 11 δόσις AS ἣν M ἐθεραπεύσαμεν . . . ὕδωρ *(12) om.* M 14 θ᾽] τε V: δὲ ABS: δ᾽ CR τε *om.* S 15 λέγειν τις *codd.*: τις λ. *edd.* 16 (καί)τοι . . . παμπόλλοις *(17) om.* M 17 αὐτὸς *Aldus*: αὐτὸ *codd.* 18 τῶν ἀριθμῶν AS 19 οὐ ταὐτὸν] αὐτῶν M τὸ M πάντως R: πάντας *cett.* 20 οὓς *Aldus*: τοὺς *codd.* γὰρ *om.* V ὀλεθρίους CR ἀσώτους T 22 ἐπεχείρησε M 23 τὸ τέλος MT πτύσεσθαι CR 24 ἐστί] ἔσται S 26 καύσου γένος ἄλλο *add.* AB *in mrg.* κοιλίην MS: ἡ κοιλίη *Chartier* 27 δίψεος *Hipp.*: δίψος M: δίψης *cett.* ἐστὶ μεστὴ *ex Hipp. Cornarius* τραχεῖα BMRST ξηρὰ MT 29 μὲν ἓν R: ἓν μὲν *cett.* 30 ἀφικνουμένων CR: ἀφικνούμενον ABSV *et compendiose* M

ικνουμένων· ἐφ᾽ ᾧ πολλάκις εἰώθαμεν λέγειν γενικὰς εἶναι διαφορὰς
754 τοῦδε τοῦ πράγμα|τος δύο ἢ τρεῖς ἢ τέτταρας ἢ ὅσας δυνατόν. ὄντων δὲ καὶ τῶν ὁμωνύμων διττῶν, τινῶν μὲν μηδ᾽ ὅλως ἀλλήλοις κοινωνούντων, ὡς ὅταν κύνα τὸν χερσαῖον καὶ τὸν ἐνάλιον λέγωμεν, ἐνίων δὲ κοινωνούντων κατά τι τοῖς συνωνύμοις, ὅταν ἀφ᾽ ἑνὸς ἔχωσι τὴν προσηγορίαν γεγενημένην, ποῦ ποτ᾽ ἀναφέρονται, προσεπισκεπτέον, ὡς εἴρηται, τὰ δύο γένη τῶν καύσων. γνωσθήσεται δ᾽ ἀκριβῶς τοῦτο, τοῦ κατὰ τοὔνομα λόγου τῆς οὐσίας ἑκατέρου δηλωθείσης. ἐπεὶ δ᾽ ὁ λόγος ὑπὸ τῆς ἐννοίας κρίνεται, σκεπτέον, εἰ τὴν ἔννοιαν ἔχομεν τοῦ καύσου πυρετοῦ σύμφωνον οὕτως, ὥσπερ ἀνθρώπου καὶ ἵππου καὶ βοός· ἐκπίπτειν δὲ τοῦ λόγου μέλλοντος εἰς μῆκος μεῖζον ἢ καθ᾽ ὑπόμνημα, συνελεῖν αὐτὸν ὥσπερ καὶ τοὺς ἄλλους εἰς βραχὺ κεφάλαιον σπεύσομεν, ἀρχὴν τῷ λόγῳ τήνδε ποιησάμενοι.

τὸν καῦσον πυρετὸν εὑρίσκω τοὺς ἰατροὺς λέγοντας, ὅταν ἡ θερμασία διακαίῃ τὸν ἄνθρωπον ἄπαυστόν τε τὸ δίψος ἔχῃ· καὶ εἴπερ οὕτως ἔχει τοῦτο, τὸν μὲν ἄνευ τοῦ διακαίειν τὸ σῶμα δίψαν παρ-
755 ηγορουμένην ἔχοντα καῦσον μὲν ἁπλῶς, ἀκριβῆ δὲ καὶ | γνήσιον οὐκ ἐροῦμεν· ἐξ ἡμίσεος δ᾽ ὄντα τοιοῦτον οὐ χεῖρον ὀνομάσαι συντόμου διδασκαλίας ἕνεκα νόθον καῦσον, ὥσπερ ἐπὶ τῶν τριταίων πυρετῶν εἰώθαμεν χρῆσθαι ταῖς προσηγορίαις. οὕτως ἀκουσόμεθα τοῦ δύο εἶναι γένη καύσων πυρετῶν, ὡς εἴ γε καὶ γένη τριταίων τις δύο εἴποι, τὸν μὲν ἀκριβῆ τε καὶ γνήσιον, ἕτερον δὲ τὸν νόθον, ᾧ τινὰ μὲν πάρεστι τῶν τούτου συμπτωμάτων, ἔνια δ᾽ οὔ.

ὅτι δ᾽ ὁ δεύτερος καῦσος, ὑπὲρ οὗ νῦν πρόκειται λέγειν, οἷον ἐλλιπής τίς ἐστι καὶ οὐ τελέως διηκριβωμένος, εἴσῃ σαφῶς προσέχων τὸν νοῦν τοῖς ὑπ᾽ αὐτοῦ τοῦ συγγραφέως εἰρημένοις συμπτώμασιν ἐπ᾽ αὐτοῦ γίνεσθαι. κατὰ μὲν γὰρ τὴν ἀρχὴν ἔφη κοιλίη ὑπάγουσα, δίψης μεστή, γλῶσσα τρηχεῖα, ξηρή, ἁλυκώδης, μὴ προσθεὶς ὃ προσέθηκεν ἐπὶ τοῦ προτέρου· ὁ γὰρ νόθος τῶν τοῦ γνησίου καύσου συμπτωμάτων τὸ μὲν ἕτερον ἔχει, τὸ δ᾽ ἕτερον οὐκ ἔχει. πάλιν δ᾽ ἐφεξῆς εἰπὼν τὴν γλῶτταν εἶναι τραχεῖαν καὶ ξηρὰν οὐ προσέθηκε τὸ μέλαινα, ὥσπερ ἐπὶ τοῦ προτέρου, ἀλλ᾽ ἀντὶ τούτου τοῦ συμπτώματος

14 τὸν καῦσον πυρετὸν] *cf. Gal. XVII A 687 sq.* 17 ἀκριβῆ] *cf. Gal. IX 663 sqq.* 19 ἐπὶ τριταίων πυρετῶν] *cf. Gal. XI 26*

1 ἀφ᾽ οὗ B 2 γράμματος V ἢ τρεῖς *om.* A τέτταρας M: τέσσαρας *cett.* 3 καὶ *om.* A οὐδ᾽ ὅλως S ἀλλήλοις *ante* μηδ᾽ *transp.* M 4 ὡς . . . κοινωνούντων *om.* V χερσαῖον ABMST: ἐπίπεδον CRV τε καὶ CRV 8 κατ᾽ ὄνομα A: κατ᾽ οὔνομα CRU 9 ἐννοίας] οὐσίας S: ἐννοίας *corr.* A[1], οὐσίας *antea fuisse videtur* *ad* εἰ τὴν *add. in mrg.* ἥντινα AS 10 γ᾽ οὕτως S βοὸς καὶ ἵππου R 11 μεῖζον μῆκος A 16 ἔχοι B τὸν] τοῦ M μὲν *om.* V τοῦ *om.* M παρηγορουμένην *om.* B 18 ὀνομάσω CR 18. 19 διδ. ἕν. συντ. A 19 ὥσπερ καὶ BM 20 εἶναι] οὖν ST 21 καύσων *om.* M τις τριτ. A δύο εἴποι (η) *codd.*: εἴποι δύο *edd.* 22 τὸν *om.* A 23 τούτου] τούτων R: τοιούτων M 25 διηκρινόμενος M 26 τοῦ *om.* CR ἐπ᾽ CU: ὑπ᾽ *cett.* 27 γὰρ *om.* S φησὶ CR 28 τρηχεῖα AS: τρηχείη CM: τραχείη R: τραχεῖα BT ξηρὰ BM 29 καύσου *om.* C 30 δ᾽ *(alt.) om. Chartier* 31 γλῶσσαν AS τρηχεῖαν A ξηρὴν S 32 μέλαινα AS: μέλαιναν *cett.*

εἶπεν ἁλυκώδης. ὥςπερ γάρ, ὅταν ἡ γλῶττα | γένηται πικρά, τὴν 756
ξανθὴν ἐνδείκνυται πλεονάζειν χολήν, οὕτως ὅταν ἁλυκή, τὸν ἁλυκόν τε καὶ ἁλμυρὸν ὀνομαζόμενον χυμόν, ὅςτις ἕν τι τῶν τοῦ φλέγματός ἐστιν εἰδῶν, τριῶν ὄντων, ὡς ἔμαθες, ὀξέος, ἁλμυροῦ, γλυκέος.

ὥςπερ οὖν ὁ πρότερος καῦςος ἐπὶ τῇ πικρᾷ χολῇ ςυνιςτάμενος ἐκκρίςεις ὠχρὰς εἰργάζετο κατὰ διττὴν αἰτίαν, ὅτι τε λεπτὸς ἦν ὅτι τε κατ᾽ αὐτὸν ὁ διακαὴς πυρετὸς ηὐξάνετο, προςεγγενωμένης ἐν αὐτῷ τῆς ξανθῆς χολῆς, οὕτω νῦν ὁ φλεγματώδης χυμὸς οὔτ᾽ εὔκριτός ἐστιν οὔτ᾽ αὐξάνει τοὺς πυρετοὺς οὔτε φλογώδη τὴν δίψαν ἔχει οὔτ᾽ ἐκπνευματοῦται. καὶ διὰ τοῦτ᾽ εἴρηκεν ἐπ᾽ αὐτοῦ κοιλίη ὑπάγουςα, διαχωρεῖν αὐτὴν μόνον δηλώςας, ἐναντίον ὂν τῷ μὴ διαχωρεῖν. ὑπέρχεται μὲν γὰρ τούτοις ἡ γαςτήρ, οὐ μὴν κατὰ χυμοῦ τινος ἰδέαν, ἀλλ᾽ αὐτῶν τῶν προςφερομένων ἐν τροφῆς μοίρᾳ διαφθειρομένων. οὐ γὰρ ἐπὶ πομάτων οὗτοι διαιτῶνται, καθάπερ οἱ πλεῖςτοι τῶν τὸν πρότερον καῦςον νοςούντων, ἐπειδὴ ςύντομον ἐκεῖνοι τὴν ἔκκριςιν ἔχουςιν, ἐπὶ λεπτῷ καὶ ζέοντι χυμῷ ςυνιςτάμενοι, βραδεῖαν δ᾽ οὗτος διὰ τὸ |
ψυχρὸν καὶ γλίςχρον καὶ παχὺ τῆς τοῦ φλέγματος οὐςίας. οὔκουν ἐν- 757
δέχεται ποτῷ μόνῳ χρῆςθαι τοὺς οὕτω νοςοῦντας· τοῦτο γὰρ ἐμάθομεν ἐπὶ τῶν μελλόντων πέττεςθαι περὶ τὴν πέμπτην ἢ τὴν ἑβδόμην ἡμέραν, ἰςχυρᾶς οὔςης δηλονότι τῆς δυνάμεως· εἰ δ᾽ εἰς τὴν ἐνάτην ἢ τεςςαρεςκαιδεκάτην ἢ εἰκοςτὴν ἐμπίπτειν μέλλει τὸ νόςημα, χυλῷ πτιςάνης ἐξ ἀρχῆς ἐπ᾽ αὐτοῦ χρώμεθα.

IV 14 [II 2. II 398 L.] Οὔρων ἀπόληψις.

⟨Οὔρων ἀπόληψις⟩ εἴωθε λέγεςθαι παρ᾽ αὐτοῦ, ὅταν ἢ οὐκ ἀξιολόγως ἢ μηδ᾽ ὅλως φέρηται· γίνεται δὲ τοῦτο κατὰ τὸν προκείμενον ἐν τῷ λόγῳ καῦςον ἐπὶ τῷ πάχει τοῦ χυμοῦ.

IV 15 [II 2. II 398 L.] Ἀγρυπνίη.

Τοῦτο κοινὸν ἀμφοτέρων τῶν καύςων καὶ διὰ τοῦτο κατὰ τὸν πρότερον ἐμνημόνευςεν αὐτοῦ· καὶ γὰρ γίνεται μᾶλλον ἐπ᾽ ἐκείνου, διότι καὶ ἡ κεφαλὴ μᾶλλον ἐκπυροῦται.

4 ὡς ἔμαθες] *cf. Gal. VI 463. VII 349 K.* 18 ἐμάθομεν] *p. 160, 1 sqq.* 24 Οὔρων ἀπόληψις] *cf. Gal. XVI 618. 774* 27 ἀγρυπνίη] *cf. Gal. XVII B 457. XVI 646* 29 ἐμνημόνευςεν] *supra p. 275, 8*

1 ἁλυκώδης ASV: ἁλυκῶδες M: ἁλυκώδη *cett.* γλῶςςα A 6 ἦ M 7 προςεγγενωμένης ABCMR *(verbum lexicis nostris non notum)*: προςεγγενομένης *cett.* ἐν *om.* AST 8 νῦν *codd.*: γοῦν *edd.* ἐστιν ABMST: ὤν *cett.* 9 τοὺς πυρετοὺς V: ἐν τοῖς πυρετοῖς *cett.* οὔτε . . . ἔχει *exhibet* V: *om. cett.* *post* ἔχει *add.* πυρετὸς V ἐκπνευματοῦται *codd.*: ἐμπνευματοῦται *edd.* 10 εἴρηκεν *Aldus*: εἴρηται *codd.* ἐπ᾽ ACRTV: ὑπ᾽ BMS 11 αὐτὴν *om.* M μόνον M: μόνην *cett.* 12 μὲν *om.* A 17 παχὺ κ. ψ. κ. γλ. S φλεγματώδους A 19 ἐπὶ] περὶ ST τὴν *ante* πέμπτην *om.* S ἢ] καὶ C 21 τὴν τεςς. M ἐκπίπτειν AS μέλλοι CR χυλὸν BM 22 ἐπ᾽ αὐτοῦ *ante* ἐξ ἀρχῆς *transp.* M 24 Οὔρων ἀπόληψις *om. codd.*: *add. Aldus* αὐτοῖς STV ἄξιον λόγου M 25 ἢ *om.* BM 30 ἡ V: καὶ ἡ *cett.* ἐκπληροῦται T

IV 16 [II 2. II 398 L.] Ἀκρωτήρια ἐψυγμένα.

758 Τοῦτο τὸ cύμπτωμα τοῦ | δευτέρου ἐcτὶ καύcου· οὐ δεῖ δ' ἁπλῶc εἰρῆcθαι τὸν λόγον, ἀλλὰ μετὰ διοριcμοῦ τινοc· οὐ γὰρ ἀεὶ τοιοῦτόc ἐcτιν, ἀλλ' ὅταν κακοήθηc ᾖ. κατὰ μὲν γὰρ τοὺc χολώδειc καὶ διακαεῖc πυρετοὺc ἄχρι τῶν περάτων τοῦ cώματοc ἐκτείνει τὴν θερμότητα, κἂν κακοήθηc ὁ καῦcοc ᾖ, κατὰ δὲ τοὺc φλεγματικοὺc ἡ καπνώδηc τῆc θερμαcίαc οὐcία * * * ὅταν οὖν ἐν τοῖc κατὰ γαcτέρα χωρίοιc ἢ τὸ ἧπαρ ἢ τὸν πνεύμονα γένηται cῆψιc ἁλυκοῦ χυμοῦ, δι' ἐκείνην μὲν ἡ πυρώδηc θερμαcία γίνεται, κακοηθευcαμένου δὲ τοῦ νοcήματοc ἀκρωτήρια ψύχεται διὰ τὴν ἀρρωcτίαν τῆc δυνάμεωc καὶ τὸ μέγεθοc τῆc φλεγμονῆc ἐφ' ἑαυτὴν ἑλκούcηc πᾶν τὸ αἷμα· χωρὶc γὰρ τούτων οὐκ ἂν ὀλέθριον γένοιτό ποτε τὸ νόcημα.

IV 17 [II 2. II 398, 2 L.] Τῷ τοιούτῳ ἢν μὴ αἷμα ἐκ ῥινὸc ῥυῇ ἢ ἀπόcτημα περὶ τράχηλον γένηται ἢ cκελέων ἄλγημα καὶ πτύcματα παχέα πτύcῃ (ταῦτα δὲ cυcτάcηc τῆc κοιλίηc 759 γίνεται) | ἢ ἰcχίων ὀδύνη ἢ αἰδοίου πελίωμα, οὐ κρίνεται· καὶ ὄρχιc ἐνταθεὶc κριτικόν.

Ὅτι δι' ἀποcτημάτων μᾶλλον ἢ ἐκκρίcεων οἱ ἐπὶ φλέγματι cηπομένῳ γινόμενοι πυρετοὶ τὴν λύcιν ἴcχουcι, πολλάκιc δέδεικται· κατὰ δὲ τὸν προκείμενον καῦcον οὐκ ἀποcτημάτων μόνον ἐμνημόνευcεν, ἀλλὰ προcέθηκε καὶ αἱμορραγίαν, ἐπ' ἐκείνων μᾶλλον τῶν καύcων γιγνομένην, ἐφ' ὧν ἡ τοῦ πάθουc cύcταcιc ἐν τῷ πνεύμονι γίνεται· θερμαινομένη γὰρ ἐν ταῖc τοιαύταιc διαθέcεcιν ἡ κεφαλὴ πληροῦται τοῦ αἵματοc ἀποχεῖ τε τὸ πλεονάζον αὐτοῦ, ῥηγνυμένων ἢ ἀναcτομουμένων τῶν φλεβῶν· διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ περὶ τὸν τράχηλον ἀποcτήματα καὶ παρωτίδεc γίνονται τοῖc οὕτω πάcχουcιν.

ὅcοιc δὲ τοῦ πάθουc ἡ cύcταcιc ἐν τοῖc κατὰ τὴν νῆcτιν ἢ τὸ ἧπαρ ἐγένετο μέρεcι, κάτω μᾶλλον αἱ ἀποcτάcειc τούτοιc cυμπίπτουcιν, ὥcτε καὶ ἡ τῶν ἰcχίων ὀδύνη καὶ τὸ τοῦ αἰδοίου πελίωμα καὶ ἡ τοῦ ὄρχεωc ἔνταcιc τοῖc οὕτω κάμνουcι μᾶλλον cυμβαίνει. γίνεται

7. 8 τὸ ἧπαρ] *cf. Gal. VIII 348* 10. 11 τὸ μέγεθοc τῆc φλεγμονῆc] *cf. Gal. XVIII A 124 sq.* 19 δέδεικται] *p. 207, 18. cf. Gal. XVIII B 160. XVI 228. IX 753 sqq.* 21 αἱμορραγίαν] *cf. Gal. XVII A 691*

2 ἐcτὶ *om.* S 3 γὰρ *om.* S 4 καὶ *om.* BM 5 θερμότητα *codd.*: θερμαcίαν *edd.* κἂν *codd.*: κἂν μὴ *edd.*: *'et si non male morigeratus causus fuerit' interpr. lat.* 7 *post* οὐcία *vocabulum plura intercidisse videntur* ὅταν οὖν S: οὖν *om. cett.* 8 γίνηται S 12 ὀλέθρια BM γένοιτο *scripsi*: γένηται *codd.* ποτε *om.* A τὸ AV: *om. cett.* νοcήματα M 14 τράχηλον S: τὸν τρ. S[1] *cum cett.* 16 ἢ ἰcχίων ὀδύνη ἢ αἰδοίου πελίωμα *post* ἄλγημα *(14) transp. Kühlewein* ἢ *ante* ἰcχ. M: *om. cett.* ἢ *ante* αἰδ. *om.* ABS: *add.* A[1] 17 κριτήριον CR 18 cηπόμενοι M 19 ἴcχουcι *codd.*: ἔχουcι *edd.* 20 μόνων MTV 21 ἀλλὰ καὶ V μᾶλλον *om.* AST: *add.* A[1] γινομένην *ante* ἐπ' *transp.* V 22 τῷ *om.* S γένηται M 23 τοῦ *om.* M 24 ἀποχεῖται M 27 τὴν *om.* B ἢ] καὶ R 28 ἐγένετο] γίνεται S 29 ἡ *om.* CR

δ᾽ ἔντα|ϲιϲ ὄρχεωϲ ἐνίοτε μὲν ὑπὸ τῆϲ κατ᾽ αὐτὸν φλεγμονῆϲ, ἐνίοτε **760** δ᾽ ὑπό τινοϲ τῶν ἄνω φλεγμαινόντων ἡλκωμένου. τὸ δὲ καὶ πτύϲματα παχέα πτύειν ἐνίουϲ αὐτῶν ἐπὶ τῶν κατὰ τὸν πνεύμονα πάθοϲ ἐχόντων εἴρηται πέψεωϲ ἤδη γεγονυίαϲ.

εὔδηλον οὖν ἐκ τούτου τὸ ϲυγκεχυμένον καὶ ἄτακτον καὶ ἀδιόριϲτον τῆϲ διδαϲκαλίαϲ, ὅπερ ὑποτυπώϲει μὲν ἕνεκα ϲυγγράμματοϲ γινομένῃ πρέπει, ϲυγγράμματι δ᾽ οὐδαμῶϲ ἐϲτιν οἰκεῖον· ἐπὶ γὰρ πολλοῖϲ μέρεϲι πεπονθόϲι γινομένων τῶν τοιούτων πυρετῶν ἐχρῆν ἐφεξῆϲ τῶν ϲυμπτωμάτων γεγράφθαι τὸν κατάλογον καὶ μὴ ἀδιορίϲτωϲ τε καὶ ἀτάκτωϲ, ἀλλ᾽ ἢ κατὰ τὸ οἰκεῖον προκείμενον νόϲημα ποιεῖν. καὶ τὸ ‟κοιλίη ὑπάγουϲα” κατὰ τὸν αὐτὸν εἴρηται τρόπον, οὐχ ὡϲ ἀεὶ τοῖϲ καύϲοιϲ ὑπάρχοντοϲ τοῦ ϲυμπτώματοϲ, ἀλλ᾽ ὡϲ ἐνίοτε· τοῖϲ γὰρ ἐν τῇ γαϲτρὶ τὴν εἰρημένην διάθεϲιν ἔχουϲι διαφθειρομένων τῶν ϲιτίων αἱ διαχωρήϲειϲ ὑγραί, τοῖϲ δ᾽ ἐν τῷ πνεύμονι ἔχουϲι τῆϲ γαϲτρὸϲ ἀπαθοῦϲ ὑπαρχούϲηϲ οὐκ ἀνάγκη τὰ διαχωρήματα τοιαῦτ᾽ εἶναι· τοὐναντίον γὰρ ἐνίοτε τοῖϲ οὕτω διακειμένοιϲ ϲυμβαίνει ϲκληρὰν καὶ δυϲ|διαχώρητον **761** εἶναι τὴν γαϲτέρα.

καὶ μὲν δὴ καὶ οἷϲ κατὰ τὸ ἧπάρ ἐϲτιν ἡ οἷον ῥίζα τοῦ καύϲου ποτὲ μὲν ἔκκριϲιϲ ὑγρά, ποτὲ δὲ ξηρὰ τὰ διαχωρήματα αὐτῶν ἐκκρίνεται, οἷα τὰ καλούμενα ϲπυραθώδη, κατωπτημένων δηλονότι τῶν ϲκυβάλων ὑπὸ τῆϲ ἐν τῷ ϲπλάγχνῳ φλεγμονῆϲ. ὅταν μὲν οὖν φλεγμαίνῃ μόνον, τοῦτο ἐργάζεται, ὅταν δὲ ϲὺν τῇ φλεγμονῇ ᾖ καὶ ἡ ἀτονία, ὑγρὰ διαχωροῦϲι μὴ δυναμένου τοῦ ϲπλάγχνου πρὸϲ ἑαυτὸ τὴν τροφὴν ἕλκειν. διορίζεται δὲ τὰ τοιαῦτα διαχωρήματα τῶν ἀπὸ τῆϲ γαϲτρὸϲ πεπονθυίαϲ γενομένων τῷ κεχυλῶϲθαι.

IV 18 [II 2. II 398, 6 L.] Ῥοφήματα ἐπιϲπαϲτικὰ δίδου.

Ὃ πολλάκιϲ εἴωθα λέγειν, ὡϲ ἀϲαφὴϲ λέξιϲ οὐδὲν διδάϲκει, τοῦτο καὶ νῦν ἐρῶ. τοῖϲ γὰρ διὰ φαυλότητα φλέγματοϲ νοϲοῦϲι ποτὸν μὲν ὀξύμελι χρηϲιμώτατόν ἐϲτι, τροφὴ | δὲ χυλὸϲ πτιϲάνηϲ. ἀλλ᾽ ὅμωϲ ἐγώ, **762**

11 κοιλίη ὑπάγουϲα] *p. 281, 26* 20 τὰ καλούμενα ϲπυραθώδη] *cf. p. 143, 4* 27 πολλάκιϲ] *e. g. XVI 546*

1 κατ᾽ αὐτὸν *scripsi*: καθ᾽ ἑαυτὴν M: καθ᾽ ἑαυτὸν *cett.* 2 ἡλκωμένου *scripsi*: ἑλκομένου *codd.* 3 ἐπὶ τῶν *om.* S τὸν *om.* BCMR 4 ὡϲ *add. ante* εἴρηται BM 5 οὖν *om.* AS ϲυνεχυμένον M 6 ϲυγγραμμάτων V: ϲυγγράμματοϲ *cett.* γινόμενον AM 7 ϲυγγράμματοϲ δ᾽ M ἐϲτιν *om.* M 8 τῶν τοιούτων ABCSV: τῶν *om.* MR τῶν *ante* ϲυμπτωμάτων *om.* R, *edd.* 10 τὸ *(alt.)*] τῇ CM 12 τῇ *om.* R 13 τῶν διαφθ. ϲ. M 15 διαχωρήματα BCM: διαχωρούμενα *cett.* 18 μὲν ABCMS: μὴν RV οἷϲ . . . καύϲου *om.* CRU *post* καύϲου *add.* καὶ τοῖϲ διὰ τὸ ἧπαρ καυϲουμένοιϲ AC RST: *om.* BM: *del.* A[1] 20 οἷα BCMRS: οἷον V: *ambigue* A δηλονότι *om.* S 22 ᾖ *om.* B: *post* ἀτονία *transp.* CR ἡ V: *obscur.* M: *om. cett.* ἀτονίη A 23 διαχωρήϲουϲι A 25 γινομένων ABCST 26 *post* ῥοφήματα *add.* δὲ AS: τε A[1] 27 εἴωθε MT ἡ ἀϲαφὴϲ A ἡ λέξιϲ M οὐδὲν] οὐ S 28 καὶ] δὲ R ποτὸν] ποτὲ MST: ποτὲ *mutat. in* ποτὸν A 29 χρηϲιμώτερόν A

καίτοι γινώσκων ταῦτα καὶ παρ᾽ ἑτέρου μαθεῖν οὐ δεόμενος, οὐκ ἔχω μαντεύσασθαι, τίνα ποτὲ λέγει τὰ ἐπισπαστικὰ ῥοφήματα. τὸ γὰρ ὀξύμελι τμητικόν τε καὶ διαιρετικὸν καὶ ῥυπτικὸν ἐγχωρεῖ λέγειν, ἐπισπαστικὸν δ᾽ οὐδαμῶς, ὅτι μηδὲ δυνάμεθα δεῖξαι τὸ ἐπισπώμενον ὑπ᾽ αὐτοῦ. οὕτως οὐδὲ τὸν τῆς πτισάνης χυλὸν ἐπισπαστικὸν εἶναι φήσομεν. ἴσως οὖν ἐρεῖ τις κελεύειν αὐτὸν τὴν γαστέρα ὑπάγειν τοῖς ἐπισπαστικοῖς, τουτέστι τοῖς ἐπισπωμένοις τὸν παχὺν χυμόν, ὁποῖός ἐστι καὶ ὁ τοῦ φλέγματος· ἀλλ᾽ οὐκ ἂν εἶπε ῥοφήματα· φαρμάκων γὰρ τὸ τοιοῦτον ἔργον, οὐ ῥοφημάτων ἐστίν, ὥσπερ οὐδὲ πομάτων.

πρόδηλον οὖν γέγονεν, ὡς ταῖς ἀσαφέσι λέξεσιν οὐδὲν γινώσκομεν βέβαιον, καὶ διὰ τοῦτ᾽ οὐδὲ ταύτῃ τῇ λέξει ἐπιχειροῦμεν· οὐδὲν γὰρ ὡρισμένον ἢ βέβαιον παρ᾽ αὐτῆς ἔστιν εὑρεῖν· ἀλλ᾽ οὐκ οἶδ᾽ ὅπως οἱ ἄνθρωποι, καθάπερ ἄλλα πολλὰ φανερῶς ἁμαρτάνουσιν, οὕτω καὶ τῷ
763 χαίρειν τοῖς ἀσαφῶς εἰρημένοις· καίτοι πάντες ὥσπερ ἐξ ἑνὸς | στόματος τὴν μὲν σαφήνειαν ἀρετὴν εἶναι ἑρμηνείας λέγουσι, τὴν δ᾽ ἀσάφειαν κακίαν.

IV 19 [II 2. II 398, 7 L.] Τὰ δὲ ὀξέα πάθεα φλεβοτομήσεις, ἢν ἰσχυρὸν φαίνηται τὸ νόσημα καὶ οἱ ἔχοντες ἀκμάζωσι τῇ ἡλικίῃ καὶ ῥώμη παρῇ αὐτέοισιν.

Οὗτος ὁ λόγος ἄξιός ἐστιν Ἱπποκράτους· θαυμάζω δέ, πῶς οὐκ ἔγραψεν αὐτὸν ἐν Ἀφορισμοῖς· ἐν ὀλίγῃ γὰρ τῇ λέξει δύναμίς ἐστι πολλή, καθάπερ ἐν τοῖς Ἀφορισμοῖς. περὶ γοῦν τῶν φλεβοτομίας χρῃζόντων εἴρηται πολλάκις τοῖς ἰατροῖς, ὧν τὰ δοκοῦντα πιθανώτατα περὶ φλεβοτομίας ἀσφαλῶς εἴρηται διὰ δυοῖν βιβλίων ὑπ᾽ ἐμοῦ γεγραμμένων· τὸ μὲν οὖν ἕτερον αὐτῶν ἐπιγέγραπται Περὶ φλεβοτομίας, ἐν ᾧ τὰ πάντα χρήσιμα διδάσκεται, τὸ δ᾽ ἕτερον γέγραπται, ὡς ἔφην, τοῖς ἰατροῖς τοῖς τ᾽ ἐμπειρικοῖς καὶ δογματικοῖς. οἱ δ᾽ ἀμέθοδοι Θεσσάλειοι
764 καθάπερ καὶ τἄλλα | χωρὶς ἀποδείξεως ἁπλῶς λέγουσιν, οὕτω καὶ τὴν φλεβοτομίαν ἀπεφήναντο χαλαστικὸν εἶναι βοήθημα· τὸ χαλαστικὸν δ᾽

3 ὀξύμελι] *cf. p. 232, 5. 247, 26* 6 τοῖς ἐπισπαστικοῖς] *cf. Gal. XI 759 sqq. K.* 19 ῥώμη παρῇ] *Gal. IX 277* καλῶς οὖν ἐν τοῖς προσκειμένοις τῷ Περὶ διαίτης ὀξέων παρήνηται φλεβοτομεῖν ἡμᾶς, ὅταν ᾖ μέγα τὸ νόσημα καὶ ἀκμάζῃ ὁ νοσῶν καὶ ῥώμη παρῇ 25 Περὶ φλεβοτομίας] *Gal. XI 250—322* 26 τὸ δ᾽ ἕτερον] *Gal. XI 147—186* ὡς ἔφην] *v. 23* 29 χαλαστικὸν βοήθημα] *cf. Gal. XI 741. X 303. XIII 991*

1 *super* γινώσκων *add.* μὴ A[1] μαθεῖν οὐ δεόμενος BCMRU: μαθὼν οὐδενὸς ASTV 2 μαντεύσασθαι ABCMRSV: μαντεύσεσθαι T: μαντεύεσθαι *edd.* 3 ἐγχωρεῖ . . . ἐπισπαστικὸν *(5) om.* CU 4 μηδὲ BM: μὲν γὰρ οὐ AST: γε οὐδὲ R: γὰρ οὐ V ἀποδεῖξαι AS 5 τὸν *om.* M φήσωμεν M: φαμεν C: φαίημεν *cett.*: *correxi* 9 οὖν *ante* οὐδὲ *add.* M 10 *ante* ταῖς *add.* ἐν *Chartier* 11 οὐδὲν] οὐδὲ M 12 ἢ] οὐδὲ AS οἱ *codd.*: *om. Chartier* 13 καὶ ἄλλα V τῷ B: τὸ *cett.* 17 πάθη AST *post* φλεβοτομήσεις *add.* αὐθημερὸν AS 18 ἀκμάζουσι AM 19 ἡλικία AMS 21 ἐν ὀλίγῃ . . . ἀφορισμοῖς *om.* CS τῇ] τοι BRTV 22 πολλὴ BMRT: μεγάλη AV τῶν] τῆς M 23 πολλὰ S 24 βιβλίοιν M ἐμοῦ] αὐτοῦ A 26 διδάσκονται M *post* ἕτερον *excidisse* Περὶ φλεβοτομίας πρὸς Ἐρασίστρατον, ἐν ᾧ τὰ δοκοῦντα *suspicatur Schoene* 27 τ᾽ *om.* M θεσσάλιοι *codd.*: *corr. Aldus*

αὐτὸ διαφόρως ἐξηγοῦνται, καθὼς δέδεικταί μοι διὰ τῶν ἐμῶν ὑπομνημάτων Περὶ τῆς μεθοδικῆς αἱρέσεως ἐπισκεπτομένῳ. τῷ μὲν οὖν ἅπασαν ἀναλέξασθαι τὴν περὶ τῆς φλεβοτομίας ἱστορίαν βουλομένῳ πάρεστιν ἀναγινώσκειν τά θ᾽ ἡμέτερα καὶ τὰ τῶν ἄλλων ἰατρῶν βιβλία· νυνὶ δ᾽ αὐτὸ τὸ κεφάλαιον αὐτῆς ἄκουσον εἰς ὀλίγους τέως ἀνενηνεγμένον σκοπούς.

φλεβοτομήσεις γὰρ πρῶτον, ‘εἴ σοι φαίνοιτο μέγα τὸ νόσημα’. φανερῶς ἀπὸ τοῦ νοουμένου πηλίκου τῷ βοηθήματι χρῆται διὰ τὰ ἰσχυρὰ πάθη· οὐ διαφέρει γε μὴν ἰσχυρὸν ἢ μέγα τὸ νόσημα φάναι. δεύτερος σκοπὸς τῆς φλεβοτομίας ἐστίν, εἰ ἀκμάζοι κατὰ τὴν ἡλικίαν ὁ κάμνων· οὔτε γὰρ παῖς οὔτε γέρων φέρουσι τὴν φλεβοτομίαν, οὐδ᾽ ἂν μέγα νόσημα νοσῶσιν. ὁ δὲ δὴ τρίτος σκοπὸς εἴρηται τῷ συγγραφεῖ τῆς ζωτικῆς δυνάμεως ἡ ῥώμη· καὶ γὰρ καὶ τῶν ἀκμαζόντων ἐν ταῖς νόσοις οὐ διὰ παντὸς ἡ ῥώμη ἐμφανής ἐστιν. ἴσως οὖν τινι δόξει τὰ δύο ἀρκεῖν μόνα σκοποὺς | ὑποθέσθαι φλεβοτομίας, μέγεθος νοσήματος καὶ 765
ῥώμην δυνάμεως· ὁ γάρ τοι γέρων οὐ διὰ τὴν πολυετίαν αὐτὴν καθ᾽ ἑαυτήν, ἀλλὰ διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως οὐ φέρει τὴν φλεβοτομίαν. ἀλλ᾽ οἵ γε παῖδες ἰσχυροὶ τὴν ζωτικὴν δύναμιν ὄντες ὅμως οὐδ᾽ αὐτοὶ τὴν φλεβοτομίαν ἀνέχονται· διαφορεῖται γὰρ αὐτῶν ἑτοίμως ἡ οὐσία διά τε τὴν ὑγρότητα καὶ διὰ τὴν θερμότητα τῆς κράσεως· οὔκουν δέονται φλεβοτομίας σύμφυτον ἔχοντες τὴν ἐκ τῆς κράσεως κένωσιν. διὰ ταῦτα γοῦν οὐκ ἀρκεῖ μέγεθος νοσήματος καὶ ῥώμην δυνάμεως σκοποὺς εἶναι φλεβοτομίας, ἀλλ᾽ ἄμεινόν ἐστι προστιθέναι καὶ τὴν τῶν ἀκμαζόντων ἡλικίαν.

τό γε μὴν ἐν ἀρχῇ τῆς ῥήσεως ἄξιον ἐπισκέψασθαι, ὅπως εἴρηται τὰ ὀξέα πάθεα φλεβοτομήσεις. τῶν δὲ χρονίων πῶς οὐκ ἐμνημόνευσεν; ἐπειδὴ περὶ τῶν ὀξέων αὐτῷ νῦν ἐστιν ἡ διδασκαλία, [καὶ] διὰ τοῦτο περὶ τούτων μόνον ἐμνημόνευσε· δέονται γὰρ καὶ τῶν χρονίων πολλὰ φλεβοτομίας, ὅταν καὶ αὐτὰ τοῖς εἰρημένοις τρισὶν ὑπάγηται σκοποῖς. ὀρθῶς δὲ | πάντων τούτων εἰρημένων, οὐκ ὀρθῶς ὑποληπτέον 766
κεκρίσθαι πρός τινων, ὧν ἐστι καὶ Μηνόδοτος ὁ ἐμπειρικός, ἐπὶ μόνῃ

2 Περὶ μεθοδικῆς αἱρέσεως] *sex libris Galenum methodicorum sectam impugnasse apparet e cap. 10 libelli* Περὶ τῶν ἰδίων βιβλίων *(XIX 38 K. Script. min. II 115)* 16 ὁ γάρ τοι γέρων] *cf. Gal. XI 291* 18 οἵ γε παῖδες] *cf. Gal. XI 290* 31 Μηνόδοτος] *Gal. IX 277. 285. XI 277 sqq. XVIII A 575 sq.*

2 ἐπισκοπουμένω S: ἐπισκεπτομένου B: ἐπισκεπτόμενος M τῷ . . . βουλομένῳ *(3) om.* S 3 βουλόμενος M 5 νῦν A ἀνενηνεγμένον *scripsi*: ἐνηνεγμένον A: ἀνηνεγμένον *cett.* 7 πρῶτον, εἴ *Aldus*: εἰ πρῶτον *codd.*: *‘phlebotomabis enim primum, si’ interpr. lat.* φαίνηται MS φανερῶς ἐστιν CR: φανερῶς δ᾽ *Diels* 8 ἰσχυρὰ *Aldus*: μικρὰ *codd.* 9 τὸ A: *om. cett.* 10 ἀκμάζοι ABT: ἀκμάζει *cett.* ἡλικίην T 12 νόσημα *om.* C ὁ] οὐ R δὲ *om.* V δὴ *om.* S 13 καὶ *post* γὰρ *om.* C 14 οὐ *om.* B ἐμφανής ἐστιν A¹BCMR: ἐμφανεῖται STV 16 ῥώμης M: ῥώμη CR 19. 20 ἡ οὐσία *om.* T 20 διὰ *(alt.) om.* BST 22 γοῦν AST: γὰρ οὖν BMR: οὖν C 23 σκοπὸν M ἐστι *scripsi*: εἶναι *codd.* 26 πάθη AS πῶς . . . ὀξέων *(27) om.* T 27 ἐπειδὴ . . . ἐμνημόνευσε *(28) om.* M αὐτῶν CST καὶ *inclusi* 28 μόνων A 31 κεκρίσθαι *Chartier*: καὶ (*add.* A¹) χρῆσθαι A: κεχρῆσθαι *cett.* τινος M ὧν ἐστι καὶ V: καὶ γὰρ *cett.*: *‘quorum est et Menodotus empiricus’ interpr. lat.; cf. Gal. VII 347* ὧν ἐστι καὶ Φίλιππος ὁ *om.* M

τῇ πληθωρικῇ καλουμένῃ συνδρομῇ φάσκων τετηρῆσθαι φλεβοτομίαν· ἡμεῖς δὲ καὶ μὴ παρούσης αὐτῆς φλεβοτομοῦμεν, ὅταν ὀδύνη σφοδρὰ καταλαμβάνῃ τὸν ἄνθρωπον ἐξαίφνης ἢ θλασθῇ τι μόριον ἢ ὀστοῦν ἐξωσθῇ κατ' ἄρθρον ἢ ἄλλο τι ἄρθρον συναρθῇ· οὐ φλεβοτομοῦμεν δέ, καίτοι τῆς πληθωρικῆς συνδρομῆς γενομένης, διὰ δὲ τρίψεως καὶ λουτρῶν πλειόνων καὶ διαίτης ἐνδεοῦς ἡμέραις δύο ἢ καὶ τρισὶν εἰς τὸ κατὰ φύσιν ἄγομεν. εἴρηται δὲ περὶ τούτων ἐπὶ πλέον ἐν τῷ Περὶ πλήθους καὶ ἐν τῷ Περὶ φλεβοτομίας, ἔτι τε ἐν τῷ τῆς Θεραπευτικῆς μεθόδου βιβλίῳ. ἱκανὰ μὲν οὖν καὶ ταῦτα εἰς τὸ παρὸν ὡς ἐν ὑπομνήματι περὶ φλεβοτομίας εἰρῆσθαι.

προσθήσω δὲ ἕνεκα τοῦ μηδὲν λείπειν τὸν ἀπὸ τοῦ περιέχοντος ἡμᾶς ἀέρος σκοπόν, ὅταν ᾖ θερμὸς ἱκανῶς καὶ ξηρός, ὡς διαφορεῖσθαι ταχέως ὑπὸ τούτου τὸ σῶμα· τηνικαῦτα γὰρ ἀφιστάμεθα τῆς φλεβο-
767 τομίας, | εἰ καὶ μέγα τὸ νόσημα καὶ ἀκμάζων ὁ ἄνθρωπος εἴη. τοῦτ' οὖν ὁ συγγραφεὺς τοῦ βιβλίου παρέλιπε μόνον γράψας τὰ λοιπά, καὶ τὴν ἕξιν δ' αὐτοῦ τοῦ πάσχοντος σώματος· ἀλλ' ἐπὶ προήκοντί γε τῷ γράμματι καὶ τῆς ἕξεως ἐμνημόνευσε, δυναμένης καὶ τὰς τῆς ἡλικίας διαφορὰς ἐν ἑαυτῇ περιλαβεῖν, ὡς δείξω.

IV 20 [II 2. II 398, 9 L.] Ἢν μὲν οὖν σύναγχος ᾖ, ἐκλεικτῷ ἀνακάθαιρε, εἴτ' ἄλλο τι τῶν πλευριτικῶν· ἢν δὲ ἀσθενέστεροι φαίνωνται ἢ καὶ πλέον τοῦ αἵματος ἀφέλῃς, κλυσμῷ κατὰ κοιλίην χρέεσθαι διὰ τρίτης ἡμέρης, ἕως ἂν ἐν ἀσφαλείῃ γένηται ὁ νοσέων ἢ καὶ λιμοῦ χρήζῃ.

Ἡ συνάγχη τῶν κατὰ φάρυγγα μερῶν ἐστι φλεγμονὴ δυναμένη μετὰ τὴν φλεβοτομίαν ἐκλεικτοῖς ἀνακαθαίρεσθαι, τουτέστι τὰ περιεχόμενα κατὰ τὰ φλεγμαίνοντα μόρια κενοῦσθαι διὰ τῶν πτυσμάτων·
768 τὸ γὰρ ἀκάθαρ|τον σῶμα καὶ περιττωματικὸν ἐκκενούμενον εἰκότως ἂν τις καθαίρεσθαι λέγοι. τὰ δ' ἄλλα νοσήματα τὰ ὀξέα παραλείψας περὶ

7. 8 Περὶ πλήθους] *Gal. VII 513—583 K.* 8 Περὶ φλεβοτομίας] *Gal. XI 250—322* 8. 9 ἐν τῷ τῆς Θεραπευτικῆς μεθόδου βιβλίῳ] *Gal. X 287. 624 sqq. 640 sq. 777 sq. 904* 17 ἐμνημόνευσε] *infra p. 293, 13* 18 ὡς δείξω] *p. 293, 16 sqq.* 24 συνάγχη] *Gal. XI 77. VIII 247 sqq.*

1 φάσκων V: φησι *cett.*: '*dicens*' *interpr. lat.* τετηρεῖσθαι *codd.* φλεβοτομίην T: φλεβοτομίας S 3 λαμβάνη A θλᾶσθαι CMR 5 *post* δέ *add.* ἀεί (?) R: *om. cett.*: *malim* ἐνίοτε τρίψεων M 8 δὲ M: τε *cett.* 9 οὖν *om.* A ἐν ὑποδείγματι S 10 περὶ *om.* AS 15 παρέλιπε U: παρέλειπε M: παρέλειψε *cett.* καὶ *om.* SV 16 τοῦ *codd.*: *om. a Charterio edd.* γε *om.* M 18 ἑαυτῇ B: αὐτῇ *cett.* 19 ἢν] εἰ C ἐκλεικτῷ AM: ἐκλικτῷ S: ἐκλεκτῷ TV: ἑλικτῷ CR: ἐκλεικτοῖσιν *a Basil. edd.* 20 ἀνάκαθαρε CMR: ἀνακάθαραι S εἴτ'] ἤν τ' P: ἢν δὲ *Hipp. cod. A* τῷ πλευριτικῷ *Hipp. cod. ACFH; inde* ἢν δὲ ἄλλο τι, τῷ πλευριτικῷ *Kühlewein; cf. Littré not.* 21 ἢ καὶ CRU: ἢν κ. *cett.* 22 ἡμέρης B: ἡμέρας *cett.* ἐν *om.* CRU ἀσφαλίῃ M γίνηται S 23 νοσῶν M ἢ καὶ AB¹CR: καὶ MSTV; *cf. p. 289, 9* λοιμοῦ CV: χυλοῦ *Reinhold* 24 τὸν φ. CR: φάρυγγα *cett.* 25 τουτέστι . . . λέγοι *(28) om.* C: *add.* C¹ *in mrg.* τὰ *codd.*: αὐτὰ τὰ *ab Aldo edd.* 26 τὰ κατὰ M 28 τις *om.* A

τοῦ πλευρίτου εἴρηκεν, ὡς κἀν τῷ πρώτῳ μέρει τοῦ βιβλίου πεποίηκεν· ʽἢν δ᾽ ἀσθενέστεροι, φησίν, εἶναί σοι δοκῶσιν ἢ διὰ τὸ πλῆθος τοῦ κατὰ τὴν φλεβοτομίαν ἀφαιρεθέντος αἵματος ἢ καὶ ἄλλως, ἀντὶ τοῦ καθαίρεσθαι κλυστῆρι χρῶ διὰ τρίτης ἡμέρας᾽. χαλασθέντος γὰρ τοῦ σώματος ὑπὸ τῆς φλεβοτομίας, ὅσον ὑπολείπεται κατὰ ποιότητα μοχθηρὸν τῶν νοσαζόντων χυμῶν, τοῦτο διὰ τῶν κλυστήρων ἐκκενῶσαι βούλεται. πρόδηλον δ᾽ ἐστίν, ὅτι σκοπὸν ἔχει οὐ μόνον ὑπάγειν τὰ περιττώματα τῆς τροφῆς, ἀλλὰ καὶ τὸν πεπονθότα τόπον ἐκκαθαίρειν. τὸ δὲ προσκείμενον ἐπὶ τῇ τελευτῇ τοῦ λόγου, τὸ ἢ καὶ λιμοῦ χρῄζῃ, δῆλον τοῖς μεμνημένοις τῶν ἐν τῷ πρώτῳ βιβλίῳ διδαχθέντων.

IV 21 [II 3. II 400 L.] Φλεγμαίνοντα ὑποχόνδρια μὴ πνευμάτων ἀπολήψει, φρενῶν ἐντάσιες, πνευμάτων προστάσιες ὀρθοπνοίης ξηρῆς, οἷσι | μὴ πῦον ὕπεστιν, ἀλλὰ ὑπὸ πνευ- 769
μάτων ἀπολήψιος τὰ παθήματα ταῦτα ἐπιγίνεται, μάλιστα δὲ καὶ ἥπατος περιωδυνίαι καὶ σπληνὸς βάρεα καὶ ἄλλαι φλεγμασίαι τε καὶ ὑπὲρ φρενῶν περιωδυνίαι τε καὶ ξυστροφαὶ νοσημάτων οὐ δύνανται λύεσθαι, ἤν τις πρότερον ἐπιχειρέῃ φαρμακεύειν, ἀλλὰ φλεβοτομίη τῶν τοιῶνδε ἡγεμονικόν ἐστιν· ἔπειτα δὲ ἐπὶ κλυσμῶν, ἢν μὴ μέγα καὶ ἰσχυρὸν τὸ νόσημα ᾖ· εἰ δὲ μή, καὶ ὕστερον φαρμακείης δεῖ. δεῖται δὲ ἀσφαλείης καὶ μετριότητος μετὰ φλεβοτομίην φαρμακείη.

Κατάλογός ἐστι νοσημάτων φλεβοτομίας μὲν πρότερον, ἐπ᾽ αὐτῇ δὲ καθάρσεως δεομένων, ὧν πρῶτον ἁπάντων γέγραπται φλεγμαίνοντα ὑποχόνδρια. κατὰ ⟨δὲ⟩ τὸ Ἱπποκράτους ἔθος ἄκουε τῆς φλεγμαίνοντα φωνῆς· καὶ γὰρ πάντα τὰ φλογώδη καὶ θερμὰ δηλοῦνται τῶν νοσημάτων, ἐρυσιπέλατα, ἕρπητες, ἄνθρακες, αὗται αἱ ἰδίως ὀνομα|-
ζόμεναι φλεγμοναί· ἅπαντες δὲ οἱ νεώτεροι τῶν ἰατρῶν καθ᾽ ἑνὸς εἴ- 770
δους τῶν φλεγμαινόντων σωμάτων ἐπιφέρουσι τὸ πάλαι πάντων κοινὸν

1 κἀν τῷ πρώτῳ μέρει τοῦ βιβλίου] *e. g. p. 150, 15. 268, 22* 10 ἐν τῷ πρώτῳ βιβλίῳ] *p. 140, 3 sqq. 146, 11 sqq.* 24 φλεγμαίνοντα] *cf. Gal. XVII B 121. XVIII B 548 K.* 27 φλεγμοναί] *cf. Gal. X 875 sqq.*

2 σοι *om.* A δοκοῦσιν ACR 5 ἀπολείπεται BM μοχθηρὴν S 8 τοῦ πεπονθότος M τόπον *om.* BM ἐκκαθαίρει M 9 προκείμενον RST χρήζει CR: χρήζοι *cett.*: *correxi* 10 *post* πρώτῳ *ins.* μοι ST 11 μὴ (*om.* A) φλεγμάτων AS: μὴ πνευ *superscr.* A¹: *obscur.* M 12 ἀπολήψιες S *ante* πνευμάτων *add.* ἢ *omnes praeter* A προστάσιες S *et ambigue* A: προτάσιες *cett.*: προτάσεις *Gal. VII 931* 13 πῦον] πτύχες S ὕπεστιν *corr. in* ὕπεισιν A: ὑποίσει M: ὕπεισιν *cett.* ὑπὸ *om.* BMST πνεύματος S 14 ἀπολήψεος T: ἀπολήψει B ὑπογίνεται *Hipp.* 15 ἥπατος] ἤπερ S καὶ σπληνὸς . . . περιωδυνίαι *(16) om.* MSV 16 συστροφαὶ CR 18 ἡγεμονικόν ἐστι *punctis del.* A 19 ἔπειτα δὲ] καὶ S κλυσμόν *Hipp.* μὴ *om.* AS: *add.* A¹ τε καὶ ἰσχυρὸν A: μήτε ἰσχ. BST 20 δεῖται BM: δέεται *cett.* καὶ *ante* ἀσφ. *add.* CP 21 φαρμακείην AC 22 αὐτῇ ABMSV: αὐτῆς CR 24 *ante* κατὰ *add.* οὐ CR: μὴ A¹ δὲ *addidi* ἱππ. CMRU: τοῦ ἱππ. *cett.* φλεγμαίνοντος S 26 ἄνθρ. ἑρπ. M αὗται (*superscr.* τε A) ABCRST: αὐταὶ *cett.* 28 σωμάτων] νοσημάτων AST πάλαι CR: παλαιὸν *cett.* πάντων *scripsi*: ἁπάντων *codd.* καὶ κοινὸν BMST

ὄνομα καὶ καλοῦϲιν οὕτωϲ μόνον ἐκεῖνον τὸν ὄγκον, ὃϲ ⟨ἂν⟩ ἀντίτυπόϲ τε καὶ ὀδυνηρὸϲ ᾖ μετὰ θερμαϲίαϲ πολλῆϲ. ὄντων δὲ καὶ ἄλλων ὄγκων παρὰ φύϲιν, οἷον τοῦ τε ϲκίρρου καὶ τοῦ καλουμένου παρὰ τοῖϲ νεωτέροιϲ ἰατροῖϲ οἰδήματοϲ (ἦν γὰρ καὶ τοῦτο πάλαι κοινὸν ὄνομα πάντων τῶν παρὰ φύϲιν ὄγκων), ἔτι δὲ καὶ τῆϲ ἐμπνευματώϲεωϲ, εἴρηται μὲν ἡμῖν ἑτέρωθι δι' ἑνὸϲ βιβλίου Περὶ τῶν παρὰ φύϲιν ὄγκων· ἐν δὲ τῷ νῦν ἐνεϲτῶτι λόγῳ καθάπερ τἄλλα διὰ κεφαλαίων καὶ τοῦτ' εἰρήϲεται.

ϲκίρροϲ μὲν ὁ ἀντίτυποϲ ὄγκοϲ, ἡ δὲ πνευμάτωϲιϲ γίνεται διττῶϲ, ἤτοι κατά τιναϲ αἰϲθητὰϲ κοιλότηταϲ ἀθροιζομένου πνεύματοϲ φυϲώδουϲ ἢ λόγῳ θεωρητάϲ· ἐνίοτε γοῦν τινεϲ ὄγκουϲ παρὰ φύϲιν ἐν μυϲὶν ἔτεμον, ὡϲ ἐν βάθει πῦον εὑρήϲοντεϲ, εἶθ' εὗρον οὐδὲν ἄλλο πλὴν πνεύματοϲ ἐν ἁπάϲῃ τῇ ϲαρκὶ κατὰ ϲμικρὰ παρεϲπαρμένου. καὶ μέντοι
771 καὶ θρόμβουϲ ἐνίοτε μόνουϲ οἱ | οὕτω τέμνοντεϲ ἢ γλίϲχρον ὑγρὸν εὗρον ἢ μυξῶδεϲ. ἀλλ' ἐπὶ τῶν τοιούτων ὁ ὄγκοϲ κατὰ τὸν θρόμβον ἢ τὴν μύξαν ἦν, ὡϲαύτωϲ φαινομένηϲ διακεῖϲθαι τῆϲ ϲαρκόϲ· τὸ δὲ πνεῦμα κατὰ βραχύ ἐϲτι διεϲπαρμένον ἐν ταύτῃ.

κατὰ τοίνυν τὴν προκειμένην ἐν τῷ λόγῳ ῥῆϲιν τὰ φλεγμαίνοντα ὑποχόνδρια φαίνεταί μοι μὴ κατὰ τὸ ϲύνηθεϲ Ἱπποκράτει ϲημαινόμενον εἰρῆϲθαι· τίνα γὰρ ἕξει νοῦν τὸ προϲκείμενον αὐτῇ μὴ πνευμάτων ἀπολήψει, τῆϲ φλογώδουϲ θερμαϲίαϲ ἐν ὑποχονδρίοιϲ, ἄν τε μετὰ πνεύματοϲ ᾖ ἄν τε μή, τὴν αὐτὴν ἔνδειξιν ἐχούϲηϲ; οὐ μὴν οὐδ' οὕτωϲ ἔοικεν εἰπεῖν, ὡϲ ἐπὶ ϲυνόδῳ λέγεϲθαι φλογώϲεώϲ τε καὶ πνευμάτων ἀπολήψεωϲ γινομένων, ὅπερ ἐϲτὶ ψεῦδοϲ· οὐδέποτε γὰρ ἡ τοῦ πνεύματοϲ ἀπόληψιϲ ἐπιφέρει φλογώδη διάθεϲιν ἐν ὑποχονδρίῳ. ἔοικεν οὖν ὁ γράψαϲ ταῦτα φλεγμαίνοντα λέγειν ὑποχόνδρια τὰ εἰϲ ὄγκον ἠρμένα.

τούτοιϲ ἐφεξῆϲ ἐμνημόνευϲε φρενῶν ἐντάϲεωϲ, εἶτα πνευμάτων προϲτάϲεωϲ. ἡ μὲν οὖν τῶν φρενῶν ἔνταϲιϲ εὔδηλόϲ ἐϲτι, τὰ
772 δὲ προτεταμένα πνεύματα ἔοικε λέγειν τὰ | οἷον ἐγκοπτόμενα, περὶ ὧν ἐν τῷ προτέρῳ μέρει τοῦ βιβλίου τοῦδε γέγραπται "πνεῦμα προϲ-

4 οἰδήματοϲ] *cf. Gal. X 953 K.* πάλαι] *cf. Gal. XVII A 801* 6 Περὶ τῶν παρὰ φύϲιν ὄγκων] *Gal. VII 705—732* 24 πνευμάτων ἀπολήψεωϲ] *cf. infra p. 336, 4* 31 ἐν τῷ προτέρῳ μέρει] *p. 201, 17*

1 ἐκεῖνον μόνον M ἂν *addidi* 2 ᾖ *om.* S 3 τε *om.* R 5 καὶ *om.* M 6 μὲν] δὲ A ἡμῖν *om.* S κατὰ φύϲιν S 7 ἑϲτῶτι S καὶ τἄλλα M 8 εἰρήϲεται ACMRS: εἴρηται B 9 *post* ὄγκοϲ *add.* καὶ ἀνώδυνοϲ A¹: καὶ ἀναίϲθητοϲ B: καὶ ἀναίϲθητοϲ παρὰ φύϲιν οἰδήματοϲ M: *om.* CRST 11 τιναϲ CR 12 εὑρήϲαντεϲ A 13 πνεύματα M πάϲῃ AST ϲμικρὰ BCMST: μικρὰ R παρεϲπαρμένου T: παρεϲπαρμένα BM: διεϲπαρμένου AS: κατεϲπαρμένου CR 15 ἢ *(prius) om.* M τὴν] καὶ M 17 ἐϲτι *om.* CR 18 τοίνυν] τε νῦν S 19 ἱπποκράτουϲ ST 20 ἕξιν οὖν M νοῦν *om.* S προκείμενον MRS 23 ϲυνόδω M: ϲυνόδου *cett.* λέγεϲθαι *delendum videtur* 24 γινομένων R: γινομένηϲ ABMS: γινόμενα C: *compendiose* T 29 προϲτάϲεωϲ MTUV: προτάϲεωϲ *cett.* 30 δὲ *om.* AV: *post* προτεταμ. *add.* A¹ προϲτεταγμένα T: προϲτεταμένα *cett.*: προτεταμένα *corr. Cornarius* ἔοικε *om.* V ἐκκοπτόμενα M 31 πρώτω T: ᾱ M τάδε RU

πταῖον ἐν τῇ ἄνω φορῇ,'' καὶ λέλεκται περὶ αὐτοῦ κατὰ τὴν ἐξήγησιν ἐκείνης τῆς λέξεως. ξηρὰν δ' ὀρθόπνοιαν εἴρηκε τὴν χωρὶς πτυσμάτων ἀναβήξεως ἰσχυρὰν οὕτω δύσπνοιαν, ὡς μὴ φέρειν τὴν κατάκλισιν, ἀλλὰ πνίγεσθαι, περὶ ἧς ἔμαθες ὡς ὑπὸ στενοχωρίας γίγνοιτο τῶν κατὰ τὸν πνεύμονα κοιλιῶν τοῦ πνεύματος, αἵτινες τοῦτο πάσχουσι κατακειμένων μὲν μᾶλλον, ἑστώτων δ' ἧττον, ἀνακαθημένων γε δηλονότι πάντων ὀρθῶν τῶν κατὰ τὸν θώρακα, δι' ὃ καὶ καλεῖται ὀρθόπνοια. γινομένης δ' αὐτῆς ἐνίοτε μὲν διὰ φλεγμονὴν τοῦ σπλάγχνου, καθάπερ ἐν περιπνευμονίαις, ἐνίοτε δὲ τῶν βρόγχων πεπληρωμένων, φλεβοτομίας δεῖσθαί φησι τοὺς ὀρθόπνοιαν πάσχοντας, οἷς μὴ πῦον ἤθροισται (πρόδηλον γὰρ ὡς ἐκεῖνοι κενωθῆναι χρῄζουσι τὸ πῦον)· τοὺς δ' ὑπὸ πνεύματος ἀπολήψεως, ὅπερ ἐστὶ στενοχωρουμένου τοῦ πνεύμονος, ταῦτα πάσχοντας φλεβοτομητέον ἐστί σοι.

ὡσαύτως δὲ καὶ ἥπατος περιωδυνίας καὶ σπληνὸς καὶ τὰς ἄλλας ἁπάσας | φλεγμασίας ὀνίνησιν ἡ φλεβοτομία καὶ συμπάσας τὰς 773
συστροφὰς τῶν νοσημάτων. εἰκὸς δ' ἐστὶ συστροφὰς εἰρῆσθαι νοσημάτων ὑπ' αὐτοῦ τὰς ἐπὶ τοῖς ὀγκουμένοις μορίοις γινομένας· ἀκούω γὰρ καὶ νῦν πολλῶν ὀνομαζόντων οὕτως ἐπὶ τῆς ἡμετέρας Ἀσίας πάντας τοὺς παρὰ φύσιν ὄγκους. ἐπὶ τούτων γὰρ ἀπαγορεύεσθαι δεῖ καθαίρειν πρὸ τοῦ φλεβοτομῆσαι, καίτοι τοῦτον τὸν λογισμὸν αὐτὸς ἐφεξῆς ἐρεῖ κατὰ τήνδε τὴν ῥῆσιν·

IV 22 [II 3. II 402, 3 L.] Ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῶν νούσων εὐθέως ἐπιχειρέουσι λύειν φαρμακείῃ, τοῦ μὲν ξυντεταμένου καὶ φλεγμαίνοντος οὐδὲν ἀφαιρέουσιν (οὐ γὰρ διαδιδοῖ ὠμὸν ἐὸν τὸ πάθος), τὰ δ' ἀντέχοντα τῷ νοσήματι καὶ ὑγιεινὰ συντήκουσιν. ἀσθενέος δὲ τοῦ σώματος γινομένου τὸ νόσημα ἐπικρατέει· ὁκόταν δὲ τὸ νόσημα ἐπικρατήσῃ τοῦ σώματος, τὸ τοιόνδε ἀνιήτως ἔχει. |

1 ἐξήγησιν] *p. 205, 7 sqq.* 6 κατακειμένων] *cf. Gal. VII 923, 8 K.* 8 ὀρθόπνοια] *cf. Gal. VII 923 sqq. VIII 121. XIII 106. XVI 677 sq. XVII A 596* 16 συστροφὰς] *cf. Gal. XVII A 431* 22 Ὁκόσοι . . . συντήκουσιν *(26) exscripsit Gal. IX 584 sq. XVII B 654* 27 ὁκόταν . . . ἀνιήτως ἔχει *(28)] affert Ps.-Hipp. Epist. 21 (IX 388 L.)*

1 ἔξω φορᾷ M 2. 3 πτυσμάτων ἀναβήξεως S: πτυσμάτων ἢ (ἢ *del.* A[1]) ἀναβήξεως ABCRV: πτύσματος ἢ ἀν. M: πνευμάτων ἀναμίξεως T; ἀνάβηξις *vocab. lexicis ignotum reperitur etiam ap. Gal. VIII 287, 6* 4 περιπνίγεσθαι A ἔμαθον BM 6 γε *om.* V 7 ὀρθῶν ACRST: *obscur.* M: ὀρθῶς V 8 φλεγμονῆς MT 9 βρογχίων *Cornarius* 11 ἤθροιστο V ἐκκενωθῆναι M 12 ὅπερ ἐστι *om.* ST: *post* στενοχωρ. *colloc.* M στενοχωρουμένους MS 13 τοῦ πνεύμονος ταῦτα *om.* MS: πνεύμονος ταῦτα *om.* T: τοῦ πνεύματος *add.* T[1] *in mrg.* καὶ πάσχ. S φλεβ. ἐστί σοι *om.* RS 14 καὶ *(ult.)*] κατὰ A 15 φλεγμασίας . . . συμπάσας *om.* CRU 17 ἐπὶ A: ὑπὸ *cett.* 19 πάντας *om.* V 20. 21 αὐτὸς ἐφ. AMST: ἐφ. αὐτὸς *cett.* 23 ἐπιχειρέουσι M: ἐπιχειροῦσι *cett.* φαρμακίῃ M οὗτοι *add. ante* τοῦ A 24 ἀφαιροῦσιν S 25 διαδ ιδοῖ CRU: διαδοῖ MST: διδοῖ A τὸ *om.* CRU δ' ἀντέχοντα . . . ἀσθενέος δὲ *(26) om.* CRU 28 ἀνιάτως BM

774 Ἐν τῷ "πέπονα φαρμακεύειν καὶ κινέειν" προεξήγημαι τὸν ἀφορισμὸν τοῦτον ἐν τοῖς αὐτοῖς συμπτώμασιν οἷσπερ καὶ νῦν ὀρθῶς ἐπὶ φλεβοτομίαν ἥκειν ἀξιοῖ πρότερον, ὅταν τινὲς χυμοὶ μοχθηροὶ συρρέωσί τε καὶ ἀθροίζωνται κατά τι μόριον, ὅπερ, ὡς ἔφην, 'συστρέφεσθαι' λέγεται ἐν τῷδε τῷ χωρίῳ.

τὸ δ' ἐπὶ τῷ τέλει τῆς προγεγραμμένης ῥήσεως ἔνιοι ποιοῦσιν ἀδιάγνωστον οὐκ ὀρθῶς γράφοντες τὸ τῆς φαρμακείας ὄνομα κατὰ τὴν τελευτήν, εἰρηκότος τοῦ συγγραφέως ἀσφαλείας καὶ μετριότητος δεῖσθαι φλεβοτομίαν μετὰ φαρμακείην, τὴν καλουμένην αἰτιατικὴν πτῶσιν ἀντὶ γενικῆς ποιοῦντες. ἐν ὅλῃ γὰρ τῇ ῥήσει τοῦτ' ἐστὶν αὐτὸ τὸ συμβουλευόμενον, ἐπὶ φλεβοτομίαν ἥκειν πρότερον, εἶθ' ἑξῆς ἐπὶ φαρμακείαν, οὐχὶ τοὐναντίον, ὡς ἐκεῖνοι γράφουσιν, ἐπὶ φαρμακείᾳ πρότερον παραληφθείσῃ εἶθ' οὕτως ἐπὶ φλεβοτομίαν ἀφικέσθαι. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα τοῖς γε προσεσχηκόσιν ἀκριβῶς τὸν νοῦν οἷς εἴρηκα. |

775 **IV 23** [II 4. II 402, 10 L.] Τὸ δὲ ἄφωνον ἐξαίφνης γενέσθαι, φλεβῶν ἀπολήψιες λυπέουσιν, ἢν ὑγιαίνοντι τόδε ξυμβῇ ἄνευ προφάσιος ἢ ἄλλης αἰτίης ἰσχυρῆς.

Ἀπολήψεις φλεβῶν ὠνόμασε τὰς πληρώσεις τῶν φλεβῶν ὑπὸ πλήθους γινομένας. ὅταν οὖν αὗται ὑπερπληρωθῶσι, βαρυνθῆναί τε τὴν δύναμιν ἀνάγκη καὶ εἰς κίνδυνον ἀφικέσθαι τὴν ἔμφυτον θερμασίαν τοῦ ἀποσβεσθῆναι, πνιγμῷ τι παραπλήσιον παθοῦσαν ὑπὸ τοῦ πλήθους· ἐπιληψίαι τε γὰρ καὶ ἀποπληξίαι καὶ καρδιακαὶ συγκοπαὶ γίνονται· δι' ἑνὸς γὰρ συμπτώματος κοινοῦ τῆς ἀφωνίας τὰ τοιαῦτα συμπτώματα ἐδήλωσε. προσέθηκε δὲ τῷ λόγῳ τὸ ἢν ὑγιαίνοντι τοῦτο συμβῇ ἄνευ προφάσιος ἢ ἄλλης αἰτίης ἰσχυρῆς, πρόφασιν μὲν λέγων τὴν φανερὰν αἰτίαν, ὡς εἰ καὶ παλαίων τις ἢ παγκρατιάζων ἐκ περιθέσεως τῶν πήχεων εἰς κίνδυνον περιαχθείη τοῦ πνιγῆναι, αἰτίαν δ'
776 ἄλλην ἰσχυράν, οἵα τοῖς ἐκπληττομένοις διὰ | φόβον ἢ λύπην μεγίστην

1 πέπονα φαρμακεύειν] *Hipp. Aphor. I 22 (IV 468 L.)* προεξήγημαι] *Gal. XVII B 441 K.* 4 ἔφην] *p. 291, 16 sqq.* 15 Τὸ . . . λυπέουσιν *(16)*] *affert Gal. IV 755 sq. VII 14* 18 Ἀπολήψεις] *cf. Gal. IV 756* 22 καρδιακαὶ συγκοπαὶ] *cf. Gal. VIII 303 sqq.* 25 πρόφασιν] *cf. Gal. XVII B 214*

2 τοῦτον *om.* S αὐτοῖς *om.* CU οἷσπερ] ὥστε AM: γρ. καὶ οἷσπερ A[1] *in mrg.* δὲ *post* ὀρθῶς *inserit Cornarius* 4 ὅπερ] ὅπως CR 5 χωρίω *codd.*: μορίῳ *edd.* 7 κατὰ *codd.*: μετὰ *edd.* τὴν *om.* S 8 συγγράψαντος M *post* ἀσφαλείας *add.* μὲν CR: *om. cett.* 9 φαρμακείην BCMS: φαρμακίην TV: φαρμακείαν AR 10 γενικῆς] *inde apparet Galenum p. 289, 21 legisse* μετὰ φαρμακείης φλεβοτομίη; *cf. Littré not.* γενικῆς] ὀνομαστικῆς *Cornarius* αὐτῶ AS 11 ἥκει C φαρμακείης M, *item v. 12*: φαρμακείη S: -είην A: φαρμακίαν B, *item v. 12* 12 φαρμακείᾳ *scripsi*: φαρμακείην V: φαρμακείαν *cett.* παραληφθείσῃ *scripsi*: παραληφθείσης V: παραληφθεῖσαν *cett.* 14 γε *om.* A προσέχουσι τὸν νοῦν ἀκρ. CRU εἴρηκε M: *ambigue* A: εἴρηκα *cett.* 15 Τὸ δὲ] περὶ δὲ S *post* ἄφωνον *add.* τινα *edd.*: *om. codd.* 16 λυπέουσιν] ποιέουσιν PV: τὸ σῶμα λυπέουσιν S 17 προφάσεως AMT αἰτίας M 18 τῶν φλεβῶν] τοῦ χυμοῦ M 21 τι *in* τινι *mutat.* A[1] παθοῦσα BCMR 22 καρδιαλγίαι καὶ συγκοπαὶ M 25 αἰτίης ABCMRT: αἰτίας S ἰσχυρῆς ABCTV: ἰσχυρᾶς MRS 27 προαχθείη BM 28 οἵαν RU: οἷα STV: οἵας ἂν C

γίνεται. ἐπὶ δὲ τῶν νοσούντων ἀφωνία δύναται γενέσθαι καὶ αὐτῶν μόνων ἐνίοτε μὲν τῶν φωνητικῶν ὀργάνων βεβλαμμένων ἢ καὶ τῶν ἀναπνευστικῶν, δύναται δὲ καὶ δι᾿ ἔκλυσίν τινα πρόσφατον καὶ κάκωσιν τῆς δυνάμεως. ἀπὸ τῶν τοιούτων ἀφωνιῶν διοριζόμενος τὴν ἐν τῷ λόγῳ προκειμένην, διὰ τοῦτο προσέθηκεν ἢν ὑγιαίνοντι τόδε συμβῇ.

IV 24 [II 4. II 404, 2 L.] Φλεβοτομέειν οὖν χρὴ τὸν βραχίονα τὸν δεξιὸν τὴν ἔσω φλέβα.

Τάχιστα καὶ πλεῖστον ἐκ τῶν κυριωτάτων μερῶν ἡ φλὲψ αὕτη κενοῖ τὸ σῶμα καὶ διὰ τοῦτ᾿ ἐπ᾿ αὐτὴν ἀφικνεῖται ἐν τοῖς ὀξυτάτοις νοσήμασιν.

IV 25 [II 4. II 404, 3 L.] Καὶ ἀφαιρέειν τοῦ αἵματος κατὰ τὴν ἕξιν καὶ τὴν ἡλικίην διαλογιζόμενον τὸ πλέον καὶ τὸ ἔλασσον.

Ἔμπροσθεν μέν, ὁπότε τοὺς σκοποὺς τῆς | φλεβοτομίας ἔλεγε, τὴν **777**
ἕξιν τοῦ σώματος παρέλιπε, νυνὶ δὲ τὴν δύναμιν οὐκ εἶπεν. οἴονται δέ τινες ἀντὶ τοῦ τῆς δυνάμεως ὀνόματος τὸ τῆς ἕξεως εἰρῆσθαι, καθ᾿ ἑνὸς ἀμφότερα λεγόμενα πράγματος, οὐκ ὀρθῶς ὑπολαμβάνοντες· τὴν μὲν γὰρ ἕξιν ἐπὶ τὴν τοῦ σώματος σύστασιν φέροντες λέγομεν, ὅταν ὁ μέν τις ᾖ μαλακός, ὁ δὲ σκληρός, τὴν δ᾿ ἰσχὺν τῆς δυνάμεως τῇ τῶν ἐνεργειῶν σφοδρότητι γνωρίζομεν· ὥστε δύο εἰσὶν οὗτοι σκοποί, τὴν μὲν ἔνδειξιν κοινὴν ἔχοντες, ἀλλήλων δὲ διαφέροντες ὥσπερ γε καὶ ὁ ἀπὸ τῆς ἡλικίας. ἐγχωρεῖ δὲ μᾶλλον εἰς τὴν τοῦ σώματος ἕξιν ἀναφέρειν τὴν ἡλικίαν, οὐ τὴν δύναμιν· καὶ γὰρ τὰ παιδία διὰ μαλακότητα τῆς ἕξεως εὐδιαφόρητά γ᾿ εἰσί, καὶ οἱ πρεσβύτεροι δὲ διὰ ξηρότητα καὶ ψύξιν δυσδιαφόρητοι. καὶ δύναταί τις λέγειν ἀρκεῖσθαι τρισὶ τούτοις σκοποῖς τῆς φλεβοτομίας, ἔκ τε τοῦ κατὰ τὸ θεραπευόμενον

15 Ἔμπροσθεν] *p. 287, 7 sqq.* 25 εὐδιαφόρητα] *cf. Gal. X 625. 657. XVIII A 239 K.*

1 ἡ διαφωνία CR γενέσθαι δύναται *edd.* 2 μόνων *codd.*: μόνον *edd.* μὲν *codd.*: *om. edd.* βεβλαμμένων *post* ἀναπνευστικῶν *transp.* A 3 δύναται δὲ AST: δύναται δ᾿ ἂν BCMR 5 ἢν ὑγιαίνοντι] διότι CRST τόδε A: *om. cett.* 6 συμβῇ A: συμβαίνῃ BCM: συμβαίνει RS 7 οὖν *om.* S *cum multis Hipp. codd.*: χρὴ οὖν V 9 αὐτὴ T 10 σῶμα] αἷμα B ὀξέσι A 13 ἡλικίαν S διαλογιζόμενον R(?): διαλογιζόμενος *cett.* τὸ *(alt.) om.* A 16 παρέλειπε V 17 τὸ *om.* ABSV ἕξεως] ἐξηγήσεως CRU 18 λεγομένου ST πράγματα M 19 ἀναφέροντες A 21 δύο A: δύο τ᾿ *cett.* 22 *post* ἔνδειξιν *add.* ἐκ τοῦ κενοῦν (κοινὴν *superscr.* A[1]) AS: ἐκ τοῦ κενοῦν καὶ ἂν ὄντως T (γρ. τὴν μὲν ἔνδειξιν κενὴν ἔχοντες T[1] *in mrg.*): τοῦ κενοῦν ἐκ τοῦ κοινὴν ὄντως CRU: τοῦ καὶ ἂν ὄντως V: *om.* BM κοινὴν BM: *om. cett.* γε *om.* S 23 ὁ C: *om. cett.* 25 γ᾿ *om.* C δὲ ABMS: *om.* CRV 25. 26 ξηρότητα καὶ ψύξιν ABMSTV: ψυχρότητα κ. ξ. CRU: ξ. κ. ψυχρότητα *edd.* 27 τε τῆς τοῦ M

πάθος μεγέθους ἔνδειξιν λαμβανόντων ἡμῶν τοῦ χρῆναι κενοῦν ἔκ τε τῆς ἕξεως καὶ τῆς δυνάμεως· εἴρηται δ᾿ ἔμπροσθεν, ὅτι καὶ τὸ περιέχον ὅπως ἔχει κράσεως ἐπισκοπεῖσθαι χρή. |

778 **IV 26** [II 4. 5. II 404, 5 L.] Ξυμπίπτει δὲ τοῖσι πλείστοισιν αὐτῶν τοιάδε· ἐρυθήματα προσώπου καὶ ὀμμάτων στάσιες καὶ διαστάσιες χειρῶν, τρισμοὶ ὀδόντων, σφυγμοί, σιηγόνων συναγωγὴ καὶ κατάψυξις ἀκρωτηρίων, πνευμάτων ἀπολήψιες ἀνὰ τὰς φλέβας.

Τῶν ἐξαίφνης συμπιπτόντων τὰ προγεγραμμένα προσώπου μόνα ἐρυθήματα πλῆθος αἱματικὸν ἐνδείκνυται. στάσις ὀμμάτων, τουτέστιν ἀκινησία, καὶ διαστάσιες χειρῶν. βεβλάφθαι μὲν καὶ αὐτὰς συμβαίνει διὰ τὴν ἀρχὴν τῶν νεύρων, ἀλλ᾿ ἕτερον τρόπον τῆς στάσεως τῶν ὀφθαλμῶν· αὕτη μὲν γὰρ οἷον νάρκην τινὰ περὶ τὰς ἐνεργείας δηλοῖ, αἱ δὲ διαστάσεις τῶν χειρῶν καὶ οἱ τρισμοὶ τῶν ὀδόντων οὐ δι᾿ ἡσυχίαν οὐδὲ δι᾿ ἀκινησίαν τῆς ἀρχῆς, ἀλλὰ διὰ πλημμελῆ γίνονται κίνησιν. οἱ δὲ σφυγμοὶ τί ποτε δηλοῦσιν, οὐ πάντῃ δῆλόν ἐστιν, ἐπειδὴ κατὰ τῶν ἐν τοῖς φλεγμαίνουσι μορίοις ὀδυνηρῶν κινήσεων |
779 ἐπέφερον οἱ παλαιοὶ τοὔνομα καὶ κατὰ τῶν παλμῶν καὶ προσέτι καὶ ταύτης τῆς ἐν ταῖς ἀρτηρίαις σφοδρᾶς κινήσεως. ἡ δὲ τῶν σιαγόνων συναγωγὴ σπασμῶδές ἐστι σύμπτωμα καὶ ἡ τῶν χειρῶν διάστασις καὶ οἱ τρισμοὶ τῶν ὀδόντων. ἥ γε μὴν τῶν ἀκρωτηρίων ψύξις ἐν τοῖς τοιούτοις πάθεσιν ὑπὸ τοῦ πλήθους τῶν χυμῶν βαρύνεσθαι δηλοῖ τὴν ἔμφυτον θερμότητα.

τὸ δ᾿ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον πνευμάτων ἀπολήψιες ἀνὰ τὰς φλέβας εἰκός ἐστιν ἐπὶ τῆς ἀσφυξίας λέγεσθαι· φλέβας γὰρ ἐκάλουν οἱ παλαιοὶ τὰς ἀρτηρίας· ἀπολήψεις οὖν πνευμάτων τὰς οἷον κατακλίσεις τε καὶ ἡσυχίας δυνατὸν λέγειν. ἔνιοι δὲ δευτέρας ῥήσεως ἑτέραν ἐχούσης διάνοιαν ἀρχὴν τίθενται ταύτην τὴν λέξιν, ᾗ συνάπτουσι τὴν ἐφεξῆς γεγραμμένην.

2 ἔμπροσθεν] *p. 288,11 sqq.* 9. 10 προσώπου ἐρυθήματα] *cf. Gal. VII 570 sq. K. Ps.-Gal. XIV 729* 14 τρισμοὶ τῶν ὀδόντων] *cf. Gal. XVIII B 66 sqq.* 19 σφοδρᾶς κινήσεως] *cf. Gal. IV 804* 24 πνευμάτων ἀπολήψιες] *cf. p. 336, 4 sqq.* 26 φλέβας γὰρ ἐκάλουν] *cf. Gal. IV 672, 5. 804, 1. XI 312, 7 al.*

1 ἐνδείξεως M τὸ χρῆναι (χρῆσθαι B: χρὴ V) κενοῦν *add. omnes praeter* R: τοῦ *correxi* 4 συμπίπτει CRU τοῖς CRST πλείστοις T 5 αὐτῶν AST: αὐτέων *cett.* καὶ *ante* ὀμμ. *om. Hipp. vulg.* 6 διατάσιες *Cornarius, item v. 11* χειρῶν δὲ δ. *pro* καὶ δ. χ. S σιαγόνων ABM 7 καὶ *add. ante* πνευμ. CU 9 ἐξαίφνης ABMSV: ἐφεξῆς CR; *at cf. p. 292, 15* μόνα B: μόνου *cett.* 10 στάσεις M: στάσις *cett.* 11 αὐτὰς ACR: αὐτὰ *cett.* 12 συμβαίνει] *fort.* σημαίνει 13 τὴν ἐνέργειαν ST: τῆς ἐνεργείας A 14 *post* δηλοῖ *add.* κατὰ τὴν ἀρχὴν τῶν νεύρων CR: *om. cett.* διατάσεις *Cornarius* 15 ἡσυχίην S οὐδὲ δι᾿] οὐδὲ S: οὐδ᾿ BV 16 πάντα CRU 18 ἔφερον M παλμῶν] πολλῶν S προσέτι καὶ] προς. κατὰ *Cornarius* 19 ταῖς *om.* A 20 διάτασις *Cornarius* 23 θερμασίαν RU 28 ἑτέραν] δευτέραν S: δευτέρας T

IV 27 [II 5. II 404, 10 L.] Ὁκόταν ἀλγήματα προςγένηται, μελαίνης χολῆς καὶ δριμέων ῥευμάτων ἐπιρρύσιες γίνονται, ἀλγέει δὲ τὰ ἐντὸς δακνόμενος, δηχθεῖςαι δὲ καὶ λίην ξηραὶ γενόμεναι αἱ φλέβες | ἐντείνονταί τε καὶ φλεγμαίνουςαι ἐπι- **780**
σπῶνται τὰ ἐπιρρέοντα· ὅθεν διαφθαρέντος τοῦ αἵματος καὶ τῶν πνευμάτων οὐ δυναμένων ἐν αὐτῷ τὰς κατὰ φύσιν ὁδοὺς βαδίζειν καταψύξιες γίνονται ὑπὸ τῆς στάσιος καὶ σκοτώσιες καὶ ἀφωνίη καὶ καρηβαρίη καὶ σπασμοί, ἢν ἤδη ἐπὶ τὴν καρδίην ἢ τὸ ἧπαρ ἢ ἐπὶ τὴν φλέβα ἔλθῃ* ἔνθεν ἐπίληπτοι γίνονται ἢ παραπλῆγες, ἢν ἐς τοὺς περιέχοντας τόπους ἐμπέσῃ τὰ ῥεύματα καὶ ὑπὸ τῶν πνευμάτων οὐ δυναμένων διεξιέναι καταξηρανθῇ.

Ἐκ ταὐτοῦ γένους τῶν προειρημένων λόγων καὶ ὁ νῦν ἐστι, καὶ ἔνιοι τοῦτον ἐκείνοις συνάπτουσι· καὶ διὰ τοῦτο καὶ ἡ γραφὴ διττὴ τοῦ προςγένηται ῥήματος εὑρίσκεται, τῶν μὲν συναπτόντων τὸν ἐνεστῶτα λόγον τῷ προειρημένῳ τὴν 'προς' συλλαβὴν γραφόντων μετὰ τοῦ c̄ στοιχείου, τῶν δὲ μὴ συναπτόντων διὰ τῆς 'προ' χωρὶς τοῦ c̄.

τὸ δὲ λεγόμενόν ἐστι τοιοῦτον· ἡ τῶν ἀλγημάτων κίνησις εἴωθε κινεῖν ἐπιρροὴν ὑγρῶν ἐπὶ τὸ τὴν ὀδύνην ἔχον μόριον· ὅταν | οὖν **781**
κακοχυμότερον ᾖ τὸ σῶμα, μελαίνης τε χολῆς καὶ δριμέων ἄλλων χυμῶν ἐπιρρύσεις γίνονται, δι' ἃς ἔτι καὶ μᾶλλον ὁ κάμνων ἀλγεῖ τε καὶ δάκνεται τὰ ἔνδον· ὑπὸ δὲ τῶν εἰρημένων χυμῶν αἱ ἐν τῷ πεπονθότι μορίῳ φλέβες ἀνιῶνται δακνόμεναι καὶ τοῦτ' αὐτὸ ἑτέρου γίνεται αἴτιον ⟨κακοῦ⟩· πληρωθέντος γὰρ τοῦ πάσχοντος μέρους ὑπὸ τῶν τοιούτων ῥευμάτων διαφθείρεται μὲν αὐτὸ τὸ αἷμα πρῶτον, ἐπιπληροῦνται δὲ τὰ ἀγγεῖα καὶ τοῦτο πάσας ἐν αὐτῷ τὰς τῶν πνευμάτων διεξόδους κωλύει· σαφῶς γὰρ τοῦτό γε αὐτὸς ἐδήλωσεν εἰπὼν τῶν πνευμάτων οὐ δυναμένων ἐν αὐτῷ τὰς κατὰ φύσιν ὁδοὺς βαδίζειν, ὅπερ ὀλίγον ἔμπροσθεν ἐκάλεσε "πνευμάτων ἀπόληψιν"· ὅταν δὲ στῇ τὸ αἷμα καὶ σὺν αὐτῷ δηλονότι καὶ τὸ πνεῦμα, καταψύξεις γίνονται, σκοτώ-

10 παραπλῆγες] *cf. Gal. XVII A 158 sq. 162. XVI 771. 826 K.* 29 ἔμπροσθεν] *p. 294, 7*

1 προςγένηται ABCMS: προγ. R: προςγίνεται T 2 ἐπιρρύσεις A 3 δακνόμενος A *cum optimis Hipp. codd.*: δακνό(ώ)μενα *cett.; cf. comment. v. 21 sq.* 4 γινόμεναι MU αἱ *om.* S 5 τὰ] τε S ἐπιρρέοντα A *cum optimo Hipp. codd.*: ἐπιρρυέντα *cett.* 6 ἐν *om.* R 7 στάσιος ACR: τάσιος S: τάσεως BMT 8 ἀφωνίην B: ἀφωνία CR καρηβαρίαι CR σπασμοί] σφυγμοί AS 9 ἐπὶ *om.* RU ἔλθοι A: ἔλθῃ *cett.*: διέλθῃ *Chartier* 10 ἢν] ἢ CRS 11 τὰ ῥεύματα] τὰ πνεύματα S ὑπὸ *om.* BCR ἐξιέναι ST 12 ξηρανθῆναι CR 13 ταὐτοῦ τοῦ *edd.* 14 τοῦτον] τοιοῦτον C καὶ ἡ *om.* AV: ἡ *om.* ST: καὶ *om.* M 15 προςγένηται ABCT: προγ. MRS 16 τὴν *codd.*: καὶ τὴν *Chartier* καὶ μετὰ A 18 ἐστι] ἡ BM 20 σῶμα] αἷμα R τε *om.* B 21 καὶ *post* ἔτι *om.* A ἀλγεῖ τε ὁ κάμνων V 22 τὰ] τὸ S ὑπὸ] ἀπὸ S αἱ *om.* S 23 αἴτιον BCMRV: αἴτιον ἐναντίου T: ἐναντίου αἴτιον AS: κακοῦ *addidi coll. p. 318, 6* 24 γὰρ] δὲ B: *om.* R τῶν *om.* B 27 τῶν *om.* CR 28. 29 ὀλίγον ἔμπροσθεν *om.* M 30 δηλονότι *om.* M καὶ *ante* τὸ *hab. omnes praeter* R

cεις, ἀφωνίαι, καρηβαρίαι καὶ cπαcμοί· τούτοιc δ' ἕπονται [καὶ] παραπληξίαι τε καὶ ἐπιληψίαι, ὅταν εἰc τοὺc περιέχονταc τόπουc τὰc πληρωθείcαc φλέβαc ἐμπέcῃ τὰ ῥεύματα· τόπουc δ' εἴρηκε δηλονότι τὰ μέρη τοῦ cώματοc, ἃ προcέγραψεν αὐτόc, καρδίαν
782 καὶ ἧπαρ καὶ φλέβα, τὴν | cυνάπτουcαν δηλονότι τὰ εἰρημένα cπλάγχνα, τὴν 'κοίλην' ὕcτερον ὑπὸ τῶν ἰατρῶν ὀνομαcθεῖcαν, ἐπειδὴ τῶν κατὰ τὸ cῶμα τοῦ ζῴου φλεβῶν ἐcτιν εὐρυτάτη.

εἰκότωc οὖν τὸ ἐν τούτοιc τοῖc τόποιc αἷμα διὰ τὸ πεπληρῶcθαι τὰc φλέβαc οὐκ ἐπιτρέπει τὸ διεξέρχεcθαι τὸ πνεῦμα, ἀλλὰ καθάπερ ἐν νεκρῷ τῷ cώματι πήγνυται. τοῦτο δ' αὐτὸc ὁ cυγγραφεὺc ἐδήλωcεν εἰπών· καὶ ⟨ὑπὸ⟩ τῶν πνευμάτων οὐ δυναμένων διεξιέναι καταξηρανθῇ· κυριώτερον δ' ἦν εἰπεῖν 'πηχθῇ'· πήγνυται μὲν γὰρ δὴ καὶ τὰ ξηραινόμενα καὶ τὰ ψυχόμενα, νυνὶ δ' οὐ διὰ τὸ ξηραίνεcθαι πήγνυται τὸ αἷμα καὶ οἱ ἐπιρρυέντεc εἰc αὐτὸ μοχθηροὶ χυμοί, ἀλλὰ διὰ τὴν cτάcιν τῶν πνευμάτων (ἐξερχομένων γὰρ αὐτῶν καὶ ῥιπιζόντων ἄcηπτόν τε ἅμα καὶ κεχυμένον ἐν τῷ κατὰ φύcιν ἔχειν ἐργάζονταί τὸ cύμπαν αἷμα)· cτάντων οὖν αὐτῶν καὶ τὸ cύμφυτον θερμὸν ἀποβαλόντων καὶ cβεννυμένων ἡ πῆξιc τοῦ αἵματοc ὡc ἐν νεκρῷ τῷ cώματι γίνεται. φλεβοτομηθέντων οὖν τῶν οὕτωc καμνόντων, ψυχρὸν καὶ παχὺ καὶ μόγιc ἐκρέον τῶν φλεβῶν ὁρᾶται τὸ αἷμα διά γε τὴν ψύξιν ταύτην.

783 ἐνίοτε δὲ δι' ὅλου γίνονται τοῦ cώματοc οἱ | cπαcμοὶ καὶ πρὸc ἀγαθοῦ γε καὶ cυμφέρουcιν ἔcτιν ὅτε· κλονοῦντεc γὰρ ὅλον τὸ cῶμα πάντα τὰ μόρια θερμαίνουcιν, ὥcτε τὸ μὲν διαφορεῖcθαι τοῦ πλήθουc, τὸ δ' ὠθεῖcθαι πρόc τινα τῶν ἀκυροτέρων μορίων, ἐν οἷc ὅταν δυcλύτωc cφηνωθῇ, τὴν παραπληξίαν ἐργάζεται· δέδεικται γάρ, ὡc οὕτωc ὁ Ἱπποκράτηc ὀνομάζει τὰc ἐξ ἀποπληξίαc ἢ ἐπιληψίαc εἴc τινα τῶν ἀκυροτέρων μορίων ἀποcκηπτούcαc παραλύcειc. ἐνίοτε δὲ καὶ χωρὶc cπαcμοῦ τῆc ἀποπληξίαc γενομένηc εἰc μορίου παράλυcιν ἐνίοιc ἐτελεύτηcε τὸ πάθοc, ὃ καλεῖται παραπληξία. τὰ δ' ἄλλα τῆc ῥήcεωc δῆλα.

3 τόπουc] *cf. Hipp. librum* Περὶ τόπων τῶν κατ' ἄνθρωπον *(VI 276—348 L.) et Gal. librum* Περὶ τῶν πεπονθότων τόπων *(VIII 1—452 K.)* 6 κοίλην] *cf. Gal. IV 668. V 658. XV 135.* 22 cυμφέρουcιν ἔcτιν ὅτε] *cf. Gal. XVI 771* 25 δέδεικται] *cf. Gal. XVII A 158 sq. 332. XVI 673. 826*

1 καὶ *inclusi* 2 *post* τε *ins.* καὶ ἐπιπληξίαι S 4 εἴρηται S τὰ μέρη . . . δηλονότι *(5) om.* C 6 κοιλίαν B 7 τοῦ ζῴου *om.* T 9 οὐκέτι προτρέπει V τὸ *(prius) delebat Cornarius* 10 δ'] δὲ καὶ V 11 εἰπών CR *et ambigue* A[1]: *om. cett.*: φήcαc *volebat Cornarius* ὑπὸ *inserui* καταξηρανθῆναι M: κατεξηράνθη S 12 πηχθῇ V: πήγνυται AB: ὑπὸ τῶν (πήγνυται M) MST: *om.* CR: ὑποπηχθῇ *Chartier* πήγνυται] ὑποπήγνυται CR γὰρ *om.* M 14 εἰc αὐτὸ] εἰc αὐτοὺc M: εἰc αὐτὸν S: cὺν αὐτῷ A *post* χυμοί *hab.* ἀλλὰ διὰ τὴν cτάcιν τοῦ πνεύματοc A: *om. cett.*: τῶν πνευμάτων *correxi* 15 ἐξερχόμενον γ. αὐτὸ V καὶ ῥιπίζον V: κ. ῥιπιζόντων AM: *om. cett.* 16 κεχυμωμένον AST *post* κεχυμένον *add.* καὶ ἄπηκτον BM ἔχειν *om.* SV 17 αὐτῶν R: αὐτοῦ R[1] ἀποβαλόντων AT: ἀποβαλλ. *cett.* 18 τοῦ *om.* CR τῷ *om.* M 19 οὖν] γὰρ M: *om.* V *post* οὖν *add.* αὐτῶν AS: *om. cett.* 20 καὶ διὰ AS 21 *post* δὲ *superscr.* καὶ A[1] τοῦ cώματοc γίνονται M 22 γε *om.* AMST 25 οὗτοc ABM 27 ὑποcκηπτούcαc M δὲ ACMR: *om. cett.* 28 γινομένηc S 29 καλεῖται παραπλ. ABCMST: π. κ. RV

IV 28 [II 5. II 406, 11 L.] Ἀλλὰ χρὴ τοὺς τοιούτους προπυριῶντας φλεβοτομεῖν ἐν ἀρχῇσιν εὐθέως, μετεώρων ἐόντων πάντων τῶν λυπεόντων πνευμάτων καὶ ῥευμάτων· εὐβοηθητότερα γάρ ἐστιν. |

Προπυριᾶν δεῖ τοὺς οὕτως ἔχοντας, ἐπειδὴ πέπηγεν ἐν αὐτοῖς 784
τὸ αἷμα καὶ δύσρουν ἐστίν· ἀλλ᾽ ἐπειδὴ διατριβή τις ἐν τῷ προπυριᾶν γίνεται, κάλλιον πράττειν, ὅπερ ἡμεῖς ἐπράξαμεν ἀεί, τέμνειν αὐτίκα τὴν ἐν ἀγκῶνι φλέβα τὴν ἔνδον (οὐ γὰρ ἀεὶ πεπηγὸς οὕτως, ὡς μὴ δύνασθαι ῥεῖν, εὑρίσκεται τὸ αἷμα), τρίβειν δ᾽ ἐν αὐτῷ τῷ χρόνῳ διὰ πολλῶν ἀνθρώπων ἅπαντα τοῦ σώματος τὰ μόρια, κἂν μὲν ῥυῇ σύμμετρον, αὖθις τρίψαντα πάλιν ἐπαφαιρεῖν, εἰ δὲ μή, τρίβειν τε καὶ πυριᾶν, ἄχρις ἂν ῥυῇ. ἔνθα δ᾽ εἰς παραπληξίαν κατέσκηψε τὸ πάθος, ἐγχωρεῖ τρίβειν ἐν χρόνῳ βραχεῖ καὶ πυριᾶν καὶ τρίβειν αὖθις καὶ πυριᾶν, μέχρις ἂν τάχιστα παυθῇ ταῦτα, ἔτι μετεώρων ὄντων τῶν πνευμάτων καὶ κενωθῆναι μὴ δυσλύτων.

IV 29 [II 5. II 408, 3 L.] Καὶ ἀναλαμβάνοντα καὶ τὰς κρίσιας ἐπιθεωρέοντα φαρμακεύειν, ἢν μὴ κουφίζηται, ἄνω· τὴν δὲ κάτω κοιλίην, ἢν | μὴ ὑποχωρέῃ κλυσμῷ, ὄνου γάλα ἑφθὸν 785
δίδου, καὶ πινέτω μὴ ἔλασσον δώδεκα κοτυλῶν· ἢν δὲ ῥώμη περιέχῃ, πλεῖον ἑξκαίδεκα.

Μετὰ τὴν ἐκ τῆς φλεβοτομίας κένωσιν ἀνακτᾶσθαι κελεύει καὶ ῥωννύναι τὸν ἄνθρωπον, ὅπως, ʽεἰ μηδὲν φαίνοιτο κεκουφισμένοςʼ, ἐπὶ κάθαρσιν ἀχθῇ τὴν διὰ τῶν ἄνω μορίων, ὅπερ ἔστι τὴν δι᾽ ἐμέτων. παραλέλοιπε δ᾽ εἰπεῖν ὀνομαστὶ τὸ καθαρτικὸν φάρμακον ἐφ᾽ ἡμῖν ποιησάμενος αὐτοῦ τὴν ἔκλεξιν· εὔδηλον γάρ, ὅτι πρὸς τὸ τοῦ νοσήματος μέγεθος καὶ τῆς δυνάμεως τὴν ῥώμην ἀποβλέποντες ἢ τὸν λευκὸν ἐλλέβορον ἤ τι τῶν ἄλλων τῶν τὸν ἔμετον κινούντων δώσομεν. τὰ δὲ περὶ τῆς κάτω κοιλίας εἰρημένα πρόδηλα· μὴ θαυμάσῃς δὲ τὸ πλῆθος τοῦ γάλακτος· οὕτω γὰρ πᾶσι τοῖς παλαιοῖς ἦν σύνηθες. εἴρηται δ᾽ ἐν

14 μετεώρων] *cf. Foesii Oeconomia Hippocr. Francof. 1588 p. 410*
18 ὄνου γάλα] *cf. Gal. VI 684 K.*

2 φλεβοτομεῖν C: φλεβοτομέειν *cett.* μετεώρων] μετοῦτ᾽ S ἐόντων ABCMRS: ὄντων TV 3 ἀβοηθότερα M 5 οὕτως] τοιούτους CR 6 ἀλλ᾽ ἐπεὶ AB *post* ἐπειδὴ *add.* καὶ *omnes praeter* A διατριβή ACM: τριβή *cett.* 7 ἐπράξαμεν AB: *obscur.* M: ἐγράψαμεν *cett.* ἀεὶ] εἶτα V δ᾽ αὐτίκα S 9 χρόνῳ] χρὴ B 10 τὰ τ. c. μόρια R μὲν] μὴ A 12 ἄχρις . . . πυριᾶν *(14) om.* T ῥυῇ MS: ῥεῖ *cett.* 13 βραχὺ B 14 ἐόντων B 16 κρίσεις R 17 τὰ ἄνω AS ἄνω *ante* ἢν *transp.* CR 19 δὲ] καὶ S: *om.* T 20 καὶ πλεῖον M: πλείων B 21 τῆς *hab. omnes praeter* V 22 μηδὲν] μὴ S 23 διὰ] δὲ ASTV τὴν] τῶν M 24 δ᾽ *om.* ASTV: *add.* A^1 24. 25 ἐφ᾽ ἡμῖν ποιησάμενος αὐτοῦ CR: ἐνέφηνε τε αὐτοῦ π. A: γρ. ἐφ᾽ ἡμῖν (ἡμῶν B^1) αὐτοῦ (αὐτῶν B^1) π. A^1B^1 *in mrg.*: οὐκ ἐνέφηνε μὴν αὐτοῦ π. ST: οὐδ᾽ ἐνέφηνε π. αὐτοῦ V: ἐφ᾽ ἡμῖν . . . ἔκλεξιν *om.* BM 28 κάτω *om.* ST κοιλίης AMS πρόδηλον AMSTV

τοῖϲ ἔμπροϲθεν, ὅτι δι' ὑγρότητα δίδωϲιν ὄνου γάλα καὶ πρὸϲ τοῖϲ
786 ἄλλοιϲ | οὐδέ ἐϲτι πηγνύμενον, ὅταν ποθῇ, καθάπερ τὰ παχέα· προϲμιγνύναι δ' αὐτῷ μέλιτόϲ τε καὶ ἁλῶν προϲήκει.

IV 30 [II 6. II 408, 8 L.] Cύναγχοϲ δὲ γίνεται, ὁκόταν ἐκ τῆϲ κεφαλῆϲ ῥεῦμα πολὺ καὶ κολλῶδεϲ ὥρην χειμερινὴν ἢ ἐαρινὴν ἐϲ τὰϲ ϲφαγίτιδαϲ φλέβαϲ ἐπιρρυῇ, καὶ τὸ ῥεῦμα πλέον διὰ τὴν εὐρύτητα ἐπιϲπάϲωνται. ὅταν δὲ ψυχρόν τε ἐὸν καὶ κολλῶδεϲ ἐμφράξῃ τοῦ τε πνεύματοϲ τὰϲ διεξόδουϲ καὶ τοῦ αἵματοϲ ἀποφράϲϲον, πήγνυϲι τὰ ἐγγὺϲ τοῦ αἵματοϲ καὶ ἀκίνητον καὶ ϲτάϲιμον ποιεῖ φύϲει ψυχρὸν ἐὸν καὶ ἐμφρακτικόν. διὰ τοῦτο πνίγονται τῆϲ γλώϲϲηϲ ἀποπελιουμένηϲ καὶ ϲτρογγυλουμένηϲ καὶ ἀνακαμπτομένηϲ διὰ τὰϲ φλέβαϲ τὰϲ ὑπὸ τὴν γλῶϲϲαν· τῆϲ γὰρ ὑποτεμνομένηϲ ϲταφυλῆϲ, ἣν δὴ κιονίδα καλέουϲιν, ἑκατέρωθεν φλὲψ παχεῖα. ὁκόταν οὖν πλήρειϲ αὗται ἐοῦϲαι ἐϲ τὴν γλῶϲϲαν ἐναποϲτηρίζωνται ἀραιὴν ἐοῦϲαν καὶ ϲπογγώδεα διά γε τὴν ξηραϲίην, ἣ δ' ὑπὸ
787 βίηϲ τὸ ἐκ τῶν φλεβῶν δε|χομένη ὑγρὸν ἐκ πλατείηϲ μὲν ϲτρογγύλη γίνεται, ἐξ εὐχρόου δὲ πελιδνή, ἐκ μαλθακῆϲ δὲ ϲκληρή, ἐξ εὐκάμπτου δὲ ἄκαμπτοϲ· ὥϲτε ταχέωϲ ἀποπνίγεϲθαι, ἢν μή τιϲ ταχέωϲ βοηθῇ φλεβοτομίην τε ποιεύμενοϲ ἀπὸ βραχιόνων καὶ τὰϲ ὑπὸ τὴν γλῶϲϲαν φλέβαϲ ὑποτάμνων καὶ φαρμακεύων τοῖϲιν ἐκλεικτοῖϲι καὶ ἀναγαργαρίζων θερμοῖϲι καὶ κεφαλὴν ὑποξυρῶν· καὶ κήρωμα τραχήλῳ καὶ κεφαλῇ περιτιθέναι καὶ ἐρίοιϲι περιελίϲϲειν καὶ ϲπόγγοιϲι μαλθακοῖϲιν ἐν ὕδατι θερμῷ ἐκπιεζεῦντα πυριῆν. πίνειν τε ὕδωρ καὶ μελίκρητον μὴ ψυχρά, χυλὸν δὲ προϲφέρειν, ὁκόταν ἐκ κρίϲιοϲ ἐν ἀϲφαλείῃ ἤδη ᾖ.

1 ἔμπροϲθεν] *p. 278, 10 sqq.* 14 κιονίδα] *cf. Gal. XII 760 sq. Erotian. p. 60, 3 Klein*

1 πρόϲθεν A 2 οὐδέν C 3 δ' *om.* S 4 περὶ ϲυναγχικῶν A *in mrg.* ὁκόταν BCMRV: ὅταν AST 5 πολὺ *codd.*: πουλὺ *Chartier* κολλῶδεϲ M^1R: χολῶδεϲ *cett.* 6 εἰαρινὴν AS καὶ *ante* πλέον *colloc.* S ῥεῦμα] πνεῦμα SV: γρ. καὶ τὸ πνεῦμα A^1 *in mrg.*: γρ. πνεῦμα M^1 7 πλέον AS: πλεῖον *cett.* ἐπιϲπάϲηται AS 8 ἐμφράξῃ] *cf. Littré p. 410 not.* 9 ἀποφράϲϲοντα BM: *om.* S καὶ τὰ ἐ. S τε τὰ A ἐγγὺϲ *codd.*: ϲύνεγγυϲ *ex Hipp.* P^1 (= *Aldus*) τοῦ πνεύματοϲ S 11 καὶ διὰ A γλώϲϲ. ABCRS: γλώττ. M 13 ὑποτετμημένηϲ A: ὑποτεινομένηϲ *Reinhold* 14 ἣν δὴ AMT: ἣν CR: ὃ δὴ S: ὃ B: οἱ δὲ V 15 οὖϲαι CR 16 ξηραϲίαν T ἥδ' ABS: ἡ δ' *cett.*: *om. Hipp. cod. A* 17 πλευρῶν, *sed superscr.* φλεβῶν S 18 ἐξ εὐχρόου … ἄκαμπτοϲ *(19) om.* M δὲ *(alt.) om.* S 19 ϲκληρή] ξηρή T 20 ἢν CR: εἰ *cett.* βοηθεῖ AV πεποιεύμενοϲ M 21 ὑποτάμνων ABCRS: ὑποτέμνων MV: ἀποτέμνων T 22 καὶ φαρμακεύων … θερμοῖϲι *om.* B ἐκλικτ. CT 23 κεφαλὴν *codd.*: τὴν κ. *a Charterio edd.* κίρρωμα AT τραχήλου M καὶ κεφαλῇ *om. Hipp. cod. A* 25 *post* μαλθακοῖϲιν *add.* νενοτιϲμένοιϲ S ἐκπυέζοντα M πυριᾶν S 27 ἀϲφαλίῃ MT

Εἴτε σύναγχον ἐθέλοις λέγειν εἴτε κύναγχον ἢ τὸ μὲν ἕτερον αὐτῶν συνάγχην, τὸ δ᾽ ἕτερον κυνάγχην, εἴτε συνάγχην ἄμφω καλέσεις, εἰδέναι δεῖ δύο λόγους εἶναι κυνάγχης· πρὸς γὰρ τὴν θεραπείαν οὐδὲν τῶν ὀνομάτων δεόμεθα· εἴωθε γὰρ διδάσκειν αὐτὴν ἄμεινον μακρῷ τῶν ἐν τοῖς ὀνόμασι τερατευομένων· ὑπογράψω δέ σοι διὰ βραχέος λόγου τὴν | τῆς τοιαύτης διδασκαλίας ἰδέαν ἀρχὴν τήνδε ποιησάμενος. 788

τῶν ἐκ τῆς κεφαλῆς καταφερομένων ῥευμάτων ἔνια μέν ἐστι λεπτὰ κατὰ τὴν σύστασιν, ἔνια δ᾽ ἐκ παχέων καὶ γλίσχρων χυμῶν. ὅσα μὲν οὖν τῶν λεπτῶν ἐστι, διεξερχόμενα τὰς εὐρείας φλέβας ἐπὶ ταῖς στενοτέραις ἴσχεται· τοιαῦται δ᾽ εἰσὶν αἱ κατὰ τὸν λάρυγγα· τὸ δ᾽ ἐναντίον ἐπὶ τῶν παχέων συμβαίνει, τῷ μὴ ἐνδύεσθαι πάσαις ταῖς λίαν στεναῖς φλεψὶ φθανόντων γε κατὰ τὰς εὐρυχώρους αὐτῶν ἴσχεσθαι. ἐσφηνωμένων οὖν τῶν τοιούτων χυμῶν ἐν ταῖς κατὰ τὴν φάρυγγα φλεψὶν ἐπ᾽ ὄγκον αἴρεται τὸ μόριον, ὥσπερ ὁ λάρυγξ ἐπὶ τοῖς ἑτέροις, ἅτε δὴ παμπόλλῳ στενοτέρων τῶν τοῦ λάρυγγος ὄντων ἢ τῆς φάρυγγος. εἶναι δὲ χρὴ ἀπέριττον τὸ πᾶν σῶμα καὶ μὴ πληθωρικὸν δυοῖν ἕνεκα, τῆς τε πρὸς τοῦ κενοῦν ἀντισπάσεως καὶ διότι κενωθέν, ἐπὰν ἀποκρουσώμεθα τῶν πεπονθότων τόπων τὸ ἐπιρρέον, ἐπιδέξεται ῥᾳδίως, εἰ δὲ διαφορεῖν ἐθέλοιμεν θερμαίνοντες, οὐδὲν τῷ θερμαινομένῳ τόπῳ χορηγήσει.

τὸ μὲν οὖν ὅλον σῶμα χρὴ κενοῦσθαι διὰ φλεβοτομίας καὶ καθάρσεως καὶ κλυστήρων, | αὐτὰ δὲ τὰ πάσχοντα μόρια διὰ μὲν τῶν στυφόντων φαρμάκων, ἀποκρουομένων τούς τε παραρρέοντας χυμοὺς καὶ τῶν ἐστηριγμένων ὅσοι γε μὴ σφοδρῶς εἰσιν ἐμπεφραγμένοι καὶ ὅσοι μὴ πάνυ γλίσχροι καὶ παχεῖς, διὰ δὲ τῶν θερμῶν τε καὶ δριμέων διαφορούντων τοὺς κατὰ τὰ πεπονθότα μόρια περιεχομένους χυμούς· ἄνευ δὲ φαρμάκων αἱ ὑπὸ τὴν γλῶτταν φλέβες ἐντεμνόμεναι τὴν ἐν τῇ φάρυγγι φλεγμονὴν ἐκκενοῦσιν. ἐπεὶ δὲ τῶν χυμῶν ἔνιοι παχεῖς εἰσι καὶ γλίσχροι, πολὺ δριμυτέρων τούτοις ἐστὶ φαρμάκων χρεία, τέμνειν 789

2 συνάγχην] *cf. Gal. VIII 248 sqq. XVIII B 264 sqq. K.* 17 ἀντισπάσεως] *cf. Gal. XI 319 (= Orib. VIII 19). X 315 sq.* 22. 23 στυφόντων φαρμάκων] *cf. Gal. X 786. XII 161* 27 φλέβες ἐντεμνόμεναι] *cf. Gal. XVI 156 sq. XI 92 sq.* 29 δριμυτέρων] *cf. Gal. XI 785*

1 ἐθέλοις λέγειν *post* κύναγχον *colloc.* A ἐθέλεις M εἴτε κύναγχον ... συνάγχην *(prius) om.* ST 2 καλέεις A: καλέσειν B 3 δεῖ *om.* A *post* δεῖ *ins.* ἢ τὸ μὲν ἕτερον αὐτῶν συνάγχην καλέσεις S 4 εἴωθε MS: εἴωθα ABCR 9 στενοτέραις AMST: στενοχωρίαις CR 10 τοιαῦτα RS αἱ] τὰ ASTV 11 τῷ] τῶν AST μὴ ἐνδ. *om.* AST ἐν πάσαις AST λίην ABST 12 γε AMRS: τε CV τὰς] τοὺς T εὐρυχωρίας M 13 τὴν] τὸν AT 14 αἴρεται] ἔργεται M 15 στενοτέρων *scripsi*: στενῶν *codd.* ὄντων *ante* τῶν *transp.* SV τοῦ φάρ. V 17 πρὸ A *(ante corr.) et* T: πρὸς τὸ CV κενωθέν *scripsi*: κενωθέντος *codd.* ἀποκρουσώμεθα S: ἀκροώμεθα A: ἀποκρουώμεθα A[1] *cum cett.* 18 ἐπιδέξεται CR: ἤδη δέξεται MST: ἤδη ὑποδ. A 19 εἰ δὲ *scripsi*: εἴτε δὲ S: εἴτε *cett.* διαφορεῖν] δὲ σφόδρα S 21 οὖν *om.* S 24. 25 ὅσοι μὴ *ante* πάνυ *hab. omnes praeter* V 25 διὰ δὲ BS: *obscur.* A: διά τε *cett.* τε καὶ *codd.*: καὶ *edd.* 27 αἱ] καὶ S γλῶσσαν CR

δηλονότι καὶ διαιρεῖν εἰς λεπτὰ καὶ καταθραύειν τὰ γλίσχρα καὶ παχέα δυναμένων.

καὶ πρὸς τὴν ἐκτὸς ἐπιφάνειαν ἀντισπᾶν χρὴ τοὺς χυμούς, περιτιθέντας τῷ τραχήλῳ φάρμακα δύναμιν ἑλκτικὴν ἔχοντα· βέλτιον γὰρ τὰ κατὰ τὸ δέρμα μᾶλλον ἢ τὸ βάθος πάσχειν τοῦ τραχήλου, διότι τὸ πνεῦμα κατὰ μὲν τὰς εἰσπνοὰς ἐμπίπτει τῇ φάρυγγί τε καὶ τῷ λάρυγγι, κατὰ δὲ τὰς ἐκπνοὰς ἔξω δι' αὐτῶν φέρεται. πολλάκις μέντοι τὰ παραγινόμενα εἰς τὰ προειρημένα μόρια ῥεύματα μεθίστανται πρὸς ἕτερα
790 μόρια, τῆς φύσεως | ἀποτριβομένης αὐτά· καί ποτε κατ' ἀρχὰς εὐθέως οὕτως ἠνέχθη, ὥστε πάλιν ἄλλας διαφορὰς γίνεσθαι τοῦ τε κατὰ τὴν φάρυγγα καὶ κατὰ τὸν λάρυγγα ῥεύματος. εὔδηλον δ', ὅτι τὰ πρὸς τὸ δέρμα χωρήσαντα πολὺ τῶν εἰς τὸ βάθος κατασκηψάντων ἐστὶν εὐιατότερα· κοινὸν δ' ἐπ' ἀμφοτέρων βοήθημα τῶν τε κατὰ τοῦ τραχήλου καὶ τῆς κεφαλῆς, ἀφ' ἧς ὁρμᾶται τὰ ῥεύματα, γινέσθω σοι.

οὗτος ὁ λόγος ἐδίδαξε τά τε τῶν συνάγχων εἴδη καὶ τὰς αἰτίας αὐτῶν καὶ τοὺς πεπονθότας τόπους καὶ τὰς θεραπείας, οὐδὲν δεηθεὶς ὀνομάσαι συνάγχην τε καὶ κυνάγχην, ὥσπερ οὐδὲ σύναγχόν τε καὶ κύναγχον. ὁ τοίνυν γράψας τὸ βιβλίον τοῦτο, μηδὲν φροντίζων τῶν ὀνομάτων, ἅπαντα τὰ κατὰ τὴν φάρυγγα καὶ τὸν λάρυγγα συνιστάμενα πάθη καὶ στενοχωροῦντα τὴν ἀναπνοὴν ὀνομάσας συναγχικά, δύο φησὶν αὐτῶν ὑπάρχειν εἴδη, τὸ μὲν ἕτερον ὑπὸ κολλώδους τε καὶ ψυχροῦ ῥεύματος γινόμενον, ὅπερ ἔστι καλεῖν φλεγματικόν, τὸ δ' ἕτερον ὑπὸ θερμοῦ καὶ δριμέος, ὅπερ αὖ πάλιν πικρόχολον ὀνομάζων
791 ἢ χολῶδες ἁπλῶς οὐκ ἂν ἁμάρτοις. κατασκήπτειν δέ φησι | τὸ πρότερον τῶν εἰρημένων ῥευμάτων εἰς τὰς εὐρυτέρας φλέβας ἐνδεικνύμενος, ὅτι θάτερον τὸ χολῶδες εἰς τὰς λεπτοτέρας ἀφικνεῖται. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα· δεῖ δὲ προσέχειν οἷς εἶπον τὸν νοῦν· εἰ δὲ μὴ νοήσεις τὴν πρώτην, δὶς καὶ τρὶς ἀναγνοὺς νοήσεις. ἐγὼ δὲ μεταβήσομαι πρὸς τὸ δεύτερον εἶδος τοῦ συνάγχου.

IV 31 [II 6. II 414, 2 L.] Ὁκόταν ἐν θερινῇ ἢ μετοπωρινῇ ὥρῃ ἐκ κεφαλῆς θερμὸν τὸ ῥεῦμα καταρρυῇ καὶ νιτρῶδες,

17 συνάγχην τε καὶ κυνάγχην] *cf. Gal. XVIII B 267. XVII B 706 K.* 26 χολῶδες] *cf. Gal. XVIII B 268*

1 αὐτὰ τὰ γλίσχρα CR παχέα CMRT: τὰ π. ABSV 3 ἐπισπᾶν BM: σπᾶν A (*superscr.* ἀντι) χρὴ *post* χυμοὺς *transp.* BM περιτιθέναι M 4 ἔχοντα ἑλκτικήν V 5 διότι καὶ M τὸ μὲν V 6 ἐκπίπτει A τῇ] τῶ S τῷ *codd.*: γὰρ *Ald. Basil.* 7 παραγενόμενα M 8 εἰς M: ἐς *cett.* τὰ *om.* V ῥεύματα *om.* BCST ἕτερα] τὰ A (*superscr.* ἕτερα): ἀλλ' ἄττα V: ἄλλα τινα *Aldus* 9 ἀρχὴν R 10 *post* ἄλλας *add.* ἑτέρας S 11 ῥεύματα M 12 τὸ *om.* ACMST εὐιατώτατα M 13 ἐπ'] ἀπ' S *post* βοήθημα *add.* κίρωμα A: *del.* A¹ τῶν τε *om.* A 15 τε ἄλλα S κυνάγχων BCMR ἤδη MS 17 ὥσπερ οὐδὲ σύναγχόν τε καὶ κύναγχον *om.* S: *delenda videntur* 19 τὸν φάρυγγα A 20 συναγχικὰ ABCRST: συνάγχας M: συνάγχους V 20. 21 δύο δὲ αὐτούς φησιν ὑπ. CR 23 αὖ *codd.*: οὖν *edd.* 26 θάτερον BM: καὶ θάτερον S: καθ' ἕτερον *cett.* εἰς τὸ λεπτότερον M 27 δηλοῖ M 28 νοήσαις B δέ μοι M 29 *post* συνάγχου *ins.* ἄλλο εἶδος (τοῦ M) συνάγχου ABMST 31 *a* ῥεῦμα *defic.* T *usque ad* ἀντί]σπασις *p. 302, 13*

ἅτε ὑπὸ τῆς ὥρης δριμὺ καὶ θερμὸν γεγενημένον, δάκνει τοιόνδε ἐὸν καὶ ἑλκοῖ καὶ πνεύματος ἐμπίπλησι, καὶ ὀρθόπνοια παραγίνεται καὶ ξηρασίη πολλή, καὶ τὰ ὁρώμενα ἰσχνὰ φαίνεται, καὶ τοὺς ὄπισθεν τένοντας ἐν τῷ τραχήλῳ ξυντείνεται, καὶ δοκέει οἱ τέτανος ἐντετάσθαι, καὶ ἡ φωνὴ ἀπέρρωγε καὶ τὸ πνεῦμα σμικρὸν καὶ ἡ ἀντίσπασις τοῦ πνεύματος πυκνὴ καὶ βιαίη παραγίνεται. οἱ τοιοίδε τὴν ἀρτηρίην ἑλκοῦνται καὶ τὸν πνεύμονα πίμ|πρανται οὐ δυνάμενοι τὸ ἔξωθεν πνεῦμα **792** ἐπάγεσθαι· τοῖσι τοιουτέοισι δέ, ἢν μὴ εἰς τὰ ἔξω μέρεα τοῦ τραχήλου ἑκουσίῃ ἀποφέρηται, δεινότερα καὶ ἀφυκτότερά ἐστι καὶ διὰ τὴν ὥρην καὶ ὅτι ἀπὸ θερμῶν καὶ δριμέων.

Τὸ μὲν γὰρ πρότερον ῥεῦμα τὸ φλεγματικὸν ἐν χειμῶνι καὶ ἦρι κατασκήπτειν ἔφη, τουτὶ δὲ τὸ δεύτερον ἐν μετοπωρινῇ ἢ ἐν θερινῇ ὥρῃ, ἐπὶ δὲ τῶν ἄλλων ὡρῶν ἀνάλογον, ὡς ἔμπροσθεν εἴρηται. ὀρθόπνοιαν δὲ τούτῳ τῷ εἴδει τῆς συνάγχης προσεῖναί φησιν, ἥτις ὀρθόπνοια μεγάλης ἐστὶ στενοχωρίας γνώρισμα κατά τι τῶν ἀναπνευστικῶν μορίων ἐνοχλούσης, ὡς ἔμπροσθεν ἐδείκνυμεν. ἐὰν δὲ κελεύσῃς τούτους διοῖξαι μέγιστον τὸ στόμα καὶ καταστείλῃς τὴν γλῶσσαν ὑπὲρ τοῦ κατασκέψασθαι τὰ κατὰ τὴν φάρυγγα, τοιοῦτον οὐδένα παρὰ φύσιν ὄγκον, οἷον ἐπὶ τοῖς ἔμπροσθεν εἰρημένοις, εὑρήσεις. ἔδειξε δὲ ὁ συγγραφεὺς τοῦτο διὰ τοῦ φάναι καὶ τὰ ὁρώμενα ἰσχνὰ φαίνεται. τὸ γὰρ φλεγμαῖνον | ἐν τῷ πόρῳ τῆς φάρυγγος ἀόρατόν ἐστιν, ὅσον **793** δ' ὁρατὸν ἀνοιξάντων, τοῦτο πᾶν ἀφλέγμαντόν τε καὶ ἰσχνὰ τὰ μόρια· τὸ γὰρ ἰσχνὸν ἐνίοτε λέγεται πρὸς ἀντίθεσιν τῶν παρὰ φύσιν ὀγκουμένων. ἔνιοι δὲ μὴ νοήσαντες τὸ σημαινόμενον ἐκ τῆς 'ἰσχνά' φωνῆς ὅπως εἴρηται νῦν, ἐξηγοῦνται τὴν λέξιν γελοίως, τινὲς δὲ καὶ μετασκευάζουσιν, ὥσπερ καὶ οἱ οὕτω γράφοντες καὶ τὰ ὁρώμενα ἄχροα φαίνεται.

τοῖς γε μὴν οὕτω διακειμένοις ἐνίοτε τοῦ ῥεύματός τι καὶ εἰς τοὺς

5 τέτανος] *cf. Gal. IV 404 K.* 13 ἔφη] *supra p. 298, 5sq. 300, 20sqq.* 14 ἔμπροσθεν εἴρηται] *supra p. 300, 24* 17 ἔμπροσθεν ἐδείκνυμεν] *supra p. 300, 20*

1 δάκνει CR: δάκνει δὲ B: δάκνει δὲ τὸ AMST 3 ὁρώμενα BM: θεωρεύμενα *cett.* *post* φαίνεται *add.* ἕως (τέως A) τοῦ ὅτι ἀπὸ θερμῶν καὶ δριμέων ABMRS (*punctis haec del.* A[1]) 4 καὶ τοὺς ὄπισθεν . . . θερμῶν καὶ δριμέων (11) *om. codd., Ald. Basil.*: *add. ex Hipp. Chartier* τοὺς ἐν τῷ *Hipp. cod. K* 5 οἱ *Gal. in commentario (302, 4)*: οἷον *ex Aldo edd.* 10 ἑκουσίῃ *Littré*: ἑκουσίη *edd.* δεινότερα κ. ἀφυκτότερα *Hipp. cod. A*: δεινοτέρη κ. ἀφυκτοτέρη *edd.* 11 καὶ διὰ *Galenum legisse apparet ex comment. p. 303, 6*: καὶ *om. edd.* *post* δριμέων *add.* Πῶς καὶ διὰ τί; ὅτι ἀπὸ θερμῶν καὶ δριμέων *Aldus initio commentarii ab his vocabulis facto, quae codd. non exhibent; interpretem latinum consuluisse videtur, qui praebet: 'Qualiter et propter quid? quoniam a calidis et drimeis. nam prius' etc.* 13 φησὶ M ἐν μετοπωρινῇ ἢ *om. omnes praeter* V ἐν τῇ θ. S 14 δὲ *om.* C 16 ἐστὶ *om.* B 17 μορίων] ὀργάνων S 18 γλῶσσαν *codd.*: γλῶτταν *edd.* 19 κατασκέπτεσθαι CR 21 τοῦ BCMRS: τὸ A 22 πόρῳ] χώρῳ SV: χωρίῳ M: τῇ χώρα *(in ras.)* A τοῦ φάρ. BM 25 ἰσχνᾶς CRSV 26 κατασκευάζουσιν R: μετασκευάζουσιν *cett.* 27 καὶ *(prius) om.* C ἀχρεῖα ASV 29 τι] τε M εἰς *om.* B

πλησιάζοντας τῷ λάρυγγι μερίζεται μῦς ὄπισθεν αὐτοῦ τεταγμένους, ἔνθα καὶ ὁ στόμαχος, ὃς καὶ αὐτὸς συνδιατίθεται πολλάκις· μετὰ τοῦτο γοῦν ἐν τῇ προκειμένῃ ῥήσει καὶ τοῦτο γέγραπται· καὶ τοὺς ὄπισθεν τένοντας ἐν τῷ τραχήλῳ ξυντείνεται καὶ δοκέει οἱ τέτανος ἐντετάσθαι. τὸ δ᾽ ἐφεξῆς εἰρημένον ἔτι καὶ μᾶλλον ἐνδείκνυται τὸ πεπονθέναι τὸν λάρυγγα· δέδεικται γὰρ ἐν τούτῳ τοῦ ζῴου τῷ μορίῳ τῆς φωνῆς ἡ γένεσις ἀποτελεῖσθαι. διὰ τοῦτο γοῦν ἔφη καὶ ἡ φωνὴ
794 ἀπέρρωγε καὶ τὸ πνεῦμα σμικρόν. ἡ | μὲν γὰρ φωνὴ παντάπασιν ἀπέρρωγε, τουτέστιν ἀπόλλυται, παθόντος, ὡς εἴρηται, τοῦ λάρυγγος, ἡ δ᾽ ἀναπνοὴ μικρὰ γίνεται διὰ τὴν στενοχωρίαν τοῦ πόρου. λέγεται δ᾽ ἐν τοῖς Περὶ δυσπνοίας, ὅτι μακροτέρα τῷ χρόνῳ καὶ τοῖς διαλείμμασι πυκνοτέρα. τοῦτο δ᾽ αὐτὸ ὁ συγγραφεὺς οὕτως ἡρμήνευσεν· καὶ ἡ ἀντίσπασις τοῦ πνεύματος πυκνὴ καὶ βιαίη παραγίνεται. πνεῦμα καὶ τὴν μετὰ τὴν εἰσπνοὴν δευτέραν ἐκπνοὴν καὶ τὴν μετὰ τὴν ἐκπνοὴν δευτέραν εἰσπνοὴν εἶπεν· ἑκατέρως γὰρ πυκνὸν γίνεται τὸ πνεῦμα. καὶ γὰρ ἡ μετὰ τὴν εἰσπνοὴν ἠρεμία βραχυχρόνιός ἐστι τοῖς οὕτω διακειμένοις καὶ ἡ μετὰ τὴν ἐκπνοὴν πρὸ τῆς εἰσπνοῆς· τὰς δ᾽ ἀποδείξεις τούτων ἐν τοῖς Περὶ δυσπνοίας ἔχεις εἰρημένας.

[Οἱ τοιοίδε τὴν ἀρτηρίαν ἑλκοῦνται καὶ τὸν πνεύμονα πίμπρανται οὐ δυνάμενοι τὸ ἔξωθεν πνεῦμα ἐπάγεσθαι· τοῖσι τοιουτέοισι δέ, ἣν μὴ ἐς τὰ ἔξω μέρεα τοῦ τραχήλου ἑκουσίη ἀποφέρηται, δεινοτέρη καὶ ἀφυκτοτέρη ἐστὶ διὰ τὴν ὥρην καὶ ὅτι ἀπὸ θερμῶν καὶ δριμέων.]

795 ἀλλὰ καὶ τὴν ἀρτηρίαν ἑλκοῦσθαι τοῖς οὕτω διακει|μένοις εἴρηκε, διὰ τὴν τοῦ χυμοῦ δριμύτητα δηλονότι. τὸν δὲ πνεύμονα πίμπρασθαι στενούμενον ἔφη, συνάπτων τὸν λόγον ἀληθεῖ δόγματι· δέδεικται γὰρ ἐν τῷ Περὶ χρείας ἀναπνοῆς οὐκ ἐνδείᾳ τῆς οὐσίας ἀπολλύμενον τὸ ζῷον ἐπὶ τῇ στερήσει τῆς ἀναπνοῆς, ἀλλ᾽ ὅτι τὴν ἔμψυξιν

6 δέδεικται] *cf. Gal. III 525 sqq. VIII 267 sqq. K.* 7 ἔφη] *p. 301, 5* 11 Περὶ δυσπνοίας] *I 9—11 (VII 773 sqq.)* 18 Περὶ δυσπνοίας] *I 24 (VII 821 sq.)* 26 ἔφη] *p. 301, 8* 27 ἐν τῷ Περὶ χρείας ἀναπνοῆς] *2 (IV 473 sqq.)*

1 δ᾽ αὐτοῦ AV τεταμένους R *et compendiose* S 3 γοῦν] γὰρ CR 4 οἱ BV: ὁ S: *om.* ACMR: οἷον *ab Aldo edd.* τετανῶς AB 5 ἔτι] ὅτι S 7 ἀπολεῖσθαι A: *corr.* A^1 8 καὶ τὸ . . . ἀπέρρωγε *(9) om.* S: *add.* S^1 τὸ *codd.*: *om. a Charterio edd.* 9 ὡς *om.* C τοῦ] τῆς C 10 μικρὰ *om.* S ἐπιγίνεται S 11 χρόνῳ *om.* S 12 τοῦτο] τοῖσι S 13 *ab* ἀντί]-σπασις *vocab. rursus incipit* T πνεύματος] παρ᾽ εἰσπνοὴν S βιαία A γίνεται *codd.*: παραγίνεται *Aldus* 14 δευτέραν] καὶ S καὶ τὴν . . . εἶπεν *(15) om.* C: *add.* C^1 *in mrg.* τὴν *(tertium) om.* BT 15 ἑκατέρα C: ἐκ τούτου S 16 ἡ *om.* S εἰσπνοὴν . . . τὴν *(17) om.* R 19 οἱ τοιοίδε . . . δριμέων *(23) om.* V: *praebent cett.*: *ab interpolatore inserta esse elucet, cum orationis contextum interrumpant et in proximis iisdem fere verbis exprimantur*
20 ἐμπίπρανται S 21 τουτέοισι C ἣν δὲ μὴ M μέρη S 22 ἐπιφέρεται MS δεινότερον MS φυλακτότερον M: ἀφυλακτότερον S: ἀφυκτοτέρω CR καὶ διὰ *Chartier* 24 ἀλλὰ . . . δηλονότι *(25) om.* A: *add.* A^1 *in mrg.* εἴρηκε BCMR: εἴρηται T: εἴη δὲ SV 25 καὶ διὰ T πίπρασθαι A: πίμπλ. M 26 στενούμενον V: στεγόμενον M: στερούμενον *cett.*: στεγνούμενον *dubitanter Cornarius* 27 οὐκ . . . ἀναπνοῆς *(28) om.* B 28 ὅτι γε S: ὁ C

τε καὶ ῥίπισιν ἀπόλλυσι τὸ ἔμφυτον θερμόν. εἰκότως οὖν ἀμετρίας ἐχόμενον πίμπρησι τὸν πνεύμονα.

τοῦτο τοιγαροῦν τὸ τῆς συνάγχης εἶδος δεινότερόν τε καὶ ἀφυκτότερον εἶναί φησι τοῦ προτέρου διά τε τὰ προειρημένα καὶ διὰ τὸ θερινήν τε καὶ φθινοπωρινὴν ὥραν εἶναι ὅτι τε δριμυτέροις ἐπιγίνεται χυμοῖς. ἀμείνων οὖν ἐστιν ἡ μετὰ τοῦ ʽκαί’ συνδέσμου γραφὴ τῆς ἄνευ τοῦ ʽκαί’ συνδέσμου· συνεμφαίνει δ’ ἐπὶ τοῖς προειρημένοις τὸ καὶ διὰ τὴν ὥραν, ἐν ᾗ γίνεται, καὶ διὰ τὸν χυμόν, ὑφ’ οὗ, χαλεπώτερον εἶναι τὸ εἶδος τὸ δεύτερον τῆς συνάγχης· οὐχ ἁπλῶς οὖν ἐστι γραπτέον, ὅτι δεινότερα καὶ ἀφυκτότερά ἐστι διὰ τὴν ὥραν. εἰ δὲ καὶ τὴν ἄνευ τοῦ ʽκαί’ συνδέσμου γραφὴν ἐθέλοι τις φυλάττειν, ἀναγκαῖον ἔσται καὶ οὕτως προσυπακούειν αὐτόν, ὡς εἰ καὶ κατὰ | τὴν 796 λέξιν εἴρητο· πολλὰ γὰρ καὶ ἄλλα κατὰ τὸν ἐλλειπτικὸν τρόπον εὑρίσκεται παρὰ τοῖς παλαιοῖς γεγραμμένα.

IV 32 [II 7. II 416, 7 L.] Ἢν πυρετὸς λάβῃ, παλαιῆς κόπρου ὑπεούσης ἢ νεοβρῶτι ἐόντι, ἤν τε ξὺν ὀδύνῃ πλευροῦ ἤν τε μή, ἡσυχίην ἄγειν, μέχρις οὗ καταβῇ τὰ σιτία πρῶτον ἐς τὴν κάτω κοιλίην.

Καὶ διὰ τῶν τοιούτων ῥήσεων ἔνδειξις γίνεται τοῦ τὰ προσκείμενα τῷ Περὶ διαίτης ὀξέων οὐκ εἶναι τοῦ Ἱπποκράτους αὐτοῦ συγγράμματα· οὐκ ἐδεῖτο γὰρ τελεώτατα διεληλυθὼς τὰ ἐν τῷ γνησίῳ μέρει τοῦ βιβλίου γεγραμμένα περὶ τῶν πλευριτικῶν ἐνταῦθα πάλιν ὀλίγα παραθεῖναι.

IV 33 [II 7. II 418, 3 L.] Πόματι δὲ χρῆσθαι ὀξυμέλιτι· ὁκόταν δὲ ἐς τὴν ὀσφὺν βάρος ἥκῃ, κάτω κλύσαι κλυσμῷ ἢ καθᾶραι φαρμάκῳ, | ὁκόταν δὲ καθαρθῇ, διαιτᾶν ῥοφήματι πρώ- 797

13 κατὰ τὸν ἐλλειπτικὸν τρόπον] *cf. Gal. XVIII B 344 K.* 16 νεοβρῶτι] *cf. supra p. 154, 12. 160, 16* 21 ἐν τῷ γνησίῳ μέρει] *p. 150, 8 sqq.*

1 τε *om.* S οὖν *om.* ASV 3 συνάγχης M: κυν. *cett.* τε *om.* M 4 εἶναι *om.* V 5 τὸ] τὴν S ὥρην εἶναι A: εἶναι ὥρην S 7 καὶ τοῦ S: καὶ *add.* A[1] συνεκφαίνει AS: συνεκφαίνῃ R 9 κυνάγχης CR οὖν *om.* A: *add.* A[1] 10 ἐστι *scripsi*: εἶναι *codd.* δεινότερα καὶ ἀφυκτότερα BCRSV: δεινότερον κ. ἀφυκτότερον AMT 11 καὶ *supra* τοῦ *add.* A[1]: *om. cett.* ἐθέλει S φυλάττειν τις AS 12 ἔσται *post* οὕτως *transp.* A προσυπακούων S εἰ καὶ ACRST: εἰ M: καὶ B 13 εἴρηται AS: *compend.* B 14 παρὰ] περὶ S: *om.* C 15 ἐπιλάβοι M *super* παλαιῆς *add.* μὴ A[1] 16 ἢ] ἢν BM: *om. Hipp. cod. A* σὺν V 17 ἡσυχίαν A 19 γίνεται CRV: ἐστι ABMS προκείμενα MS 20 τῷ] τῶν M 21 ἐδεῖτο *scripsi*: ἔδει *codd.; cf. Gal. VII 281* ὑπὲρ ὧν ἐν τῷ περὶ τῶν προκαταρκτικῶν ὀνομαζομένων αἰτίων αὐτάρκως διειλεγμένος οὐδὲν δέομαι τό γε νῦν μεμνῆσθαι τῆς ματαίας φλυαρίας αὐτῶν τελειότατα CR διεληλυθότος A: διεληλυθὼς *cett.* τὰ *post* γὰρ *colloc. codd.*: *transp. Schoene* 24 χρέεσθαι A ὀξυμέλιτος M ὁκόταν . . . ὑπαγαγεῖν *(304, 5) exhibent* AS: *om. cett.* 25 εἰς S κάθηρε A: *om.* S 26 διαιτᾶν] διὰ A

τον καὶ πόματι μελικρήτῳ, ἔπειτα σιτίοισι καὶ ἰχθύσιν ἑφθοῖσι καὶ οἴνῳ ὑδαρεῖ ἐς νύκτα ὀλίγῳ, ἡμέρης δὲ ὑδαρὲς μελίκρητον, ὁκόταν δὲ αἱ φῦσαι δυσώδεες ἔωσιν, οὕτως ἢ βαλάνῳ ἢ κλυσμῷ, εἰ δὲ μή, ἐπισχεῖν ὀξύμελι πίνοντα, ἕως ἂν καταβῇ ἐς τὴν κάτω κοιλίην, εἶθ᾽ οὕτω κλυσμῷ ὑπαγαγεῖν.

Ἀδιορίστως εἴρηται καὶ συντέθειται, καίτοι διώρισται ἐν τῷ γνησίῳ μέρει τοῦ βιβλίου, τὸ γεγραμμένον ἐν τῷδε καὶ τὰ μετὰ τοῦτο, μέχρις οὗ καὶ τῶν ἰχθύων ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ἐπειδὴ ἔτι περὶ τῶν νοσούντων ὁ λόγος αὐτῷ κατὰ τὸ βιβλίον ἦν, οὐ περὶ τῶν ἀναλαμβανομένων ἐκ νόσου. τὰ δ᾽ ἄλλα τῆς ῥήσεως δῆλα.

IV 34 [II 7. II 418, 10 L.] Ἢν δὲ λαπαρῷ ἐόντι καῦσος ἐπι-
798 γένηται, ἤν σοι δο|κέῃ φαρμακεύειν ἐπιτηδείως ἔχειν, εἴσω τριῶν ἡμερῶν μὴ φαρμακεύειν, ἀλλ᾽ ἢ τεταρταῖον.

Ὅτι μὲν ἀκαίρως ἐνταῦθα πάλιν μέμνηται τοῦ καύσου, προειρημένων ἐν ἀρχῇ τῶν τε διαφορῶν αὐτοῦ καὶ τῶν θεραπειῶν, εὔδηλον· καὶ γὰρ αἱ ῥήσεις αὗται κατὰ γνώμην ἐκείνου τοῦ ἀφορισμοῦ εἰσι τοῦ "πέπονα φαρμακεύειν καὶ κινέειν, μὴ ὠμὰ μηδ᾽ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ· τὰ δὲ πλεῖστα οὐκ ὀργᾷ."

τινὲς ἑτέρως γράφουσιν, ἐν ἀρχῇ τοὺς καύσους ἀξιοῦντες φαρμακεύειν, ὡς εἶναι τὴν ῥῆσιν τοιαύτην· εἴσω τριῶν ἡμερῶν φαρμακεύειν. προσῆκεν οὖν οὐχ ὡσαύτως πάντα μετὰ τὰς τρεῖς, ἀλλ᾽ ὥσπερ ὁ ἀφορισμός ἐστι τοιοῦτος· "ἐν τοῖς ὀξέσι πάθεσιν ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρμακείῃσι χρέεσθαι"· καὶ χρὴ κατὰ τοὺς ἀφορισμοὺς διορίζεσθαί τε καὶ σκέπτεσθαι, πότε κατ᾽ ἀρχάς ἐστι χρηστέον τῇ φαρμακείῃ καὶ πότε τὴν πέψιν ἀναμείναντα τοῦ νοσήματος. ἐὰν δέ τις ἤτοι 'κατ᾽ ἀρχὰς' εἴπῃ ἁπλῶς ἢ μὴ διορισάμενος, ἑκατέρως σφάλλεται.

6. 7 ἐν τῷ γνησίῳ μέρει τοῦ βιβλίου] *p. 243, 3—352, 6* 8 ἐμνημόνευσεν] *p. 870, 11 K.* 14 προειρημένων] *supra p. 274, 4* 17 πέπονα . . . ὀργᾷ *(18)*] *Hipp. Aphor. I 22 (IV 468 L.)* 22 ἐν τοῖς . . . χρέεσθαι *(23)*] *Hipp. Aphor. I 24 (IV 470 L.)*

1 μελικράτω S σιτίοις A 2 ἐς AS ἡμέρης S: ἡμέρη A 3 φυσώδεες S εἰσὶν S 5 εἰς S κοιλίην AS: κοιλίαν *Aldus* κλυσμῶ AS: κλύσματι *ab Aldo edd.* ὑπάγειν AS *cum Hipp. cod. A*: ὑπαγαγεῖν *Aldus ex Hipp.* 6 Πόματι δὲ χρῆσθαι ὀξυμέλιτι. ἀδιορίστως *Chartier, Kühn* καὶ συντέθειται ASV: *om. cett.* καίτοι διώρισται *om.* SV 7 τὰ *om.* MT 8 ἐπειδὴ δὲ M 9 αὐτοῦ R 10 δηλοῖ M 11 λυπαρῶ S ἐπιγίνεται M 12 φαρμακεύειν BCR: φαρμακείη AMV: φαρμακίη T: γρ. φαρμακεύειν T[1] *in mrg.*: φαρμακεῦσαι καὶ S ἔχει S 13 ἀλλ᾽ ἢ τεταρταῖον *del. Reinhold et Kühlewein* 14 μέμνηται] ἐμνημόνευσε AS 15 τε] γε BM δῆλον CR 16 γνώμην BCMR: τὴν γν. ASTV 17 μὴ *(alt.)* . . . καύσους *(19) om.* B 18 δὲ *om.* M 19 τοῦ καύσου R 20 ὡς εἶναι . . . φαρμακεύειν *om.* SV 21 ὡσαύτως *scripsi*: ὡς *codd.* πάντα τὰ C 22 τοιοῦτος CMR: τοῖος ABST 24 τε] περ BM 25 ἀναμείναντα ACRS: ἀναμείναντος MV: *comp* B ἤτοι] εἴτε M 26 εἴποι *codd.*: *correxi* ἢ] ἤτοι ASV ἑκατέρως BMT: ἑκάτερον AS: ἑκάτερον ὡς R

IV 35 [II 7. II 418, 13 L.] Ὁκόταν δὲ φαρμακεύϲηϲ, τοῖϲι 799 ῥοφήμαϲι χρῶ διαφυλάϲϲων τοὺϲ παροξυϲμοὺϲ τῶν πυρετῶν, ὅκωϲ μηδέποτε προϲοίϲειϲ ἐόντων μηδὲ μελλόντων ἔϲεϲθαι, ἀλλὰ ληγόντων ἢ παυϲαμένων καὶ ὡϲ πορρωτάτω ἀπὸ τῆϲ ἀρχῆϲ. ποδῶν δὲ ψυχρῶν ἐόντων μήτε ποτὸν μήτε ῥόφημα μήτε ἄλλο μηδὲν δίδου τοιόνδε, ἀλλὰ μέγιϲτον ἡγέου τοῦτ᾿ εἶναι διαφυλάϲϲεϲθαι, ἕωϲ ἂν διάθερμοι γένωνται ϲφόδρα, εἶθ᾿ οὕτωϲ τὸ ϲυμφέρον πρόϲφερε. ὡϲ γὰρ ἐπὶ τὸ πολὺ ϲημεῖόν ἐϲτι μέλλοντοϲ παροξύνεϲθαι τοῦ πυρετοῦ ψύξιϲ ποδῶν· εἰ δὲ ἐν τοιούτῳ καιρῷ προϲοίϲειϲ, ἅπαντα τὰ μέγιϲτα ἐξαμαρτήϲειϲ· τὸ γὰρ νόϲημα αὐξήϲειϲ οὐ ϲμικρῶϲ. ὁκόταν δὲ ὁ πυρετὸϲ λήγῃ, τοὐναντίον οἱ πόδεϲ θερμότεροι γίνονται τοῦ ἄλλου ϲώματοϲ· αὔξεται μὲν γὰρ ψύχων τοὺϲ πόδαϲ, ἐξαπτόμενοϲ ἐκ τοῦ θώρακοϲ, εἰϲ τὴν κεφαλὴν ἀναπέμπων τὴν φλόγα· ϲυνδεδραμηκότοϲ δὲ ἁλέοϲ τοῦ θερμοῦ ἅπαντοϲ ἄνω καὶ ἀναθυμιωμένου ἐϲ τὴν κεφαλήν, εἰκότωϲ οἱ πόδεϲ ψυχροὶ γίνονται, ἄϲαρκοι καὶ νευρώδεεϲ φύϲει ἐόν|τεϲ· ἔτι 800 δὲ πολὺ ἀπέχοντεϲ τῶν θερμοτάτων τόπων ψύχονται, ϲυναθροιζομένου τοῦ θερμοῦ ἐϲ τὸν θώρακα. καὶ πάλιν ἀνὰ λόγον λυομένου τοῦ πυρετοῦ καὶ κατακερματιζομένου ἐϲ τοὺϲ πόδαϲ καταβαίνει· κατὰ τόνδε οὖν τὸν χρόνον ἡ κεφαλὴ καὶ ὁ θώραξ κατέψυκται. τοῦ δ᾿ εἵνεκα τότε οὐ προϲαρτέον, ὅτι, ὁκόταν οἱ πόδεϲ ψυχροὶ ἔωϲιν, ἀνάγκη θερμὴν τὴν ἄνω κοιλίην εἶναι καὶ πολλῆϲ ἄϲηϲ μεϲτὴν καὶ ὑποχόνδριον ἐντεταμένον καὶ ῥιπταϲμὸν τοῦ ϲώματοϲ διὰ τὴν ἔνδον ταραχὴν καὶ μετεωριϲμὸν γνώμηϲ καὶ ἀλγήματα, καὶ ἕλκεται καὶ ἐμέειν ἐθέλει καί, ἢν πονηρὰ ἐμέῃ, ὀδυνῆται. θέρμηϲ δὲ καταβάϲηϲ ἐϲ τοὺϲ πόδαϲ καὶ οὔρου διελθόντοϲ καὶ ἢν μὴ ἱδρώϲῃ, πάντα λωφᾷ. κατὰ τόνδε οὖν τὸν καιρὸν δεῖ τὸ ῥόφημα διδόναι, τότε δὲ ὄλεθροϲ.

1 Ὁκόταν . . . ἀρχῆϲ *(5)*] *affert Ps.-Gal. XIX 216 K.* 5 ποδῶν . . . κατέψυκται *(22)*] *affert Ps.-Gal. XIX 213* ποδῶν δὲ ψυχρῶν ἐόντων] *cf. p. 161, 8.*

3 προϲοίϲειϲ BTV: προϲοίϲηϲ *cett.* 4 *post* παυϲαμένων *add.* παροξυϲμῶν *Ps.-Gal. l. l.* 5 *verba* ποδῶν δὲ . . . τότε δὲ ὄλεθροϲ *(30) exhibet* A, *sed post* εἰϲ τὴν κεφαλὴν δ᾿ ἀναπέμπειν τὴν φλόγα *(306, 7) transposita: om. cett. praeter* P^1, *qui ex codice Hippocrateo addidisse videtur* 6 ἡγέου *Kühlewein*: εἰ γε ὁ A: ἡγοῖο *Hipp. codd. plurimi et Ps.-Gal. l. l.* 7 διαφυλάϲϲεϲθαι *Hipp.*: διαφυλάϲϲων A διάθερμοι γένωνται A: διαθερμανθῇ P^1, *Ps.-Gal. l. l.* 8 ϲυμφέρον A: ξυμφ. P^1 τὸ *(alt.) add.* A^1 10 ἐν *om.* A 11 ϲμικρῶϲ A: μικρῶϲ P^1 14 εἰϲ τὴν κεφαλὴν *om.* A 15 ἅλεοϲ A: *correxi* ἅπαντοϲ] πάντωϲ A 17. 18 ἔτι δὲ A: ἔτι δὲ καὶ *Aldus* 19 ἐϲ A: εἰϲ *Aldus* ἀνάλογον A 22 κατέψυκται τουτέων. ἢ ἔκτοτε οὐ προϲιτέον A: *ad emendandum locum corruptum recepi codicis Hippocr. optimi lectionem* τοῦ δ᾿ εἵνεκα *et vulgatam* προϲαρτέον 23 θερμὴν ἀνάγκη *Hipp.* ἄνω A, *ut Ermerinsius coniecerat: om. Aldus* 26 μετριαϲμὸν A γνώμηϲ *om. Hipp. cod. A* καὶ ἕλκεται *Aldus*: *om.* A 27 ὀδυνᾶται *Hipp. cod. A* καταβάϲηϲ *Aldus*: μεταβάϲηϲ A 28 ἐϲ A: εἰϲ *Aldus* καὶ *(alt.) om.* A 29 οὖν *om.* A 30 *post* ὄλεθροϲ *in* A *sequitur lemma* Ὁκόϲοιϲι δὲ . . . μελικρήτω

Περὶ τοῦ κατὰ μέρος καιροῦ τῆς τροφῆς εἴρηται μὲν κἂν τῷ γνησίῳ μέρει τοῦ βιβλίου διὰ ταχέων, οὐδὲν δ' ἧττον καὶ νῦν λέγεται
801 διὰ μακροτέρων καὶ σαφεστέρων, ὥστ' | εἶναι τὸν λόγον τοῦτον ἐξήγησιν ἐκείνου, φυλαττομένης τῆς Ἱπποκράτους γνώμης, ἣν ἔν τε τοῖς ἄλλοις εἴρηκε καὶ ἐν τοῖς περὶ τοῦ τὸν πυρετὸν ἐκ μὲν τοῦ θώρακος ἐξάπτεσθαι, τουτέστιν ἐκ τῆς καρδίας, εἰς τὴν κεφαλὴν δ' ἀναπέμπειν τὴν φλόγα.

IV 36 [II 8. II 424, 7 L.] Ὁκόσοισι δὲ διὰ τέλεος ἡ κοιλίη ἐν τοῖσι πυρετοῖσιν ὑγρή, τουτέοισι διαφερόντως τοὺς πόδας θερμαίνων καὶ περιστέλλων κηρώμασι καὶ ταινιδίοισι περιελίσσων πρόσεχε, ὡς μὴ ἔσονται ψυχρότεροι τοῦ ἄλλου σώματος. θερμοῖσι δ' οὖσι θέρμασμα μηδὲν πρόσφερε, ἀλλὰ παρατήρει, ὅκως μὴ ψυχθήσονται. πόματι δὲ χρέεσθαι ὡς ἐλαχίστῳ ὕδατι ψυχρῷ ἢ μελικρήτῳ.

Τὸ διὰ τέλεος τῷ διὰ παντὸς τοῦ χρόνου ταὐτὸν σημαίνει. πολλῶν δ' οὐσῶν διαθέσεων, ἐφ' αἷς συμβαίνει δι' ὅλης τῆς νόσου τὰς κοιλίας ὑγρὰς εἶναι, καίπερ αὐτῶν μὴ δυναμένων μίαν ἔχειν θερα-
802 πείαν, ὡς δέδεικται πολλάκις, οὐ | μόνον οὐδὲν ἔστιν ἐκ τῆς ῥήσεως διδαχθῆναι χρηστόν, ἀλλὰ καὶ βλαβῆναι, πιστεύσαντα τὸν γεγραμμένον τρόπον τῆς θεραπείας ἐπὶ πολλῶν διαθέσεων ἁρμόττειν. ἵνα γὰρ τἆλλα παραλείπω, τῆς κοιλίας ὑγρᾶς εἶναι δυναμένης καὶ διὰ φλεγμονὴν τὴν κατὰ τὴν γαστέρα καὶ διὰ συντηκτικὸν πυρετόν, ἡ τοῦ ψυχροῦ πόσις ἐναντιωτάτη ἐστὶ τῇ φλεγμονῇ, συμφορωτάτη δὲ τοῖς συντηκτικοῖς πυρετοῖς, καθ' ὃν ἔμαθες καιρὸν γιγνομένη.

IV 37 [II 8. II 424, 14 L.] Ὁκόσοισι δὲ ἐν πυρετοῖς κοιλίη ὑγρὴ καὶ γνώμη τεταραγμένη, [καὶ] οἱ πολλοὶ τῶν τοιουτέων τὰς κροκύδας ἀφαιρέουσι καὶ τὰς ῥῖνας σκάλλουσι καὶ κατὰ βραχὺ μὲν ἀποκρίνονται τὸ ἐρωτώμενον, αὐτοὶ δὲ ἀφ' ἑωυτῶν οὐδὲν λέγουσι κατηρτημένον. δοκέει οὖν μοι τὰ τοιάδε με-

1 εἴρηται] *p. 155, 11 sqq. 159, 10 sqq. 161, 14 sqq. 176, 13 sqq.* 5 καὶ ἐν τοῖς] *cf. p. 165, 17 sqq.* 15 διὰ τέλεος] *cf. ad p. 213, 25 et Gal. XVII A 287* 18 δέδεικται πολλάκις] *p. 275, 7 sq. 285, 11 sq. et Gal. XVIII B 134. XVII A 322 sq.* 24 ἔμαθες] *supra p. 234, 22 sq.* 27 κροκύδας] *cf. Gal. XVIII B 75. Cels. II 6*

2 διὰ ταχέων ACRSTV: διαταχέως M: δ. βραχέων *a Basil. edd.* ἧττον δ' AST 5 τοῦ *(prius) om.* C τὸν *om.* R 8 δὲ *om.* S 9 τοῖς T 10 τενιδίοισι A: ταινιδίοις V: τενιδίοις *cett.* 11 ὡς *codd.*: ὅκως *ab Aldo edd.* 12 τήρει CR 13 ὅπως MS 14 μελικράτῳ MV 16 συμβαίνει] σημαίνει CR 17 ὑγρὰς . . . θεραπείαν *om.* R μίαν] μηδεμίαν M 19 πιστεύσαντας M 20 τὰ ἄλλα AST: τὰ ἄλλα πάντα BM 21 παραλίπω BS τὰς κοιλίας ὑγρὰς C κοιλίης MS 22 τὴν *om.* ACM 23 ἐν τοῖς A: *om.* S 24 ἐμάθομεν BM γιγνόμενον S 25 πυρετοῖς BCRTV: πυρετοῖσι AMS 26 ὑγρὰ CR καὶ *om. Hipp. cod. A: seclusi* 27 τὰς *(prius) om.* ABCT κροκύδας BMST: κροκίδας AC 29 οὐδὲν οὐδενὶ S ἀπηρτισμένον V τὰ τοιαῦτα T

λαγχολικὰ εἶναι. ἢν δὲ τοιῶνδε ἐόντων ἡ κοιλίη ὑγρὴ ᾖ καὶ
συντήκῃ, δοκέει μοι τὰ ῥοφήματα ψυχρότερα καὶ παχύτερα |
προςφέρειν καὶ τὰ πόματα σταλτικὰ καὶ οἰνωδέςτερα ἢ καὶ **803**
ςτυπτικώτερα.

Ἄλλα μέν εἰςι τὰ τῶν φρενιτικῶν ςυμπτώματα, τὸ δὲ τῆς ὑγρᾶς κοιλίας γίγνεται μέν ποτε καὶ μετὰ φρενίτιδος, οὐ μὴν ἴδιον ταύτης ἐςτίν, ὥςτε τὴν μὲν ὑγρὰν κοιλίαν ἐκ τῶν διοριςμῶν θεραπεύειν προςήκει, τὴν δὲ φρενῖτιν ἰδίᾳ θεραπείας ἑτέρας ἀξιοῦν. ἣν δ᾽ οὗτος ἔγραψε θεραπείαν οὐδ᾽ ὅλως ςτοχάζεται τῆς φρενίτιδος, ἀλλὰ μᾶλλόν μοι δοκεῖ βούλεςθαι θεραπεύειν τινὰ διάθεςιν ἐκ μὲν τοῦ κατὰ τὴν κοιλίαν ὁρμωμένην, εἰς ςυμπάθειαν δὲ τὴν κεφαλὴν ἐπιςπωμένην, ὡς παραληρεῖν ἐπὶ τῷ πάθει τῆς κοιλίας. οὐκ ὀρθῶς δ᾽ εἴρηται μελαγχολικὰ τὰ τοιαῦτ᾽ εἶναι· μᾶλλον γὰρ ὑπὸ τῆς ξανθῆς χολῆς τὰ τοιαῦτα γίνονται τῆς γαςτρὸς ἐπεχομένης.

IV 38 [II 8. II 426, 8 L.] Ὁκόςοιςι δὲ τῶν πυρετῶν δῖνοί τε
ἀπ᾽ ἀρχῆς καὶ ςφυγμοὶ | κεφαλῆς εἰςι καὶ οὖρον λεπτόν, του- **804**
τέοιςι δεῖ προςδέχεςθαι πρὸς τὰς κρίςιας παροξυνθηςόμενον
τὸν πυρετόν· οὐ θαυμάςαιμι δ᾽ ἂν οὐδ᾽ εἰ παραφρονήςειαν.

Ὅταν ἡ κεφαλὴ περιφέρεςθαι φαντάζηται, δῖνος ὀνομάζεται τὸ πάθος, ὅταν δὲ καὶ ςκοτώδης ἡ ὄψις ἅμα τῷδε φαίνηται, ʽςκοτόδινοςʼ καλεῖται καὶ γίνεται διὰ κίνηςιν ἄτακτον φυςώδους πνεύματος ἢ κατὰ τὴν κεφαλὴν ἔχοντος τοπικὴν γένεςιν ἢ κάτωθεν ἀναφερομένου. πᾶςαι δ᾽ αἱ τῶν τοιούτων πνευμάτων γενέςεις ταραχῆς εἰςι δηλωτικαί, δι᾽ ἃς καὶ κρίςεις γίνονται μετὰ ςυμπτωμάτων θορυβωδῶν. εἰδέναι γὰρ χρὴ τὰς τοιαύτας διαθέςεις μεταξύ πως οὔςας τῶν τ᾽ ἀκινδύνων καὶ τῶν ὀλεθρίων· ἐπιχειρεῖ μὲν γὰρ ἡ ἔμφυτος θερμαςία διαλύειν τε καὶ χεῖν τοὺς κατὰ τὸ ςῶμα χυμούς, λεπτύνειν δ᾽ ἀκριβῶς αὐτοὺς καὶ κατὰ τὴν ἄδηλον αἰςθήςει ⟨διαπνοὴν⟩ ἐκκρῖναι οὐ δύναται· τελέως δ᾽ ἀρρωςτή-

6 φρενίτιδος] *cf. Gal. XVI 541. 593 K.* 20 ςκοτόδινος] *cf. Gal. XVII B 677 et Ps.-Gal. XIX 417*

1 τοιῶνδε AMSTV: τοιᾶνδε B: τῶν τ. CR ὑγρὰ BCRT 2 ςυντήκου M 3 τὰ *ante* πόματα *om.* MS *post* πόματα *add.* τὰ *Reinhold* ςτατικὰ *Hipp. codd. plerique* καὶ *ante* οἰνωδ. *del. Kühlewein* ἢ *om.* C: *superscr.* C[1] 5 τὰ *om.* AM 6 κοιλίης ABS ταύτης] ταυτὸν M 7 ἐκ τῶν ἰδίων A: διοριςμῶν *add.* A[1] *in mrg.* 8 ἰδίας M 9 δοκεῖ μοι M 10 τὴν κοιλίαν CT: κοιλίαν R: τὴν κοιλίην AS: *compend.* BM ὁρμημένην M 11 εἰ ςυμπάθοι δὲ S 12 ἐπὶ] ἐν C κοιλίης AMS 15 ὁκόςοι M δεῖνοι B: δεινοὶ MV 16 οὖρα λεπτὰ *Hipp. codd. plures* 17 παροξυνθηςόμενον *codd.*: παροξυνόμενον *ab Aldo edd.* 18 θαυμάςει μοι M δ᾽ ἂν *om.* CR 19 δίνηςις BM 20 καὶ *om.* CMRV ςκοτόδεινος M 21 κατὰ *codd.*: μετὰ *Kühn* 23 αἱ *hab. omnes praeter* T 24 ςυμπτωμάτων ABMST: τῶν ςυμπτ. CRV 25 τοιαύτας *om.* S τ᾽ *om.* R 26 γὰρ *om.* M χύειν M: ἐγχεῖν S 27 τὸ *om.* A 27. 28 τὴν ἄδηλον ABMSV: τὸ ἀδ. CRT 28 αἰςθήςει CRT: αἴςθηςιν ABMSV διαπνοὴν *addidi coll. Gal. X 995. VI 67. XV 323 propter hiatum, quamquam* κατὰ τὸ ἄδηλον *solum eodem sensu legitur p. 208, 30 et XVI 368* διακρῖναι CR

ϲαϲα τὴν ἀρχὴν οὐδ᾽ ἐπιχειρεῖ τῇ λύϲει, καὶ κατὰ τοῦτο πνεῦμα φυ|-
805 ϲῶδεϲ οὐκ ἀρρωϲτούϲηϲ ἐϲχάτωϲ τῆϲ ἐμφύτου θερμαϲίαϲ γεννᾶται. τὸ μὲν οὖν ἀρρωϲτεῖν ἀκινδυνότατόν ἐϲτιν (ὑπερέχει γὰρ ἡ φύϲιϲ τοῦ νοϲήματοϲ), τὸ δ᾽ ἐϲχάτωϲ ἀρρωϲτεῖν ὀλέθριον· ὑπερέχεται γὰρ οὐ ϲμικρῶϲ· ὅταν δὲ μὴ ὑπερέχηται, τὰ εἰρημένα γίνεται ϲυμπτώματα καὶ μετὰ τὸ νοϲῆϲαι κρίϲειϲ ἀποτελοῦνται, τινὲϲ μὲν εἰϲ ὑγίειαν, τινὲϲ δ᾽ εἰϲ θάνατον. οἵ γε μὴν ϲφυγμοὶ κατὰ τὴν κεφαλὴν γινόμενοι, τουτέϲτιν αἱ τῶν ἀρτηριῶν αἰϲθηταὶ κινήϲειϲ, θερμαϲίαϲ εἰϲὶ πολλῆϲ ϲυμπτώματα, δι᾽ ἃϲ καὶ παραφροϲύναι γίγνονται πολλάκιϲ.

οὕτωϲ οὖν ἐχόντων ἐν τῷ καθόλου τῶν εἰρημένων, ὅταν ἀρξαμένου τινὸϲ ἀϲθενεῖν ὑπὸ μὲν τῆϲ τῶν οὔρων λεπτότητοϲ ἄπεπτον εἶναι δηλῶται τὸ νόϲημα, τὴν κεφαλὴν δ᾽ ἐμπεπλῆϲθαι πνεύματοϲ φυϲώδουϲ ϲημαίνωϲιν οἱ δῖνοι μετὰ τῶν ϲφυγμῶν, εἰδέναι χρὴ τὴν φύϲιν οὐχ ἡϲυχάϲουϲαν, ἀλλ᾽ ἐπιθηϲομένην ποτὲ τοῖϲ περιεχομένοιϲ ἐν τῷ ϲώματι μοχθηροῖϲ χυμοῖϲ, ὡϲ διακρῖναί τε τῶν χρηϲτῶν αὐτοὺϲ ἐκκρῖναί τε καθ᾽ ὀντινοῦν τρόπον ἢ εἰϲ ἄκυρον ἀποθέϲθαι μόριον.

ὁ τοίνυν εἰρημένοϲ λόγοϲ χρηϲιμώτατόϲ | ἐϲτιν εἰϲ πρόγνωϲιν τῶν
806 εἰρημένων. ἐνίοτε γὰρ ἀπὸ τῆϲ ἀρχῆϲ τοῦ νοϲήματοϲ οἱ μὲν πυρετοὶ μέτριοι γίνονται, ϲυμπτώματα δὲ τοιαῦτα κατὰ τὴν κεφαλήν ἐϲτι δι᾽ ἔγκαυϲιν ἢ ἀναθυμίαϲιν ἐκ τῶν κατὰ τὸ ϲῶμα τῆϲ κοιλίαϲ περιεχομένων χυμῶν. τὴν οὖν ἄλλωϲ ὁπωϲοῦν ἐχομένην αὐτῆϲ τῆϲ κεφαλῆϲ μόνηϲ θερμότητα [τῇ τοιαύτῃ διαθέϲει τῆϲ κεφαλῆϲ] λουτρὸν ὀνίνηϲι καὶ τὸ ῥόφημα δ᾽ ἀρκέϲει χυλὸν εἶναι τῆϲ πτιϲάνηϲ. ὅταν δ᾽ ἐκ τῆϲ τῶν χυμῶν μοχθηρίαϲ ἐπὶ τὴν κεφαλὴν ἀναφέρηται θερμὸν πνεῦμα φυϲῶδεϲ, οὐ λούειν ϲυμφέρει τούτουϲ. ἀϲφαλῶϲ δὲ προϲήκει ταῦτα πάντα πράττειν ἕκαϲτα. διοριϲμὸϲ δὲ τῶν διαθέϲεων εἷϲ μόνοϲ ἐϲτὶν ἐκ τῆϲ τῶν οὔρων ἀπεψίαϲ τε καὶ πέψεωϲ, ὧν ὀρθῶϲ ὁ ϲυγγραφεὺϲ ἐμνημόνευϲεν εἰπὼν οὖρον λεπτόν, ὅπερ εἴρηται πολλάκιϲ ἀπεψίαϲ εἶναι ϲημεῖον· ὥϲτ᾽ οὐδεὶϲ ἰατρὸϲ ἐν τοῖϲ τοιούτοιϲ νοϲήμαϲιν ἀμελεῖ τῆϲ τῶν οὔρων ἐπιϲκέψεωϲ.

11 οὔρων λεπτότητοϲ] *cf. Gal. IX 613. XVII A 550. XV 322* 28 εἴρηται πολλάκιϲ] *e. g. Gal. XVII A 536 sq. 550*

1 χύϲει S 2 ἔϲχατον B 3 εὐρρωϲτεῖν AMT: εὐρωϲτεῖν C 4 ὑπέρχεται S 5 ϲμικρόν R 6 ὑγίαν B 7 τὸν θάνατον S 8 αἰϲθητικαὶ CMRT *post* κινήϲειϲ *add.* ἀποτελοῦνται τῆϲ CR εἰϲὶ *om.* CR 10 μὲν οὖν A 11 ἀϲθενεῖν] ἀρρωϲτεῖν CR 12 δηλοῦται *codd.*: *correxi* δ᾽ *om.* S: δὲ κεφαλὴν *ab Aldo edd.* ἐκπεπλ. S 13 ϲημαίνουϲιν *codd.*: *correxi* τῶν *om.* AS 14 ἡϲυχάϲουϲαν AB: ἡϲυχάζουϲαν *cett.* 15 τε τῶν . . . ἐκκρῖναι *om.* M 16 μόριον] μόνον BM 17 γρ. μοχθηρότατοϲ B[1] *in mrg.* 20 ϲῶμα ARSV: ϲτόμα BCMT 21 χυμῶν *om.* M ἐχομένην ABMSV: ἐχομένηϲ CRT 22 τῇ τοιαύτῃ διαθέϲει τῆϲ κεφαλῆϲ *codd.*: *del. Cornarius* 23 χυλὸϲ *(compend.)* M: χυλὸν δ᾽ V: χυλὸν *cett.* 23. 24 τῆϲ μοχθ. τῶν χυμῶν M 25 ξυμφ. B τούτουϲ ABCM: τούτοιϲ *cett.* ϲυμφ. τούτ. *om.* T *(lacuna)* πάντα *om.* V 26 ἕκαϲτοϲ T τῆϲ *om.* S 27 τε *om.* S

IV 39 [II 8. II 426, 12 L.] Οἷcι δ᾽ ἐν ἀρχῇ τὰ οὖρα νεφελοειδέα ἢ καὶ παχέα, τοὺc | τοιούcδε ὑποκαθαίρειν, ἣν καὶ τἄλλα **807** cυμφέρῃ· ὁκόcοιcι δὲ ἐν ἀρχῇ τὰ οὖρα λεπτά, μὴ φαρμάκευε τοὺc τοιούcδε, ἀλλ᾽ ἢν δοκέῃ, κλύcαι· τούτουc cυμφέρει οὕτω θεραπεύεcθαι, —

Εἴτε cυνάπτει ταῦτα τοῖc κατὰ τὴν προκειμένην ῥῆcιν εἰρημένοιc εἴτε καὶ μή, τὸ ὅπερ ἐξ αὐτῶν χρήcιμον ἔχειν δύναταί τιc κοινόν, ὡc φυλάττεcθαι καθαίρειν τὰ cώματα παντελοῦc ἀπεψίαc οὔcηc ἐν τοῖc χυμοῖc, ἐδήλωcεν εἰπὼν οὖρα λεπτά, ὡc τό γε παχέα πέψεωc ἔχοιεν ἤδη τοῦτ᾽ αὐτὸ τὴν cύcταcιν καὶ τὸ νεφελοειδέα δὲ τὰ ⟨λευκὰc⟩ τὰc νεφέλαc ἔχοντα δηλοῖ· προcετίθει γὰρ ⟨ἂν⟩ μελαίναc, εἴπερ ἐκείναc ἀκούειν ἡμᾶc ἐβούλετο. πολλὰ γὰρ τῶν κοινῶν ὀνομάτων ἄνευ διοριcμῶν λέγειν εἰώθαcιν, ὅταν τὸ βέλτιον ἐν τοῖc cημαινομένοιc ὑπ᾽ αὐτῶν πράγμαcι δηλῶcαι βουληθῶcιν. οὕτωc οὖν, ὅταν εἰc cωτηρίαν τελευτῶcιν αἱ κρίcειc, λέγουcιν ἁπλῶc ʽἐκρίθη᾽, ἀποθανόντοc δὲ τοῦ κριθέντοc οὐχ ἁπλῶc, ἀλλ᾽ ὅλον τοῦτο λέγουcι ʽκριθεὶc ἀπέ|θανε᾽, καὶ χολὴν δ᾽ ὅταν τιc ἐκκριθῆναι ἁπλῶc εἴπῃ, τὴν ὠχράν, **808** οὐ τὴν μέλαιναν νοοῦμεν. οὕτωc οὖν καὶ νῦν ἀκουcτέον οὖρα νεφελοειδέα τὰ λευκὰc ἔχοντα τὰc νεφέλαc, αἵπερ εἰcὶ πέψεωc cημεῖα.

ἐπεὶ τοίνυν ʽπέπονα φαρμακεύει᾽, διὰ τοῦτο καὶ νῦν οὕτωc ἔγραψεν ὁ τούτου τοῦ βιβλίου cυγγραφεύc· ξυμφέρει τουτέοιc οὕτωc θεραπεύεcθαι. μηδὲν δ᾽ εἰπὼν οὗτοc περὶ φλεβοτομίαc τὰ κατὰ μέροc διεξέρχεται πάντα ἐφεξῆc, οὐχ ὡc οὐκ ἄν ποτε οὕτωc ἐχόντων ⟨ὡc⟩ μὴ δεῖcθαι φλεβοτομίαc, ἀλλ᾽ ὡc καὶ νῦν τὰ ἄλλα διδάξαι βουλόμενοc μόνα. περὶ γὰρ τῆc φλεβοτομίαc αὐτάρκωc ἐν τοῖc ἔμπροcθεν εἴρηται.

οὕτωc θεραπεύεcθαι, —

IV 40 [II 8. II 428, 4 L.] Τῷ cώματι ἡcυχίην ἄγοντα ἀλείφοντά τε καὶ περιcτέλλοντα ὁμαλῶc· ποτῷ δὲ χρέεcθαι μελι-

11 ⟨λευκὰc⟩ τὰc νεφέλαc] *cf. Gal. XVII B 154* 20 πέπονα φαρμακεύει] *cf. Hipp. Aphor. I 22 (IV 468 L.)* 25 ἐν τοῖc ἔμπροcθεν] *p. 286, 20 sqq.*

1 νεφελοειδῆ BM 2 ἢ *om. Hipp. cod. A*: ἢ M τοὺc τοιούτουc ABM 3 cυμφέρῃ *codd.*: ξυμφ. *Chartier* 4 τούτουc . . . θεραπεύεcθαι *om.* M cυμφέρει *codd.*: ξυμφ. *Chartier* 6 προειρημένην CM¹R: προκειμένην *cett.* 7 ἐξ] ἐcτιν B δύναιτ᾽ ἄν τιc εἶναι κ. CR κοινὸν *om.* T 8 καὶ τὰ CR παντελοῦc ASTV: παντελῶc BCMR 9 ὡc . . . cύcταcιν *(10) om.* T τό *scripsi*: τά *codd.* γε *om.* A 9.10 πέψεωc ἔχοιεν] πέψιν ἔχοντα *corr.* A¹: ἔχοιεν *inclusi*: πέψεωc ἔχοιεν cημεῖα κατ᾽ αὐτὴν τ. cύcταcιν *coniec. Cornarius* 11 λευκὰc *addidi; cf. v. 19* *ante* δηλοῖ *add.* δηλονότι BM: *om. cett.* προcετίθη C ἂν *addidi* μελαίναc C: μέλαναc *cett.* 12 κοινῶν *om.* V 13 ἐν *om.* T 14 ὑπ᾽ BCMRT: ἐπ᾽ AS πράγμαcι BMT: τοῖc πράγμαcι CR: τῶν πραγμάτων ASV 16 κριθεὶc CR: κρίcιc BMST: κρι///c A: αἱ κρίcειc V 17 δ᾽ *om.* BS 18 οὖν] μὲν B: *om.* AS 19 τὰc *om.* A 20 πέπονα ABMS: τὰ π. CRTV φαρμακεύειν M 21 ξυμφέρει *codd.*: cυμφ. *edd.* τοιουτέοιc BM: τουτέοιcιν CR: τουτέοιc *cett.* 22 δ᾽ *om.* ABMS 23 διεξέρχεται BM: διέρχεται *cett.* οὐκ *ante* ἄν *hab. omnes praeter* V ὡc *addidi* 26 οὕτωc θεραπεύεcθαι *sequenti lemmati tribuit* M, *antecedentibus adiungunt cett.* 27 τὰ cώματα A ἡcυχίαν RS ἄγονταc *Hipp. meliores codd.*

κρήτῳ ὕδαρεῖ καὶ ῥοφήματι χυλῷ πτιcάνηc ἐc ἑcπέραν· κοιλίην δ' ὕπαγε κατ' ἀρχὰc κλυcμῷ· φάρμακα δὲ μὴ πρόcαγε
809 τούτοιcιν· ἢν γάρ τι κινήcηc κατὰ κοιλίην, τὸ οὖρον οὐ | πεπαίνεται, ἀλλ' ἄνιδρόc τε καὶ ἄκριτοc ὁ πυρετὸc ἐπὶ πολὺν χρόνον ἔcται.

Καὶ τόνδε τὸν λόγον διεξέρχεται cκοπὸν ἔχων ἐν αὐτῷ τὴν μετὰ cυμμέτρου θάλψεωc ἡcυχίαν· χυλοῦ δὲ πτιcάνηc δίδωcιν ἀπ' ἀρχῆc, ὡc ἂν μὴ δυναμένων ἐξαρκέcαι μέχρι τῆc ἀκμῆc τε καὶ κρίcεωc ἐπὶ τῷ μελικράτῳ, ἐπειδὴ ἄπεπτοc μὲν ἡ νόcοc, οὐκ ἐγγὺc δ' οἱ πεπαcμοί· δίδωcι δὲ καὶ μελίκρατον ὑδαρέc, ἐπειδὴ τὸ ὕδωρ ἐδείχθη μηδὲν ἀγαθὸν ἔχειν αὐτὸ καθ' ἑαυτὸ μόνον. εἰc ἑcπέραν δ' ἀξιοῖ δίδοcθαι τὴν πτιcάνην ἤπερ τὸ μελίκρατον· προμεμαθηκότων δ' ἡμῶν ἔμπροcθεν ἐν τῷ γνηcίῳ μέρει τοῦ cυγγράμματοc, ὡc ὑcτέραν χρὴ τὴν πτιcάνην προcφέρεcθαι τοῦ μελικράτου, ἄμεινον ἦν καὶ νῦν οὕτωc εἰρῆcθαι, μελίκρατον μὲν πρῶτον, ὕcτερον δὲ χυλὸν πτιcάνηc προcφέρεcθαι· ὅταν δ' ἀντὶ τοῦ ὕcτερον φάναι τὸ ἐc ἑcπέραν εἴπῃ, μερικωτέραν τὴν διδαcκαλίαν ποιεῖται, οὐ καθολικωτέραν.

διὰ τί δὲ κελεύει μὴ καθαίρειν, ἐφ' ὧν ἀπεψία παντελήc ἐcτι, |
810 τὴν αἰτίαν αὐτὸc εἶπεν, ἐπιλογιcτικὴν μᾶλλον ἤπερ ἀναλογιcτικήν· ἔcτι γοῦν αὐτὴν εἰπεῖν καὶ τῷ χωρὶc ἐνδείξεωc λογικῆc ἐξ ἐμπειρίαc μόνηc τὸ γινόμενον ἐγνωκότι· δογματικοῦ δ' ἀνδρὸc ἦν διδάξαι, διὰ τί καθαιρόντων ἡμῶν τοὺc οὕτωc ἔχονταc οὔτε πεπαίνεται τὸ οὖρον, ἄνιδρόc τε καὶ ἄκριτοc ὁ πυρετὸc διαμένει. τελεώτερον μὲν οὖν ἐν ἑτέροιc περὶ τῶν τοιούτων ἁπάντων ἐπεcκέμμεθα, νυνὶ δ' ἐπὶ κεφαλαίων εἰρήcεται τὸ χρήcιμον εἰc τὰ παρόντα· cὺ δέ μοι πρόcεχε τὸν νοῦν.

τεττάρων δυνάμεων οὐcῶν, ὡc ἔμαθεc, οὐκ ἐλαχίcτην δ' ἐν αὐταῖc ἰcχὺν ἐχούcηc τῆc ἀλλοιωτικῆc, καθ' ἣν ἐξομοιοῖ τοῖc ὑφ' ἑαυτῆc διοικουμένοιc cώμαcι τὴν τροφὴν ἡ φύcιc, αὕτη πέψιc ὀνομάζεται, κατὰ ποιότητα μεταβολὴ τῆc μελλούcηc θρέψειν οὐcίαc οὖcα. δεῖται τοίνυν ἡ φύcιc, ὥcπερ, εἰc γαcτέρα καταποθείcηc τῆc τροφῆc, ἡcυχίαc μὲν

10 ἐδείχθη] *supra p. 252, 24 sqq.* 13 ἔμπροcθεν] *p. 242, 3 sqq.* 19 ἐπιλογιcτικὴν μᾶλλον ἤπερ ἀναλογιcτικήν] *cf. Gal. XVIII B 26* 23. 24 ἐν ἑτέροιc] *cf. Gal. XVII B 447 sqq.* 26 ἔμαθεc] *cf. Gal. De nat. facult. libb. III universe* 28 πέψιc] *cf. Gal. II 89. 155 sq.*

1 χυλοῦ S κοιλίηc M 3 τι] τοι S οὐ *om.* CR 4 ἄνιδρωc M 6 ἐν (*om.* B) τῷδε τῷ λόγῳ BCR 7 ἡcυχίην AS χυλῷ M δὲ *om.* CR 9 μελικρήτῳ ACRS ἐπειδὴ M: ἐπειδὰν *cett.* 10 μελίκρητον CRS 11 ἑαυτὸν A: αὐτὸ V 12 ἤπερ] μᾶλλον *supplendum est, ut* βούλομαι ἢ *pro* μᾶλλον β. ἢ *dici solet* μελίκρητον AS 14 μελικρήτου S 15 μελίκρητον AS 16 ὅτε δ' C ἐc BM: εἰc *cett.* 18 μὴ καθ. κελ. *colloc.* S 19 ἤπερ] ἢ AS 20 τῷ *om.* A μόνηc *om.* T 21 τὸ γινωcκόμενον M 22 ἄνιδρωc M 23 τε *om.* R τελειώτερον B μὲν *om.* S 24 τοιούτων M: τῶν τοιούτων *cett.* 25 τὰ χρήcιμα AS *post* νοῦν *add.* ὅρα καὶ θαύμαζε τὸν cοφὸν ἐξηγητήν S 26 τεccάρων ABMST δυνάμεων οὐcῶν ABCMR: οὐcῶν δ. V: δ' οὐcῶν δ. T: οὐcῶν *post* ἔμαθεc *transp.* S 27 τῆc MS: καὶ τῆc *cett.* ἑαυτῆc *codd.*: αὑτῆc *edd.* 29 μεταβολῆc MR 30 τῆc *om.* M

ἀπὸ τῶν ἄλλων κινήσεων, ἵνα τῇ περὶ τὴν πέψιν ἐνεργείᾳ μόνῃ σχολάσῃ, βοηθείας δέ τινος ἔξωθεν, ὅταν ἀσθενεστέρα γένηταί ποτε, κατὰ τὸν τοιόνδε τρόπον ἐπὶ τῆς ἐν ταῖς φλεψὶ πέψεως τῶν χυμῶν ἡσυχίας | μὲν [δεῖται] πρώτης, δευτέρας δὲ βοηθείας ἐκ τοῦ θερμανθῆναί τε καὶ 811 ψυχθῆναι καὶ ξηρανθῆναι καὶ ὑγρανθῆναι, κατ᾽ ἄλλον καὶ ἄλλον δηλονότι χρόνον ἑκάστου τῶνδε γινομένου.

κατὰ τοῦτ᾽ οὖν ὁ γράψας ταῦτα συνεβούλευσεν ἡσυχίαν ἄγοντα τῷ σώματι θεραπεύεσθαι τὸν ἄνθρωπον ἀλειφόμενόν τε καὶ περιστελλόμενον ὁμαλῶς τοῖς ἱματίοις· πρὸς γὰρ τὴν τοῦ πυρετοῦ δύναμιν ἀντίρροπον ἡγήσατ᾽ [ἂν] εἶναι τὴν ἐκ τῶν ἀλειμμάτων ὑγρότητα πρὸς τῷ μήτε θερμαίνειν ἰσχυρῶς μήτε ψύχειν, ἀλλὰ λεαίνειν, ὧν μάλιστα δεῖται τὰ πεττόμενα. καὶ εἴπερ ταῦτα συντελεῖ τῇ πέψει τῶν χυμῶν, αἱ καθάρσεις ἐναντίαι εἰσί· κινοῦσαι μὲν γὰρ σφοδρῶς τὸ σῶμα ῥήσσουσι· τοιαύτης γὰρ δυνάμεως ἅπαντ᾽ ἐστὶ τὰ καθαίροντα φάρμακα. αὕτη μὲν οὖν ἐστιν ἡ αἰτία τοῦ τὰς καθάρσεις ἐναντιοῦσθαι ταῖς πέψεσι. πρὸς δὲ τὸ συνεχὲς ἴωμεν ἤδη τοῦ λόγου τοῦδε.

IV 41 [II 8. II 430, 3 L.] Τὰ δὲ ῥοφήματα, ὁκόταν τῶν κρίσεων ἐγγὺς ᾖ, μὴ | δίδου, ἢν θορυβῆται, ὁκόταν δ᾽ ἀνῇ καὶ 812 ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον. φυλάσσεσθαι δὲ δεῖ καὶ πάντων τῶν πυρετῶν τὰς κρίσιας καὶ ἀφαιρέειν τὰ ῥοφήματα κατὰ τοῦτον τὸν καιρόν.

Φυλάττει κἀνταῦθα τὴν Ἱπποκράτους γνώμην ὁ τοῦ βιβλίου συγγραφεύς, ἐν ἀρχῇ μὲν ἐπὶ μελικράτου καὶ χυλοῦ πτισάνης διαιτῶν, ἐγγὺς δὲ τῶν κρίσεων ἀφελὼν τὸν χυλόν.

IV 42 [II 8. II 430, 7 L.] Μεμαθήκασι δὲ μακροὶ οἱ πυρετοὶ οἵδε γίνεσθαι καὶ ἀποστήματα ἴσχειν, ἢν μὲν τὰ κάτω ψυχρὰ ᾖ, περὶ ὦτα καὶ τράχηλον, ἢν δὲ μὴ ψυχρὰ ᾖ, ἄλλας ἴσχει

22 Ἱπποκράτους γνώμην] *cf. p. 257, 13*

2 τὸν *om.* M 4 δεῖται *inclusit Mewaldt* πρώτης ABM: πρὸ τῆς *cett.* δὲ AB: *om cett.* βοηθείας *scripsi*: βοηθείας θερμασίας A: θερμασίας BCRSTV: *om.* M τε καὶ *codd.*: καὶ *edd.* 4. 5 καὶ ψυχθῆναι καὶ ξηρανθῆναι *om.* M 5 ψυγῆναι AT καὶ *ante* ξηρ. *om.* CR ξηρ. τε καὶ CR 7 τοῦτο γοῦν B ἔχοντα CR 8 τῶν σωμάτων S: τὰ σώματα B 10 ἡγήσατ᾽ AMS: ἡγήσαιτ᾽ BCR ἂν *inclusi* 11 τῷ] τὸ AM μήτε *(alt.) scripsi*: μηδὲ *codd.* ἀλλ᾽ ἀλεαίνειν *Cornarius* 12 δεῖται *post* πεττόμενα *transp.* M 13 γὰρ *om.* M τὸ σῶμα σφοδρῶς *colloc.* S 14 καὶ ῥησσοῦσι *(sic)* M γὰρ] δὲ A 15 οὖν *om.* AS ταῖς *om.* V 19 ἐπιδίδωσιν S βέλτιστον CR δεῖ S *cum optimo Hipp. cod.*: *om.* A: χρὴ *cett.* πάντων τῶν] τῶν ἄλλων *Hipp. cod. A; cf. Littré not.* 23 μελικρήτου ARS: μελικράτῳ M χυλῷ M καὶ πτις. B 25 μεμαθήκαμεν B 26 οἵδε *om.* V: οἱ τοιοίδε *vel* οἱ τοιοῦτοι *Hipp. codd.* ἀποστήματα CS: ἀποσκήμματα ABMTV: ἀποσχήματα R 27 ἴσχει ABCMRST: ἰσχύειν PV: ἴσχειν *ab Aldo edd.*

μεταβολάς. ῥέει δὲ καὶ αἷμα ἐκ ῥινῶν καὶ κοιλίαι τοῖςι τοιουτέοιςιν ἐκταράςςονται. |

813 Οἷς ἐςτι λεπτὸν τὸ οὖρον διὰ τὴν ἀπεψίαν τῶν χυμῶν, εἰκότως μηκύνουςιν οἱ πυρετοὶ μὴ δυνάμενοι λυθῆναι πρὸ τῆς πέψεως. ὅτι δ᾽ ἀποςτήμαςιν οἱ τοιοῦτοι κρίνονται, πολλάκις ἤδη λέλεκται· ςπανιώτερον δέ που καὶ δι᾽ ἐκκρίςεως αἱ λύςεις αὐτῶν γίνονται· πότερον δ᾽ ἄνω τοῦ ςώματος ἢ κάτω τὸ ἀπόςτημα γενήςεται, τοῖς ἐν τῷ Προγνωςτικῷ γεγραμμένοις ὡμολόγηται τὰ νῦν εἰρημένα.

IV 43 [II 8. II 432, 4 L.] Ὁκόςοιςι δὲ πυρετοὶ ἀςώδεές εἰςι καὶ ὑποχόνδρια ςυντείνουςι καὶ κεκλιμένοι οὐκ ἀνέχονται ἐν τῷ αὐτέῳ καὶ τὰ ἄκρεα ψύχονται πάντα, πλείςτης ἐπιμελείης καὶ φυλακῆς δέονται. διάγειν δὲ τούτοιςι προςφέροντας μηδὲν ἄλλο ἢ ὀξύμελι ὑδαρές· ῥόφημα δὲ μὴ πρόςφερε, ἕως ἂν λήξῃ καὶ οὖρον πεπανθῇ.

814 Ἀςώδεις ὀνομάζει πυρετούς, ἐν οἷς οἱ κάμνοντες ἀςῶ|ται καὶ ἀηδῶς ἔχουςι· τὸ δὲ δυςφορεῖν ἑπόμενόν ἐςτιν ἐνίοτε μὲν τῷ μόνιμον εἶναι τὸν πυρετὸν καὶ καυςώδη, πολλάκις δὲ καὶ τῇ τοῦ ςτομάχου κακώςει· τὸ ςτόμα δὲ τῆς γαςτρὸς οὕτως ἄκουέ μου λέγοντος νῦν. ἤρξατο μὲν οὖν ἀπὸ τῶν πυρετῶν ἀςώδεις εἰπὼν αὐτοὺς ὑποχόνδριά τε ςυντείνοντας, ἐφεξῆς δ᾽ ἐπὶ τοὺς πυρέττοντας μετέβη· τὸ γὰρ κεκλιμένοι οὐκ ἀνέχονται ἐν τῷ αὐτῷ κατὰ τῶν πυρεττόντων εἴρηται, καθάπερ καὶ τὸ τὰ ἄκρεα ψύχονται. τὸ μὲν οὖν μὴ ἀνέχεςθαι κεκλιμένους ἐν τῷ αὐτῷ τῶν ἀςωμένων τε καὶ δυςφορούντων ἐςτὶ γνώριςμα, τὸ δὲ ψύχεςθαι τὰ ἄκρα φλεγμονῆς μεγάλης ἐν τοῖς ςπλάγχνοις ἐπὶ παχέςι χυμοῖς, ὡς ἔμπροςθεν ἐδείκνυον, ἡνίκα περὶ τοῦ δευτέρου τῶν καύςων εἴδους ὁ λόγος ἦν· καὶ εἴπερ ςφοδρὰ ἡ κατάψυξις εἴη, τεκμήριον ἤδη ςοι τοῦ καὶ τὴν δύναμιν εἶναι ἄρρωςτον ἰςχυρῶς.

εἰκότως οὖν ἔφη φυλακῆς πλείςτης καὶ ἐπιμελείας δεῖςθαι

3 λεπτὸν τὸ οὖρον] *cf. Hipp. Prognost. 12 (II 140, 11 L.)* 5 λέλεκται] *cf. ad p. 284, 19* 7 ἢ κάτω] *cf. Gal. XVIII B 260* Προγνωςτικῷ] *12. 18 (II 142. 158 sqq. L.); cf. Gal. XVIII B 209 sqq.* 22 τὰ ἄκρεα ψύχονται] *cf. p. 184, 19 sqq. et Gal. XVIII A 103. 124* 25 ἐδείκνυον] *p. 284, 1 sqq.*

1 καὶ αἷμα ACMRST: καὶ *om.* V τοιουτέοιςιν ABST: τουτέοιςιν MRV: κοιλίη τοιούτοιςιν ἐκταράςςεται *Hipp. cod. A* 3 Οἷςιν V 5 ἀποςτήμαςιν C¹: ἀποςκήμμαςιν *cett.* 6 δὲ δήπου M αὐτῶ S 9 ὁκόςοις MR δὲ *om.* B 11 ἄκρα M ἐπιμελίης T 12 δὲ] τε S προςφέροντα *Ermerins* 15 καυςώδεις πυρετοὺς ὀνομάζει CR 16 τῷ BTV: τὸ ACMRS 18 τὸ ςτόμα δὲ ABMST: τὸ δὲ ςτ. CR: ςτόμα δὲ V 19 οὖν *om.* V ἀπὸ τῶν πυρετῶν AST (τουτέςτιν ἀπὸ τῶν πυρετῶν T¹ *in mrg.*): ἀπ᾽ αὐτῶν τουτέςτιν ἀπὸ τῶν πυρετῶν BM: ἀπ᾽ αὐτῶν (*om.* πυρετῶν) CR: ἀπ᾽ αὐτῶν π. V 20 ἑξῆς M πυρέττοντας BCMRS: πυρετοὺς A 21 πυρετῶν A: πυρεττόντων A¹ 22 ἄκρα *codd.; at cf. v. 11* μὴ *om.* C 23 ἀςωμένων *scripsi (coll. Gal. XVII A 158)*: ἀςώντων MS: ἀςούντων ABT 26 περὶ] ἐπὶ S 27 τὴν *om.* CR

τοὺς κάμνοντας οὕτω, εἰκότως δὲ καὶ ὀξύμελι δίδωσιν αὐτοῖς ὑπὸ παχέων καὶ γλίσχρων χυμῶν ἐνοχλουμένοις· προσέθηκε δὲ τῷ λόγῳ ὑδαρές, ὡς | 815 πρὸς τὸ διδόμενον οἷς ἐν πνεύμονι τοιοῦτοι περιέχονται χυμοί· πολὺ γὰρ ὀξύτερον ἐπ' ἐκείνων εἶναι προσῆκεν, ἐπεὶ διὰ τὸ μῆκος τῆς κατὰ τὴν ἀνάδοσιν φορᾶς ἐπὶ τὸ πεπονθὸς μέρος ἀναγκαῖόν ἐστιν ἐκλυθῆναι τὴν δύναμιν· τοῖς δὲ καθ' ὑποχόνδριον εὐθέως προσπίπτει τοιοῦτον οἷον ἐπόθη. τὸ δὲ μηδ' ὅλως διδόναι ῥόφημα τοῖς οὕτως ἔχουσι, πρὶν πεπανθῆναι τὴν νόσον, ἀδιορίστως εἴρηται· φυλαττόντων γε ἡμῶν ὃ ἐδίδαξεν ὁ Ἱπποκράτης προσκεῖσθαι χρὴ τῷ λόγῳ, "ἣν ἀρκέῃ ὁ νοσέων", ὅπερ ὡς φανερὸν ἴσως παρέλιπεν.

IV 44 [II 8. II 434, 1 L.] Κατακλίνειν δὲ εἰς ζοφερὰ οἰκήματα καὶ κατακεκλίσθαι ὡς ἐπὶ μαλθακωτάτοισι στρώμασι πολὺν χρόνον ἐπὶ τὰ αὐτὰ καρτερέοντα καὶ ὡς ἥκιστα ῥιπτάζειν· μάλιστα γὰρ τοῦτο τοὺς τοιούτους ὠφελέει.

Τὴν ἐν ζοφεροῖς οἰκήμασι κατάκλισιν οὐχ ὡς πεπαν|816 τικὸν βοήθημα συνεβούλευσε νῦν, ἀλλ' ὡς τῆς διὰ τὴν ἄσην γινομένης δυσφορίας ἐπανορθωτικόν, ἧς ἕνεκα καὶ τῆς μαλθακῆς στρωμνῆς ἐμνημόνευσε. τὸ δὲ μὴ πειρᾶσθαι ῥιπτάζειν ἑαυτόν, ἀλλ' ἡσυχάζειν ἑκατέρως χρήσιμον τῷ κάμνοντι, καὶ ὡς τῇ πέψει τῆς ὅλης νόσου συντελοῦν καὶ ὡς διαφυλάττον τὴν δύναμιν.

IV 45 [II 8 II 434, 5 L.] Ἐπὶ δὲ τὸ ὑποχόνδριον λίνου σπέρμα ἐγχρίων ἐπιτίθει φυλασσόμενος, ὅκως μὴ φρίξῃ προστιθέμενον· ἔστω δὲ ἀκροχλίαρον ἑφθὸν ὕδατι καὶ ἐλαίῳ.

Μαλακτικόν ἐστι τὸ λινόσπερμα καὶ μὴ θερμαῖνον ἐπιφανῶς, ὧν μάλιστα δεῖται φλεγμονὴ πᾶσα. καὶ μέντοι καὶ κατὰ τὴν θίξιν αὐτὸ παρασκευάζει τοιοῦτον, ὁποῖον κατὰ τὴν δύναμίν ἐστιν, ἀκροχλίαρον ἀξιῶν προσφέρειν. καὶ ἡ μίξις δὲ τοῦ ἐλαίου καὶ τοῦ ὕδατος χλιαρᾶς θερμασίας ἐστὶ γεννητικὴ μετὰ τοῦ μαλάττειν τε καὶ παρη|817 γορεῖν

10 ἣν . . . νοσέων] *Hipp. Aphor. I 23 (IV 470 L.); cf. Gal. XVII B 443 K.*
21 λίνου σπέρμα] *cf. Gal. XI 563*

2 καὶ γλ. ABCMST: τε καὶ γλ. RV 5 τὴν *om.* C 6 τὴν *om.* CR 7 ἐπόθει M 9 ἔδειξεν R ὁ *ante* Ἱππ. *om.* M προσκεῖσθαι ACRT: προσχρῆσθαι S: προχρῆσθαι BM χρὴ ABMS: δεῖ TV: *om.* CR 10 ἀρκέσῃ S: ἐξαρκέῃ *vel* ἐξαρκέσῃ *Hipp. codd.* νοσῶν BM παρέλιπεν ABT: παρέλειψεν M: παραλέλοιπεν S: παρέλειπται CR 12 ὡς MV: *om. cett.* μαλθακωτάτοις στρ. ACSTV: μαλθακωτάτων στρωμάτων M: μαλθακωτάτω στρώματι B 13 καταρρέοντα M 14 γὰρ] γε C τοιούτους V *et plerique Hipp. codd.*: τοιούσδε *cett.* 16 τῆς *om.* M 18 πειρᾶσθαι *post* ῥιπτάζειν *transp.* M, *ante* μὴ *cett.*: *ordinem restitui* 21 λινόσπερμα *ex* λίνου σπ. A[1] 22 ὅπως AV φρύξῃ T προστιθέμενος ASV, *Cornarius* 23 ἐν ὕδατι *Hipp. cod. A* 24 λινόσπερμα ABCMRT: λινόσπερμον SV μὴ θερμὸν M 25 δεῖται μάλιστα M καὶ μέντοι καὶ ACMT: καὶ μέντοι RSV: κ. μέντι B 26 ὁποῖον MV: ὁποῖον καὶ V[1] *cum cett.* 28 θερμασίας] ἐργασίας B ἐστὶ *om.* M γεννητικὸν MS

μετρίως, ὑπάρχον δυνάμεως ὁποίας μάλιστα ἐδείχθη δεῖν εἶναι τὰ πέττοντά τε καὶ τὰ διαφοροῦντα.

IV 46 [II 8. II 434, 8 L.] Τεκμαίρεσθαι δὲ ἐκ τῶν οὔρων τὸ μέλλον ἔσεσθαι· ἢν μὲν γὰρ παχύτερα καὶ ὠχρότερα ᾖ, βελτίω, ἢν δὲ λεπτότερα καὶ μελάντερα, πονηρότερα.

Οὐ πᾶν τὸ μέλλον ἔσεσθαι διδάσκει ἐκ τῶν οὔρων, ἀλλὰ σωτηρίαν ἢ θάνατον· σωτηρίαν μὲν γὰρ δηλοῖ τὰ παχύτερα καὶ ὠχρότερα. σαφῶς δὲ τὰ παχύτερα τοῖς λεπτοῖς παραβάλλων εἶπεν, οὐ τοῖς κατὰ φύσιν, ὡς καὶ μικρὸν ἔμπροσθεν ἠξίουν ἀκούειν· οὔτε γὰρ ἂν παχέα λέγοις ἑρμηνεύειν ὀρθῶς ἐθέλων οὔτε λεπτὰ τὰ κατὰ φύσιν οὖρα. τά γε μὴν λεπτὰ καὶ μέλανα χείριστα· πρὸς γὰρ τῶν λεπτῶν μόνων γινομένων ἄπεπτον δηλοῦται τὸ νόσημα· τὸ γὰρ ἀκριβῶς λεπτὸν
818 ὑδατῶδές ἐστιν, ὥστε καὶ λευκόν. αἱ δὲ τῶν | οὔρων προγνώσεις ἐν τοῖς Εἰς τὸ Προγνωστικὸν ὑπομνήμασιν εἴρηνται.

IV 47 [II 8. II 434, 10 L.] Ἢν δὲ μεταβολὰς ἔχῃ, χρόνον τε σημαίνει, καὶ ἀνάγκη τῷ νοσέοντι μεταβάλλειν καὶ ἐπὶ τὰ χείρω καὶ ἐπὶ τὰ βελτίω τὴν ἀνωμαλίην.

Καὶ τοῦτο γὰρ φυλάττων ἐπὶ τῶν νοσούντων εὑρήσεις ἀληθῶς εἰς χρόνον πλείονα καὶ μεταβολὰς μεταξὺ γινομένας ἐμπίπτοντα τὸν ἄνθρωπον ἐπὶ τοῖς ποικίλοις οὔροις· πλείους γὰρ αἱ διαθέσεις δηλοῦνται, αἳ μὴ τῆς αὐτῆς θεραπείας δεόμεναι οὐδὲ τὴν ἴσην ἔχουσι προθεσμίαν τῆς λύσεως.

IV 48 [II 8. II 434, 12 L.] Τοὺς δὲ ἀκαταστάτους τῶν πυ-
819 ρετῶν ἐᾶν, μέχρις ἂν | στῶσιν· ὁκόταν δὲ στῶσιν, ἀπαντῆσαι διαίτῃ καὶ θεραπείῃ τῇ προσηκούσῃ, κατὰ φύσιν θεωρέων.

Ἀκαταστάτους πυρετοὺς εἴρηκεν ἐφ᾽ ὧν μηδέν ἐστι καθεστηκός, ὅπερ σημαίνει τὸ βέβαιον· ἔστι δὲ βέβαια τὰ ἐν ταῖς περιόδοις φαινό-

9 μικρὸν ἔμπροσθεν] *p. 309, 9 sq. vel 312, 3 spectare videtur* 13. 14 ἐν τοῖς Εἰς τὸ Προγνωστικὸν ὑπομνήμασιν] *Gal. XVIII B 146 sqq.* 23 Τοὺς . . . θεραπείῃ *(25)*] *affert Gal. XIX 196*

1 τὰ *add.* A^{1} 2 τε *om.* R τὰ *om.* AS διαφορήματα CR 4 γὰρ *om.* S παχύτερον S: *corr.* S^{1} ὠχρότερον S: *corr.* S^{1} 5 δὲ *om.* S λεπτότερον AM μελάντερον AM πονηρότερον AM 8 εἶπεν *om.* V 9 καὶ *om.* C 10 ἂν *om.* A 12 μόνον S: μόνων *cett.* 13 καὶ *ante* ὑδατῶδες *add.* ABCT καὶ *om.* M λευκόν] λεπτόν M 14 εἴρηται C 16 τῷ νοσέοντι A^{1}S: γρ. τὸν νοσέοντα S^{1}: τῷ νοσήματι ABCMR: τὰ νοσήματα T 17 ἀνωμαλίαν T 18 ἀληθῶς AMS: ἀληθὲς BCRT 19 μεταξὺ μεταβολὰς CR γενομένας B 20 πικροκοίλοις M 21 αἳ ACMS: αἱ B: ἡ R 23 δ᾽ ἀτάκτους M 24 στῶσιν *codd.*: καταστῶσιν *a Charterio edd.* *post* ἀπαντῆσαι *add.* δεῖ S 25 θεωρέων κατὰ φύσιν *colloc.* M 27 βέβαιον τὰ T

μενα καὶ τοῖϲ οὔροιϲ, ἔτι δὲ καὶ ταῖϲ ἠκριβωμέναιϲ ἰδέαιϲ τῶν πυρετῶν. αἱ μὲν οὖν περίοδοι τὴν ἀρχὴν οὐδὲ φαίνονται ταῖϲ πρώταιϲ ἡμέραιϲ· τὰ δ' ⟨οὖρα⟩ ἐπιγίνεται ἄλλοτε ἄλλα καὶ πολλάκιϲ τρὶϲ καὶ τετράκιϲ οὐρεῖν διά τε τῆϲ ἡμέραϲ καὶ τῆϲ νυκτὸϲ ϲυμβαίνει· καὶ ἀνόμοια φαίνεται τὰ οὖρα πρὸϲ ἄλληλα. τὴν τοίνυν ἰδέαν τοῦ τοιούτου πυρετοῦ ἀκατάϲτατον εἶναί φηϲιν, ὅπερ ταὐτὸν ϲημαίνει τῷ μὴ διαϲῴζοντι ἰδέαν μίαν ἀκριβῶϲ. ἐδήλωϲα δέ ϲοι τὰϲ ἀκριβεῖϲ ἰδέαϲ τῶν πυρετῶν ἔν τε τοῖϲ Περὶ διαφορᾶϲ αὐτῶν ὑπομνήμαϲι κἀν τῷ δευτέρῳ Περὶ κρίϲεων. ἐπὶ τῶν τοιούτων οὖν πυρετῶν ἀξιοῖ μὴ κατ' ἀρχὰϲ τῇ διαίτῃ χρῆϲθαι, ἀλλ' ἐᾶν, ἕωϲ ἂν ἴδωμεν, ποῖοί τινέϲ εἰϲι, καὶ τηνικαῦτα τὸ τῆϲ διαίτηϲ εἶδοϲ ὁρίζειν. |

IV 49 [II 9. II 434, 16 L.] Εἰϲὶ δὲ ὄψιεϲ πολλαὶ τῶν καμνόντων. **820**

Ὄψιαϲ εἴρηκεν ὡϲανεὶ διαφορὰϲ ἢ τρόπουϲ ἢ ἰδέαϲ, τῶν καμνόντων δὲ ἀντὶ τοῦ τῶν τοῖϲ κάμνουϲι γινομένων νοϲημάτων. ἐδείχθη γὰρ ἤδη πολλάκιϲ, ὡϲ ἅπαϲι τοῖϲ παλαιοῖϲ ἔθοϲ ἐϲτὶν ἀπό τε τῶν παθημάτων ἐπὶ τοὺϲ πάϲχονταϲ αὐτοὺϲ μεταφέρειν τὰϲ προϲηγορίαϲ ἀπό τε τῶν παϲχόντων ἐπὶ τὰ πάθη, ὡϲ μηδὲν διαφέρον τῶν πυρετῶν εἰπεῖν διαφορὰϲ ἢ τῶν πυρεττόντων, οὕτωϲ δὲ καὶ πλευριτικῶν ἢ ϲυναγχικῶν ἢ πλευρίτιδοϲ ἢ ϲυνάγχηϲ. ὄψιαϲ οὖν εἶπε τῶν καμνόντων, ἐπειδὴ τοῖϲ ὀφθαλμοῖϲ αὐτοὺϲ θεωροῦντεϲ εὑρίϲκομεν τὰϲ διαφοράϲ.

IV 50 [II 9. II 434, 16 L.] Διὸ προϲεκτέον τῷ ἰωμένῳ, ὅκωϲ μὴ διαλήϲεταί τιϲ τῶν προφάϲεων | —

Ἐμάθομεν, ὅτι τὰϲ φανερὰϲ αἰτίαϲ ὀνομάζει προφάϲειϲ· ἀλλὰ **821**
καὶ νῦν εὔδηλόϲ ἐϲτιν ἐπὶ τούτων φέρων τὴν προϲηγορίαν· ἐπιφέρει γοῦν·

8 ἐν τοῖϲ Περὶ διαφορᾶϲ αὐτῶν ὑπομνήμαϲι] *Gal. VII 273 sqq. K.* κἀν τῷ δευτέρῳ Περὶ κρίϲεων] *Gal. IX 646—701* 15. 16 ἐδείχθη πολλάκιϲ] *e. g. Gal. XVI 583* 25 Ἐμάθομεν] *p. 151, 19; cf. Gal. XVIII B 214. 498. 603. XVII A 52*

1 ἰδέαιϲ *om.* V 2 ἀρχὴν] λύϲιν M 3 οὖρα *add. Cornarius*: *om. codd.* 4 τε *Schoene*: γε *codd.* 6 ἥπερ ABMT ϲημαίνει *omnes praeter* V, *qui hab.* ἐϲτι ϲημαίνειν 7 ἰδέαν] τὴν ἰδέαν R ἐδήλωϲε S διαίταϲ R: γρ. ἰδέαϲ R¹ *in mrg.* 8 τε *om.* CR διαφορᾶϲ] φύϲεωϲ C 10 ἂν *om.* B 12 Εἰϲὶ] τιϲὶ R 14 ὄψειϲ S 15 τοῦ τῶν] τούτων MST 17 τ' αὐτοὺϲ T τὰϲ προϲηγορίαϲ . . . διαφέρον *(18) om.* CR 18 διαφέρον *scripsi*: διαφέρειν *codd.* 19 δὲ *om.* T 20 καὶ ϲυνάγχηϲ ACMT τῶν CMR: *om. cett.* 23 ὅπωϲ C 24 διαλήϲεται BRT: διαλήϲηται AC: διαλύϲεται MS: διαλήϲει τι *Reinhold* 26 τούτων *scripsi*: τούτω CR: τούτοιϲ S: τούτ/// *(ras.)* A: τούτου MRT

IV 51 [II 9. II 436, 1 L.] Μήτε τῶν κατὰ λογισμὸν ὅσα τε ἐς ἀριθμὸν ἄρτιον ἢ περισσὸν δεῖ φανῆναι.

Ὡς τῶν αἰτιῶν τὰς μὲν φανερὰς ἁπάντων γινωσκόντων ἄνευ τεχνικοῦ λογισμοῦ, τὰς δὲ μόνων τῶν χρωμένων τῷ τεχνικῷ λογισμῷ· προσέχειν δὲ δεῖ, φησί, κἀκείναις, ἃς εἰς ⟨ἀριθμὸν⟩ ἄρτιον ἢ περιττὸν φανῆναι δεῖ.

IV 52 [II 9. II 436, 3 L.] Μάλιστα μὲν οὖν δεῖ τὸν περισσὸν ἀριθμὸν εὐλαβεῖσθαι, ὡς αἵδε αἱ ἡμέραι ἑτερορρεπέας ποιοῦσι τοὺς κάμνοντας. |

822 Οὐχ ἁπλῶς ἀκουστέον ἐστίν, ἀλλ' ἐπὶ τῶν ὀξέων νοσημάτων μέγα δύνασθαι τὰς περιττὰς ἡμέρας, ὡς μεταβολὰς ἑκατέρως ἀξιολόγους ἐμποιούσας εἰς ὑγίειάν τε καὶ θάνατον· τοῦτο γὰρ σημαίνει τὸ ἑτερορρεπέας. ἐπὶ μὲν τῶν ὀξέων ἡ τρίτη καὶ πέμπτη καὶ ἑβδόμη καὶ ἐνάτη καὶ ἑνδεκαιδεκάτη καὶ τεσσαρεσκαιδεκάτη καὶ ἑπτακαιδεκάτη, ἐπὶ δὲ τῶν χρονίων ἑξηκοστὴ καὶ ὀγδοηκοστή· μέσαι δ' αὐτῶν εἰσιν εἰκοστὴ καὶ τριακοστὴ καὶ τετάρτη καὶ τεσσαρακοστή, περιτταὶ δὲ καὶ αὗται.

IV 53 [II 9. II 436, 5 L.] Φυλάσσεσθαι οὖν δεῖ τὴν πρώτην ἡμέραν, ᾗ ἤρκται ἀσθενέειν ὁ κάμνων, ἰδόντα τὴν ἀρχὴν ἐξ ὅτου καὶ ὅτι· ἡγέεται γὰρ τοῦτο πρῶτον εἰδῆσαι. ὁκόταν δὲ ἔρῃ αὐτὸν καὶ διασκέψῃ πάντα, πρῶτον μὲν κεφαλὴν ὅπως ἔχει, εἰ ἀνάλγητος καὶ μὴ βάρος ἔχει ἐν ἑωυτῇ, ἔπειτα ὑποχόνδρια καὶ τὰ πλευρά, εἰ ἀνάλγητα· ὑποχόνδριον μὲν γάρ, ἢν ἐπίπονον ᾖ ἢ ἐπηρμένον ἢ ἔχῃ τινὰ σκολιότητα ἢ κόρον ἢ πλευροῦ ἀλγηδὼν ἐνῇ καὶ ἅμα τῷ ἀλγήματι ἢ βηχίον ἢ στρό-
823 φος ἢ πόνος κοιλίης. ὁκόταν | δέ τι τούτων παρῇ, ἐν ὑπο-

11 τὰς περιττὰς ἡμέρας] *cf. Gal. IX 921sqq.* 13 τρίτη κτλ.] *cf. Gal. IX 871*

1 τῶν AS: τὸν MT: τὸ CR: *om.* B λογισμὸν BMSV: λογισμῶν A: τῶν λογισμῶν CR ὅσα τε CR: *om.* T: μήτε τὰ ὅσα τε AS: μήτε ὁκόσαι *Aldus*: μ. ὁκόσας *Chartier*: ὅσα τε . . . φανῆναι *(2) om.* BMV: *add. in mrg.* B¹ 2 ἐς B¹CRT: εἰς AS περιττὸν AS διαφανῆναι S: δεῖ φ. *corr.* S¹ 3 ὡς] τὸ CR φανερῶς ACMRS 4 μόνον M 5 δὲ *om.* S φασί M εἰς A: ἐς *cett.* ἀριθμὸν *addidi* 7 περισσὸν *Aldus*: περιττὸν *codd.* 8 εὐλαβεῖσθαι *codd.*: εὐλαβέεσθαι *Aldus* αἵδε *codd.*: αὗται *Aldus* αἱ *om.* S ποιεῖσθαι CR 11 περιττὰς CMR: περισσὰς *cett.* ἑκατέρας ἀξ. S: ἀξιολόγους ἑκατέρας M ἐμποιούσας M: ἐμποιουσῶν *cett.* 12 ἐς ABTV ὑγείαν A: ὑγίαν B 13 ἡ *ante* πέμπτη *add.* BS: *om. cett.* 16 καὶ *ante* τριακοστὴ *om.* M καὶ *(alt.) om.* A 17 φυλάσσεσθαι ACMT: φυλαττ. BRS 18 ᾗ ABCMSTV: ἐν ᾗ R ἐνδόντα S 19 ὅτι B: ὅτε *cett. cum multis Hipp. codd.*: διότι *Hipp. cod. A* γὰρ *om.* B τοῦτο *post* εἰδῆσαι *transp.* S πρῶτον ABCMT: τὸ πρῶτον RV 20 μὲν *om.* V 20. 21 πρῶτον ὅπως ἔχει κατὰ τὴν κεφαλὴν M 22 τὰ *om. Hipp. cod. A* 23 ἢν *codd.*: εἰ *a Basil. edd.* ᾖ *scripsi*: ἐστιν *codd.* ἐπειγόμενον M ἔχῃ *scripsi*: ἔχει *codd.* 24 ἐνῇ *scripsi*: ᾖ A: ἐνίη B: ἐνείη *cett.*

χονδρίῳ μάλιστα, λύειν τὴν κοιλίην κλυσμοῖσι· πινέτω δὲ μελίκρητον θερμὸν ἀφηψημένον. καταμανθάνειν δὲ καὶ ἐν τῇσιν ἐξαναστάσεσιν εἰ λειποθυμέει καὶ εἰ τοῦ πνεύματος εὐφορίη αὐτὸν ἔχει, ἰδεῖν δὲ διαχώρησιν, μή τι μέλαν ἰσχυρῶς διεχώρησε χρῶμα ἢ καθαρόν, ὁκοῖα ὑγιαίνοντος ἂν εἴη διαχωρήματα, καὶ ὁ πυρετὸς εἰς τὴν τρίτην ἐπιπαροξυνόμενος. κατιδὼν δὲ εὖ μάλα τοὺς τοιούσδε ἐν ταύτῃσι τῇσι νούσοισι τριταίους, πρὸς ταῦτα ἤδη καὶ τἆλλα συνορῇν· καὶ ἢν ἡ τετάρτη τῇ τρίτῃ ἡμέρῃ ὅμοιον ἔχῃ τι τῶν αὐτῶν τούτων, κινδυνώδης ὁ κάμνων γίνεται. τὰ δὲ σημεῖα· ἡ μὲν μέλαινα διαχώρησις θάνατον σημαίνει, ἡ δὲ ὁμοίη τῷ ὑγιαίνοντι, ὁκόταν ἀνὰ πάσας τὰς ἡμέρας φαίνηται, σωτήριον.

Φυλάττεσθαί φησι χρῆναι πρῶτον μὲν τὴν πρώτην | ἡμέραν, 824 ἐν ᾗ γνῶναι κελεύει τὴν αἰτίαν τοῦ νοσήματος· τὸ γὰρ ἐξ ὅτου καὶ ὅτι τὸ τί ποτ᾿ ἐστὶ τὸ νόσημα δηλοῖ. πυνθάνεσθαι δὲ κελεύει πρῶτον μὲν τὴν κεφαλὴν ὅπως ἔχει, ἔπειτα ὑποχόνδρια καὶ πλευράς, ὑποχόνδριον μέν, εἴ τίς ἐστιν ὀδύνη ἢ ἐξήρτηται ἤ τινα ἔχει σκολιότητα, τουτέστιν ἀνωμαλίαν (ὅπερ ἐν τῷ Προγνωστικῷ κατὰ τήνδε τὴν λέξιν ἔγραψεν· "εἰ ἀνωμάλως διακείμενον τὰ δεξιὰ καὶ τὰ ἀριστερά"), ἢ εἰ κόρον ἔχει, φησί· τοῦτο δέ μοι δοκεῖ τὴν πλήρωσιν τῶν σιτίων δηλοῦν. ἐρωτᾶν δ᾿ ἀξιοῖ καὶ τἆλλα περὶ τὴν ἑξῆς λέξιν. κἄπειτα κελεύει τῶν μὲν ὑποχονδρίων πεπονθότων λύειν τὴν κοιλίαν κλυσμοῖς, πίνειν δὲ μελίκρατον θερμὸν ἀφηψημένον.

ἀδιορίστως δὲ ταῦτ᾿ εἰπὼν ἐφεξῆς γράφει· καταμανθάνειν δὲ χρὴ καὶ τὰ ἐν ταῖς ἐξαναστάσεσιν, εἰ λειποθυμεῖ καὶ εἰ τοῦ πνεύματος, φησίν, εὐφορίη αὐτὸν ἔχει· τοῦτο δ᾿ ἀντίκειται τῷ λειποθυμοῦντι. ὁρᾶν δ᾿ ἀξιοῖ καὶ τὸ διαχώρημα, πότερον μέλαν ἐστὶν ἢ καθαρὸν καὶ ἄμεμπτον, ὁποῖον τῶν ὑγιαινόντων, ὥσπερ καὶ εἰ ὁ πυρετὸς εἰς τὴν τρίτην ἡμέραν ἐπιπαροξύ|νεται. 825 τούτων οὕτως ἐχόντων ἐὰν ἡ τετάρτη τῇ τρίτῃ παραπλήσιον ἔχῃ τι κατὰ

18 Προγνωστικῷ] *7 (II 126 L.) cf. Gal. XVIII B 85 sq.* 27 διαχώρημα] *cf. Gal. XVI 189*

1 κοιλίαν AC κλύσμασι V 2 θερμὸν] ἑφθὸν A ἀφηψημένον AM: ἀφεψ. BCSTV δὲ *om.* CR καὶ *om.* M ἐν] τὰ ἐν *Gal. in comment. v. 25* 2. 3 ἐν ταῖς CR: ἐν τοῖσιν M 3 λειποθυμέει ACRSTV: λυποθυμέει BM 4 ἀφορίη M ἰδεῖν *ex Hipp. Chartier*: ἰδὼν *codd.* δὲ *codd.*: δὲ καὶ *Chartier* μή τι] μήτε S: ἢ μήτε M 5 ἢ] ἢ εἰ *Hipp. cod. A* καθαρὸν ἢ *transp.* R ἂν ὑγιαινόντων ἂν M 8 ταῦτα] ταύτην *Hipp.* τἆλλα BCR: τἄλλα T: τὰ ἄ. AS συνορῇν RSTV: συνορεῖν BC: συνορῶν A: *obscur.* M 9 ἡμέρῃ S: ἡμέρα *cett.* 10 δὲ] μὲν S ἡ] εἰ A μελαίνη *codd.* (*comp.* B): μέλαινα *Hipp.* 12 ἂν πάσας V: ἀπ. *Hipp.* (*om.* ἀνὰ) 15 ὅτι V: ὅτε *cett.* τὸ *ante* τί *om.* A 17 ὑποχόνδρια μέν R ἥτις S 18 ἀνωμαλίην AMS τὴν *om.* S 19 διακείμενα B καὶ] πρὸς *Hipp.* *post* καὶ *add.* ἡ S 20 τῶν σιτίων τὴν πλήρωσιν M 21 δηλοῦν *scripsi*: εἶναι *codd.* τὰ *add. ante* περὶ AB λέξιν] ῥῆσιν B 22 κοιλίην AMRS κλυσμοῖσι CR 23 μελίκρητον ARS ἀφηψ. ACS: ἀφεψ. BMRT 25 καὶ εἰ ABCMRT: καὶ ἢν V: καὶ ἡ S 26 ἀφορίη M 29 εἰ *om.* C ὁ *om.* M παροξύνηται V 30 τι παραπλήσιον ἔχει τῇ γ̅ *colloc.* S ἔχοι C

τὸν παροξυσμόν, κινδυνώδη δηλονότι ταύτην φησί. τὸ γὰρ καὶ τὴν τετάρτην ἡμέραν ἐπίδηλον οὖσαν τῆς ἑβδόμης νεωτερίσαι τι τῶν χαλεπῶν ἐστι σημείων· ὁ δὲ νεωτερισμὸς δῆλος. εἰ γὰρ τῇ πρώτῃ τῶν ἡμερῶν καὶ τῇ τρίτῃ παροξυσμὸς ἐγένετο, τῇ δευτέρᾳ δ᾿ οὐκ ἐγένετο, προσῆκον ἦν τὴν πέμπτην ἔχειν παροξυσμόν, τὴν δὲ τετάρτην μὴ ἔχειν· ἔχουσα τοίνυν καὶ αὕτη κακοῦ τινος ἑτέρου γένεσιν ἐνδείκνυται. εἰ δὲ καὶ μέλανα διαχωρήσειε, θάνατον ἔσεσθαι δηλοῖ.

μέμνησο δὴ τούτου παραλιπὼν τὰ πολλὰ τῶν εἰρημένων. εἰ γὰρ τῇ πρώτῃ τῶν ἡμερῶν ἡ τρίτη τὸν ἀνάλογον ἤνεγκε παροξυσμόν, νεώτερον μέν, εἰ καὶ ἡ τετάρτη παρώξυνεν· εἰ δὲ καὶ μέλανα διεχώρησεν, ὀλέθριόν ἐστι τὸ σημεῖον· ἐὰν δὲ πάλιν ὅμοια τοῖς ὑγιαίνουσιν ἀνὰ πάσας τὰς ἡμέρας διαχωρῇ, σωτηρίαν ἔλπιζε τοῦ κάμνοντος ἔσεσθαι.

IV 54 [II 9. II 440, 7 L.] Ὁκόταν δὲ μὴ ὑπακούῃ τῇ βαλάνῳ,
826 ἐνῇ δὲ τοῦ πνεύματος | εὐφορίῃ, διαναστὰς ἐπὶ τὸν θρόνον ἢ αὐτοῦ ἐν τῇ κλίνῃ, ἢν ἀψυχίη ἐγγένηται, ταῦτα δὲ ὁκόταν προσῇ τῷ κάμνοντι ἢ τῇ καμνούσῃ κατ᾿ ἀρχάς, παραφροσύνην προσδέχου ἐσομένην.

Συγκέχυται τῆς ῥήσεως ταύτης ἡ διάνοια· τὸ γὰρ ‘ὅταν ἡ βάλανος μηδὲν ἀνύῃ, δοκῇ δ᾿ εὐφόρως ἔχειν ὁ κάμνων, εἴ γε κἂν ταῖς διαναστάσεσι λειποψυχεῖ, παραφροσύνην προσδέχεσθαι’ κακῶς εἰρῆσθαί μοι δοκεῖ, μήτε τῆς ἐμπειρίας μαρτυρούσης αὐτῷ μήτε τοῦ λογισμοῦ. γένοιτο γὰρ ἄν ποτε καὶ τοιοῦτόν τι· αἱ δὲ προγνώσεις εἰσὶν οὐ τῶν σπανίως γινομένων, ἀλλὰ τῶν διὰ παντὸς ἢ ὡς τὸ πολύ.

IV 55 [II 9. II 440, 11 L.] Προσέχειν δὲ χρὴ καὶ τῇσι χερσίν· ἢν γὰρ τρομεραὶ ἔωσι, προσδέχου τῷ τοιῷδε ἀπόσταξιν αἵματος διὰ ῥινῶν ἐσομένην. |

827 Καὶ οὗτος ὁ λόγος οὐ τὸ διηνεκὲς οὐδ᾿ ὡς τὸ πολὺ γινόμενον, ἀλλὰ τὸ σπάνιον διδάσκει.

2 ἐπίδηλον] *cf. Gal. IX 784. XVI 274* 11 ὀλέθριον] *cf. Gal. XVIII B 142* 22 αἱ δὲ προγνώσεις] *cf. Gal. XVI 594. 694* 27 καὶ οὗτος ὁ λόγος] *cf. v. 23 et p. 280, 12. 285, 9sq.*

1 κινδυνῶδες S τὸ γὰρ M: τῷ γὰρ ABCSTV: τῷ γε R 2 ἡμέραν *om.* T 3 ἐστι *om.* CR 4 τῇ *ante* τρίτῃ *om.* R ἐγίνετο R 5 τῇ πέμπτῃ S 6 τοίνυν ἔχουσα *colloc. omnes praeter* V 8 τοῦτο AM 9 τὸν *ante* παροξυσμὸν *transp.* S 10 ἡ μέλανα M 11 ἐὰν δὲ . . . ἔσεσθαι *om.* T *(lacuna)* 12 ἔσεσθαι τοῦ κ. ἔλπιζε S 15 ἐγγένηται *Hipp.; cf. ad v. 16*: ἐνῇ *codd.* ταῦτα] πάντα CR δὲ *om. Hipp. cod. A* 16 *post* καμνούσῃ *add.* ἐγγένηται AMS *et in mrg.* T *post* ἀρχὰς *add.* ἐγγίνεται V 18 κέχυται CR ταύτῃ S ἡ *(alt.) exhibent omnes praeter* V 19 δοκεῖ *codd.: corr. Chartier* ἀφόρως M γε *Aldus*: τι A: τε *cett.* 20 διαστάς. S λειποψυχῇ M 22 ἂν *om.* AMSV 23 σπανίων C ἢ *om.* V 24 χρὴ BCRV: *om.* AST: χρὴ καὶ *om.* M ταῖς CR 26 ἐκ ῥινῶν *Hipp.* 27 πολὺ S: πολύ τι *cett.* 28 σπανίως M

IV 56 [II 9. II 442, 2 L.] Ὁρῆν δὲ χρὴ αὐτοὺς τοὺς μυκτῆρας· ἢν ὁμοίως τὸ πνεῦμα δι' ἀμφοτέρων ἕλκηται καὶ ἢν πολὺ φέρηται ἐκ τῶν μυκτήρων, φιλέει γίνεσθαι σπασμός· ἢν δὲ σπασμὸς γένηται, τῷ τοιῷδε θάνατος προσδόκιμος, καὶ καλῶς ἔχει προλέγειν.

Οὐσῶν τῶν χειρῶν τρομωδῶν (οὕτω γὰρ προσῆκον εἰπεῖν), εἰ τὸ πνεῦμα πολὺ φέρεται δι' ἀμφοτέρων τῶν μυκτήρων, σπασμὸν ἐπιγίνεσθαί φησιν· εἴωθε δ' οὕτω καλεῖν τὴν σπασμώδη διάθεσιν γινομένην κατὰ τῶν τὰ πτερύγια τῆς ῥινὸς κινούντων μυῶν.

IV 57 [II 10. II 442, 7 L.] Ἢν δὲ ἐν πυρετῷ χειμερινῷ ἡ γλῶσσα τρηχεῖα γένηται καὶ | ἀψυχίαι ἐνέωσι, φιλέει τῷ τοιῷδε 828 καὶ ἐπάνεσις εἶναι τοῦ πυρετοῦ· ἀλλ' ὅμως τὸν τοιόνδε παραφυλάσσειν τῇ λιμοκτονίῃ καὶ ὑδατοποσίῃ καὶ μελικρήτου πόσει· καὶ χυλοῖσι παραφύλασσε μηδὲν πιστεύων τῇ ἀνέσει τῶν πυρετῶν, ὡς οἱ τοιάδε ἔχοντες σημεῖα ἐπικίνδυνοί εἰσι θνήσκειν. ὁκόταν δὲ ταῦτα συνίδῃς, οὕτω πρόλεγε, ἤν σοι ἀρέσκῃ, θεωρήσας εὖ μάλα.

Χειμερινὸν πυρετὸν ἔνιοι μὲν ἁπλῶς ἀκούουσι τὸν ἐν χειμῶνι γιγνόμενον, ἔνιοι δὲ τὸν οἰκεῖον φύσει χειμῶνος, εἴη δ' ἂν ὁ τοιοῦτος ἐπὶ φλέγματι, καθάπερ ὁ θερινὸς ἐπὶ χολῇ. ἐὰν οὖν, φησίν, ἐπὶ τῷ τοιῷδε πυρετῷ γλῶσσα γένηται τραχεῖα καὶ λειποθυμίαι, συγγινώσκειν αὐτὸν ὄντα κινδυνώδη καὶ διὰ τοῦτο μὴ πιστεύειν ταῖς ἐπανέσεσι τῶν πυρετῶν, ὅταν μετὰ συμπτωμάτων ἢ σημείων μοχθηρῶν γίνωνται, καθάπερ νῦν ἅμα τῇ λειποθυμίᾳ τε καὶ τῇ τῆς γλώττης τραχύτητι. μὴ τοίνυν, φησίν, ἀμελῶς διαίτα τοὺς κάμνοντας, ἀλλ' ὕδωρ τε καὶ μελίκρατον καὶ χυλὸν | πτισάνης ῥοφεῖν δίδου. δόξει δὲ 829 ταῦτα μάχεσθαι τῷ χρῆναι λιμοκτονεῖν· ἡ γὰρ λιμοκτονία τὰ μάλιστα μὲν ἀσιτίαν παντελῆ σημαίνει, εἰ δ' οὔ, ἀλλὰ τήν γ' ἐπὶ τοῖς πόμασι μόνοις δίαιταν· οὗτος δὲ καὶ μελίκρατον καὶ χυλὸν πτισάνης συνεχώρησε δίδοσθαι. δοκεῖ δέ μοι διὰ τοῦτο λιμοκτονεῖν λέγειν αὐτούς, ὅτι

6 χειρῶν τρομωδῶν] *cf. Gal. XVI 712 sq. K.* 13 λιμοκτονίῃ] *cf. Hipp. VI 610 L.*

1 Ὁρᾶν *Hipp. cod. A*: ἐχρῆν CR αὐτοὺς χρὴ S χρὴ τοὺς μυκτῆρας ἀμφοτέρους *Hipp. cod. A* 2 πουλὺ T 3 ἐκ] ἐπὶ A γενέσθαι A ἢν δὲ . . . προλέγειν *(5) exhib.* A: *om. cett.* 6 εἰ] ἢν B 10 ἢν] εἰ R ἐν *om.* AS 11 τρηχεῖα MS: τρυχεῖα T: τρηχείη A: τραχεῖα *cett.* 12 τοῦ πυρετοῦ εἶναι S 13 τῇ *om.* V ὑδροποσίῃ M 14 παραφύλασσε ACRTV: καὶ παραφύλασσε BS: *obscur.* M: παραφυλάσσειν *Chartier* μηδὲν ARST: *obscur.* M: μηδὲ *cett.* 15 τοιάδε ABCRT: τοιοίδε S: τὰ τοιάδε V: *obscur.* M 16 ὁκόταν . . . μάλα *hab.* A: *om. cett.* συνίδῃς A: συνειδῇς *ab Aldo edd.* πρόλεγε A: προλέγειν *ex Hipp. edd.* 19 χειμῶνος AS: χειμῶνα CRV: χειμῶνι *cett.* τοιοῦτος πυρετὸς A 20 ὁ *om.* ART οὖν *om.* CR φησίν *om.* S 21 τρηχεῖα AM 22 αὐτὸν *om.* CR 23 ἀνέσεσι A 24 τε *om.* S, *item v. 26* 26 μελίκρητον A ῥοφέειν AMST 27 τὰ μάλιστα AMRST: τὰ *om. cett.* 28 ἀλλὰ *om.* V 29 μόνον T οὗτος ABCRS: οὕτως *cett.* μελίκρητον AST συνεχώρησαν V

χρονίζουςι τὰς ἐπανέςεις τῶν πυρετῶν ἴςχοντες εὐφορωτάτας, ὡς ἐξαπατηθέντας τινὰς τροφὴν ἰςχυροτέραν δοῦναι καὶ μάλιςτα διὰ τὴν λειποθυμίαν· ὡς πρὸς τὴν τοιαύτην οὖν δίαιταν ἡ διὰ τοῦ μελικράτου τε καὶ τοῦ χυλοῦ γινομένη ἐν πολλαῖς ἡμέραις ὀρθῶς εἴρηται λιμοκτονία.

IV 58 [II 10. II 444, 2 L.] Ὁκόταν δ' ἐν πυρετοῖςι φοβερόν τι γένηται πεμπταίοις ἐοῦςιν, ⟨ἢν⟩ ἡ κοιλίη ἐξαίφνης ὑγρὰ διαχωρήςῃ καὶ ἀψυχίη γένηται ἢ ἀφωνίη ἐπιλάβῃ ἢ ςπαςμώ-
830 δης γένηται ἢ λυγμώδης, ἐπὶ τούτοιςιν ἀςώδης φιλέει γί|νεςθαι καὶ περὶ ὑπορρίνιον καὶ μέτωπον ἱδρῶτες καὶ αὐχένα ὄπιςθεν τῆς κεφαλῆς· οἱ δὲ ταῦτα πάςχοντες θνήςκουςι πνευματωθέντες οὐκ εἰς μακράν.

Τῶν ἐκ τηρήςεως ἐμπειρικῶς γεγραμμένων τοῖς ἰατροῖς ἔνια τοιαῦτ' ἐςτίν, ὡς ἐκ τῶν ὀφθέντων ἅπαξ ἢ δὶς ἀπόφαςιν ἔχειν καθόλου τρόπου, ὡς πλειςτάκις ἐπὶ τῶν αὐτῶν καὶ ὡςαύτως δυνάμενα θεωρηθῆναι. τοιοῦτον δή τι καὶ τοῦτ' ἐςτὶ τὸ νῦν λεγόμενον· ἑωρακὼς γὰρ ὁ γράψας ταῦτα πεμπταῖόν τινα διαχωρήςαντα μέν τινα ὑγρὰ διαχωρήματα, λειποψυχήςαντα δὲ καὶ ἄφωνον γενόμενον, ἕτερον δὲ ςπαςμώδη καὶ μετὰ τοῦτ' ἤτοι γ' ἀμφοτέρους ἢ τὸν ἕτερον ἀςώδη καὶ τὰ περὶ τὸ πρόςωπόν τε καὶ τὸν αὐχένα ἐφιδρώςαντας, εἶτα ἀποθανόντας ἔγραψεν, ὡς οἴεται, ςυνδρομὴν ςημείων ἐμπειρικῶν. ἔςτι δ' αὐτὰ δυνάμενα καὶ ςτομαχικῆς προηγεῖςθαι ςυγκοπῆς, δυνάμενα δὲ καὶ διὰ πλῆθος γίνεςθαι θλιβομένης τῆς δυνάμεως ἢ καὶ ἄλλως
831 ἀρρωςτούςης. ἕκαςτον γάρ τοι τῶν εἰρημένων καὶ καθ' ἑαυτὸ μο|χθηρόν ἐςτι, μή τί γε ςυνελθόντα πάντα. τὸ γὰρ ἐπὶ ταῖς ἐξαίφνης διαχωρήςεςι λειποθυμεῖν ἐπικίνδυνόν ἐςτιν, ὥςπερ καὶ τὸ ἄφωνον γενέςθαι καὶ ἀςώδη, οὐκ ἀγαθὸν δὲ καὶ τὸ περὶ τὸ πρόςωπόν τε καὶ τὴν κεφαλὴν ἱδροῦν μόνα.

8 ἀψυχίη] *cf. Gal. lex. Hipp. s. v. (XIX 87 K.). Erotian. p. 47, 13 Klein. Gal. XVI 756 K.* ἀφωνίη] *cf. Gal. XVIII A 87. 170. XVII B 788. XVI 576* 13 ἐκ τηρήςεως] *cf. Gal. I 72. 126 sqq.* 21 ςυνδρομὴν] *cf. Gal. I 72. VI 218. VII 516. X 101 al.*

3 τὴν τοιαύτην A: τὴν *om. cett.* μελικρήτου AST 4 τε *om.* S τοῦ *ante* χυλοῦ *om.* M γενομένη B εἴρηται ὀρθῶς RV 6. 7 γένηται φοβ. τι S 7 πεμπταίοις ABCMV: πεμπταίοιςιν R πεμπταίοις . . . γένηται *om.* ST ἢν *addidi* ἡ AB: ἢ *cett.* κοιλίη τε *Chartier* 8 διαχωρῇ B: διαχωρήςει *cett.*: *correxi* ἐπιλάβοι BM 9 τούτοις ABC καὶ *ante* ἀςώδης *add. Chartier* 10 ὑπόρρινον *codd.*: *corr. ex Hipp. Aldus* 12 ἐς *ab Aldo edd.* μικρά V 13 ἐκ τῆς ῥήςεως R *et ante corr.* A: ἐκ τῆς τηρ. CS ἐμπειρικῶν R 13. 14 τοιαῦτ' (ταῦτ' T) ἐςτὶν BCRT: τοῦτ' ἐςτὶν AMSV 14 ὡς BCMR: *om. cett.* ἢ δὶς V: δύναμιν BCMR: *om.* AST ἀποφάςεως CMR ἔχειν BCMR: ἔχει *cett.* 15 καὶ ὡςαύτως *om.* C δυναμένων ST 16 δή ABMRSTV: δέ C τι] τοι CR 17 ὁ γράψας BCRT: ἔγραψας M: ἔγραψε ASV 20 εἶτα καὶ M 22 δὲ ταὐτὰ A 23 γενέςθαι M καὶ *ante* ἄλλως *om.* V 24 καὶ καθ' ABMSTV: καθ' CR 25 τι ABMST: τοι CRV πάντες S 26 ὥςπερ γε καὶ B 27 δὲ *om.* AMST τὸ *ante* περὶ *om.* M

καθάπερ οὖν ταῦτα πολλὰ καὶ μοχθηρὰ συμπτώματά ἐστιν, οὕτω καὶ τἄλλα τὰ ἐν τῷ Προγνωστικῷ γεγραμμένα, καὶ δύναταί τις ἐπιπλέκων αὐτὰ ἀλλήλοις δοκεῖν τι διδάσκειν νεώτερον· ἐὰν δέ που καὶ λέξιν ἀσαφῆ μίξῃ τῷ λόγῳ καθάπερ αἴνιγμα, τοῖς μὲν πολλοῖς κἀκ τούτου σοφώτερος εἶναι δόξει· θαυμάζουσι γὰρ ἃ μὴ νοοῦσιν· ἀνθρώπῳ δ᾽ ἐγνωκότι διακρίνειν ἀπὸ τῆς παθογνωμονικῆς συνδρομῆς τὰ ἐπιγινόμενα φωραθήσεται ποικίλος μέν, ἄχρηστος δ᾽ ὁ λόγος. ἡ μὲν γὰρ παθογνωμονικὴ συνδρομὴ τὸ τοῦ νοσήματος εἶδος ἐνδείκνυται, τὰ δ᾽ ἐπιγινόμενα συμπτώματα τὴν ἐπιείκειάν τε καὶ κακοήθειαν αὐτοῦ. καὶ χρὴ μαθόντα τούτων τῶν συμπτωμάτων ἑκάστου τὴν δύναμιν ἐκλογίζεσθαί τε καὶ παραβάλλειν ἀλλήλοις τὰ φανέντα, κἂν μὲν ἰσχυρότερά τε καὶ πλείω φαίνηται τῶν ἀγαθῶν τὰ μοχθηρά, | **832** γινώσκειν ἐν κινδύνῳ τὸν ἄνθρωπον ὑπάρχειν, εἰ δὲ τἀγαθὰ τῶν φαύλων ἰσχυρότερά τ᾽ εἴη καὶ πλείω, καλὴν προσδοκίαν ἔχειν ἐπὶ τῷ κάμνοντι.

τοῦτο δέ σε καὶ αὐτὸς ὁ Ἱπποκράτης ἀξιοῖ πράττειν· ἐν γοῦν τῷ Προγνωστικῷ πάντων τῶν συμπτωμάτων καὶ τῶν σημείων ἑκάστου κατὰ μόνας ἐδίδαξε τὴν δύναμιν, ἐπὶ τῇ τελευτῇ δὲ τούτου τοῦ συγγράμματός φησι· "χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν τούς τε περιεσομένους καὶ τοὺς ἀποθανουμένους οἷς τε ἂν μέλλῃ πλείονας ἡμέρας παραμένειν τὸ νόσημα καὶ οἷς ἂν ἐλάσσους, τὰ σημεῖα ἐκμανθάνοντα πάντα, κρίνειν ἐκλογιζόμενον τὰς δυνάμεις αὐτῶν πρὸς ἀλλήλας, ὥσπερ διαγέγραπται." τὰς δυνάμεις ἀξιοῖ τῶν σημείων ἐκλογιζόμενον προγινώσκειν ἐξ αὐτῶν τὸ ἀποβησόμενον· ἔνθα μὲν οὖν ἀγαθὰ μοχθηροῖς μέμικται παρισούμενά πως ταῖς δυνάμεσι, γεγυμνασμένου μὲν ἀνδρὸς δεῖται, τεθεωρηκότος δ᾽ ἐπὶ τῶν ἔργων αὐτὰ πολλάκις· ἔνθα δ᾽ ἐστὶν ἤτοι πάντα κακά, καθάπερ νῦν, ἢ πάντα καλά, κατάδηλον ἅπαντι τὸ ἀποβησόμενον. ὄντος γὰρ καὶ καθ᾽ ἑαυτὸ σημείου κακοῦ τοῦ | **833** διαχωρούσης τῆς κοιλίας λειποψυχῆσαι, κακοῦ δ᾽ ὡσαύτως καὶ τῆς ἀφωνίας, ἐὰν πρὸς τούτοις καὶ σπασμώδης ἢ λυγμώδης ἢ ἀσώδης ὁ κάμνων γένηται, σαφέστερον ἐνδείξεται τὸν κίνδυνον· ἐὰν δὲ καὶ ἄλλο τι μοχθηρὸν αὐτῷ σημεῖον ἐπιγένηται, καθάπερ οἱ περὶ τὸν αὐχένα καὶ τὸ πρόσωπον ἱδρῶτες, ἔτι καὶ μᾶλλον· ἅπερ εἴρηται νῦν ὑπ᾽

2 Προγνωστικῷ] *II 110—191 L.* 8 παθογνωμονικὴ συνδρομὴ] *cf. Gal. VIII 14* 15. 16 ἐν τῷ Προγνωστικῷ] *II 110—191 L.* 17 ἐπὶ τῇ τελευτῇ] *25 (II 188 sq. L.)*

3 που *om.* S 5 δόξει εἶναι S ἃ μὴ MRT *et* C¹ *in mrg.*: ἢ ABCSV 6 τὰ ἀπὸ M συνδρομῆς τὰ *om.* S ἐπιγενόμενα MS 7 γὰρ *om.* M 9 ἐπ. αὐτοῦ καὶ κ. S 10 τούτων ABCMRT: περὶ τούτων SV 11 μὲν] γὰρ M: μὲν γὰρ A 12 κινδύνοις S 13 τἀγαθὰ ABCT: τὰ ἀ. *cett.* 14 τ᾽ *om.* AMST καλῶν AST 15 καὐτὸς CR ὁ AC: *obscur.* M: *om. cett.* 17 δὲ *post* ἐπὶ *transp.* S 18 προγινώσκειν *Hipp.*: προλέγειν *codd.; sed cf. v. 23* 19 μέλλῃ ACRS: μέλῃ M: μέλλοι *cett.* πλείονας ABC: πλέονας MST 20 περιμένειν M ἐπιμανθάνοντα A 21 πάντα *om.* M τὰς . . . ἐκλογιζόμενον *(22) om.* V 24 μὲν BCR: *om.* AMST 25 δ᾽ ἐπὶ ACMRST: ἐπὶ BM¹ 26 ἤτοι *om.* AST: ἐστὶν ἤτοι *om.* M ἅπασι ABS 27 ἀποβησόμενον ABCMS: γενησόμενον RT ἑαυτὸ ACMS: αὐτὸ *cett.* 28 κοιλίης AMT ἀφωνίης AST 30 γένηται *codd.*: γίνεται *edd.* 31 αὐτὸ M 32 τὸ *om.* A

αὐτοῦ τοῦ γράψαντος τὸ βιβλίον, οὐδενὸς ἀγαθοῦ σημείου μεμιγμένου τοῖς κακοῖς. ὅτι μὲν οὖν ὁ τοιοῦτος ἐξ ἀνάγκης τεθνήξεται, πρόδηλον ἐκ τοῦ τῶν κακῶν ἀθροίσματος σημείων.

τὸ δὲ [καὶ] πνευματωθέντες τῇ τελευτῇ τῆς ῥήσεως ὥσπερ αἴνιγμα προσέρριπται ταύτης ὥς τι τῶν ἐξ ἀνάγκης ὡμολογημένων ἔσεσθαι, ὅ τι περ ἂν σημαίνῃ τὸ πνευματωθέντες, εἴτε τὸ τῶν κατὰ τὴν γαστέρα πνευμάτων πλῆθος, ὡς ἐνὸν [γαστέρα] φυσηθῆναι πᾶσαν αὐτήν, εἴτε τὴν μεγάλην καὶ πυκνὴν ἀναπνοήν· ἀλλὰ καὶ ταύτην ἐμάθομεν, ὡς ἕπεται διαθέσεσιν οὐκ ἀγαθαῖς, ὥσπερ γε καὶ τὴν τῆς γαστρὸς ⟨ἐμπνευμάτωσιν⟩. ὥστ᾽ οὐ χρὴ ζητεῖν ἄλλα σημεῖα, τούτων ἐξ ἀνάγκης
884 προηγουμένων· ἐπὶ τούτοις γὰρ οὐκέτι, ὡς ἐπ᾽ ἐνίοις καὶ κατὰ | τύχην γενομένοις, ἡ τῶν ἀποβησομένων ἀσαφής τις γίνεται πρόγνωσις.

IV 59 [II 10. II 444,8 L.] Ὁκόσοισι δ᾽ ἐν πυρετοῖσι τὰ σκέλεα γίνεται φυματώδεα καὶ ἐγχρονιζόμενα μὴ ἐκπεπαίνεται ἐόντων ἐν πυρετοῖσιν, ἢν καὶ προσπέσῃ πνιγμὸς φάρυγγι, ἰσχνῶν ἐόντων τῶν περὶ τὴν φάρυγγα, καὶ μὴ πεπαίνηται, ἀλλὰ σβεσθῇ, φιλέει τῷ τοιῷδε αἷμα ἐκ ῥινῶν ῥέειν· καὶ ἢν μὲν πολὺ ῥυῇ, λύσιν σημαίνει τῆς νούσου, ἢν δὲ μή, μακρήν, ὁκόσῳ δ᾽ ἂν ἔλασσον ῥυῇ, τοσῷδε χεῖρον καὶ μῆκος. ἢν δὲ τἄλλα ῥήιστα γένηται, προσδέχεσθαι τῷ τοιῷδε ἐς πόδας ἀλγήματα· ἢν δ᾽ ἅψηται τοῦ ποδὸς καὶ ἐπώδυνος γενόμενος παραμένῃ πυριφλεγὴς γενόμενος καὶ μὴ λυθῇ, κατὰ σμικρὸν ἥξει καὶ ἐς αὐχένα ἀλγήματα καὶ ἐς κληῖδα καὶ ἐς ὦμον καὶ ἐς στῆθος

4 πνευματωθέντες] *cf. Foesii Oeconomia Hippocr. Francof. 1588 p. 520* 8 ἐμάθομεν] *cf. Gal. XVII A 756, 6. VII 849, 8* 14 φυματώδεα] *cf. Gal. XVII A 854 sq.*

1 τοῦ *om.* M 2 οὖν *hab. omnes praeter* V 3 ἐκ τούτων. κακὸν ἀ. σημεῖον M ἀθροισμάτων S 4 καὶ *inclusi* πνευματωθέντες *scripsi*: πνευματωθήσεται *codd.* 5 ταύτῃ M τι] τε AT ὁμολογουμένων CR 6 τι *om.* S πνευματωθέντες *scripsi*: πνευματωθήσεται *codd.* τὸ *om.* S 7 τὴν *om.* A ὡς *om.* CR: *add.* C[1] γαστέρα *tamquam glossema inclusi* σηφθῆναι M
9 ὡς ἕπεται MV: αἷς ἕπεται ABSTV: ὡς αἷς ἕπεται CR ἀγαθαῖς CMR: ἀγαθὴν AS: ἀγαθῶν T 10 ἐμπνευμάτωσιν *addidi* 11 τούτων M οὐκέτι] οὐκ ἔστιν S καὶ S: τε καὶ CMRT: τε B: τοῖς καὶ A: τοῖς V τύχην] γνώμην AS 12 γινομένοις ABCMRT ἀσαφής M: ἀσφαλής ABCRST: ἀσφάλεια V τις] τι CR[1]: αἰτία S: *om.* T 13 ὁκόσοι MV 13. 14 γίνεται τὰ σκ. M: τὰ σκ. γένηται S 14 φυματώδη S ἔτι *ante* ἐόντων *add. Chartier*
15 ἢν καὶ *Hipp.*: εἰ καὶ *codd.* *post* καὶ *add.* μὴ M προσπέσῃ ABMST: προσπέσει CR: προσπέσοι V φάρυγγι *Hipp. cod. A*: φάρυγγος *codd.* ἰσχνῶν] πυκνῶν M ἰσχνῶν . . . φιλέει *om.* CR 16 τὴν φ. A: τὴν *om. cett.* καὶ μὴ *Hipp. cod. A*: καὶ μηδὲ *codd.* ἀλλὰ A: ἀ. μηδὲ BMTV: ἀλλὰ τάχα ἀλόγως τὰ φύματα σβεσθῇ ἤ τι παυθῇ ὡς ἐπὶ τὴν κεφαλὴν τῆς ὕλης ἀναδραμούσης φιλέει S *interpolans* 17 ἐν τῷ CR ῥινῶν *codd.*: τῶν ῥ. *Chartier* καὶ ἢν M: κἢν BCRS: κἂν AT 18 νούσου RV: νόσου *cett.* 19 τοσόνδε S καὶ] κατὰ *coni. Kühlewein* 21 παραμένῃ BST: παραμένει A: παραμενεῖ M: παραμένῃ πυριφλ. γενόμενος *om.* AC 22 καὶ κατὰ B ἕξει A εἰς S: ἐπ᾽ B
23 καὶ ἀλγ. S ἐς ὦμον καὶ *om.* R καὶ ἐς στῆθος *om.* AS: ἐς *om.* M καὶ ἐς στῆθος κ. ἐς ὦμον *transp.* C

καὶ ἐς ἄρθρον, καὶ τοῦτο δεήσει φυματῶδες γενέσθαι. σβεννυμένων δὲ τούτων, ἢν αἱ χεῖρες ἐφέλκωνται ἢ τρομεραὶ γένωνται, σπασμὸς | τὸν τοιόνδε ἐπιλαμβάνει καὶ παραφροσύνη· 835
ἀτὰρ καὶ φλυζάκια ἐπὶ τὴν ὀφρὺν καὶ ἐρυθήματα ἴσχει, καὶ ⟨τὸ⟩ βλέφαρον τὸ ἕτερον παρὰ τὸ ἕτερον παραβλαστάνει, καὶ σκληρὴ φλεγμονὴ κατέχει, καὶ οἰδέει ἰσχυρῶς ὁ ὀφθαλμός, καὶ παραφροσύνη μέγα τι ἐπιδιδοῖ. αἱ δὲ νύκτες μᾶλλον σημαίνουσιν ἢ αἱ ἡμέραι τὰ περὶ τὴν παραφροσύνην. τὰ δὲ σημεῖα μάλιστα γίνεται πολλὰ ἐπὶ τὸν περισσὸν ἀριθμὸν ἢ ἐπὶ τὸν ἄρτιον· ὁκοτέρῳ δ' ἂν τούτων τῶν ἀριθμῶν γίνηται, ὄλεθροι ἐπιγίνονται.

Καὶ πάντα ταῦτα τὰ νῦν εἰρημένα δοκεῖ μοι τεθεαμένος ἐφεξῆς ἀλλήλων ὁ συνθεὶς τουτὶ τὸ γράμμα καθολικόν τινα ἐκ τῆς ἐν μέρει τηρήσεως λόγον πεποιηκέναι προπετῶς· ἄμεινον γὰρ ἦν, ὡς Ἱπποκράτης ἐν τοῖς τῶν Ἐπιδημιῶν εἴωθε γράφειν, οὕτω καὶ αὐτὸν πεποιηκέναι, προειπόντα μὲν ἐν ἀρχῇ τοῦ παθόντος τὸ ὄνομα καὶ μετὰ ταῦτα καὶ τὰς ἡμέρας, ἐν αἷς ἕκαστον ἐγένετο, καθάπερ ἐπ' αὐτῶν τῶν νῦν εἰρημένων συμπτωμάτων ἔνεστι ποιῆσαι.

γε|γενήσθω γάρ τινι φυματώδη τὰ σκέλη καὶ μὴ πεπαινέσθω, 836
προσυποκείσθω δὲ καὶ πυρετώδης εἶναι καὶ πνιγώδης γενόμενος παυσάσθω· προσδοκήσειεν ἄν τις ἄνω γεγονέναι μετάστασιν τῶν ἐν τοῖς σκέλεσι χυμῶν, ἥτις ἐν ταῖς παρόδοις πνιγώδη τὸν ἄνθρωπον ἐποίησεν. ἐὰν οὖν ὁ τοιοῦτος, ὡς Ἱπποκράτης εἶπεν, ᾖ "περιεστικός," αἱμορραγῆσαι δυνήσεται διὰ ῥινῶν· καὶ ἐὰν μὲν πολὺ ᾖ τὸ αἷμα, λύσει τὴν νόσον· εἰ δ' οὔ, χρονίσει καί, εἰ τἄλλα καλῶς γένοιτο, πάλιν εἰς τοὺς πόδας ἀλγήματα τούτῳ κατασκῆψαι δυνατόν ἐστιν. ὑποκείσθω δὴ καὶ τοῦτο γεγονέναι, καθάπερ καὶ τὸ πυριφλεγῆ τὸν ἄνθρωπον ἐπὶ τούτοις γενέσθαι, ὅπερ ἤτοι θερμασίαν πολλὴν περὶ τὸν πόδα δηλοῦν εἴωθεν ἢ πυρετὸν πολὺν καὶ πυρώδη· καὶ εἰ ἐπὶ τούτοις μὴ λυθείη

15 Ἐπιδημιῶν] *e. g. I 13 (II 682 sqq. L.)* 23 εἶπεν] περιεστικὸς *vocabulo saepe utitur Hipp. de signis salutem indicantibus vel de morbis salutaribus, e. g. II 132, 16. 160, 2 L.*

1 φλεγματῶδες A 2 γίνονται B 4 ἔχει C 5 τὸ *sec. p. 324, 12 addidi* παρὰ] πρὸς M: περὶ V ἀναβλαστάνει A 6 σκληρὰ A οἰδέει] εἰ δὲ M ἰσχυρὸς M: *om.* CSTV 7 τι AS: *om. cett.* σημαίνουσιν ABCMST: ἐπισημαίνουσιν RV 8 τὰ *(prius) om.* MT 9 γίνεται *om.* S τὰ πολλὰ AS: πολλὰ *om. Hipp. cod. A* 10 ἐν ὁποτέρῳ *Hipp. cod. A* γένηται AT 11 ὄλεθροι *Hipp. cod. A*: ὀλέθριον C: ὀλέθριοι *cett.*: *obscur.* M 13 τὸ γράμμα τουτὶ V 14 γὰρ *codd.*: μὲν γὰρ *ab Aldo edd.* ἦν *codd.*: *om. edd.* 15 τοῖς] ταῖς AMT: τῆς S εἴωθε BCRS: εἰώθει AMT γράφειν] γράμμασιν S καὐτὸν CR 16 τοῦ παθ. τὸ ὄν. AMST: τὸ τοῦ π. ὄν. BCR 18 ἔστι S 19 γεγενῆσθαι V τινι] τι B πεπαίνεσθαι V 20 δὲ *om.* S πυρετώδη ST: πυρετὸς A γενομένου A 21 δοκήσοι V τῶν *om.* A 21. 22 ἐν τοῖς σκέλ. ABMST: τοῖς *om.* R 22 πνιγμώδη S 23 οὖν *om.* MS ὡς *om.* S ᾖ *scripsi*: ἐστὶ *codd.* περιεστικός *scripsi*: περιεστηκὼς *codd.* 24 καὶ ἐὰν] ἣν S μὲν *om.* RTV 25 χρονίσοι AS¹V καλῶς] εὐμαρῶς S 26 δὴ ACSTV: δὲ MR: (ὑποκεῖσθαι) δεῖ B 29 εἰ *om.* CRS

τὸ νόσημα, πάλιν ἀναχωρῆσαν ἄνω μᾶλλον τὸ πλῆθος ἀλγήματα γεννήσει κατὰ τοὺς αὐχένας καὶ κλεῖς καὶ τὸν ὦμον καὶ τὸ στῆθος. ὡς δὲ ταῦτα συνέβη πάντα αὐτῷ ἀλόγως (τοῦτο γὰρ ἦν τὸ σβεσθῆναι), τὰς χεῖρας ὑποκείσθω γενέσθαι τρομώδεις, ἔπειτα σπασμὸν ἐπακο-
837 λουθῆσαι, τοῦ πλή|θους ἀποσκήψαντος εἰς τὰ νευρώδη μόρια καὶ αὐτὴν τὴν ἀρχὴν αὐτῶν καταλαβόντος· ἐντεῦθεν γὰρ αἱ παραφροσύναι.

θεασάμενος οὖν ὁ γράψας τῶν οὕτω τινὰ νοσησάντων φλυκταίνας ἔχοντα κατὰ τὴν ὀφρὺν (τοῦτο γὰρ σημαίνει τὰ φλυζάκια) προπετῶς ἀπεφήνατο πᾶσι τοῖς οὕτως ἔχουσιν ἐσόμενον τοῦτο τὸ σύμπτωμα. καὶ περὶ τῶνδε τῶν ἐφεξῆς γεγραμμένων ὁ αὐτὸς λόγος· ὃ γὰρ ἐγένετο ἑνὶ τῶν οὕτω νοσησάντων εἴτε δυοῖν, ἐπὶ πάντας ἐκτείνων ἔφη καὶ ἐρυθήματ' ἴσχειν αὐτοὺς καὶ τὸ βλέφαρον τὸ ἕτερον παρὰ τὸ ἕτερον παραβλαστάνειν καὶ ξηρὰν γίνεσθαι τὴν φλεγμονὴν καὶ οἰδεῖν ἰσχυρῶς τοὺς ὀφθαλμούς.

τούτων δὲ τὰ μὲν ἄλλα σαφῆ, τὸ δὲ παραβλαστάνει τὸ βλέφαρον τὸ ἕτερον ἀσαφές ἐστι, πότερον ἐκ μέρους αὐτῶν τινα γινομένην σύμφυσιν ἢ σαρκῶδές τι βλάστημα θατέρου μὲν ἐκφυόμενον, ἐπὶ δὲ θάτερον ἐκτεινόμενον ἠβουλήθη δηλῶσαι. εἰ δέ τι χρήσιμον ἦν ⟨ἐκ⟩ τῆς εὑρέσεως αὐτοῦ σχεῖν, πλέον ἂν ὑπὲρ αὐτοῦ διεσκεψάμην. |

838 **IV 60** [II 10. II 448, 6 L.] Τοὺς τοιούσδε ἢν μὲν ἐξ ἀρχῆς φαρμακεύειν προαιρῇ, πρὸ τῆς πέμπτης, ἢν βορβορύζῃ ἡ κοιλίη· εἰ δὲ μή, ἐᾶν ἀφαρμακεύτους εἶναι· ἢν δὲ διαβορβορύζῃ καὶ τὰ ὑποχωρήματα χολώδεα ᾖ, σκαμμωνίῃ ὑποκάθαιρε μετρίως. ⟨ἐν⟩ δὲ τῇ ἄλλῃ θεραπείῃ, ὡς ἐλάχιστα προσφέρειν ποτὰ καὶ ῥοφήματα, ἵνα βελτιόνως ἔχῃ, ἢν μὴ ὑπερβῶσι τὴν τεσσαρεσκαιδεκάτην ἐπανέντες.

Θεραπείαν γράφει τῆς προειρημένης συνδρομῆς· ὀνομάζειν δ' αὐτὴν ἐμοὶ μέν, ὡς εἶπον, οὐδὲ τοῦτο δοκεῖ. καὶ ἡ θεραπεία δὲ οὐδὲν

7 φλυκταίνας] *cf. Gal. XVIII B 205 sq. Ps.-Gal. XIV 774 K.* 8 φλυζάκια] *cf. Gal. lex. Hipp. s. v. (XIX 152). Hipp. V 606 L.* 28 ὡς εἶπον] *p. 323, 12 sqq.*

1 τὸ νόσημα BM, *Cornarius*: τὰ συμπτώματα *cett.* 3 ταῦτα συνέβη (συνέσβη A) πάντα ABCST: τ. πάντα συνέβη MR: πάντα σ. ταῦτα V 4 ἀκολουθῆσαι AR 9 ἑπόμενον A σύμπτωμα] νόσημα CR 11 ἑνὶ B: τινὶ *cett.* νοσησάντων *codd.*: νοσούντων *ab Aldo edd.* 12 ἔχειν CR τὸ *ante* βλέφ. *hab. omnes praeter* C τὸ *post* βλέφ. *om.* V 15 τούτων BCR: τῶν AMSTV παραβλαστάνειν *omnes praeter* RV 16 γενομένην A: γενόμενον ST 17 ἐμφυόμενον ARST 18 δὲ *om.* S ἐκ *addidi* 19 ὑπὲρ] περὶ V διεσκεψάμην BCMRST: ἐσκεψάμην A: διασκεψάμην V: διασκεψαίμην *Chartier* 20 τοιούσδε MS: τοιούσδε δὲ A: τοιούτους δὲ *cett.* μὲν] μὴ M 21 κοιλία CS 22 εἰ δὲ BCMST: ἢν δὲ AR ἐᾶν] ἐν M ὑποβορβορύζῃ S: διακορκορύζῃ B 23 σκαμμωνίῳ R 24 ἐν δὲ τῇ *Hipp. cod. A (quae lectio commentario p. 325, 4 confirmatur)*: τῇ δ' *Gal. codd.* ἐλάχιστον ABMS 25 μὴ] μὲν M 25. 26 ὑπερβῶσιν αἱ ἡμέραι ιδ ἐπανέντες S 27 θεραπείην A γράφει RV: γράφεται *cett.* τῆς προειρημένης σ. M: προειρ. (καὶ C) τῆς σ. ABRT: προειρημένην τ. σ. S: τῶν προειρημένων τῆς σ. V συνδρομὴν *(repet.)* δὲ ὀν. B 27 ὀνομάζει S 28 εἴρηκα V: εἶπον *cett.* δὲ *om.* S

κοινὸν ἔχει πρὸς τὰ πρόσθεν διηρημένα πολλάκις· προσεπισκεψάμενον γὰρ εἰρήκει καὶ τὰ ἐν τῇ γαστρὶ καὶ γνωρίσαντα ταῦτα διὰ τῶν βορβορυγμῶν καθαίρειν. εἰ δὲ καὶ χολώδη τὰ κάτω ῥέποντα εἴη, σκαμμωνίαν δίδωσι φάρμακον χολώδη καθαῖρον. ἐν δὲ τῇ ἄλλῃ θεραπείᾳ κελεύει προσφέρειν ἐλάχιστα ῥοφήματα, μέχρις ἂν ἐπανῶσιν ὑπερ|βαίνοντες τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν· τούτῳ δὲ τῷ λόγῳ 839
συνενδείκνυται πρὸ τῆς τεσσαρεσκαιδεκάτης μὴ δύνασθαι πεφθῆναι τὴν νόσον.

IV 61 [II 10. II 448, 12 L.] Ὁκόταν πυρέσσοντι τεσσαρεσκαιδεκαταίῳ ἐόντι ἀφωνίη προσγένηται, οὐ φιλέει λύσις ταχεῖα οὐδ᾽ ἀπαλλαγὴ τοῦ νοσήματος γίνεσθαι, ἀλλὰ χρόνον τῷ τοιῷδε σημαίνει· ὁκόταν γὰρ φανῇ ἐπὶ τῇ ἡμέρῃ ταύτῃ, μακρότερον συμπίπτει.

Οὗτος ὁ λόγος περιττός ἐστι τοῖς μεμαθηκόσι τὰ μοχθηρὰ συμπτώματα μείζονα δύναμιν ἔχειν ἐν κρισίμοις ἡμέραις φαινόμενα· τούτῳ γὰρ τῷ καθόλου κέχρηται καὶ νῦν ὁ γράψας τὸ βιβλίον ἐφ᾽ ἑνὸς τῶν κατὰ μέρος πραγμάτων, τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας. ὡς γὰρ ἐν ταῖς ἄλλαις κρισίμοις, οὕτω καὶ ἐν ταύτῃ εἰ φανεῖταί τι μοχθηρὸν σύμπτωμα, μείζονα τὴν δύναμιν | ἔχει. χρὴ δὲ τὴν ἀπόφασιν τοῦ γενη- 840
σομένου μὴ ἁπλῶς μηδ᾽ ὡς ἔτυχεν, ἀλλὰ μετὰ διορισμοῦ ποιεῖσθαι· εἰ μὲν γάρ τινα τῶν ἀγαθῶν σημείων μείζονα δύναμιν ἔχοντα παρείη τῷ κάμνοντι, νοσήσας πλειόνως δυνήσεται σωθῆναι· μηδενὸς δὲ ὄντος τοῦ τοιούτου, τεθνήξεται μὴ δυναμένης τῆς δυνάμεως ἐξαρκέσαι τῇ πέψει τοῦ νοσήματος. κακῶς οὖν ὁ ταῦτα γράψας ἔφη μακρότερον πάντως ἔσεσθαι τὸ νόσημα· δύναται γὰρ καὶ διὰ ταχέων ἀποθανεῖν ὁ τὴν ἀφωνίαν ἐν τῇ τεσσαρεσκαιδεκάτῃ σχὼν ἡμέρᾳ, μελλόντων χαλεπῶν ἄλλων σημείου γενομένου τοῦ συμπτώματος.

3 σκαμμωνίαν] *cf. Gal. XIV 223 K.* 14 μεμαθηκόσι] *cf. Gal. IX 785, 7*

1 κοινὸν] ἴδιον B προς M: περὶ S: παρὰ *cett.* διηρημένα M: ἤδη (ἦδε B) εἰρημένα ABSTV: εἰρημένα (*om.* ἤδη) CR 3 εἰ δὲ καὶ] καὶ εἰ M σκαμμωνίην AMST 4 καθαίρων M θεραπείη T 5 ἐλάχιστον ῥόφημα S ἐπανῶσιν *codd.*: ἐπανιῶσιν *ab Aldo edd.* 6 δὲ τῷ λόγῳ] αὐτῷ S 9 ὁκόταν] ὁκόταν δὲ CR: τῷ S τεσσαρεσκαιδεκαταῖος M 10 ἐόντι ἀφ. προσγ. *om.* S παραγένηται *Hipp. cod. A* οὐ φιλέει] ὠφελέει S *post* φιλέει *add.* ἥκειν *ex Hipp. Cornarius* ταχείη *codd.*: *corr. Kühlewein* 11. 12 τὸν τοιόνδε V 12 σημαίνει] συμβαίνει S ὁπόταν A γὰρ B *cum optimo Hipp. cod. A*: δὲ *cett.* 13 ξυμπίπτει T: συμπίπτῃ M 17 παραδειγμάτων S 18 ἄλλαις ἡμέραις ταῖς κρισίμοις AS φανεῖταί ABCMRST: φανῇ V 20 μὴ ACRST: μηδ᾽ BM μὴ . . . διορισμοῦ *om.* V 22 δυνήσεται ABCST: δυνηθήσεται MR 23 τοῦ *ante* τοιούτου *hab. omnes praeter* V 24 ὁ MV: αὐτὸς ὁ ACST: ὁ αὐτὸς ὁ B ταῦτα *om.* T ἔφη] αὐτός φησι M 26 ἀφωνίην AST σχὼν BCRV: ἔχων AMST μελλόντων *codd.*: μετὰ τῶν *ab Aldo edd.* 27 σημείου AMSTV: σημείων BCR οὐ γενομένου C

IV 62 [II 10. 448, 17 L.] Ὁκόταν δὲ πυρέccοντι τεταρταίῳ γλῶccα ἐκτεταραγμένα διαλέγηται καὶ ἡ κοιλίη χολώδεα ὑποχωρέῃ ὑγρά, φιλέει παραληρεῖν ὁ τοιόcδε· ⟨ἀλλὰ χρὴ παραφυλάccειν παρεπόμενον τοῖcιν ἀποβαίνουcιν⟩.

841 Ἀλλὰ καὶ ἐν ἄλλῃ τινὶ τῶν ἡμερῶν· ἐὰν δὲ | τεταρταῖα φανῇ πρῶτον, κινδυνωδεcτέραν εἶναι τὴν ἑβδόμην δηλοῖ, τουτέcτι τὰ ἐν ἐκείνῃ γενηcόμενα.

IV 63 [II 10. II 450, 3 L.] Θερινῆc καὶ μετοπωρινῆc ὥρηc ἐπὶ τῶν ὀξέων αἵματοc ἀπόcταξιc ἐξαπίνηc cυντονίην καὶ πολλὴν θεραπείην κατὰ φλέβαc δηλοῖ καὶ ἐc τὴν ὑcτεραίην λεπτῶν οὔρων ἐπιφάcιαc. καὶ ἢν ἀκμάζῃ τῇ ἡλικίῃ καὶ τὸ cῶμα ἐκ γυμναcίων ἢ εὐcαρκώcιοc ἔχῃ ἢ μελαγχολικὸc ἢ ἐκ πόcιοc χεῖρεc τρομεραί, καλῶc ἔχει παραφροcύνην προειπεῖν ἢ cπαcμόν.

Καὶ αὕτη πάλιν ἡ ῥῆcιc ἐπιπλοκὴν ἔχει cυμπτωμάτων πολλῶν οὐ cυγγινομένων ἐν ἅπαντι ἀνθρώπῳ νοcοῦντι, διὸ καὶ ἄχρηcτα τὰ οὕτωc γραφόμενα, τῆc χρηcίμου διδαcκαλίαc διὰ τῶν καθόλου γινομένηc, ὡc Ἱπποκράτηc εἴωθε ποιεῖν. εἴρηται δ', ὅτι τῶν καθόλου τὰ μὲν
842 διηνεκῆ τὴν πρώτην | ἔχει δύναμίν τε καὶ χρείαν, τὰ δ' ὡc τὸ πολὺ τὴν δευτέραν· εἴ τι δ' ἀμφίδοξον ἢ cπάνιόν ἐcτιν, ἄχρηcτον εἰc τὴν διδαcκαλίαν.

ἃ γοῦν εἶπεν, ἐπιcκεψώμεθα κατὰ μέροc, καὶ πρῶτόν γε τὸ πρῶτον εἰρημένον. θερινῆc καὶ μετοπωρινῆc ὥρηc ἐπὶ τῶν ὀξέων αἵματοc ἀπόcταξιc ἐξαπίνηc cυντονίην καὶ πολλὴν θεραπείην κατὰ φλέβαc δηλοῖ καὶ ἐc τὴν ὑcτεραίην λεπτῶν οὔρων ἐπιφάcιαc· καὶ ἢν ἀκμάζῃ τῇ ἡλικίῃ καὶ τὸ cῶμα ἐκ γυμναcίων ἢ εὐcαρκώcιοc ἔχῃ ἢ μελαγχολικὸc ἢ ἐκ πόcιοc χεῖρεc τρομεραί, καλῶc ἔχει παραφροcύνην προειπεῖν ἢ cπαcμόν.

18 εἴρηται] *cf. ad p. 318, 22*

2 γλῶccα *codd.*: ἡ γλ. *edd.* ἡ *ante* κοιλίη *om.* R χολώδη A ὑποχωρέη ABCT: ὑποχωρήcη S 3 τοιοῦτοc M ἀλλὰ . . . ἀποβαίνουcιν *(4) om. codd.*: *add. Aldus ex Hipp.* 5 δὲ ASTV: τε BM: δὲ καὶ CR τεταρταῖα MT: τεταρταῖοc S: τεταρταία *cett.* 6 τὴν ἑβδόμην *om.* M *post* ἑβδόμην *add.* τοῦτ' (ταῦτ' B) εἶναι ABCRST, *ante* τουτέcτι M δηλοῖ BCR: cημαίνει M: δηλοῦν (δηλοῦντα M) *post* τουτέcτιν *transp.* AMSTV 6. 7 ἐν ἐκείνῃ *codd.*: ἐκείνῃ *ab Aldo edd.* 10 θεραπείην M¹: φλεγμαcίην AST: φλεγμαcίαν BCMRV τὰc φλέβαc *codd.*: τὰc *om. Hipp. cod. A et in comment. (v. 25) codd. plures* ὑcτεραίαν S 11 ἡλικία AC 12 ἢ *ante* ἢ *prim. et tert. add. Hipp. cod. A* εὐcαρκώcεωc B 16 cυγγινωcκομένων A: cυγγενομένων B τῷ νοcοῦντι ἀνθρ. CR 17 χρηcίμηc S διὰ τῶν καθόλου *om.* B 19 τὸ *om.* B 20 ἀμφίβολον S ἢ *om.* S εἰc BCRS: ἐc AV εἰc τὴν] ἐcτι M 22 οὖν T κατὰ μέροc] μετόπωρον καὶ θέροc S 23 ὀξέων νοcημάτων B 24 θεραπείην *scripsi*: φλεγμαcίην ABMT: ἐκφλεγμαcίην S: φλεγμαcίαν CR 25 φλέβαc ABCRS: τὰc φλέβαc MTV τε λεπτῶν A *ad* ἐπιφάcιαc *add.* γίνεcθαι A *in mrg.* 28 *post* cπαcμόν *insertum est in codicibus sequens lemma* καὶ ἢν μὲν . . . λείων λευκῶν, *id excipiunt verba* βέλτιον ἦν κτλ.

βέλτιον ἦν εἰπεῖν τὴν cυντονίαν ἐνδείκνυcθαι θεραπείαc χρῄζειν τὰc φλέβαc· ἐπιcτάμεθα δ', ὅτι τὰc cτάξειc τοῦ αἵματοc ἐκ τῶν μυκτήρων μοχθηρὸν ἀεί τί φηcιν εἶναι διὰ τὸ τὴν φύcιν μὲν ἐφίεcθαι ἐκκρίνειν τὸ περιττόν, ἀδυνατεῖν δὲ δι' οἰκείαν ἀρρωcτίαν ἢ πάχοc τοῦ αἵματοc ἢ πύκνωcιν τῶν μορίων ἤ τινα τούτων ἢ πάντα cυνελθόντα. μοχθηροῦ δ' ὄντοc ἀεὶ τοῦ cημείου, μᾶλλον ἔτι καὶ κατὰ θέρουc καὶ φθινοπώ|ρου τὰ πρῶτα τὴν δύναμιν αὐτοῦ cυμβέβηκεν ἐπιτείνεcθαι· 843
ἐν ταύταιc γὰρ ταῖc ἡμέραιc ἥ τε ξανθὴ πλεονάζει χολὴ καὶ τὸ περιέχον θερμόν ἐcτιν, ὥcτε εὔρουν ἐχρῆν δι' ἄμφω εἶναι τὸ αἷμα. μέγεθοc οὖν αἰτίαc δηλοῦται, δι' ἣν κωλύεται ῥεῖν, ἣν τὴν cυντονίαν εἶναί φηcιν, ἴcωc τὴν πύκνωcιν οὕτωc ὀνομάζων.

τό γε μὴν θεραπείαc δεῖcθαι κατὰ φλέβαc τοὺc οὕτωc ἔχονταc οὐδὲν οὐδέπω διδάcκει πρὶν εἰπεῖν, ἥντινα λέγει θεραπείαν· οὐ μὴν εἶπε, πρόρρηcιν δὲ μόνην [πρώτην] ἔγραψε, λεπτῶν οὔρων ἐπιφάcιαc γίνεcθαι ⟨κακῶc εἰπὼν⟩ κατὰ τὴν ὑcτεραίαν, οὐ κατὰ μόνην ταύτην ἐξ ἀνάγκηc φαινομένων αὐτῶν ἀπέπτων, ἀλλὰ καὶ κατὰ τὰc ἔμπροcθεν αὐτῆc· καὶ cπαcμόν φηcι καὶ παραφροcύνην ἔcεcθαι ἔτι πρὸc τούτοιc τοῦ κάμνοντοc ἀκμάζοντοc κατὰ τὴν ἡλικίαν καὶ ὄντοc γυμναcτικοῦ, καὶ τῆc εὐcαρκίαc αὐτοῦ μέμνηται καὶ τῆc κράcεωc (οἱ γὰρ μελαγχολικοὶ κράcεωc ὄνομα) καὶ μέντοι καὶ ἐκ πόcιόc φηcιν αὐτὸν χεῖραc ἴcχειν τρομεράc. τὰ μὲν οὖν cυμπτώματα ταῦτα δυνατόν ἐcτιν ἀλλήλοιc ἐπι|πλακῆναι, οὐ μὴν ἐξ ἀνάγκηc γε ἢ ὡc τὸ 844
πολὺ τούτοιc ἐπακολουθήcει παραφροcύνη καὶ cπαcμόc.

IV 64 [II 10. II 450, 9 L.] Καὶ ἢν μὲν ἐν ἀρτίηcιν ἐπιγίνηται, βέλτιον, ἐν κρίcει δὲ ὀλέθριον, ἢν μὴ πολὺ ἁλὲc ἀποcυθὲν αἷμα ἐξόδουc ποιήcηται τῆc πλεονεξίαc κατὰ ῥῖναc ἢ καθ' ἕδρην ἢ ἐμποιήcῃ ἀποcτάcειc ἢ πόνουc ἐν ὑποχονδρίῳ

2 τὰc cτάξειc τοῦ αἵματοc] *cf. Gal. XVI 500 K.* 3 φηcιν] *e. g. Prorrh. I 1 (V 510 L.); cf. Gal. XVI 500* 8 ἥ τε ξανθὴ πλεονάζει χολή] *cf. Gal. V 689*

1 βέλτιον οὖν ἦν V ἐνδείκνυται M 3 *ante* ἀεὶ *add.* γε ABST: τε CR τι *om.* R τὸ *om.* V μὲν *om.* M 4 διὰ τὴν M 6 cημείου] νοcήματοc M ἔτι MS: δ' ἔτι *cett.* καὶ *ante* κατὰ *om.* B θέροc BCRT 8 ἡμέραιc] ὥραιc S 9 εὔχρουν M 10 cυντονίην AMST 11 ὀνομάζει M 12 θεραπείαc *om.* A 13 θεραπείην AS 14 ἔγραψε πρώτην CR: πρώτην *inclusi* 15 κακῶc εἰπὼν *addidi* ὑcτεραίην AM 17. 18 ἔτι πρὸc τούτοιc *om.* M 18 τοῦ κάμνοντοc ἀκμάζοντοc κατὰ τὴν ἡλικίαν *huc transp. Mewaldt*: *post* ἔcεcθαι *(17) colloc.* BCRV: καὶ κατὰ τὴν ἡλικίαν (καὶ κ. τ. ἡλ. *om.* T) ὄντοc τοῦ κάμνοντοc καὶ (*om.* M) ἀκμάζοντοc *post* αὐτῆc *(17) colloc.* AMST: τοῦ κάμν. ἀκμ. κ. τὴν ἡλ. *add.* T *in mrg.* καὶ . . . εὐcαρκίαc *(19) om.* M ὄντοc *post* ἡλικίαν *colloc. codd.*: *transposui* 20 πόcιοc ABMST: πόcεωc *cett.* 21 αὐτὸν (αὐτῶν M) φηcι CM ταῦτα *om.* A 22 δυνατόν ABCMST: δυνατὰ R τὸ *om.* A 24 *hoc lemma iam supra alieno loco positum (cf. ad p. 326, 28) in codd. suo loco iteratur* καὶ ἢν PV: καὶ εἰ *cett.* ἐπιγένηται ASV: ἐπιγίνεται *cett.* 25 κρίcει *codd.*: κριcίμηcι *Chartier* πουλὺ T ἅληc T: ἅλιc *cett.*: *correxi* ἀποccυθὲν C: ἀποcπαcθὲν R: ἀπεccυθὲν *cett.*: ἀποχυθὲν *Hipp. cod. A* 27 ἕδραν CRV ἐμποιήcῃ A *superiore loco*: ἐμποιήcειc T: ἐμπυήcειc *cett.; cf. Littré not.* *post* ἐμπυήcειc *add.* μεταcτάcειc V: ἢ μεταcτάcειc BR *et superiore loco* AT: *recte om. cett.; cf. p. 328, 13* ἢ *post* ἐμπ. *colloc. codd.*: *transp. Mewaldt* *post* ἀποcτάcειc *add.* ἢ μεταcτάcειc C ἐν ὑποχονδρίῳ ABST *superiore loco*: ὑποχονδρίων *codd.*: τῶν ὑποχονδρίων *Chartier*

ἢ ἐς ὄρχιν ἢ ἐς σκέλεα· πεφθέντων δὲ τούτων ἔξοδοι γίνονται πτυσμῶν παχέων, οὔρων λείων, λευκῶν.

Δύο γραφαί εἰσι τῆς ʽἐπιγίνεσθαιʼ λέξεως, μία μὲν διὰ τοῦ τ̄ στοιχείου τῆς τρίτης συλλαβῆς γεγραμμένης, μία δʼ ἄλλη διὰ τοῦ γ̄. ἀλλʼ ἐάν τε κατὰ τὴν προτέραν ἐπιτείνεσθαι λέγῃ τοὺς κάμνοντας ἐν ἀρτίοις ἡμέραις, ἐάν τε κατὰ τὴν δευτέραν ἐπιγίνεσθαι τὰ εἰρημένα συμπτώματα κατὰ τὰς ἀρτίους ἡμέρας, οὐκ εὐθέως ἐστὶ καὶ βέλτιον
845 (τοῦτο δʼ αὐ|τὸς εἶπεν)· οὐδὲ γὰρ εἰ ἄρτιοι, προσήκει σκοπεῖν, ἀλλʼ εἰ καὶ κρίσιμοι· τὴν γοῦν τετάρτην ἡμέραν ἀρτίαν οὖσαν καὶ αὐτὸς ἐξῆς ὀλίγον ἔμπροσθεν εἶπεν, ὅτι μεγίστην δύναμιν ἔχει.

τό γε μὴν ἐφεξῆς εἰρημένον ἀληθές· ἐὰν γὰρ αἷμα πολὺ καθʼ ὁντινοῦν τρόπον ἐκκριθῇ, σωτηρίας ἔχειν ἐλπίδα καὶ διʼ ἀποστάσεως αὐτοὺς καὶ μεταστάσεώς φησι σῴζεσθαι, τὴν μὲν ἀπόστασιν ἄντικρυς διὰ τῆς ἰδίας προσηγορίας δηλώσας, τὴν δὲ μετάστασιν διὰ τοῦ φάναι πόνους ἐν ὑποχονδρίῳ ἢ ἐς ὄρχιν ἢ ἐς σκέλεα. διαφέρει δʼ ἀλλήλων τῷ τὴν μὲν ἀπόστασιν αὐτὴν τὴν κρίσιν ἐπιφέρειν καὶ ἀπαλλάττειν ἁπάντων τῶν ὀχληρῶν τὸν κάμνοντα, τὴν δὲ μετάστασιν ἑτέρων ἴσχειν ἀρχὴν παροξυσμῶν τε καὶ πόνων, ὡς δεῖσθαι πάλιν ἄλλου χρόνου πρὸς τὴν πέψιν τὸν τόπον τοῦ σώματος, εἰς ὃν ἡ μετάστασις ἐγένετο τῶν λυπούντων χυμῶν· διὸ καὶ προσέθηκε πεφθέντων δὲ τούτων αἱ διέξοδοι γίνονται πτυσμῶν [ἢ] παχέων, οὔρων λείων, λευκῶν, σημεῖα διδάσκων τοῦ πεπέφθαι τὴν μετάστασιν ἐκ τῶν πεπεμμένων πτυσμάτων τε καὶ οὔρων. |

846 **IV 65** [II 10. II 454, 2 L.] Πυρετῷ λυγγώδει ὀπὸν σιλφίου, ὀξύμελι, δαῦκον τρίψας πιεῖν δίδου καὶ χαλβάνην ἐν μέλιτι καὶ κύμινον ἐκλεικτὸν καὶ χυλὸν πτισάνης ἐπὶ τουτέοισι ῥοφέειν. ἄφυκτος δʼ ὁ τοιοῦτος, ἢν μὴ ἱδρῶτες κριτικοὶ καὶ ὕπνοι ὁμαλοὶ ἐπιγένωνται καὶ οὖρα παχέα καὶ δριμέα καταδράμῃ ἢ εἰς ἀπόστημα καταστηρίξῃ.

10 ἔμπροσθεν] *p. 326, 1*

1 ὄρχιν *codd.*: ὄρχιας *edd.* πεφθέντων ABST: πεμφθέντων M: λυθέντων CR *et superiore loco* AMT τούτων AS: τουτέων *cett.* ἔξοδοι *om.* S 2 πτυσμῶν *Cornarius*: σπασμοί A *hoc loco* (*superiore* πτυσμοί): πτυσμοί *cett.* λείων λευκῶν ABT: ἢ λευκῶν λείων (λεῖον M) MS: ἢ λείων λευκῶν CR: λείων *om.* V *post* λεῖον *iterat* ἔξοδοι M 3 ἐπιγίνεσθαι ABRT: ἐπιγενέσθαι M: τῆς αὐτῆς ποιῆσθαι (*sic*) S: *an* ἐπιγίνηται? 4 γεγραμμένης] καὶ δευτέρας S μία δʼ ἄλλη *omnes praeter* V: ἄλλη δὲ V; *cf. Gal. XVII A 543, 6* 5 λέγῃ *om.* S 6 ἀρτίοις AMTV: ἀρτίης S: ἐναντίαις B (*om.* ἐν): ἀρτίαις CR 7 ἀρτίους AMRSTV: ἀρτίας BC 8 οὐ γὰρ S εἰ *om.* S ἄρτιοι *codd.*: ἄρτιαι *ab Aldo edd.* 9 ἐξῆς *delendum videtur* 11 εἰρηκέναι B πουλὺ T 12 τρόπον *om.* R κριθῇ CR 13 ἄντικρυ R 15 ἐς σκέλεα MS: ἐς *om. cett.* 16 αὐτοῦ C 17 τοῦ κάμνοντος AMS 18 τε *om.* CR 19 τόπον] ποτὸν M 21 τούτων] πάντων M ἢ *inclusi* 22 λείων *om.* V λείων ἢ λευκῶν AMST πεφθῆναι A 25 δίδου πιεῖν M 26 ἐκλικτὸν A: ἑλκτικὸν C: ἐκλικτικὸν *cett.*: *correxi* τουτέοις AS 29 ἀπόστημα *codd.*: ἀπόστασιν *ex Hipp. Aldus*: ἀποστήματα *Hipp. cod. A* καταστηρίξει BCMRV: καταρίξει T: καταστηρίζει AS

Τὰς λύγγας εἰώθασι καὶ λυγμοὺς ὀνομάζειν· εἰςὶ δὲ κινήςεις τινὲς τοῦ στομάχου σπασμώδεις· γίνεσθαι δέ φασι δι᾽ ἄμετρον κένωσιν ἢ πλήρωσιν. οἱ μὲν οὖν διὰ κένωσιν γινόμενοι σχεδὸν ἀνίατοι τυγχάνουσιν ὄντες, οἱ δὲ διὰ πλήρωσιν ὑπὸ τῶν τεμνόντων καὶ ῥυπτόντων τὰ ἐμπεπλασμένα βοηθημάτων θεραπεύονται· τοιαῦτα δ᾽ εἰςὶ καὶ τὰ νῦν γεγραμμένα. φαίνεται δὲ νῦν ἡ δῆξις αὕτη γινομένη διὰ δριμύτητα δάκνουσαν τὸν στόμαχον, ὡς ἐπειδάν τις πέπερι πλέον ἤ τι τοιοῦτον καταπίῃ. καὶ μέντοι καὶ τῶν πυρεττόντων ἔνιοι λύγξαντες ἤμεσαν | διαβρωτικὸν καὶ δριμύτατον χυμόν, ἐφ᾽ ᾧ τελέως ἐπαύσαντο τοῦ συμ- 847
πτώματος. ἀλλ᾽ ὅ γε τοιοῦτος πυρετὸς οὐ καλεῖται λυγγώδης· ἐπὶ πλέον γὰρ δεῖ παραμένειν τὸν λυγμὸν ἢ καὶ δι᾽ ὅλου τοῦ νοσήματος εἶναι συμπαροξυνόμενον τοῖς πυρετοῖς, ἵνα λυγγώδης ὀνομασθῇ.

τὸν τοιοῦτον πυρετὸν ὑφ᾽ ἱδρώτων κρισίμων καὶ ὕπνων ὁμαλῶν καὶ οὔρων δριμέων καὶ παχέων ἐκκενωθέντων θεραπεύεσθαί φησιν, ἤτοι γ᾽ ἐκκριθέντων τῶν τοιούτων ἢ εἰς ἀπόστημα στηριχθέντων.

IV 66 [II 10. II 426, 4 L.] Κόκκαλος καὶ σμύρνα ἐκλεικτόν· πίνειν δὲ τοῖσι τοιουτέοισιν ὀξύμελι δίδου ὡς ἐλάχιστον, —

Ἀτάκτως τοῦτο γέγραπται· βέλτιον γὰρ ἦν αὐτὸ μικρῷ πρόσθεν γεγραφέναι κατ᾽ ἐκεῖνο τοῦ λόγου τὸ μέρος, ἔνθα ἐθεράπευσε τοὺς δεομένους τὸν θώρακα καὶ πνεύμονα διὰ πτυσμάτων ἐκκαθαίρεσθαι, οὐ πρὸς τὸν λυγγώδη πυρε|τόν. ἀλλὰ καὶ αὐτὸ τὸ εἰρημένον ἀσαφές· ὁ 848
μὲν γὰρ κόκκαλος ὑπ᾽ αὐτοῦ λελεγμένος οὐχ οὕτως, ἀλλὰ 'κῶνος' μᾶλλον ὑπὸ τῶν παλαιῶν Ἑλλήνων ὠνομάζετο, καθάπερ ὑπὸ τῶν νεωτέρων ἰατρῶν σχεδὸν ἁπάντων 'στρόβιλος'. εἰώθαμεν δ᾽ ἐξ αὐτοῦ σκευάζειν ἐκλεικτόν, ὅταν ᾖ λιπαρὸς μάλιστα, τουτέστι πολλὴν ἐν κύκλῳ περικεχυμένην ἔχῃ τὴν ἰδίαν ῥητίνην. ἕψομεν δ᾽ αὐτὸν ἐν ὕδατι μετὰ πρασίου πρόσφατον, εἶτα τῷ ἀφεψήματι μιγνύντες μέλι σύμμετρον ἕψοντές τε

2 σπασμώδεις] *cf. Gal. XVI 172. 559 K.* γίνεσθαι κτέ.] *eadem leguntur ap. Gal. XVI 172* 2. 3 κένωσιν ἢ πλήρωσιν] *cf. Gal. XIII 153 sq.* 7 πέπερι πλέον] *cf. Gal. VIII 199* 9 δριμύτατον χυμὸν] *cf. Gal. XIII 154* 20 κατ᾽ ἐκεῖνο τοῦ λόγου τὸ μέρος] *p. 328, 2* 23 κόκκαλος] *cf. Gal. XII 55* κῶνος] *cf. Gal. XIII 10. VI 591*

1 ὀνομάζειν] λέγειν CR 3 οἱ μὲν . . . πλήρωσιν *(4) om.* CR 4 τεμνόντων καὶ CR: *om. cett.* 5 βοηθήματα A 6 *ante* διὰ *add.* καὶ ABMS: *om.* CR διὰ] κατὰ CR 7 ἢ καὶ τοιοῦτόν τι CR: ἤ τι καὶ τ. MS 8 πυρεττόντων MST: πυρετῶν A: πυρεσς. *cett.* 9 καὶ *om.* S ὧν A 11 δεῖ] δὴ A ὅλου *om.* S 12 συμπαρεκτεινόμενον B: παρεκτεινόμενον S: παροξυνόμενον C ὀνομασθῇ *om.* S *(lacuna)* 14 οὔρων *om.* B 15 ἢ ABCST: ἢ εἰ RV: ἢ καὶ M στηριχθέντων B: στηριχθῇ *cett.* 17 ἐκλεικτόν M: ἐκλεκτόν B: ἐκλικτόν *cett.* 18 τουτέοισιν CMS 19 αὐτῷ CRS 20 ἐθεράπευε CR 22 ἀσφαλές T 23 λεγόμενος M 24 ὠνομάζεται *(sic)* S 25 ἁπάντων σχεδὸν ἰατρῶν *colloc.* M εἰώθαμεν ABCMRST: εἴωθε V αὐτῶν V 26 ἐκλεικτὸν M: ἑλικτὸν SV: ἐκλικτὸν *cett.* ὅταν ᾖ] οὗ C ἐγκύκλω M 27 ἔχων S: ἔχει CMRV τὴν ἰδίαν M: ἰδίαν *cett.* ἕψομεν BCR: ἑψόμενοι *cett.* 28 ἑψῶντες δὲ M

πάλιν τοῦτο μέχρι μελιτώδους cυcτάcεωc, οὕτω τῷ γενομένῳ φαρμάκῳ χρώμεθα πρὸc τὰc ἐκ θώρακοc καὶ πνεύμονοc πτύcειc. ὥcπερ δὲ καὶ ἄλλα τινὰ προcεπεμβάλλομεν τούτῳ τῷ φαρμάκῳ πολλάκιc, οὕτωc ἐcτὶν εἰκὸc καὶ τὸν ταῦτα γράψαντα cμύρναν ἐπεμβάλλειν, εἶτα διὰ cυντόμων δεδηλωκέναι τοῦτο κόκκαλον καὶ cμύρναν ἐκλεικτὸν εἰπόντα. δύναται δὲ καὶ αὐτοὺc τοὺc ἐcθιομένουc κώνουc μετὰ cμύρνηc διδόναι, τάχα κἀνταῦθα πάλιν ὑπακουcάντων ἡμῶν οὐ κακῶc μίγνυcθαι μέλι τῷ φαρμάκῳ.

849 τινὲc μὲν οὖν χωρίcαντεc τῆc | προγεγραμμένηc ῥήcεωc ταύτην αὐτὴν καθ᾽ ἑαυτὴν γράφουcι, τινὲc δὲ τὸ πέραc αὐτῆc ἀρχὴν ποιοῦcι κατὰ τόνδε τὸν τρόπον· ἢν ⟨εἰc⟩ ἀπόcτημα cτηρίζῃ, κόκκαλοc καὶ cμύρνα ἐκλεικτόν, ἵνα τῶν εἰc ἀπόcτημα cτηριζόντων νοcημάτων ἀκούωμεν αὐτὸ φάρμακον ὑπάρχειν. ἔcτι δ᾽ ἄλογον τοῦτο καὶ μάλιcτα διὰ τὸ ἐπιφερόμενον, ἐν ᾧ φηcι πίνειν δὲ τοῖcι τοιούτοιcιν ὀξύμελι δίδου ὡc ἐλάχιcτον· ἐπὶ μὲν γὰρ τοῦ λυγγώδουc πυρετοῦ λόγον ἔχει δεδιέναι τὸ ὄξοc, ἐπὶ δὲ τῶν εἰc ἀπόcτημα cτηριζόντων οὐδένα. καὶ διὰ τοῦτό τινεc ἄλλοι κατὰ τὶ μὲν cυνάπτουcι τὴν ῥῆcιν ταύτην τῇ προγεγραμμένῃ, κατὰ τὶ δὲ διαζευγνύουcι προcτιθέντεc τὸν ‘δέ’ cύνδεcμον καὶ γράφοντεc οὕτωc· ἢν δὲ εἰc ἀπόcτημα cτηρίζῃ.

περὶ τοῦ λυγγώδουc πυρετοῦ τοῦ προειρημένου καὶ τοῦτ᾽ ἐcτὶ λεγόμενον, cυμβουλεύcαντοc τοῦ γράψαντοc τὸ βιβλίον, ἐὰν εἰc ἀπόcτημά ποτε cυμβῇ cτηρίξαι τὸν λυγγώδη πυρετόν, κόκκαλον μετὰ cμύρνηc διδόναι καὶ φυλάττεcθαι τὴν δαψιλῆ πόcιν τοῦ ὀξυμέλιτοc. εἴτε δὲ
850 διὰ τοῦ ζ̄ γράμματοc ἡ τελευταία cυλλαβὴ τοῦ cτηρίζῃ γρά|φοιτο εἴτε διὰ τοῦ ξ̄, μεγάλην οὐδεμίαν ἐξαλλαγὴν ὁ λόγοc ἕξει.

IV 67 [II 10. II 456, 5 L.] Ἢν δὲ διψώδεεc cφόδρα ἔωcι, τοῦ κριθίνου ὕδατοc.

Ὅτι μὲν ὡc ἄδιψον πόμα, εὔδηλόν ἐcτιν· ἄμεινον δ᾽ ἦν εἰρῆcθαι πρὸc αὐτοῦ, πῶc χρὴ cκευάcαι τὰc κριθάc, πότερον ἀποβρέξανταc

6 ἐcθιομένουc] *cf. Gal. XII 55 K.* 11 ἢν κτέ.] *cf. p. 328, 29* 21 τοῦ προειρημένου] *p. 328, 24*

3 τινὰ] πολλὰ S 5 δεδηλωκέναι *scripsi*: δεδήλωκε καὶ *codd.*: ἐδήλωcε καὶ *Chartier* ἐκλεικτὸν M: ἐκλικτὸν *cett.* 6 εἰπόντα *codd.*: εἰπὼν *ab Aldo edd.* αὐτοὺc *om.* CR 11 εἰc *scripsi*: δὲ *codd.* ἀπόcτημα ABCMRST: ἀποcτήματα V cτηρίξῃ BT cτηρίζῃ . . . ἀπόcτημα *(12) om.* CR 12 ἐκλεικτόν M: ἐκλικτόν *cett.* 14 τοῖcι CR: τοῖc *cett.* τοιούτοιcιν ACRT: τοιουτέοιcιν MS: τοιούτοιc BV 15 ὡc] εἰc M μὲν *om.* M λυγμώδουc *codd.*: *corr. Basileensis* 16 εἰc *om.* A 19 εἰc ἀπόcτημα *om.* AMSTV: εἰc *om.* B 20 ἀποcτηρίζῃ AMSTV 21 λυγμώδουc SV καὶ τοῦτ᾽ . . . (ἢ AST) cυμβουλεύcαντοc (cυμβουλεύcαντεc S, ἢ cυμβουλευcάτω M) *post* γράψαντοc *transp.* AMST 22 τοῦ] τοῦτο S γράφοντοc A τὸ *om.* CR ἐὰν] εἰ B 23 τῷ λυγγώδη πυρετῷ M 24 διδοὺc M καὶ ἀπαλλάττεcθαι S εἴτε δὲ *scripsi*: εἴτε M: τὸ δ᾽ ἤτοι C: τὸ δ᾽ εἴτε *cett.* 25 ζ̄ . . . τοῦ *(26) om.* M 27 διψώδειc AMRV cφόδρα *om.* M ἔωcι *Aldus*: ὦcι *codd.* 28 κριθείου BRSTV: κριθίου A 29 μὲν οὖν CR 30 τὰc τυχίαc M: τ. τιχίαc V: *om.* BT δ᾽ (*add.* AS) ἀποβρέξαντεc ABST: ἀποβρέξαντοc M

ἁπλῶϲ ἢ ὡϲ οἱ νῦν ἐξ αὐτῶν τὸν ζῦθον ποιοῦντεϲ ἢ κατ' ἄλλον τινὰ τρόπον.

IV 68 [II 11. II 456, 7 L.] Τὰ περιπνευμονικὰ καὶ πλευριτικὰ ὧδε χρὴ ϲκέπτεϲθαι· ἢν ὀξὺϲ ὁ πυρετὸϲ ᾖ καὶ τὰ ὀδυνήματα τοῦ πλευροῦ τοῦ ἑτέρου ἢ καὶ ἀμφοῖν καὶ τοῦ πνεύματοϲ δὲ ἄνω φερομένου ἢν πονέῃ καὶ βῆχεϲ ἐνέωϲι καὶ πτύελα πτύῃ πυρρὰ ἢ πελιδνὰ καὶ λεπτὰ καὶ ἀφρώδεα καὶ ἀνθηρὰ καὶ εἴ τι ἄλλο διαφέρον ἔχοι παρὰ τὰ μεμαθηκότα, τούτοιϲιν οὕτω χρὴ διάγειν.

Τὰ μεγάλα καὶ ἀξιόλογα πλευρίτιδοϲ καὶ περιπνευμονίαϲ | διώριϲται 851 πάντα κατὰ τὸ γνήϲιον μέροϲ τοῦ βιβλίου, τὰ δὲ πᾶϲι τοῖϲ ἰατροῖϲ γιγνωϲκόμενα παραλέλειπται· τοιαῦτα δ' ἐϲτὶν ἃ νῦν οὗτοϲ γράφει, καὶ πρῶτον μὲν τὴν 'ϲυνδρομὴν' ὀνομαζομένην ὑπὸ τῶν παλαιῶν ἐμπειρικῶν, οἱ παλαιοὶ δὲ 'ϲυνεδρεύοντα' τοῖϲ πάθεϲιν ἐκάλουν τὰ τοιαῦτα ϲυμπτώματα. πυρετὸϲ οὖν ὀξὺϲ καὶ ὀδύνη πλευροῦ θατέρου ἢ καὶ ἀμφοτέρων μάλιϲτα κατὰ τὴν ἐκπνοὴν γιγνομένη (τοῦτο γὰρ ἔϲτι καὶ τοῦ πνεύματοϲ ἄνω φερομένου ἢν πονέῃ) καὶ βῆχεϲ καὶ πτύελα πυρρὰ ἢ πελιδνὰ καὶ λεπτὰ καὶ ἀφρώδη καὶ ἀνθηρὰ καὶ ὁπωϲοῦν ἄλλωϲ ἐξηλλαγμένα παρὰ τὰ εὐήθη (τοῦτο γὰρ δηλοῖ λέγων καὶ εἴ τι ἄλλο διαφέρον ἔχοι παρὰ τὰ μεμαθηκότα), ταῦτα πάντα τοῖϲ πλευριτικοῖϲ τε καὶ περιπνευμονικοῖϲ ἐμφαίνεϲθαί φηϲι ϲυμβαίνοντα.

τουτέοιϲιν οὕτω χρὴ διάγειν·

IV 69 [II 11. II 458, 4 L.] Ἢν μὲν ὀδύνη ἄνω περαίνῃ πρὸϲ κληῖδα ἢ περὶ μαζὸν καὶ | βραχίονα, τάμνειν χρὴ τὴν ἐν τῷ 852 βραχίονι φλέβα τὴν εἴϲω, ἐφ' ὁκότερον ἂν ᾖ τῶν μερῶν, κατὰ τόδε.

Κἀνταῦθα πάλιν ἐξεργάζεται τὴν τοῦ γνηϲίου μέρουϲ γνώμην· ἐπεὶ παραλέλειπτο τὸ ϲυνεπινοούμενον τοῖϲ εἰρημένοιϲ αὐτῷ, προϲτιθείϲ,

1 τὸν ζῦθον] *cf. Gal. XI 882 K. Diod. I 34, 10* 11 κατὰ τὸ γνήϲιον μέροϲ] *p. 146, 14 sq. 163, 3 sqq.* 28 τοῦ γνηϲίου μέρουϲ] *p. 168, 27 sqq.*

1 τῶν ζυθῶν M 3 Τὰ δὲ *ex Hipp. Aldus* τὰ δ' ἐν πλεύμονι κ. πλευρίτιδι *Hipp. cod. A* 4 ὀξὺϲ CS: ὀξ. τε *cett.* 6 δὲ AST: *om. cett.* ἄνωθεν ST 7 πτύελα πτύῃ (πτύει M) *codd.*: πτύϲματα ἀνείῃ *ex Aldo edd.* πελιδνὰ *codd.*: πελιὰ *ex Hipp. Aldus* ἢ καὶ λεπτὰ *ab Aldo edd.* 8 ἔχοι *Hipp.*: ἔχῃ M: ἔχει *cett.* 9 τούτοιϲ V 11 πάντα R: ἅπαντα *cett.* πᾶϲι τοῖϲ S: πᾶϲιν *cett.* 12 οὕτωϲ AT 13 ὠνομαϲμένην M 14 ϲυνεδρεύοντεϲ M πάθεϲιν] πᾶϲιν M 15 θάτερα S 15. 16 ἢ καὶ M: ἢ *cett.* 16 ἀμφότερα AS γιγνομένη BSTV: γιγνόμενα A: γιγνομένου CMR γὰρ] δὲ B 17 τοῦ *om.* A 20 ἔχοι ATV: ἔχει CRS: ἄλλον ἔχει δ. *colloc.* M 21 τε *om.* C 24 μὲν οὖν M 25 ἢ καὶ βρ. S τέμνειν M: τάμνειν *cett.* τὴν περὶ τὸν βραχίονα S 26 φλέβα *post* χρὴ *transp.* AMST ἐφ' ὁκότερον M: ἐπ' ὀκ. BCRSTV: ἐπ' ὀκοτέροιϲ A 29 ἐπεὶ] εἴ τοι BCR παρελέλειπτο V τὸ BTV: *om. cett.* αὐτὸ B προϲτιθεὶϲ BR: προϲτιθῇ SM: προϲτιθεῖ *cett.*

οἷον καὶ τοῦτο, κατ᾽ εὐθὺ τῆϲ πεπονθυίαϲ πλευρᾶϲ ποιεῖϲθαι τὴν φλεβοτομίαν, ὅπερ ἐδήλωϲεν εἰπὼν τέμνειν χρὴ τὴν ἐν τῷ βραχίονι φλέβα τὴν εἴϲω, ἐφ᾽ ὁκότερον ἂν ᾖ τῶν μερῶν, κατὰ τόδε προδήλωϲ ϲυντέμνων τῆϲ ἑρμηνείαϲ ἀμελεῖ· δέον γὰρ εἰπεῖν ʽτὴν κατ᾽ ἀγκῶνα φλέβαʼ τὴν ἐν τῷ βραχίονι λέγει.

IV 70 [II 11. II 458, 7 L.] Ἀφαιρεῖν δὲ κατὰ τὴν τοῦ ϲώματοϲ ἕξιν καὶ ὥρην καὶ ἡλικίην καὶ χροιὴν πλέον· καὶ θαρϲέων, ἢν ὀξὺ τὸ ἄλγημα ᾖ, ἄγειν πρὸϲ λειποψυχίην. |

853 Ἐνταῦθα πάλιν πλέον τοῦ μέτρου τοὺϲ ϲκοποὺϲ τῆϲ φλεβοτομίαϲ ἅπανταϲ εἰπεῖν φιλοτιμηθεὶϲ ὅμωϲ παραλέλοιπέ τιναϲ· οὔτε γὰρ τῆϲ δυνάμεωϲ ἐμνημόνευϲεν οὔτε τῆϲ μεταβολῆϲ τοῦ αἵματοϲ, ἀλλ᾽ οὐδὲ χώραϲ ἢ καταϲτάϲεωϲ. πλέον δ᾽ ἀφαιρεῖν κελεύων καὶ θαρϲεῖν ὡϲ μέχρι λειποθυμίαϲ ἄγειν, ἥμαρτεν ἐν τῇ λέξει προϲθεὶϲ δι᾽ ὃ θαρρεῖν προϲήκει· διὰ μὲν γὰρ τὴν ὀξύτητα τοῦ ἀλγήματοϲ ἐπὶ τὸ πλέον ἐκκενοῦν τοῦ αἵματοϲ ἀφικνούμεθα· τὸ δ᾽ ἐὰν ῥεῖν οὐκ ἐκ τῆϲ ὀξύτητοϲ, ἀλλ᾽ ἐξ ἄλλων ἔχομεν, ἐὰν ἥ τε δύναμιϲ ἐρρωμένη καὶ ἡ τῶν ἀκμαζόντων ἡλικία καὶ τὸ πλῆθοϲ αἱματικὸν καὶ ἡ τοῦ κάμνοντοϲ φύϲιϲ πυκνοτέρα τε καὶ ϲκληροτέρα καὶ δυϲδιαφορητοτέρα καὶ πολύαιμοϲ, ἥ τε ὥρα τοῦ ἔτουϲ καὶ ἡ κατάϲταϲιϲ εὔκρατοϲ, οὕτω δὲ καὶ ἡ χώρα· τὸ γὰρ ἄχρι λειποθυμίαϲ ἄγοντα θαρρεῖν ἐκ τούτων ἡμῖν προϲγίνεται.

IV 71 [II 11. II 460, 1 L.] Ἔπειτα ὑποκλύζειν μετὰ τοῦτο.

Μετὰ τὴν φλεβοτομίαν κλύζειν κελεύει· βέλτιον δ᾽ ἦν προϲτεθεικέναι τὸν Ἱπποκράτειον διοριϲμὸν "ἢν μὴ αὐτόματα διεξίῃ καλῶϲ". |

854 **IV 72** [II 11. II 460, 1 L.] Ἢν δὲ ὑποκάτω τοῦ θώρηκοϲ τὸ ἄλγημα ᾖ καὶ ϲυντείνῃ λίην, τῷ πλευριτικῷ τὴν κοιλίην ὑποκάθαιρε· μεϲηγὺ δὲ τῆϲ καθάρϲιοϲ μηδὲν δίδου, μετὰ κάθαρϲιν δὲ ὀξύμελι. φαρμακεύειν δὲ τεταρταῖον, τὰϲ δὲ ἐξ ἀρ-

23 ἢν . . . καλῶϲ] *cf. p. 160, 17 et 269, 14* 26 μεϲηγὺ δὲ τῆϲ καθάρϲιοϲ] *cf. p. 176, 7*

2 τῷ *om.* A 3 ἐφ᾽ ὁκότερον M: ἐπ᾽ ὁκ. *cett.* 4 τὴν ἑρμηνείαν B ἀμελῇ M 6 ἀφαιρεῖν CRV: ἀφαιρέειν M: ὑφαιρεῖν ABT ἀφαιρεῖ γὰρ τὴν τοῦ S 7 ὥραν BT θραϲέων A: θαρϲέον M: θαρϲέων *cett.* 8 ἄγειν M: ἀγαγεῖν *cett.* 10 ἅπαντεϲ A 12 θαρρεῖν (θαρϲεῖν MT) ὡϲ ACMRST: ὡϲ *om.* BV 14 τὸ *om.* CMR 16 τε *post* δύναμιϲ *transp.* M 17 πνεύματοϲ, *sed superscr.* κάμνοντοϲ S 18 τε *om.* CM 19 ἡ *ante* κατάϲταϲιϲ *om.* ABCT οὕτω δὲ B: οὕτω γὰρ *cett.* 20 γὰρ *om.* V προγινώϲκεται M

22 προϲτεθηκέναι BT: προϲτεθεικέναι *cett.* 23 ἱπποκρα^τ τὸν *(repet.)* δ. M αὐτόματοϲ S 24 θώρηκοϲ MV: θώρακοϲ *cett.* τὸ *om.* CR 25 λίην] λύειν M ὑποκάθαιρε P¹: ὑποκαθαίρειν *cett.* 26 μεϲηγὺ C: μεϲηγγὺ M: μεϲιγγὺ A: μεϲυγὴ S: μεϲϲηγὺ BT καθάρϲιοϲ C: καθάρϲεωϲ *cett.* 27 ὀξύμελι δίδου *(repet.)* C τὰϲ δὲ . . . τῆϲ ἡμέρηϲ *(p. 333, 6) exhibet* A: *om. cett.*

χῆς τρεῖς ὑποκλύζειν· καὶ ἢν μὴ κουφίζῃ, οὕτως ὑποκάθαιρε. φυλακὴ δὲ ἔστω ἕως ἀπυρέτου καὶ ἑβδόμης· ἔπειτα, ἢν ἀσφαλὴς ἐὼν φαίνηται, οὕτω χυλῷ ὀλίγῳ καὶ λεπτῷ τὸ πρῶτον μέλιτι μίσγων δίδου· ἢν δὲ ἀνάγῃ τε ῥηϊδίως καὶ εὔπνοος ᾖ καὶ ἀνώδυνος τὰ πλευρὰ καὶ ἀπύρετος, κατὰ σμικρὸν παχυτέρῳ τε καὶ πλείονι καὶ δὶς τῆς ἡμέρης.

Πλευριτικὸν ὠνόμασε τὸ εἰρημένον ὑφ᾽ Ἱπποκράτους ἐν τῷ γνησίῳ μέρει τοῦ βιβλίου, ἐν ᾧ καθαίρει τοὺς οὕτως ἔχοντας πλευριτικούς· σκευάζει δ᾽ αὐτὸ διττῶς. τὸ φαρμακεύειν δὲ τεταρταῖον ἀδιορίστως εἴρηκε καὶ τοῦτ᾽ αὐτό· τὴν γὰρ ἀρχὴν οὐδὲν τῶν τοιούτων βοηθημάτων | προσακτέον τῷ κάμνοντι σκοπὸν ποιησάμενον ἡμερῶν 855 ἀριθμόν, ἀλλ᾽ ὅπερ ὁ Ἱπποκράτης εἶπεν, ἤτοι κατὰ τὴν ἀρχὴν εὐθέως πρὶν στηριχθῆναι τοὺς χυμοὺς κελεύων φαρμακεύειν ἢ ὕστερον, ὅταν πεφθῶσιν· ὥστε καὶ περὶ τὴν πρώτην ἡμέραν, ἐνίοτε δὲ καὶ δευτέραν καὶ τετάρτην, ἔστιν ὅτε δὲ καὶ πέμπτην ἐφαρμακεύσαμεν, οὐκ ἐν τῇ τετάρτῃ μόνον, καθάπερ οὗτος ἔγραψεν.

IV 73 [II 11. II 460, 11 L.] Ἢν δὲ μὴ ῥηϊδίως ἀπαλλάσσῃ, ἔλασσόν τε τὸ πόμα καὶ τὸ ῥόφημα, ὀλίγον χυλὸν λεπτὸν καὶ ἅπαξ, ἐν ὁκοτέρῃ ἂν ὥρῃ βέλτιον διάγῃ· γνώσῃ δὲ ἐκ τῶν οὔρων. δεῖ δὲ ῥόφημα προσφέρειν τοῖσιν ἐκ τῶν νοσημάτων μὴ πρότερον ἢ πέπονα τὰ οὖρα ἢ πτύσματα ἴδῃς γεγενημένα. ἢν δὲ φαρμακευθεὶς συχνὰ καθαρθῇ, ἀναγκαῖον διδόναι, ἔλασσον δὲ καὶ λεπτότερον· οὐ γὰρ δυνήσεται ὑπὸ κενεαγγείης ὑπνώσσειν οὐδὲ πέσσειν ὁμοίως οὐδὲ τὰς κρίσεις ὑπο|μένειν· 856 ἀλλ᾽ ἐπειδὰν συντήξιες ὤμων γένωνται καὶ τὰ ἀντέχοντα ἀποβάλῃ, ἀνθέξει οὐδέν.

Περὶ τοῦ κατὰ μέρος καιροῦ τῆς τροφῆς ἐπισκοπούμενος ὁ Ἱπποκράτης καὶ αὐτὸς δὲ οὗτος ὁ ταῦτα γράψας ἐν τοῖς ἀνωτέρω γεγραμμένοις αὐτῷ θερμασίᾳ προσέχειν ἠξίου τῇ κατά τε τὸν θώρακα καὶ τοὺς πόδας. ἡ γὰρ τῶν οὔρων ἐπίσκεψις εἰς τὴν καθόλου δίαιταν, οὐκ

7. 8 ἐν τῷ γνησίῳ μέρει] *p. 172, 28 sqq.* 12 εἶπεν] *Aphor. I 24 (IV 470, 4 L.); cf. Gal. XVII B 447. XVI 279 sqq. K.* 28 ἀνωτέρω] *p. 305, 7 sqq.*

1 καὶ ἢν A: κἂν *Aldus* 2 καὶ ἀπυρέτου ἕως ἑβδόμης *transp. Reinhold* 4 μέλιτι A: σὺν μ. *Chartier* 4. 5 ᾖ καὶ ἀνώδ. A: ἢ καὶ ἀν. ᾖ *Aldus* 5 καὶ ἀπύρετος A: *om. Aldus* 7 τὸ] τὸν BM 8 τοῦ BCMSTV: *om.* A οὕτως *om.* S 12 ὁ ABC: *om. cett.* 13 κελεύων *Cornarius*: κελεύει *codd.*: κέλευε *Aldus* 14 πεμφθ. M τὴν V: *om. cett.* δὲ *om.* ST 15 ἔστιν ὅτε δὲ BCRTV: ἔστιν ὅτε AMS ἐφαρμάκευσε καὶ οὐκ M 16 καθάπερ] καὶ M ἔγραφεν T 17 ἀπαλλάσσῃ M: ἀπαλλαγῇ *cett.* 19 βέλτιον *om.* A διάγει M δὲ καὶ ἐκ M 20 δεῖ δὲ . . . ἀνθέξει οὐδέν *(26) om. omnes praeter* A 23 κενεαγγείης *Aldus*: κενεαγγίης A 24 κρίσεις A: κρίσιας *Aldus* 25 συντήξιες A: ξυντ. *Aldus* 26 ἀποβάλῃ *Hipp. cod. K.*: ἀποβάλλῃ A 28 ἀνωτέροις T 29 τε *om.* S 30 ἐπίσκεψις . . . καιροῦ *(334, 1) om.* V

εἰς τὴν τοῦ μερικοῦ καιροῦ τῆς τροφῆς ἐστι χρήσιμος· ὥστ᾽ οὐκ ὀρθῶς εἶπε νῦν χυλὸν λεπτὸν ἅπαξ διδόναι καθ᾽ ἣν ὥραν βέλτιον διάγει, γνώσεσθαι δ᾽ ἐκείνην ἐκ τῶν οὔρων· εἰ γὰρ καὶ ὅτι μάλιστα βραχεῖαν ῥοπὴν ἐπὶ τὸ βέλτιον ἴσχει τὰ οὖρα κατὰ τοὺς μερικοὺς παροξυσμούς, ἀλλ᾽ οὐχ οὕτω γε μακρὸς ὁ χρόνος ἐκεῖνός ἐστιν, ὡς ἀποθέσθαι ταῦτα ἡμᾶς καὶ περιμεῖναι, πότερον νεφέλας ἐπαιωρουμένας ἢ κάτω χωρούσας ἴσχει· ταῦτα γὰρ ἐν πολλῷ χρόνῳ γίνεται, τρέφεσθαι δ᾽ ἐν τοῖς ὀξέσι νοσήμασι τοὺς κάμνοντας ἐνίοτε ἀναγκαῖόν ἐστιν ἐν ἀρχῇ τῆς ἀκμῆς. |

857 **IV 74** [II 11. II 462, 9 L.] Πέπονα δ᾽ ἐστὶ τὰ μὲν πτύελα, ὁκόταν γένηται ὅμοια τῷ πύῳ, τὰ δὲ οὖρα τὰς ὑποστάσεις ἔχοντα ὑπερύθρους, ὁκοῖον ὀρόβων. οὐδὲν δὲ κωλύει ⟨καὶ⟩ πρὸς τὰ ἄλλα ἀλγήματα τῶν πλευρέων χλιάσματα προστιθέναι καὶ κηρώματα, ἀλείφειν δὲ σκέλεα καὶ ὀσφὺν θερμῷ καὶ λίπος ἐγκαταλείφειν, ἐπὶ δὲ ὑποχόνδρια λίνου σπέρμα καταπλάσσειν ἕως μαζῶν. ἀκμαζούσης δὲ τῆς περιπνευμονίης, ἀβοήθητον ⟨μὴ⟩ ἀνακαθαιρομένου καὶ πονηρόν, ἢν δύσπνοος ᾖ καὶ οὖρα λεπτὰ καὶ δριμέα καὶ ἱδρῶτες περὶ τράχηλον καὶ κεφαλὴν γίνωνται· οἱ τοιοίδε ἱδρῶτες πονηροί, ὑπὸ πνιγμοῦ καὶ ῥωγμῆς καὶ βίης ἐπικρατεόντων τῶν νοσημάτων, ἢν μὴ οὖρα πολλὰ καὶ παχέα ὁρμήσῃ καὶ πτύσματα πέπονα ἔλθῃ· ὅ τι δ᾽ ἂν τούτων αὐτοματίσῃ, λύσει τὸ νόσημα.

Οὔτε αὐτοῦ μέμνηται διὰ τῶν ἔμπροσθεν ⟨οὐχ⟩ οὕτω γράψαντος
858 ὑπὲρ τῶν πεττομένων οὔρων οὔθ᾽ Ἱπποκράτους | ἄλλως εἰπόντος· "οὖρον δὲ ἄριστον, ὁκόταν ὑπόστασις λευκή τε καὶ λείη καὶ ὁμαλή." τὰ δ᾽ ἄλλα τῆς ῥήσεως τὰ περὶ τῶν πλευριτικῶν τε καὶ περιπνευμονικῶν εὔδηλα καὶ χωρὶς τῆς ἐμῆς ἐξηγήσεως, ὅπῃ τε τῶν ὑφ᾽ Ἱπποκράτους εἰρημένων ὁ ταῦτα γράψας ἀποχωρεῖ καὶ ὅπῃ μάλιστα πάντῃ ἢ ἐκ μέρους γέ τινος ἕπεται.

23 διὰ τῶν ἔμπροσθεν] *p. 279, 15 sqq.* 24 ἄλλως εἰπόντος] *Prognost.* 12 *(II 138 L.)*

1 καιροῦ ABMST: μέρους R 2 εἶπε ἐν χυλῷ λεπτῷ M ὥραν S: ὥρην *cett.* διάγῃ ABCRT: διάγῃ ἂν S: διάγειν M 3 ὅτι καὶ *transp.* AMS 4 τοὺς *om.* AMS 5 γε *om.* S ὑπερθέσθαι B: ἀποθέσθαι *cett.* 6 τοῦτον B: ταύτας T: ταῦτα *cett.* 7 γίνεται . . . ἀναγκαῖον *om.* S 8 καὶ ἐν V: καὶ *om. cett.* 9 ἀκμῆς ASM: παρακμῆς *cett.* 11 γένηται S: γένωνται *cett.* τῷ πτύῳ R: πτύῳ CV: πύῳ *cett.* πύῳ ὅμοια B ὑποστάσιας *Chartier* 12 ὀρόβων P¹: ὀρόβον V: ὀρόβῃ M: ὀρόβην *cett.* οὐδὲν δὲ . . . νόσημα *(22) om. omnes praeter* A καὶ *om.* A: *add. ex Hipp. Aldus* 14 σκέλεα A: τὰ σκέλη *ex Aldo edd.* θερμὸν A: *corr. Aldus* 15 ἐγκαταλιπεῖν A: *corr. Chartier* λινόσπερμα A: *corr. Aldus* κατάπλασσε A: *corr. Chartier* 16 μασθῶν A: μαζῶν *Aldus* περιπνευμονίης A: περιπλευμονίης *Aldus* 17 μὴ *om.* A: *add. ex Hipp. Aldus* ἢν *Aldus*: εἰ A 19 γίνονται A: *corr. Aldus* οἱ τοιοίδε] ὁποῖοι δὲ A: *corr. Aldus*: οἱ τοιοῦτοι γὰρ *ex Hipp. Chartier* 22 αὐτοματήσῃ A: *ex Hipp. correxi* λύσει A: λύει *Aldus* 23 αὐτοῦ *codd.*: *corr. Kühn* μέμνημαι BST, *Cornarius* οὐχ *addidi ex interpr. latina* οὗτος M 26 περιπνευμονικῶν τε καὶ πλευρ. M 27 ὅποι C: ὅπερ B 28 κόπῃ M 29 γἔτινος M

IV 75 [II 11. II 464, 12 L.] Περιπνευμονίης ἐκλεικτὸν κόκκαλος καὶ χαλβάνη ἐν μέλιτι Ἀττικῷ· ἀβρότονον ἐν ὀξυμέλιτι πιεῖν ⟨καὶ⟩ πέπερι. ἐλλέβορον μέλανα ἀποζέσας [καὶ] πλευριτικῷ ἐν ἀρχῆισι περιωδύνῳ ἐόντι πίνειν δίδου. ἀγαθὸν δὲ καὶ τὸ πάνακες ἐν ὀξυμέλιτι ἀναζέσαντα καὶ διηθέοντα διδόναι πίνειν καὶ ἡπατικοῖσι καὶ τῆισιν ἀπὸ τῶν φρενῶν περιωδυνίηισιν. ⟨καὶ ὁκόσα δεῖ ἐς κοιλίην⟩ καὶ ἐς οὔρησιν, ἐν οἴνῳ καὶ ἐν μέλιτι, τὰ δὲ ἐς κοιλίην σὺν ὕδαρεῖ μελικρήτῳ πίνειν πλεῖον δίδου. |

Καὶ τὸ τῶν φαρμάκων πρῶτον καὶ δεύτερον ἀναγωγὰ πτυέλων 859
ἐστί, τὸ δὲ διὰ τοῦ μέλανος ἐλλεβόρου γαστρὸς ὑπακτικόν, τὸ δὲ διὰ τοῦ πάνακος οὗτος εἶπεν εἰς ὃ ἂν χρήσιμον ὑπάρχοι.

IV 76 [II 12. II 468, 3 L.] Δυσεντερίη ἀπόστημα ἢ ἔπαρμά τι παυσαμένη ποιήσει, ἢν μὴ ἐς πυρετοὺς ἢ ἱδρῶτας ἢ οὖρα παχέα καὶ λευκὰ ἐπιφανῇ ἢ ἐς τριταίους ἢ ἐς κιρσὸν ἢ ἐς ὄρχιν ἢ ἐς σκέλεα ἢ ἐς ἰσχίον στηρίξῃ ἡ ὀδύνη.

Καὶ οὗτος ὁ λόγος ἀδιόριστός ἐστιν, οὔθ᾽ ὁποίαν λέγει δυσεντερίαν ἐνδειξαμένου τοῦ συγγραφέως οὔτ᾽ εἰ πᾶσα ἐπαύσατο ταῦτ᾽ ἐπιφέρουσα.

IV 77 [II 13. II 468, 7 L.] Ἐν πυρετῷ χολώδει πρὸ τῆς ἑβδόμης μετὰ | ῥίγους ἴκτερος ἐπιγενόμενος λύσει τὸν πυρετόν· 860
ἄνευ δὲ ῥίγεος ἢν ἐπιγένηται ἔξω τῶν καιρῶν, ὀλέθριον.

Οὐ δήπου πρὸ τῆς ἑβδόμης μετὰ ῥίγους ἐπιγενόμενος ἴκτερος λύει τὸν πυρετόν, οὐχὶ δέ γε μετὰ τὴν ἑβδόμην, ἀλλ᾽ ὁ διορισμός ἐστι τοιόσδε· τοῖς πυρέττουσιν ἴκτερος ἐπιγίνεται ἐνίοτε μὲν ὡς σύμπτωμα τῆς κατὰ τὸ ἧπαρ διαθέσεως, ἐνίοτε δὲ τὴν χολὴν τῆς φύσεως ἐκκρίνειν διὰ τοῦ δέρματος ἐπιχειρησάσης, εἶτα μὴ δυνηθείσης αὐτό, καθάπερ

10 ἀναγωγὰ πτυέλων] *cf. Gal. XII 55. XI 745. 798 sqq. K.*

1 ἐκλειικτόν M: ἐκλικτόν *cett.* κόκκαλος καὶ M: κόκκαλον *cett.* 2 χαλβάνιν MV: χαλβάνην *cett.*: *ex Hipp. correxi* 3 πιεῖν AS: *om. cett.* καὶ *post* πιεῖν *add. Kühlewein* καὶ *(alt.) om. Hipp. cod. A*: *inclusi* 4 πίνειν *om. Hipp.* δίδοτε M 5 τὸ *om.* ACRSTV ἀποζέσαντα AMS: ἀπαζέσας *Hipp.* 6 καὶ ἡπατικοῖσι . . . δίδου *(9) om. omnes praeter* A τοῖσι . . . περιωδύνοισι A: *ex Hipp. corr. Aldus* 7 καὶ . . . κοιλίην *om.* A: *ex Hipp. add. Aldus* 8 σὺν A: ξὺν *Aldus* 11 ἐστί *om.* B: εἰσί C ἐλλέβορον A 12 οὕτω M ὑπάρχοι *scripsi*: ὑπάρχῃ *codd.* 14 τι *om.* R: *post* ἀπόστημα *transp. cett.* εἰς πυρετὸν (-οὺς B) ABMS καὶ ἢ ἱδρ. B ἢ οὖρα AMS: καὶ οὖρα V: καὶ ἢ οὖρα BR 15 λευκὰ καὶ λεῖα S: λ. κ. λίαν CRV: λ. λίην M: λ. λίαν BT: λ. καὶ λίην A; *cf. Littré not.* εἰς (*ante* κιρσ.) A κιρσοὺς T 16 *post* σκέλεα *add.* ἀλγήματα ABRT, ἄλγημά τι CMS στηρίζη BS ἡ ὀδ. ABST: ἡ *om. cett.* 18 ἐνδειξάμενος A οὔτ᾽ εἰ BM: οὔτε *cett.* 19 *post* ἑβδόμης *add.* ἡμέρας V 20 μετὰ ῥίγους *post* χολώδει *transp.* M ἐπιγινόμενος V: ἐπιγενόμενος *cett.* λύσει *codd.*: λύει *ex Hipp. Chartier* 22 δήπω A μετὰ ῥίγους *om.* CR 23 λύσει S οὐχὶ δέ γε] ἀλλ᾽ οὐδὲ B δέ γε M: δὲ *cett.* 24 πυρεταίνουσιν BMST 25 ἐκκρίνει M

εἴωθεν ἐπὶ πάντων γίνεσθαι τῶν ἀποσκημμάτων· εἴρηται δὲ περὶ τῶν τοιούτων ἰκτέρων ἐν Ἀφορισμοῖς.

IV 78 [II 14. II 468, 10 L.] Τετάνου δὲ ὀσφύος καὶ ἀπὸ μελαγχολικῶν διὰ φλεβῶν πνευμάτων ἀπολήψιες ὅταν ἔωσι, φλεβοτομίη ῥύεται.

861 Ὅταν δέ, φησί, διὰ μελαγχολικὸν αἷμα πλεονάζον ἐν | ταῖς φλεψὶ πνευμάτων ἀπολήψιες γίνωνται, φλεβοτομία ταῦτα λύει. πνευμάτων δὲ ἀπόληψιν εἰ μὲν τῶν κατὰ τὰς ἀρτηρίας λέγει (καὶ γὰρ καὶ ταύτας φλέβας ὠνόμαζον οἱ παλαιοί), τί ἄλλο ἢ ἀσφυξία γένοιτ' ἂν τὸ πάθος; εἰ δὲ τῶν κατὰ τὸν πνεύμονα, πάλιν ἐνταῦθα τὴν καλουμένην ἄπνοιαν αἰνίττεται. δύναται δὲ καὶ πλῆθος καὶ πάχος αἵματος οὐ μόνον τὰς ἀρτηρίας πνευματῶσαί ποτε καὶ διέξοδον οὐκ ἔχειν, ἀλλὰ καὶ ταύτας τὰς ἰδίως ὀνομαζομένας φλέβας.

IV 79 [II 14. II 470, 1 L.] Ὁκόταν δὲ ἀπὸ τῶν τενόντων σφοδρῶς ἔμπροσθεν ἀντισπῶνται καὶ περὶ τράχηλον καὶ πρόσωπον ἱδρῶτες, ὑπὸ τοῦ πόνου δακνομένων καὶ ξηραινομένων τῶν τενόντων τῶν οὐρωδέων, οἳ παχύτατοι τὴν ῥάχιν συνέχουσιν, ᾗ οἱ μέγιστοι σύνδεσμοι καταπεφυκότες εἰς πόδας ἀποτελευτῶσι, τῷ τοιῷδε, ἢν μὴ πυρετὸς καὶ ὕπνος ἐπιγένηται καὶ τὰ ἑπόμενα οὖρα πέψιν ἔχοντα ἔλθῃ καὶ ἱδρῶ-|
862 τες κριτικοί, πίνειν οἶνον κιρρὸν οἰνώδεα καὶ ἄλητον ἑφθὸν ἐσθίειν καὶ κηρωτῇ ἀλείφειν καὶ ἐγχρίειν τά τε σκέλεα περιελίσσειν ἕως τῶν ποδῶν, θερμῷ προβρέχων ἐν σκάφῃ, καὶ βραχίονας ἕως δακτύλων κατελίσσειν καὶ ὀσφὺν ἀπὸ τοῦ τραχήλου ἕως τῶν ἰσχίων, σίαλον ἐγκηρώσας, ὅπως καὶ τὰ ἔμπροσθεν περιέξει, καὶ διαλιπὼν πυρία τοῖσιν ἀσκίοισι, θερμὸν ὕδωρ ἐγχέων, καὶ περιτείνων σινδόνιον ἐπανάκλινε αὐ-

2 ἐν Ἀφορισμοῖς] *Hipp. Aphor. IV 62. 64 (IV 524 L.)* 9 ἀσφυξία] *cf. Gal. IX 66 sq. K.* 11 ἄπνοιαν] *cf. Gal. VII 150. 943. 959. VIII 281 sq.* 17 οὐρωδέων] *cf. Gal. lex. Hipp. s. v.*

1 ἀποστημάτων CRV: ἀποσκημμάτων *cett.* 1. 2 τῶν τοιούτων] τούτων A 3 τετάνου M: τέτανοι ABCST ἀπὸ M¹S: ἐπὶ *cett.* 4 ὅταν ABCR: ὁκόταν MS 5 ῥύεται *Hipp.*: λύεται *codd.* 7 φλεβοτομίη CV 8 ἀπολήψιας CR: ἀπόληψιν *cett.* 8 καὶ γὰρ καὶ MT: καὶ γὰρ *cett.* 11 καὶ *(alt.)* AMS: τε καὶ *cett.* 13 τὰς *om.* C 14 δὲ *om.* BCRST 15 τὸν τράχηλον CR τε καὶ S 16 τοῦ *om.* S δακνομένου κ. ξηραινομένου M 17 τῶν οὐρ. ACMRV: οὐρ. BS: καὶ τῶν οὐρ. *Chartier* *post* παχύτατοι *add.* μὲν *Aldus* 18 μέγιστοι M¹: μέσοι *cett.* καὶ καταπεφυκότος S εἰς M: ὡς εἰς *cett.*: ἕως εἰς *Aldus* 20 τὰ M: *om. cett.* ἔλθοι R 21 κιρρὸν S: κριτικὸν ACMRT: κρητικὸν BV 22 τε M: *om. cett.* 23 θερμῷ *Aldus*: θερμὸν *codd.* προβρέχων A: βρέχων *cett.*: προσβρ. *Chartier* 24 ἕως δακτύλων *Aldus*: *post* κατελίσσειν *transp.* BM: *om. cett.* 25 λάσιον *Littré; cf. eius not.* *post* ἐγκηρώσας *add.* μαλακῷ δέρματι R, *post* ὅπως τε M: *om. cett.* ὅκως V 25. 26 τὰ ἔμπροσθεν καὶ τὰ ἔξωθεν A: τὰ ἔξω S 26 διαλιπὼν AM: διαλείπων *cett.* τοῖς AST θερμὸν δ' ARSV 27 σινδονίῳ ABCRSV ἐπανάκλινε M: ἐπανακλίνων ACRTV: ἐπανατείνων S

τόν. κοιλίην δὲ μὴ λύσῃς, ἢν μὴ βαλάνῳ, ἢν [μὴ] πολὺν χρόνον ᾖ ἀδιαχώρητος ἐοῦσα. καὶ ἢν μέν τί σοι ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον· εἰ δὲ μή, τοῦ μάδου τῆς ῥίζης τρίβων ἐν οἴνῳ ⟨εὐώδει⟩ καὶ δαῦκον πίνειν δίδου πρωῒ νήστει πρὸ τοῦ βρέχειν καὶ ταχὺ ἐπὶ τούτοισι τὸ ἄλευρον ἑφθὸν χλιαρὸν ἐσθιέτω ὡς πλεῖστον καὶ οἶνον, ὁκόταν βούληται, εὔκρητον ἐπιπινέτω. καὶ ἢν μέν σοι ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον· εἰ δὲ μή, προλέγειν. |

Καὶ οὗτος ὁ λόγος ἀδιορίστως εἴρηται μετὰ τοῦ καὶ ἀκύρως ἔνια 863
τῶν ὀνόματων γεγράφθαι· τὸ γὰρ ʽὑπὸ τοῦ πόνου δάκνεσθαι τοὺς τένονταςʼ ἀκύρως λέλεκται, δριμέσι χυμοῖς πρέποντος τοῦ δάκνειν ῥήματος, οὐ τοῖς πόνοις. καὶ μέντοι καὶ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως ἐπὶ τοῦ σφοδρῶς ἔμπροσθεν ἀντισπῶνται μετὰ ταῦτά φησι ξηραινομένων τῶν τενόντων ⟨τῶν⟩ οὐρωδέων, οἳ παχύτατοι τὴν ῥάχιν συνέχουσι, τοὺς ἄχρι τοῦ οὐραίου καλέσας οὕτως· ὀνομάζουσι δὲ οὐραῖον τὸ πέρας τοῦ ὀστέου· εἰ δ᾽ ἀμφότερα τὰ μέρη δηλῶσαι βούλεται, καὶ περὶ τὰ πρόσω καὶ ὀπίσω τεινόμενα τέτανον ἐπιτείνεσθαι δυνατόν, καθάπερ ὀλίγον ἔμπροσθεν ἔφη τετάνου δὲ ὀσφύος.

οὐκ ἀσφαλῶς δὲ οὐδὲ τῇ πέψει τῶν οὔρων τὴν ῥᾳστώνην τῶν παθῶν προγινώσκει· πυρετώδους γὰρ νοσήματος ἀπεψίαι διὰ τῶν οὔρων δηλοῦνται σαφῶς, τῶν δὲ κατὰ τοὺς μῦς οὐκ ἀσφαλὴς ἡ διὰ τῶν οὔρων σημείωσίς ἐστιν. ἀλλὰ τοῦτο μὲν μικρόν· τὸ δ᾽ οἶνον αὐτοῖς διδόναι χωρὶς τοῦ διορίσασθαι, πότερον ὑπὸ ψύξεως | ἔπαθον ἢ δι᾽ 864
ἄλλην τινὰ αἰτίαν, οὐ σμικρὸν ἁμάρτημά ἐστιν, ἀλλὰ καὶ πάνυ προπετές.

ἀλόγως δ᾽ εἴρηται καὶ τὸ κοιλίην δὲ μὴ λύειν, ἢν μὴ βαλάνῳ· λυθείη γὰρ ἄν ποτε ἐπὶ τοῖς τοιούτοις ὠφελίμως. τὰ δ᾽ ἄλλα τῆς ῥήσεως δῆλα.

IV 80 [II 15. II 474, 7 L.] Τὰ δὲ νοσήματα πάντα λύεται ἢ κατὰ στόμα ἢ κατὰ κοιλίην ἢ κατὰ κύστιν· ⟨ἡ δὲ τοῦ ἱδρῶτος ἰδέη κοινὸν ἁπάντων⟩.

Οὐκ ἔστιν ὁ λόγος καθόλου οὐδὲ κοινὸς ἁπάντων· οὐ γὰρ διὰ

17 ἔμπροσθεν] *p. 336, 3* 27 λύεται κτέ.] *cf. Gal. IX 731 K.*

1 δὲ] τε ABCSV λίην λύσῃς P¹ μὴ *om. Hipp. cod. A: inclusi* 2 καὶ ἢν . . . προλέγειν *(7) exhibet* A: *om. cett.* 3 εἰ *Aldus*: ἢν A βάτου A: μόδου *Aldus* εὐώδει *ex Hipp. Aldus*: *om.* A 7 εἰ A: ἢν *Aldus* 8 μετὰ τοῦ *om.* M: μ. καὶ τοῦ *transp.* A 11 καὶ *(alt.) om.* S 12 ἀντισπῶντος S 13 τῶν *addidi sec. p. 336, 17* παχύτατοι *scripsi sec. p. 336, 17*: παχύτεροι *codd.* 15 ὀστοῦ B: ἱεροῦ ὀστέου *Cornarius* 16 καὶ *(prius) om.* BS τεινόμενα *post* βούλεται *transp.* RTV ἐπιτείνεσθαι AMTV: ἐπιγίνεσθαι CRS: ἐπιγενέσθαι B 17 τετάνου ACMRST: τετάνοισι V: τέτανοι B 20 ἀσφαλῶς T 21 οἶνον δ᾽ *colloc.* BCMSTV 22 ἀπὸ ψ. B 23 τινὰ CR: *om. cett.* ἁμαρτάνειν S ἐστιν *om.* M ἀλλὰ . . . προπετές *om.* AMS 24 ἢν M: εἰ *cett.* 25 ἄν ποτε] ἄποντε M: ἄμποτε B 27 *lemma cum commentario om.* A νουσήματα MR 28 *post* στόμα *add.* κατὰ ῥῖνα S κατὰ *ante* κύστιν *om.* BRS *post* κύστιν *add.* ἤ τινος ἄλλου τοιοῦδε ἄρθρου *Aldus*: *om. codd.* ἡ δὲ . . . ἁπάντων *(29) ex Hipp. add. Aldus*: *om. codd.* 29 κοινὴ *ex Hipp. Cornarius* 30 κοινῶς MV

τούτων μόνον, ἀλλὰ καὶ διὰ μήτρας καὶ διὰ τῆς ἐκ τῶν ῥινῶν αἱμορραγίας γινομένης αἱ λύσεις γίνονται τῶν νοσημάτων. |

865 **IV 81** [II 16. II 474, 10 L.] Ἐλλεβορίζειν δὲ χρὴ οἷς ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα.

Οὐκ ἀναγκαῖον, ὅσοις ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα, πάντας ἐλλεβορίζειν, ἀλλ᾽ ἐνίοτε τῆς κεφαλῆς μόνης ποιεῖσθαι πρόνοιαν εἰθίσμεθα.

IV 82 [II 16. II 474, 11 L.] Ὁκόσοι δὲ ἐξ ἀποστημάτων ἢ φλεβορραγίης ἢ δι᾽ ἀκρησίην ἢ δι᾽ ἄλλην τινὰ ἰσχυρὰν αἰτίην ἔμπυοι γίνονται, μὴ δίδου ἐλλέβορον· οὐδὲν γὰρ ὠφελήσει, καὶ ἤν τι πάθῃ, αἴτιος δόξει εἶναι ὁ ἐλλέβορος. ἢν δὲ διαλύηται τὸ σῶμα ἢ πόνος ἐν κεφαλῇ ⟨ᾖ⟩ ἢ ἐμπεπλασμένα τὰ οὔατα ἢ ῥίς, ἢ πτυαλισμὸς ἢ τῶν γονάτων βάρος ἢ σώματος ὄγκος παρὰ τὸ ἔθος, ὅ τι ἂν συμβαίνῃ μήθ᾽ ὑπὸ πότων μήθ᾽ ὑπὸ
866 ἀφροδισίων μήθ᾽ ὑπὸ λύπης μήθ᾽ | ὑπὸ φροντίδων μήθ᾽ ὑπὸ ἀγρυπνιῶν· ἢν μέν τι τουτέων ἔχῃ αἴτιον, πρὸς τοῦτο ποιεῖσθαι τὴν θεραπείην.

Φλεβορραγίαν μὲν λέγει τὴν ῥῆξιν τῶν φλεβῶν· ὅτι δ᾽ οὔτε τοὺς ἐκ τοιαύτης αἰτίας ἐμπύους γενομένους ἐλλεβορίζειν προσῆκεν οὔτε τοὺς ἐξ ἀποστημάτων οὔτε τοὺς ἐξ ἄλλης αἰτίας, εὔδηλον. οἱ δὲ δι᾽ ἀκρασίαν ἔμπυοι κακῶς ἐν τῷ νῦν εἴρηνται καταλόγῳ, τῆς ἀκρασίας αὐτῆς καθ᾽ ἑαυτὴν βλαπτούσης τοὺς ἀκρατεῖς, οἷον πλησμονῆς, ἀπεψίας, οἰνοφλυγίας, ἀφροδισίων πολλῶν καὶ ἀγρυπνιῶν, ὅσα τ᾽ ἄλλα τοιαῦτα. προειπὼν δέ, τίσιν ἐλλέβορον οὐ χρὴ διδόναι, φησὶν ἢν δὲ διαλύηται τὸ σῶμα, τουτέστιν ἐὰν ἔκλυτον ἱκανῶς γένηται, χωρὶς προφάσεως δηλονότι, ἢ πόνος ἐν κεφαλῇ ⟨ᾖ⟩ χρόνιος καὶ δύσλυτος

3 Ἐλλεβορίζειν] *cf. Gal. XVIII B 462 K.* 12 πτυαλισμὸς] *cf. Gal. XVI 571* 20 ἀκρασίαν] *cf. Gal. XVI 133, 10. 308, 8*

1 τοῦτο BM μόνων CV ἐκ *om.* CR 3 ἐλεβ. M *(sic saepius)* δὲ AB: *om. cett.* χρὴ *om.* T οἷς *codd.*: οἷσιν *Chartier* 5 πάντας] τούτοις CR 6 ποιεῖν B πρόνοιαν ποιεῖσθαι (ποιεῖν AS) AMS 7 ὅσοι BCST ἀποστήματος S 8 ἢ (*om.* S) δι᾽ ἀκρησίην (ἀκρας. P) PS: *om. cett.* αἰτίην AS: αἰτίαν *cett.* 9 ἔμπυροι V *post* ἐλλέβορον *add.* τοῖσι τοιουτέοισιν A: *om. cett.* οὐδὲν . . . ἐλλέβορος *(10) om.* MS 10 κἢν A αἴτιος *Hipp. cod. A*: αἴτιον *codd.* αἴτιος . . . πόνος ἐν *(11) om.* CR δόξει AV: δόξειεν *cett.* ἐλεβόρου (*om.* ὁ) A διαλύηται T[1] *in mrg.*: διαλυπῆται T *cum cett.* 11 ᾖ *Hipp. cod. A*: *om. Gal. codd.* 13. 14 μήθ᾽ ὑπὸ τῶν ἀφρ. μήθ᾽ ὑπὸ ποτῶν (πότων C) *transp.* CR 14 μήθ᾽ ὑπὸ λύπης μήθ᾽ ὑπὸ φροντ. *om.* M φροντίδος A 15 *post* ἀγρυπνιῶν *deest verbum* δίδου; *cf. Littré not.* ἢν MV: κἢν *cett.* μέν τι] μετὰ R τι] τοι CMS ποιεῖσθαι *codd.*: ποιέεσθαι *ex Aldo edd.* 16 θεραπείην A: θεραπείαν *cett.* 17 φλεβορραγίαν A: φλεβορραγίην *cett.* μὲν γὰρ M 18 γινομένους M προσῆκεν *Chartier*: προσήκει B: προσέθηκεν *cett.* 20 ἀκρασίην AST εἴρηνται C: εἴρηντε T: εἴρηται *cett.* 21 ἀκρασίας BCRS: ἀκρασίης AMTV ἑαυτῆς CR 24 δὲ M: *om. cett.* διαλύηται BT: διαλύῃ CR: διαλυπῆται *cett.* 25 δηλ. προφ. M ἐγκεφαλῇ M ᾖ *add. Mewaldt; cf. ad v. 11*

(ὑπακοῦcαι γάρ cε χρὴ τοῦτο κἀν τῷ τῆc κεφαλῆc πόνῳ καὶ τοῖc ἄλλοιc ἅπαcι τοῖc ἐφεξῆc εἰρημένοιc, τοῖc ἐμπεπλαcμένοιc ὠcὶ καὶ ῥινὶ καὶ τῷ πτυαλιcμῷ), προcτίθηcι δὲ γονάτων βάροc καὶ cώματοc ὄγκον παρὰ | τὸ ἔθοc· ἐπὶ πάντων γὰρ τούτων ἄνευ φανερᾶc αἰ- **867** τίαc γενομένων ἐλλεβορίζειν cυμβουλεύει. διελὼν δὲ τὸν καθόλου τοῦτον λόγον εἰc τὰ κατὰ μέροc ἔφη μήθ᾽ ὑπ᾽ ἀφροδιcίων ⟨μήθ᾽ ὑπὸ λύπηc⟩ μήθ᾽ ὑπὸ φροντίδων ἢ ἀγρυπνιῶν τῶν εἰρημένων γεγονότων· εἰ γὰρ ἐκ τούτων τινὸc εἴη γεγονότα, πρὸc τὸ ποιῆcαν αἴτιον ἁρμόττεcθαι κελεύει. τίνα δ᾽ ἐκ τούτων ἁπάντων ὧν εἶπεν ἀληθῶc ἀκριβῶc εἴρηται καὶ τίνα μή, μεμαθήκατε κἀκ τῶν Ἱπποκράτουc βιβλίων καὶ τῶν ἡμετέρων πραγματειῶν.

IV 83 [II 17. II 476, 9 L.] Τὰ δὲ ἐκ πορείηc ἀλγήματα πλευρῶν, νώτου, ὀcφύοc, ἰcχίων καὶ ὅcα ἀναπνέοντεc ἀλγέουcι πρόφαcιν ἔχοντεc (πολλάκιc γὰρ μεμάθηκε φοιτᾶν ἐκ κραιπαλέων καὶ βρωμάτων φυcωδέων ἀλγήματα καὶ ἐc ὀcφὺν καὶ ἐc ἰcχίον), οἷc δ᾽ ἂν αὐτῶν ᾖ τοιάδε, δυcουρέεται· τούτων δὲ πορείη αἰτίη καὶ κορυζέων καὶ βράγχων. |

Οὐ τεταγμένωc ἡρμήνευcε ταῦτα· προειπὼν γὰρ τὰ ἐκ πορείηc **868** ἀλγήματα πλευρῶν, νώτου, ὀcφύοc, ἰcχίων ἔμφαcιν ἐποίηcεν ὡc μέλλων ἐρεῖν, ὅπωc τὰ τοιαῦτα θεραπεύεται, κἄπειτα παρενθεὶc πολλάκιc γὰρ μεμάθηκε φοιτᾶν ἐκ κραιπαλέων καὶ βρωμάτων φυcωδέων, μετὰ ταῦτ᾽ ἐπήνεγκεν οἷc ἂν ᾖ τοιάδε, δυcουρέεται. καὶ μετὰ τοῦτο πάλιν ἐφεξῆc ἔφη τούτων δὲ πορείη αἰτίη καὶ κορυζέων καὶ βράγχων, ἀκέφαλον, ὡc ἂν εἴποι τιc, ἐργαcάμενοc τὸν λόγον.

IV 84 [II 18. II 478, 4 L.] Ὅcα δὲ ἀπὸ διαιτημάτων, τὰ μὲν πολλὰ ἕκαcτοc, ὡc ἂν παρὰ τὸ ἔθοc διαιτηθῇ μάλιcτα, ἐπι-

6 ὑπ᾽ ἀφροδιcίων] *cf. Gal. XVII A 791 K.* 6. 7 μήθ᾽ ὑπὸ λύπηc μήθ᾽ ὑπὸ φροντίδων] *cf. Gal. X 841, 14*

1 cε *om.* CR χρὴ *post* κεφαλῆc *transp.* RV κἀν τοῖc κεφαλῆc πόνοιc M ἄλλοιc AMS: *om. cett.* 2 ἅπαcι *post* εἰρημένοιc *transp.* CRTV τοῖc *(alt.)* AMS: *om. cett.* 3 *post* βάροc *add.* καὶ πόνον *omnes praeter* M 4 *post* αἰτίαc *repet.* παρὰ τὸ ἔθοc AS 5 γινομ. AS δὲ ABCMST: τε RV 6. 7 μήθ᾽ ὑπὸ λύπηc *e lemmate add. Chartier*: *om. codd.* 7 φροντίδων S: φροντίδοc *cett.* 9 ὧν εἶπεν *om.* AS εἶπον BCTV 10 ἀκριβῶc CMRV: ἢ ἀκριβῶc ABST; ἀκριβῶc ἀληθῶc *exhibet cod. Paris. 634 Suppl. gr. apud Gal. X 144, 17* κἀκ CR: καὶ BMTV: ἀπὸ AST 12 δὲ MR: *om. cett.* πορείαc A: πορίηc V πλευρέων *ab Aldo edd.* 13 ὀcφύοc S: *om. cett.* ἰcχίων *om.* ST ὅcα *codd.*: ὁκόcα *Chartier* 14 μεμαθήκατε ABS 15 εἰc *edd.* 16 οἷcι CR αὐτῶν *codd.*: αὐτέων *ex Aldo edd.* εἴη BMS 17 αἰτία CR 18 οὐ] ὡc M πορείαc C 19 ἰcχίων *om. codd.*: *add. Chartier* 20 θεραπεύεται M: θεραπεύηται *cett.* (παρεν)θεὶc . . . ταῦτ᾽ *(22) om.* M 21 μεμαθήκατε AST 22 οἷc M: ὅcοιc ACST: ὅcα BRV ἂν] κἂν B 24 κορυζῶν B εἴπη AV 26 ὁκόcα δ᾽ M: ὅcα δὲ *cett.*

ϲημαίνει· καὶ γὰρ ὅϲοι ἂν μὴ μεμαθηκότεϲ ἀριϲτᾶν ἀριϲτήϲωϲιν, ὄγκοϲ πολὺϲ αὐτοῖϲι τῆϲ γαϲτρὸϲ καὶ νυϲταγμὸϲ καὶ πληθώρη· ἢν δὲ δειπνήϲωϲι, κοιλίη ἐκταράϲϲεται. ϲυμφέροι δ' ἂν τουτέοιϲιν ἐκλουϲαμένοιϲι καθεύδειν, κοιμηθένταϲ δὲ περιπατῆϲαι βραδέωϲ ϲυχνὴν περίοδον· κἢν μὲν λαπαχθῇ, |
869 δειπνῆϲαι καὶ πιεῖν οἶνον ἐλάϲϲονα ἀκρητέϲτερον, ἢν δὲ μὴ λαπαχθῇ, ὑποχρίϲαϲθαι τὸ ϲῶμα θερμῷ· κἢν διψῇ, ὑδαρέα οἶνον γλυκὺν ἢ λευκὸν ἐπιπιόντα ἀναπαύεϲθαι, ἢν δὲ μὴ ⟨ἐγκοιμηθῇ, πλείω ἀναπαύεϲθαι⟩, τὰ δὲ ἄλλα ὁμοίωϲ τοῖϲιν ἐκ κραιπάληϲ διαιτάϲθω.

τὰ δὲ ἀπὸ πομάτων ὁκόϲα μὲν ὑδαρέα, βραδυπορώτερά ἐϲτι καὶ ἐγκυκλέεται καὶ ἐπιπολάζει περὶ ὑποχόνδρια καὶ ἐϲ οὔρηϲιν οὐ κατατρέχει· τοιοῦδε ⟨δὲ⟩ πόματοϲ πληρωθεὶϲ μηδὲν ἔργον ὀξέωϲ διαπρήξῃ, ὁπόϲα τῷ ϲώματι ϲυνταθέντι βίῃ ⟨ἢ⟩ τάχει πονέειν ϲυμβαίνει· ὡϲ μάλιϲτα δὲ ἡϲυχαζέτω, μέχρι καταπεφθῇ μετὰ τῶν ϲιτίων. ὁκόϲα δὲ τῶν πομάτων ἀκρητέϲτερά ἐϲτιν ἢ αὐϲτηρότερα, παλμὸν ἐν τῷ ϲώματι καὶ ϲφυγμὸν ἐν τῇ κεφαλῇ ἐμποιέει· τουτέοιϲι καλῶϲ ἔχει ἐπικοιμᾶϲθαι καὶ θερμόν ⟨τι⟩ ῥοφέειν, πρὸϲ ἅπερ μάλιϲτα ἥδιϲτα ἔχουϲι· νηϲτείη δὲ πονηρὸν πρὸϲ τὴν κεφαλαλγίην καὶ κραιπάλην.

870 ὁκόϲοι δὲ μονοϲιτέουϲι, | κεῖνοι καὶ ἀδύνατοί εἰϲι καὶ οὐρέουϲι θερμὸν παρὰ τὸ ἔθοϲ κενεαγγέοντεϲ· γίνεται δὲ ⟨καὶ⟩ τὸ ϲτόμα ἁλυκὸν καὶ πικρόν, καὶ τρέμουϲιν ἐν παντὶ ἔργῳ καὶ κροτάφοιϲ ἐπιϲυντείνονται καὶ τὸ δεῖπνον οὐ δύνανται πέϲϲειν, ὅκωϲπερ ἢν ἠριϲτηκότεϲ ⟨ἔωϲιν⟩. τούτουϲ δὲ χρὴ δειπνεῖν ἔλαϲϲον ἢ μεμαθήκαϲι καὶ ὑγροτέρην μᾶζαν ἀντὶ ἄρτου καὶ λαχάνων λάπαθον ἢ μαλάχην ἢ πτιϲάνην καὶ ϲεῦτλα,

1 ὅϲοι μὴ μεμαθηκότεϲ ἀριϲτᾶν] *cf. p. 181, 3 sqq.* 5 βραδέωϲ ϲυχνὴν περίοδον] *cf. p. 183, 8 sqq.*

1 ὁκόϲοι R: ὅϲοι *cett.* μὴ *om.* A ἀριϲτήϲωϲιν AMS: ἢν ἀριϲτήϲωϲιν *cett.* 2 αὐτοῖϲ CSTV: αὐτῆϲ BR: αὐτοῖϲ πολὺϲ M ῥιπταϲμὸϲ TV: ῥυπταϲμὸϲ CR: νυϲταγμὸϲ καὶ ῥυπταϲμὸϲ M: ῥιπταϲμὸϲ καὶ ν. B: ῥιπταϲμὸϲ μᾶλλον δὲ νυϲταγμὸϲ S 3 δὲ *om.* S ἐπιδειπνήϲωϲιν R: δειπνήϲωϲι *cett.* ϲυμφέροι . . . ἰχθύϲιν ἑφθοῖϲιν *(341, 3) om. omnes praeter* A: *ex Hipp. add.* P^1 *in mrg.* ϲυμφέροι *Kühlewein*: ϲυμφέρει A 4 δ' ἂν A: δὲ *edd.* ἐκλογιϲαμένοιϲι A: *corr. Aldus* κοιμηθέντεϲ A: *corr. Aldus* 5 κἢν A: καὶ ἢν *edd.* 8 γλυκὺν ἢ λευκὸν A: λ. ἢ γλ. *Aldus* 8. 9 ἐγκοιμηθῇ . . . ἀναπαύεϲθαι *om.* A: *add. ex Hipp. Aldus* 9 ταῖϲ ἄλλαιϲ ὁμοίωϲ τῆϲιν ἐκ κραιπάληϲ διαιτήϲεϲιν A: *recte Aldus* 11 ὁκόϲα *Aldus*: ὁκοῖα A 12 ἐϲ A: εἰϲ *Aldus* 13 τοιοῦδε δὲ *scripsi*: τοιοῦτε A: τοιοῦδε *Hipp. A*: τοιούτου δὲ *cum rell. Hipp. codd. ab Aldo edd.* μηδὲ A: μηδὲν *Aldus* 14 διαπρήξῃ A: διαπράξῃ *Aldus* ὁπόϲα A: ὁκόϲα *Aldus* ϲυνταθέντι A: ξυντ. *Aldus* ἢ P^1: *om.* A 15 ταχέη A 16 καταπεφθῇ A (*sc.* τὸ πόμα): καταπεφθήτω *Aldus cum Hipp. cod. C* μετὰ τὸ ϲιτίον A: *recte Aldus* ἀκριβέϲτερα A 19 τι *om.* A ῥοφέειν *ex Hipp. Aldus*: προϲφέρειν A ἅπερ A: ὅ τι *Hipp. cod. A* 20 πονηρὸν *om.* A 21 κεῖνοι A: κενοὶ *Hipp. cod. A; cf. p. 212, 8* 22 καὶ P^1: *om.* A 23 τὸ ϲτόμα A: τὸ *om. ex Aldo edd.* 24 ἐπιϲυντείνοντεϲ A: *corr. Aldus* 25 ἢν *Hipp.*: ἂν A ἠρρωϲτηκότεϲ A ἔωϲιν *om.* A: *add. Aldus* δειπνῆν A: πίνειν *ex Aldo edd.; cf. Littré not.* 27 λάπαθον A: λάπαθα *Aldus*

πίνειν δὲ κατὰ τὸ σιτίον οἶνον ὁκόσον σύμμετρον καὶ ὑδαρέστερον καὶ ἀπὸ δείπνου περιπατῆσαι ὀλίγον, ἕως οὖρα καταδράμῃ καὶ οὐρήσῃ. χρήσθω δὲ καὶ ἰχθύσιν ἑφθοῖσιν.

Μεμνήμεθα δήπου τοῦτον ἅπαντα τὸν λόγον ἐπὶ τῷ γνησίῳ μέρει τοῦ συγγράμματος ἱκανῶς ἐξειργασμένον. ἐξ ἐκείνων οὖν δυνήσῃ ὡσαύτως εἰρημένα καὶ ταῦτα διαγνῶναί τε καὶ κρῖναι, ἐμοὶ δ᾽ οὐκ ἀναγκαῖον ἐν τοῖς τοιοῖσδε μηκύνειν.

IV 85 [II 18. II 482, 11 L.] Βρώματα δὲ μάλιστα ἐπισημαίνει.

Οὐκ ἐκ λόγου | τινὸς ἀλλ᾽ ἐμπειρίας προσήκει κρίνεσθαι τῶν ἐδεσμά- 871
των τὴν δύναμιν· οὐ διοίσει δὲ νῦν βρώματα λέγειν ἢ ἐδέσματα. καὶ μέντοι καὶ ὁ γράψας ταυτὶ τοιοῦτόν τι δηλοῖ διὰ τοῦ ἐπισημαίνειν· ἐπίσημος γάρ, φησίν, ἀλλοίωσις τοῖς σώμασι γίνεται καθ᾽ ἕκαστον ἐξ ἰσχυρῶν ἐδεσμάτων. εἶθ᾽ ἑξῆς αὐτὰ καταλέγει.

IV 86 [II 18. II 482, 11 L.] Σκόροδον φῦσαν καὶ θέρμην περὶ τὸν θώρακα καὶ κεφαλῆς βάρος καὶ ἄσην, καὶ εἴ τι ἄλλο ἄλγημα εἴη μεμαθηκὸς πρόσθεν, παροξύνειεν ἄν· οὐρητικὸν δέ, καὶ τοῦτ᾽ ἔχει ἀγαθόν· ἄριστον δ᾽ αὐτοῦ φαγεῖν μέλλοντι ἐς πόσιν ἰέναι ἢ μεθύοντι.

Εἰ τῇ πείρᾳ χρὴ κρίνειν ἓν ἕκαστον τῶν ἐσθιομένων, οὐκ ἂν ὀρθῶς λέγοιτο φυσῶδες εἶναι τὸ σκόροδον, οὐ μὴν οὐδὲ θέρμης πλείονος ἢ κατὰ κρόμυον αἴσθησιν φέρον τοῖς φαγοῦσιν οὔτ᾽ ἐν ἄλλῳ τινὶ μέρει τοῦ σώματος οὔτ᾽ ἐν τῷ | θώρακι, κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδ᾽ 872
ἄσης, καὶ μάλιστ᾽, ἄν τις αὐτὸ βραχὺ προαποζέσας προσάρηται. τὰ δὲ πολλὰ τῶν ἐδεσμάτων, ὅταν μὲν πληθωρικὸν ᾖ τὸ σῶμα, θερμαίνει, ὅταν δὲ προκεκενωμένον, ξηραίνει γε ἱκανῶς. ἡμάρτηκεν οὖν ὁ συγγραφεὺς τοῦ βιβλίου χωρὶς διορισμοῦ τὴν ἀπόφασιν ποιησάμενος· ἄμεινον γὰρ ἦν διορίσαι, καθὸ λέλεκται, νυνὶ δ᾽ ἁπλῶς πως ἀπεφήνατο περὶ

4 ἐπὶ τῷ γνησίῳ μέρει] *cf. p. 181 sqq.* 10 βρώματα] *cf. Gal. VI 464, 7 sqq.* 11 ἐπισημαίνειν] *de huius vocabuli vi cf. Foesii Oeconomia Hippocratis p. 231 Francof. 1588* 14 Σκόροδον] *cf. p. 191, 21 sq.*

3 οὐρήσῃ A: οὐρήσει *Aldus* 4 τούτων ἅπαντες τῶν λόγων M 5 γράμματος C ἐξειργασμένων M δυνήσει BCM 5. 6 ὡσαύτως εἰρημένα *post* ταῦτα *transp.* CR *ad hiatum vitandum, fort. recte* 9 ἐμπειρία AV 10 νῦν *post* λέγειν *transp.* M 12 ἐπίσημος AMRTV: ἐπίσημον *cett.* φησίν] ἐστιν S ἀλλοίωσις AMS: *om. cett.* ἕκαστον *scripsi*: ἑκάστην *codd.* *post* ἑκάστην *add.* ἀλλοίωσιν BCRT (ἀλλοίωσις V) 13 αὐτὰς T 15 καὶ ἄσην ACR: *om. cett.* 16 ἂν *om.* BT 17 ἔχει] καὶ M φαγεῖν *codd.*: φαγέειν *ab Aldo edd.* μέλλοντι T¹V: εἰ (ἢ P¹) μέλλοντι P¹R: εἴ τε μέλλοι (τις *om.*) B: εἰ μέλλοι (-ει M) τις (*om.* T) *cett.* 18 μεθύοντι V: μεθύειν *cett.* 20 λέγῃ A εἶναι *post* σκόροδον *transp.* M οὐ μὴν οὐδὲ ABMS: οὐ CR: οὐδὲ TV 23 ἄσην ACRT: ἄσημον S προσαποζέσας M δὲ *om.* S 24 οἰδημάτων AMV θερμαίνει] ὑγραίνει AM: θερμαίνει ἢ ὑγραίνει S 25 ἢ *post* προκεκενωμένον *iterant* RTV γοῦν S 27 πως ABMST: εἰπὼν V: *om.* CR

cκορόδου· βέλτιον δ᾽ ἦν εἰπεῖν ξηραίνειν καὶ θερμαίνειν αὐτὸ καὶ ἄφυcον εἶναι (κατὰ γὰρ ἀδιορίcτου οὐκ ἀποφαίνεcθαι ἔθοc ἐcτί), προcυπακούειν δ᾽ ʻὅταν ἐν καιρῷ δοθῇ᾽, ὃ τὸ ʻπροπαρεcκευαcμένῳ τῷ cώματι᾽ δηλοῖ· προπαραcκευάζεται δὲ μήτε πληθωρικὸν μήτε κακόχυμον ὄν. οὐκ ἀληθῶc οὖν οὐδὲ κεφαλῆc βάροc ὑπ᾽ αὐτοῦ γίνεcθαί φηcιν· ἐὰν γὰρ προκενώcαc τὸ cῶμα προcενέγκῃc cκόροδον, καὶ κεφαλῆc βάροc ἰάcῃ καὶ παντὸc ἄλλου μορίου.

θαυμάζω δέ, πῶc ἃ μέχρι τοῦ νῦν διῆλθεν ἐπ᾽ αὐτοῦ προειπὼν ἐφεξῆc φηcιν· ἄριcτον δ᾽ αὐτοῦ φαγεῖν μέλλοντι ἐc πόcιν ἰέναι
873 ἢ μεθύοντι. φαίνεται δ᾽ | ἐκ τούτων οὐ μόνον οὔτε κραιπάλην οὔτε μέθην ἐργαζόμενον, ἀλλὰ καὶ προφυλακτικὸν αὐτῶν ὑπάρχον, ὥc καὶ βάροc ὦcαι δύναcθαι καὶ θεραπευτικὸν γενέcθαι φυcῶν. ἀληθῆ μὲν οὖν εἶπε ταῦτα καὶ προcέτι τῶν οὐρητικῶν εἶναι φαρμάκων αὐτό, ψευδῶc δὲ τἄλλα προcέθηκεν ἅμα τῷ καὶ μαχόμενα λέγειν ἑαυτῷ.

IV 87 [II 18. II 484, 2 L.] Τυρὸc δὲ φῦcαν καὶ cτεγνότητα καὶ cιτίων ἔξαψιν ποιεῖ, τὸ δ᾽ ὠμὸν καὶ ἄπεπτον· κάκιcτον δ᾽ ἐν ποτῷ φαγεῖν πεπληρωμένοιcιν.

Φυcώδηc μᾶλλόν ἐcτιν [τοῦ ξηροῦ] ὁ μαλακὸc καὶ νέοc τυρὸc καὶ ἧττον cτεγνοῖ τοῦ ξηροῦ, τουτέcτιν ἵcτηcι τὴν γαcτέρα· τούτῳ γὰρ ὑπάρχει φυcώδει μὲν ἧττον εἶναι, μᾶλλον δ᾽ ἱcτάναι τὴν γαcτέρα. καὶ μέντοι καὶ διψώδηc οὗτοc μᾶλλόν ἐcτιν, ὅπερ ἐδήλωcεν εἰπὼν cιτίων ἔξαψιν ποιεῖ.

τὸ δὲ ὠμὸν καὶ ἄπεπτον μεταξὺ παρέγκειται κατὰ τὴν ῥῆcιν
874 οὐκ | ἐπιμελῶc ἑρμηνευόμενον· ἐμφαίνει γοῦν, ὅτι τὸ κατὰ τὸ cῶμα cυνιcτάμενον πᾶν ὠμὸν καὶ ἄπεπτον ἐν χυμοῖc ἐκ τοιούτων ἐδεcμάτων πέφυκε γίνεcθαι, ὁποῖόc ἐcτι καὶ ὁ τυρόc, ὠμὸν καὶ ἄπεπτον ἔδεcμα, ὡc εἰ καὶ οὕτωc ἔλεγε· ʻτυρὸc δὲ φῦcαν καὶ cτεγνότητα τῆc γαcτρὸc

27 cτεγνότητα] *cf. Gal. XI 575 K.*

1 cκόρδου R ἄφωνον A 2 οὐ κατὰ BCRTV οὐκ AMS: *om. cett.* ἀποφήναcθαι BR 3 τὸ ABMST: τῶ CR: *om.* V προπαρεcκευαcμένον ABM 4 ὂν] οἷον A ἀληθῶc AMS: ὀρθῶc BCRTV 5 ὑπ᾽ αὐτοῦ . . . βάροc *(6) om.* CR 6 προcενέγκῃc AMS: προcενέγκῃ BCRTV 8 δέ *om.* M αὐτοῦ AMSV: αὐτὸ BT: αὐτῶ CR 9 μέλλοντι BTV: μέλλοντοc CR: εἰ μέλλοι τιc AMS ἐc AM: εἰc S: ἐπὶ *cett.* 10 μεθύειν AMS οὐ μόνον *hab. omnes praeter* V 11 αὐτὸ V ὡc ὑπάρχον ὡc T 12 οὖν MS: *om. cett.* 13 εἶπε ταῦτα ABCMRST: ταῦτα εἶπε V 14 τῶ καὶ ABCMRST: καὶ τῶ V ἑαυτῶ ABCMRST: αὐτὰ V *post* ἑαυτῷ *add.* περὶ τυροῦ νέου καὶ μαλακοῦ καὶ ξηροῦ S 16 ἔφαψιν ABCRST ποιεῖ V: ποιήcει ABST: ποιήcειε CR: ποιέει M τὸ δ᾽ ABCRS: ἔτι δ᾽ TV: *om.* M καὶ *om.* R 17 ποτῶ ABS: τῶ πότω *cett.* πεπληρωμένοιc CR 18 τοῦ ξηροῦ *ante* φυcώδηc *transp.* CR: *om.* V: *inclusi* τε καὶ ABCST καὶ *(alt.)*] κἂν AS 19 τοῦ ξηροῦ *post* γαcτέρα *transp.* CRT: *om.* V τούτῳ . . . γαcτέρα *(20) om.* SV 20 εἶναι *om.* M δ᾽ *om.* M 21 οὗτοc AMS: οὕτωc B: *om. cett.* ἐcτιν *om.* BMS ὅπερ] τοῦτο δὲ ABMRS 22 ἔφαψιν ABRST 23 μεταξὺ . . . ἄπεπτον *(26) om.* T πρόκειται R 24 ἀμελῶc AMST: ἁπλῶc B τὸ *(prius) om.* B τὸ *(alt.) om.* A 25 πᾶν] ποῦ R 27 οὗτοc BMS καὶ *ante* φῦcαν *add.* V cτεγανότητα A τῆc *om.* M

ἐργάζεται καὶ καυσώδης ἐστίν, ἔτι δ᾽ ὠμὸν καὶ ἄπεπτόν ἐστιν ἔδεσμα καὶ χυμῶν τοιούτων γεννητικόν᾽.

κάκιστον δέ, φησί, καὶ πεπληρωμένον μετὰ πόματος φαγεῖν αὐτό, ὅπερ εὔδηλόν ἐστι καὶ τοῖς ἰδιώταις· ἔστι μὲν γὰρ καὶ ἄλλως οὐκ ἀγαθὸν ἔδεσμα τυρός, ὡς ἂν παχύχυμος καὶ δύσπεπτος ὑπάρχων, εἰ δ᾽ ἐν τῷ πίνειν αὐτῷ τις χρήσαιτο πεπληρωμένος ὤν, χείριστος ἁπάντων τῶν ἐδεσμάτων γίνεται, βαρύνων τε τὸ στόμα τῆς γαστρὸς αὐτός τε πρῶτον διαφθειρόμενος, εἶθ᾽ ἑαυτῷ συνδιαφθείρων καὶ τἄλλα.

IV 88 [II 18. II 484, 5 L.] Ὄσπρια δὲ πάντα φυσώδεα καὶ ὠμὰ καὶ ἑφθὰ καὶ πεφρυγμένα, ἥκιστα δὲ βεβρεγμένα ἢ χλωρά· τουτέοισι δὲ | μὴ χρῆσθαι, εἰ μὴ μετὰ σιτίων. ἔχει δὲ καὶ ἰδίας **875** μοχθηρίας ἕκαστον αὐτῶν.

Ἐμπίπλησι τὴν κοιλίαν πάντα τὰ ὄσπρια, πρὸς τούτοις δὲ καὶ δυσπεπτότατα αὐτῶν ἐστι τὰ ὠμά, τὰ δὲ πεφρυγμένα φυσώδη μὲν ἧττον, ἄπεπτα δ᾽ οὐδὲν ἧττον, ὅσα δὲ πλεῖστον ἥψηται, μετριώτερα.

τὸ δ᾽ ἐφεξῆς ἔν τισι μὲν τῶν ἀντιγράφων γέγραπται καὶ βεβρεγμένα καὶ χλωρά, ὡς καὶ τούτων τὰς προειρημένας κακίας ἐχόντων, ἐν δὲ τοῖς πλείστοις οὐχ οὕτως, ἀλλ᾽ ἐφ᾽ ἑτέρας ἀρχῆς ἥκιστα δὲ βεβρεγμένα.

χλωρὰ μὲν οὖν λέγεται τὰ μὴ ξηρὰ μηδὲ ἀκριβῶς ἤδη τέλεα, βεβρεγμένα δὲ τὰ ὕδατι βραχέντα. συμβουλεύει τοίνυν ἄνευ σιτίων ὀσπρίοις μὴ χρῆσθαι, σιτία δηλονότι μάλιστα μὲν τοὺς ἐκ πυρῶν ἄρτους λέγων ἢ ἁπλῶς ἅπαντα τὰ ὁπωσοῦν σκευαζόμενα, τάχα δὲ καὶ τἄλλα πάντα, ἐξ ὧν ἄρτοι γίνονται, ζειὰς καὶ | τίφας καὶ κριθάς· οἱ **876** δ᾽ ἀγροῖκοι καὶ ἀπὸ τῶν κέγχρων ἀρτοποιοῦνται.

1 καυσώδης] *cf. Gal. VI 696 K.* 5 παχύχυμος] *cf. Gal. VI 697* 10 Ὄσπρια] *cf. Gal. XI 373, 17* 14 ὄσπρια] *cf. Gal. VI 524* 15 πεφρυγμένα] *cf. Gal. VI 302*

1 καὶ διψώδης T 6. 7 τῷ πεπληρωμένος εἶναι χείρ. CRT 7 τῶν *om.* ST βαρύνων τε TV: βαρύνων μὲν ABMS: βαρυνόμενόν τε CR 8 πρῶτον ABCMRST: πρῶτος V 9 τἄλλα] τὰ λοιπὰ AMS 10 περὶ ὀσπρίων *praescr.* S πάντων R 11 ἥκιστα δὲ] καὶ CR: ἢ οὕτως ἥδιστα δὲ τὰ S: δὲ *om.* T ἢ] καὶ S 12 δὲ *(prius) om.* M χρῆσθαι *codd.*: χρέεσθαι *ex Aldo edd.* μετὰ] διὰ PV 13 αὐτῶν *codd.*: αὐτέων *ex Aldo edd.* 14 ἐμπλήσει MS: πίπλησι V κοιλίην B 15 δυσπεπτότερα C 16 ἄπεπτον S ἄπεπτα . . . ἧττον *om.* B 18 ὡς *om.* M τούτων AMS: τῶν τοιούτων *cett.* 19 δὲ *post* πλείστοις *transp.* RTV ἐφ᾽] *malim* ἀφ᾽, *ut est apud Gal. XVII A 829, 11* ἀφ᾽ ἑτέρας ἀρχῆς δὲ *post* ἥκιστα *om.* A 20 *post* βεβρεγμένα *add.* ἢ χλωρὰ *Chartier*: *om. codd.* 22 βραχέντα BMS: βρεχθέντα *cett.* 23 χρῆσθαι CR: χρᾶσθαι AMS: χρέεσθαι BTV μάλιστα] τὰ μάλιστα T: τὰ μέγιστα CR 24 ἅπαντα *om.* AMS σκευαζόμενα πάντα AMS 25 πάντα *om.* AMS ὧν ABMS: ὅσων *cett.* ἄρτοι] αὐτοὶ ABMS 26 τῶν *om.* M ἄρτους ποιοῦνται CRTV

IV 89 [II 18. II 486, 2 L.] Ἐρέβινθος μὲν φῦσαν, ὠμὸς καὶ πεφρυγμένος, καὶ πόνον ἐμποιέει.

Τινὲς γράφουσι διὰ τοῦτ' αὐτὸ φῦσαν ἐμποιεῖν, ὡς ἐντείνοντα τὰ αἰδοῖα, τὸν ἐρέβινθον· διὰ μέντοι τὸ ὑπογεγραμμένον τῆς λέξεως τὸν πόνον φέρομεν ἐπὶ τῆς διὰ τὴν ἐμφύσησιν ὀδύνης.

IV 90 [II 18. II 486, 4 L.] Φακὸς δὲ στύφει καὶ ἄραδον ἐμποιέει, ἢν μετὰ τοῦ φλοιοῦ ᾖ.

Τὴν ἄραδον φωνὴν ἔφην σημαίνειν ταραχήν τινα καὶ οἷον μάχην
877 ἐν τῇ γαστρὶ γινομένην ἐκ τῶν διαφόρων ταῖς | δυνάμεσι σιτίων, ὥσπερ καὶ νῦν, ὅταν μετὰ τοῦ φλοιοῦ προσενεχθῇ, πολὺ τῆς σαρκὸς αὐτῆς ἐστι δυσπεπτότερος.

IV 91 [II 18. II 486,5 L.] Θέρμος δὲ ἥκιστα τουτέων κακὰ ἔχει.

Τὸ ἥκιστα τοὐναντίον σημαίνει τῷ μάλιστα· δῆλον δ' ὅτι τὸν θέρμον ἐλάχιστα τῶν προειρημένων ἔχειν φησὶ τὰ κακά.

IV 92 [II 18. II 486, 6 L.] Σίλφιον δὲ καὶ ὀπός· ἔστι μὲν οἷσι μάλιστα, τοῖς δ' ἀπείροις οὐ διέρχεται ἡ κοιλίη, ⟨ἀλλὰ καλεῖται ξηρὴ χολέρη⟩.

Τὴν ῥίζαν τοῦ σιλφίου καλεῖν ἔθος ἐστὶ τοῖς ἀνθρώποις ὁμωνύ-
878 μως ὅλῃ τῇ βοτάνῃ. ταύτην δέ φησι καὶ προσέτι | τὸν ὀπὸν τῆς πόας τοῖς ἀπείροις, τουτέστι τοῖς ἀήθεσι, ξηρὰν ἐργάζεσθαι χολέραν· ἥτις δ' ἐστὶν αὕτη, μετ' ὀλίγον αὐτὸς διδάξει γράφων ὧδε· "χολέρης

1 φῦσαν] *cf. Gal. XI 373 sq. K.* 6 στύφει] *similiter Gal. VI 525 sq.* 8 ἔφην] *p. 138, 21; cf. Erotian. p. 48, 9 Klein. Schol. Nicand. Ther. 775* 12 θέρμος] *cf. Gal. VI 534 sq.* 15 σίλφιον καὶ ὀπὸς] *hunc locum commemorat Gal. XIX 110 s. v.* καυλός 21 μετ' ὀλίγον αὐτὸς διδάξει] *p. 348, 29 sq.*

1 περὶ ἐρεβίνθων *praescr.* S φῦσαν μὲν AMRTV: μὲν *om.* S: *transposui* 2 ποιέει ABSTV: ποιήσει M 3 αὐτὸ CRT: αὐτὸν *cett.* φύσαν ἐμποιεῖν (ἐμποιῆν M) ABMSV: φυσώδη RT 3. 4 ἐντείνοντος τὰ αἰδ. τοῦ ἐρεβίνθου ABMS 4 τὸ] τὸν R τὸν *om.* A 5 φέρομεν] λαμβάνει ST: *om.* AM τῆς . . . ὀδύνης AMS: τὴν . . . ὀδύνην *cett.* 6 στύφος S 7 τοῦ *om.* BCRT 8 σημ. ἔφην φωνὴν S ἔφη MV 9 γενομένην M 10 τοῦ *om.* CR φλοιοῦ αὐτῆς B προσενεχθῇ ABMS: προσενέγκηται τις (*om.* V) CRTV σαρκὸς] γρ. γαστρός C[1] 11 δυσπεπτότερος *scripsi*: δυσπεπτότερον MS: δυσπεπτότερα *cett.* 12 περὶ θέρμου *praescr.* S Θέρμος . . . ἔχει *om.* T ἐλάχιστα *ante* κακὰ *add.* ABCRSV 13 *post* τοὐναντίον *add.* ἐνταῦθα C δῆλον δ' ὅτι AM: δῆλον ὅτι S: δηλονότι *cett.* τὸν] καὶ τὸ CR: καὶ τὸν T 14 τὰ κακὰ ABMSV: κακὰ CR 15 περὶ σιλφίου *praescr.* S σίλφιον (σιλφίου M) δὲ (*om.* R) *codd. cum optimo Hipp. cod. A*: σιλφίου δὲ καυλὸς *ex Hipp. Aldus; cf. Littré not.* 16 τοῖς *codd.*: τοῖσι *ab Aldo edd.* ἀπείροις CRTV: ἀπειροτέροις ABMS ἡ κοιλίη M: κοιλία S: κοιλίη *cett.* ἀλλὰ . . . χολέρη *(17) ex Hipp. add. Aldus*: *om. codd.* 18 ἐστὶ τοῖς ἀνθρώποις M: τοῖς ἀνθρώποις ABST: *om.* CRV 19 ταυτὸν A δέ] οὖν AS: ὁδὶ BCTV 20 ἄνθεσι M 21 αὕτη] ἥδε AMS ὁ γράφων S ὡδί BRV

δὲ ξηρῆς ἡ γαστὴρ πεφύσηται καὶ ψόφοι ἔνειςιν''. εὔδηλον οὖν, ὅτι πνεῦμα φυςῶδες ἀθροίζεται κατὰ τὴν κοιλίαν ἐκ τῆς τοῦ ςιλφίου προςφορᾶς· ἐςτὶ δὲ δριμὺ καὶ καυςῶδες τοῦτο. τί οὖν ςημαίνει τὸ ἔςτι μὲν οἷςιν, οὐδὲν ἐκ τῆς λέξεως ςαφές, καὶ διὰ τοῦτ' ἐξηγούμενός τις ἕκαςτον τούτων ἐρεῖ τὸ πιθανώτατον ἑαυτῷ φαινόμενον· ἄπορον γὰρ τὸ κατὰ λόγον ἐρεῖν ἐν τοῖς τοιούτοις.

IV 93 [II 18. II 488, 2 L.] Μάλιςτα δὲ γίνεται, ἣν μετὰ πολλοῦ τυροῦ μιχθῇ ἢ κρεηφαγίης βοείων κρεῶν.

Τὴν αὐτῷ κεκλημένην ξηρὰν χολέραν μάλιςτα γίνεςθαί φηςι τοῖς τὸ ςίλφιον ἅμα τῷ τυρῷ πλέον προςενεγκαμένοις ἢ βοείοις κρέαςιν· ἡ γὰρ ἐκ τοῦ ςιλφίου γεννωμένη φῦςα τοῖς ἐμπλαςτικοῖς καὶ βραδυπόροις ἐδέςμαςι μιχθεῖςα μένει κατὰ τὴν γαςτέρα μὴ διεξερχομένη. |

IV 94 [II 18. II 488, 3 L.] Τὰ μὲν γὰρ μελαγχολικὰ παρ- 879
οξυνθείη ἂν παθήματα ὑπὸ βοείων κρεῶν· ἀνυπέρβλητος γὰρ ἡ φύςις αὐτῶν καὶ οὐ τῆς τυχούςης κοιλίης καταπέψαι.

Ἦν μὲν αὐτῷ περὶ ςιλφίου δυνάμεως ὁ λόγος, ἐπέμιξε δὲ τούτῳ τὴν τῶν βοείων κρεῶν ἐδωδὴν καὶ μετὰ ταῦθ' ἑξῆς ἐπ' αὐτὰ μεταβὰς τὰ μελαγχολικὰ πάθη παροξύνεςθαί φηςιν ὑπ' αὐτῶν, εἶθ' ἑξῆς ὡς ἂν αἰτίαν ἀποδιδοὺς ἐπαναδιπλῶν τοῦτό φηςιν· ἀνυπέρβλητος γὰρ ἡ φύςις αὐτῶν. ἐχρήςατο μὲν οὖν τῷ γάρ ςυνδέςμῳ, καθάπερ οἱ τὰς αἰτίας ὧν προειρήκαςι λέγοντες· οὐ μὴν αὐτοῦ γε τοῦ παροξύνεςθαι τὰ μελαγχολικὰ πρὸς τῶν βοείων κρεῶν εἶπεν αἰτίαν, ἄλλην δέ τινα κοινοτέραν τὴν κατὰ τὸ δυςκατέργαςτον τῆς φύςεως αὐτῶν καὶ ἰςχυρόν· ἡ γὰρ ἀνυπέρβλητος φύςις ἐςτίν, ἣν οὐκ ἄν τις ὑπερβάλλοιτο.

2 πνεῦμα φυςῶδες] *similiter Gal. XII 123, 8 K.* 14 ὑπὸ βοείων κρεῶν] *cf. Gal. VIII 183. VI 661*

1 πεφύςητο S 2 κοιλίαν CS: κοιλίην *cett.* 3 *post* τί *add.* δὴ TV 5 ἐρεῖ τούτων BCR αὐτῷ CR 5. 6 γὰρ θεῖναι τὸ AS: γὰρ τὸ θῆναι B 6 ἐρεῖν *om.* AS 7 δὲ *om.* S 8 μιχθῇ *Hipp.*: μιχθείη *codd.* 9 τὴν δὲ B αὐτῶ κεκλ. *post* χολέραν *transp.* BCRTV χολέρην *ab Aldo edd.* 11 γενομένη CRS 12 μὴ *om.* CR 13 *ante* Τὰ *praescr.* περὶ κρεῶν S καὶ *ante* παροξυνθείη *add.* V 14 ἀπὸ S *post* κρεῶν *add.* ἐδωδῆς ABCMR, ἐδωδὴν S: *om.* V: κρεῶν ἐδωδῆς *om.* T 15 αὐτέων V οὐχὶ M κοιλίης] χολῆς AB καταπέψαι] χαλάςαι B: καθιεῖςαι A 16 δ' αὐτῶ AMS 17 ἐπ' αὐτὰ *om.* S 18 παροξύνεςθαι AMS: παροξυνθήςεςθαι BCRTV ὑπ' αὐτῶν . . . φηςιν *(19) om.* V ὡς ἂν *om.* S: ἂν *om.* T 19 αἰτίαν CT: αἰτίας *cett.* αἰτίαν ἀποδ. *om.* ABS ἐπαναδιπλῶν M: ἐπαναδιπλοὺς ABS: *om.* T: ἂν μεταναδιπλοῦς T[1] *in mrg.*: ἐπαναδιπλοὺς *(sic) ante* αἰτίαν *transp.* CRV τούτου CT 21 ὧν προειρήκαςι *codd.*: ὧνπερ εἰρήκαςι *ab Aldo edd.* 22 τοὺς μελαγχολικοὺς C ἄλλην δέ τινα ABMS: τινὰ δὲ ἄλλην CRTV 23 δυςκαρτέρητον AS τῆς φύςεως *post* ἰςχυρὸν *transp.* M αὐτῶν ABS: *om. cett.*

880 **IV 95** [II 18. II 490 L.] Βέλτιστα δ' ἂν ἀπαλ|λάσσοιεν, εἰ διέφθοισί τε χρέοιντο καὶ ὡς παλαιοτάτοισιν.

Καὶ τοῦτο καθολικωτέραν ἔχει τὴν συμβουλήν, οὐ κατὰ τὰ μελαγχολικά· τοῖς γὰρ βοείοις κρέασιν ἄμεινον χρῆσθαι διέφθοις τε καὶ παλαιοῖς, ὥσπερ τοῖς ἄλλοις ἅπασι δυσπέπτοις. οὐ κυρίως δ' ἐχρήσατο τῇ βέλτιστα λέξει· οὔτε γὰρ οἱ μελαγχολικῶς νοσοῦντες οὔτ' ἄλλος τις ἄνθρωπος ὑγιαίνων ἢ νοσῶν βέλτιστα ἂν ἀπαλλάσσοι βόεια δίεφθα καὶ παλαιὰ προσφερόμενος· τῶν γὰρ ἐσθιόντων αὐτὰ πάντων εἰσὶν οὐκ ἀγαθὴ τροφή· ἀλλ' ἧττον τῶν ἄλλων οἱ τὰ τοιαῦτα προσφερόμενοι βλάπτονται. μεταθεὶς οὖν τὸ βέλτιστα καὶ ποιήσας ῥήϊστα τὸν λόγον ἄμεμπτον ἐργάσῃ.

IV 96 [II 18. II 490, 2 L.] Αἴγεια δὲ κρέα ὅσα τε ἐν βοείοισιν ἔνι κακὰ ἅπαντ' ἔχει [τήν τε ἀπεψίην] καὶ φυσωδέστερα καὶ ἐρευγματωδέστερα καὶ χολέρην ποιέει. ἔστι δὲ τὰ εὐωδέστατα καὶ ἥδιστα, ταῦτ' ἄριστα δίεφθα καὶ ψυχρά. τὰ δ' ἀηδέ-
881 στατα | δυσώδεα καὶ σκληρά, ταῦτα κάκιστα καὶ τὰ πρόσφατα. βέλτιστα δ' ἐστὶ τῇ θερινῇ, μετοπώρου δὲ κάκιστα.

Κἀνταῦθα πάλιν εἶπε τὴν αἰτίαν τοῦ τῶν βοείων κρεῶν εἶναι φαυλότερα τὰ αἴγεια· δύσπεπτα γὰρ ὁμοίως ὄντα τὰ αἴγεια φυσωδέστερα τῶν βοείων ἐστὶν ἐρυγάς τε πολλάκις ποιεῖ μοχθηρὰν ἐχούσας ποιότητα. δριμύτερα δ' ὄντα καὶ θερμότερα τῶν βοείων, εἰ ἀπεπτηθείη, καὶ χολέραν ἐργάζεται· διὸ καὶ ψυχρὰ μᾶλλον ἢ θερμὰ δεῖ ἐσθίειν αὐτά.

βέλτιστα δ' ἐστὶ τῇ θερινῇ, μετοπώρου δὲ κάκιστα. βέλτιστα δ' εἶναί φησι σφῶν αὐτῶν τὰ κρέα τῶν αἰγῶν, οὐ γὰρ δὴ τῶν ἄλλων γε κρεῶν. ἐχρῆν μὲν οὖν ὅσον ἐπὶ τῇ ὥρᾳ φαυλότατα διὰ τὴν κρᾶσιν εἶναι· συμβαίνει δὲ βελτίονα τὴν τροφὴν αὐταῖς κατὰ τὸ θέρος

21 δριμύτερα] *cf. Gal. VI 663, 14 K.*

2 χρέονται AMS   παλαιτάτοισι σαχνοῖς *(glossa)* C; *ab hoc vocab. defic.* C *usque ad p. 348, 10* τούτῳ λόγῳ; *in marg. inferiore legitur* λείπει τὸ ἑξῆς φύλλον   7 ἀπαλλάσσῃ MS   8 τῶν γὰρ] ἀλλὰ V   εἰσὶν *post* ἐσθιόντων *transp.* RTV   9 τῶν ἄλλων *om.* RT: ἢ ὑπὸ τ. ἀ. *coni. Littré*   10 τὸ] τὰ AS   ῥήϊστα *Littré*: ἥκιστα *codd.*   11 ἄπεπτον A   12 βοείοις P^1V   13 ἔνι] ἔχει ABM   ἔχει *om.* ABM   τήν τε ἀπεψίην *tamquam glossema del. Littré*   ἀπεψίαν PTV   14 καὶ ἐρευγμ. *om.* A   χολὴν ποιήσει (ποιέει A) AM   εὐωδέστατα P^1R: εὐωδέστερα *cett.*   *post* εὐωδέστερα *add.* στερεὰ ABV, μὴ στερεὰ RST: *om.* M   16 καὶ δυσώδεα M   τὰ *om.* A   17 ἐστὶ] ἐπὶ PV   καὶ μετοπώρου δὲ M: μετοπωρινῇ δὲ *cett.*   19 ὁμοίως *om.* AM   τὰ αἴγεια *(alt.)* *om.* BST   20 ἐστὶν *scripsi*: εἰσὶν *codd.*   ποιεῖ *om.* PV   21 δριμύτατα BRST   θερμότατα BST   ἀπεπτηθείη *scripsi*: ἀπεπτηθῇ *codd.*   22 δεῖ *Chartier*: δεῖν *codd.*   24 θερινῇ ὥρᾳ ABM   μετοπωρινῇ P^1: μετοπώρου *cett.*   ταύτῃ κάκιστα τῇ ὥρᾳ P^1V   25 δ' *Aldus*: δὲ ταῦτα RST: ταῦτα B: *om.* AMV   αὐτῶν *om.* M   αἰγείων B   26 γε *om.* AM   μὲν *om.* A   26. 27 φαυλότατον (φαυλότατα P^1) διὰ τὴν κρᾶσιν PV: φαυλοτάτοις γε διὰ τὴν κρᾶσιν BST: φαυλοτάτοις γε τοῖς κρέασιν AMR   27 αὐτῶν S

εἶναι, καθάπερ τοῖς ποηφάγοις τῶν ζῴων μοχθηρὰν διὰ τὸ μηκέτ᾿ ἔχειν τὴν πόαν χλωράν· ταῖς δ᾿ αἰξὶν ἐπιτηδειοτάτη τροφὴ τῶν δένδρων οἱ βλαστοὶ καὶ οἱ καυλοί εἰσιν, οὓς ἐπὶ τῇ τελευτῇ τοῦ ἦρος ἔχει δαψιλεῖς καὶ κατὰ τὸ θέρος. ὅτι δ᾿ αἱ τροφαὶ | πλεῖστον δύνανται πρὸς τὴν 882 τῶν κρεῶν ἐπιτηδειότητα κἀκ τῶν ἀλωπέκων ἔνεστί σοι μαθεῖν ἐν φθινοπώρῳ καλλίστην ἐχουσῶν τὴν σάρκα διὰ τὰς σταφυλάς. οὕτω δὲ καὶ τὸ στρουθίον ἡ συκαλὶς καλλίστην ἔχει τὴν σάρκα. φθινοπώρου τοίνυν αἱ αἶγες ἀποροῦσαι τροφῆς ἐπιτηδείου χειρίστην καὶ ἰσχνοτάτην ἔχουσι τὴν σάρκα, κατὰ δὲ τὸν χειμῶνα πάλιν ἀμείνω τὴν τοῦ σώματος ἕξιν ἴσχουσι, τὴν φυσικὴν δυσκρασίαν ὑπὸ τῆς κατὰ τὴν ὥραν ἐπανορθούμεναι κράσεως.

IV 97 [II 18. II 492, 5 L.] Χοίρου δὲ πονηρά, ὅταν ᾖ ἐνωμότερα ἢ περικαῆ· χολερώδεα δ᾿ ἂν εἴη καὶ ταρακτικά. ὕεια δὲ βέλτιστα τῶν κρεῶν πάντων· κράτιστα δὲ τὰ μήτ᾿ ἰσχυρῶς πίονα μήτε λεπτὰ μήθ᾿ ἡλικίην ἱερείου παλαιοῦ· ἐσθίειν δὲ ἄνευ τῆς φορίνης ἢ καὶ ὑπόψυχρα. |

Χοῖρον ἐξαιρέτως ὠνόμαζον οἱ παλαιοὶ τὸν μικρὸν λίαν, ὥσπερ 883 παρὰ τῷ ποιητῇ ἔστιν εὑρεῖν·

ἔσθιε νῦν, ὦ ξεῖνε, τὰ δὴ δμώεσσι πάρεστι,
χοίρε᾿, ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν.

οἱ δὲ μνηστῆρες οὐκ οἶδ᾿ ὅπως τοὺς σιάλους ἤσθιον· τοὺς γὰρ ὑπὲρ τοὺς τελείους οὕτως ὠνόμασεν· ἀναισθητότατοι ⟨δὴ⟩ πάντων ἦσαν οἱ μνηστῆρες εἰς διάγνωσιν ὑγιεινῶν τε ἅμα καὶ ἡδέων ἐδεσμάτων, ὥσπερ

4 κατὰ τὸ θέρος] *cf. Gal. VI 660 K.* 6 διὰ τὰς σταφυλάς] *cf. Gal. VI 665* 16 φορίνης] *cf. Gal. lex. Hipp. s. v. (XIX 153). Erotian p. 133, 7 Klein* 19 *Hom.* ξ *80. 81*

1 τοῖς ποηφάγοις AM: τὰ ποηφάγα *cett.* μοχθηρὰν AM: μοχθηρὰ *cett.* 3 οἱ *ante* καυλοὶ *om.* RS κλάδοι A εἰσιν AM: *post* βλαστοὶ *transp.* B: ἐστιν V: *om.* RST τῇ *om.* ST ἔχει] *sc.* τὰ δένδρα δαψιλὲς BM 4 καὶ κατὰ A: καὶ *om. cett.* τὸ *om.* BSTV δ᾿ αἱ τροφαὶ AM: δὲ τροφὴ *cett.* δύνανται AM: δύναται *cett.* 6 *post* φθινοπώρῳ *add.* μάλιστα R: *del.* R¹ ἐχούσας ST τὴν σάρκα δ. τ. στ. AM: δ. τ. στ. (τὴν B) σάρκα *cett.* 8 αἱ *om.* RST ἐπιτηδείας M καὶ ἰσχνοτάτην *om.* ABM, *fortasse recte* 9 ἴσχουσι M 10 ἴσχουσιν ἕξιν A ὑπὸ] ἐκ M 11 ἐπανορθούμεναι κράσεως A: κράσεως ἐπανορθούμενα BRST: ἐπανορθουμένης κράσεως M: κρ. ἐπανορθούμεναι V 12 ὁκόταν MR ᾖ *om.* ABSTV ἐνωμότερα M: ἔνωμα *cett.* 13 ἢ] καὶ ABT χολερώτερα M: χολώδεα *cett.*: χολερώδεα *Hipp. cod. A* ἐκταρακτικὰ *Chartier* 14 δὲ *(prius) codd.*: *om. Chartier* ἁπάντων MR 15 (τὰ *add.* A) λεπτὰ *codd.*: πάλιν ἰσχυρῶς λ. *Chartier* ἡλικίην *codd.*: ἡλ. φέροντα *Chartier* 16 ἢ *om. codd. Hipp.* ὑπόψυχρα] *desinit* S 18 ἔστιν εὑρεῖν *om.* M 19 ἔσθιε νῦν RU *et* P¹ *in mrg.*: ἐσθίειν ATV: *om.* BMP ὦ ξεῖνε τὰ *ex Homero Aldus*: ξύνεται AMP: ξύνετο (-έτω B) BT: ξύνετε V: ἥξειν τὸ RU *et* P¹ *in mrg.* δὴ ABMP¹RT: μὴ U: σὺν PV δμώαισι ABT: δμῶαι ἂν M 20 χοίρει᾿ AMPV: χοίρεια B: χοίρια T: χοῖρες RU: χοίρους P¹: *corr. Aldus* γε RU: τε P¹: τοὺς AM: τὰς BPTV ὕας ABPT μνηστῆρες ἔδουσιν *om.* ABMTV 21 οἱ δὲ μνηστῆρες *om.* RU δὲ BT: δὴ PV: *om.* AM 22 ὠνόμασεν AMRU: ὠνόμαζον BPV ἀναίσθητοι PV: ἀναισθητότητα T: ἀναισθητότατα P¹ *in mrg.* δὴ *addidi*: εἰ μὴ *ante* ἀναισθ. *add. Cornarius* 23 ὑγιεινῶν ABMPV: εὐπέπτων RTU

κἂν τῷ τὰϲ γαϲτέραϲ τῶν αἰγῶν ἐϲθίειν τὰϲ ἐμπληϲθείϲαϲ αἵματόϲ τε καὶ λίπουϲ, οὐ δυϲπεπτότερον τί ἂν εὕροιϲ ἔδεϲμα; κάλλιϲτον δὲ κρέαϲ εἰϲ ἡδονὴν καὶ πέψιν ἐϲτὶ τὸ τῶν μέϲων κατὰ τὴν ἡλικίαν, τὸ δὲ καὶ γεννητικόν ἐϲτιν αἵματοϲ χρηϲτοῦ. χείριϲτον δ' ἐϲτὶ τὸ τοῦ παλαιοτάτου καὶ τὸ τοῦ μετὰ τὴν ἀποκύηϲιν εὐθέωϲ ἐϲθιομένου· τοῦτο γὰρ ϲχεδὸν ἁπάντων ὧν ἄνθρωποϲ ἐϲθίει ζῴων χερϲαίων ὑγροτάτην ἔχει τὴν ϲάρκα, καὶ διὰ τοῦθ' ὑπερβαλλόντωϲ ὑγρὰ ἡ τῶν ἀρτιγενῶν οὖϲα
884 ϲὰρξ φλέγμα γεννᾷ πλεῖϲτον· ἐὰν δὲ καὶ ἐνωμοτέρα τύχῃ, | πολὺ μᾶλλον.

τῷ δ' αὐτῷ τούτῳ λόγῳ καὶ τὴν τῶν ὑῶν λιπαρωτάτην οὖϲαν ϲάρκα χείρονα νομίζει τῆϲ τῶν μέϲων εὐϲάρκων ὑποπτεύων αὐτῆϲ τὴν ὑγρότητα, δι' ἣν καὶ πᾶϲα πιμελὴ τῆϲ ὁμογενοῦϲ ϲαρκὸϲ χείρων ἐϲτὶν εἰϲ πέψιν τε καὶ θρέψιν. καὶ τὰ περικεκαυμένα δὲ κατὰ τὴν ὄπτηϲιν ἀνεπιτήδεια πρὸϲ εὐχυμίαν τε καὶ πέψιν ἐϲτὶ καὶ χολέραϲ ποιητικὰ διὰ τὴν προϲελθοῦϲαν αὐτοῖϲ δριμύτητα· κοινὴ γὰρ αὕτη κακία τῶν χολερωδῶν ἐδεϲμάτων ἐϲτίν, ὅταν ὑγρά τ' ᾖ καὶ δριμέα. διαφθείρεται γὰρ ὁμοίωϲ τὰ τοιαῦτα καὶ τῇ δριμύτητι τὰ ϲτόματα τῶν καθηκόντων εἰϲ τὴν κοιλίαν ἀγγείων ἀναδάκνοντα τῶν ἐξ ὅλου τοῦ ϲώματοϲ εἰϲ αὐτὴν ῥευμάτων αἴτια γίνεται.

τὸ δ' ἄνευ τῆϲ φορίνηϲ δεῖν ἐϲθίειν τὰ χοίρεια, τουτέϲτιν ἄνευ τοῦ δέρματοϲ, πρόδηλον· οὐ γὰρ ὁμοίωϲ τῇ ϲαρκὶ τοῦ ζῴου τὸ δέρμα πέττεϲθαι πέφυκεν, ὡϲ ἂν ψυχρότερον ὑπάρχον. ὑπόψυχρα δὲ καὶ ταῦτ' ἀξιῶν ἐϲθίειν δῆλόϲ ἐϲτι τὰ θερμὰ πάντ' εὐλαβούμενοϲ κρέα
885 νομίζων ἴϲωϲ αὐτὰ καυϲωδέϲτερα καὶ φυ|ϲωδέϲτερα τῶν ὑποψύχρων εἶναι. ἐγὼ δ' ἐπὶ μὲν τῶν αἰγείων κρεῶν ὅϲα τ' ἄλλα φύϲει θερμὰ προϲίεμαι τὸν λόγον, ἐπὶ δὲ τῶν εὐκράτων κατὰ θερμότητα καὶ ψύξιν, οἷα τῶν ὑῶν ἐϲτιν, ἁπλῶϲ οὕτωϲ λεγόμενον ἀδιορίϲτωϲ οὐ προϲίεμαι· διοριϲαμένῳ γὰρ ἐπιτηδειότερα γένοιτ' ⟨ἂν⟩ τὰ θερμὰ τῶν ψυχρῶν.

IV 98 [II 19. II 494, 4 L.] Χολέρηϲ δὲ ξηρῆϲ ἡ γαϲτὴρ πεφύϲηται καὶ ψόφοι ἔνειϲι καὶ ὀδύνη πλευρέων καὶ ὀϲφύοϲ, διαχωρέει δὲ οὐδὲν κάτω, ἀλλ' ἀπεϲτέγνωται.

1 τὰϲ γαϲτέραϲ] *Hom.* ϲ *44* 3 τὸ τῶν μέϲων] *cf. Gal. I 579 K.* 10 τῶν ὑῶν] *cf. Gal. VI 663* 20. 21 ἄνευ τοῦ δέρματοϲ] *cf. Gal. VI 773*

1 τὰϲ *om.* T πληϲθείϲαϲ RU 1. 2 τε καὶ ABM: καὶ PRTU 2 ἀπεπτότερον RU τί] οὐδὲν AM εὕρηϲ A: εὕροιο PV 3 καὶ *(alt.) om.* P: *add.* P¹ *in mrg.* 4 αἱματόϲ ἐϲτι B 5 τοῦτο γὰρ *om.* BPV: *add.* P¹ *in mrg.*: γὰρ *om.* T 6 χερϲαίων *om.* AM *post* ὑγροτάτην *add.* γὰρ BPV: *del.* P¹ 7 καὶ *om.* A οὖϲα τῶν ἀρτιγενῶν *colloc.* RU τῶν *om.* T 7. 8 οὖϲα ϲὰρξ AM *(cf. v. 10. 11)*: ϲὰρξ *post* ἡ *transp. cett.* 8 γεννᾷ φλέγμα *colloc.* AM πολλῷ M 10 καὶ τὴν] *rursus incipit* C ὑείων BCTU: οἰῶν A λιπαρότητα M 11 αὐτοῖϲ M¹ 13 ἐϲ AT τὴν *om.* M 15 καὶ διὰ V 16 ᾖ *scripsi*: εἴη *codd.* 17 τὸ ϲτόμα R τῶν] τὸν CRU 19 αἰτία A 20 ἐϲθίειν δεῖ M: ἐϲθίειν δεῖν A; *fortasse scribendum* ὅτι δ' ἄνευ . . . ἐϲθίειν δεῖ χοίρια CRU 22 πέφυκε π. M ὑπάρχον] ὂν AM 23 κρέη T 27 ὑείων A οὕτωϲ *om.* C προϲίεμαι λέγειν CRU 28 διοριϲμένα CU ἂν *addidi* 29 χολέροιϲ δὲ ξηροῖϲ M ξηρᾶϲ CR 30 ὀϲφύων B 31 διαχωρέει *cum Hipp.* P¹: διαχωροῦϲι *cett.* κάτω οὐδὲν CRU ἀποϲτ. AM

Τὴν ἁπλῶς ὀνομαζομένην ὑπὸ τῶν ἀνθρώπων χολέραν ὑγρότητι διορίζει τῆς ξηρᾶς [χολέρας]· ὀνόματι δὲ κοινῷ κατ' ἄμφω κέχρηται, πρὸς τὸν τῆς γενέσεως τρόπον ἀποβλέπων ὄντα κοινόν. ὡς γὰρ ὑγρὰ χολέρα γίνεται δριμέων χυμῶν ἐκ τῆς διαφθορᾶς τῶν ἐδηδεσμένων γεννηθέντων, οὕτως ἡ ξηρὰ πνεύματος φυσώδους δριμέος· δι' ὃ καὶ τὰ πλησιάζοντα τῇ | γαστρὶ νευρώδη σώματα δακνόμενά τε καὶ τεινόμενα πόνον 886 ποιοῦσι. δυναμένων δὲ τῶν πνευμάτων τούτων ποτὲ μὲν ἴσχεσθαι, ποτὲ δὲ διεξιέναι, διὰ τὰ ἰσχόμενα πνεύματα τὴν ξηρὰν χολέραν ἐπιγεννᾶσθαι οὐκ ἔχω φάναι· πιθανώτερον δ' ἦν οὕτως ὀνομάσαι τὰ διεξερχόμενα.

IV 99 [II 19. II 494, 6 L.] Τὸν τοιόνδε διαφύλαξον, ὅκως μὴ ἐμεῖται, ἀλλὰ κοιλίη ὑπελεύσεται. κλύσον οὖν ὡς τάχος θερμῷ καὶ ὡς λιπαρωτάτῳ καὶ ἐς ὕδωρ ἀλείφων ὡς πλείστῳ κάθιε θερμόν, ἐν σκάφῃ κατακλίνων, καὶ τοῦ θερμοῦ ⟨κατὰ⟩ μικρὸν παράχεε· καὶ ἢν θερμαινομένῳ αὐτῷ ἡ κοιλίη ὑπίῃ, λέλυται. |

Τὸ μὲν οὖν ὅτι τάχιστα κλύζειν καὶ κωλύειν ἐμεῖν κοινὰ 887 παραγγέλματα πάντων τῶν ἐν κοιλίᾳ περιεχομένων παρὰ φύσιν, ἃ σπουδάζομεν ἐκκριθῆναι κάτω, κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὸ θερμῷ κλύζειν κλύσματι· προκλητικὸν γὰρ τὸ θερμόν, ὥσπερ ἀποκρουστικὸν τὸ ψυχρόν. τὸ δὲ λιπαρὸν [εἶναι τὸ] κλύσμα τῆς ξηρᾶς ἴδιον ἴαμα, διότι καὶ τὴν δύναμιν ἐναντίον ἐστὶν ὑγραῖνον τὴν ξηρότητα παρηγοροῦν τε τὴν δῆξιν. τῶν αὐτῶν ἔχεται σκοπῶν καὶ τὸ δι' ὕδατος καὶ δι' ἐλαίου θερμαίνειν τε καὶ παρηγορεῖν ἐν τῇ σκάφῃ πυριῶντα.

IV 100 [II 19. II 496, 1 L.] Συμφέρει δὲ καὶ ἐγκοιμᾶσθαι τῷ τοιῷδε —

1 χολέραν] *cf. Ps.-Gal. XIV 736, 3 sq. K.* 5 πνεύματος φυσώδους] *cf. p. 345, 2*

1 τὴν δ' R τῶν ἁ. ὀνομαζομένων M ὑπὸ τῶν ἀνθρ. *ante* ὀνομαζομένην *transp.* T 1. 2 χολέρης (χολέραν A) ὀνόματι τῷ τῆς ὑγρότητος δ. AM 2 τῆς] τὰς A *post* ξηρᾶς *add.* χολέρας *codd.*: *del. Chartier* δὲ *om.* A 3 γεννήσεως B: γνώσεως M ἀποβλέψας ABM κοινῶς M ὑγρὴ *codd.*: *correxi* 4 διαφορᾶς RU 5 δι' ὃ BPV: δι' οὗ *cett.* 6 *a* (τεινό)μενα *deficit* T *usque ad* (ἀτρε)μίζειν *p. 351, 5* 7 δὲ] τε B 8 δ' ἐξιέναι M 9 δ' AM: γὰρ *cett.* 10 τὸν] τὸ M ὅκως ABCMRU: ὅπως PV 11 ἐμεῖται BCMRU: ἐμῆται APV ὑπελεύσεται *codd.*: ὑπελεύσηται *a Basil. edd.* ὅτι τάχος P¹: ὡς τάχος *cett.*: ὅτι τάχιστα *Hipp. cod. A* 12 καὶ *ante* ἐς *om.* AM ὡς] ἐς AM: *om.* V πλείστῳ *Hipp.*: πλεῖστον *codd.* 13 κάθιε *codd.*: κάθιζε *a Basil. edd.* τοῦ *om.* BCMP¹R κατὰ P¹ *in mrg.*: *om. cett.* 14 πάρεχε *codd.*: *corr. Aldus* αὐτῷ *codd.*: αὐτέῳ *Chartier* 16 οὖν *hab. omnes praeter* PV 17 τῶν *om.* B 18 κάτω *om.* AM τὸ] τῷ BCPV 19 κλύσματα PV: *corr.* P¹ 20 *ante* κλύσμα *add.* εἶναι τὸ BPV, εἶναι τῷ CRU, τὸ AM: *inclusi* 22 τε *om.* PV: *add.* P¹ τὸ *om.* AM 23 δι' *om.* ABM 25 ξυμφέρει ABM

Ἄδηλον, πότερον ἐν τῇ σκάφῃ πυριώμενον αὐτὸν ἢ καὶ χωρὶς ἐκείνης κοιμᾶσθαι κελεύει· αὐτὸ δὲ καθ᾿ ἑαυτὸ σκοπουμένοις πρόδηλον, ὅτι πᾶσι τοῖς ἐξ ἀπεψίας ὁ ὕπνος ὠφελιμώτατός ἐστιν.

IV 101 [II 19. II 496, 2 L.] Καὶ πίνειν οἶνον λεπτὸν καὶ παλαιὸν καὶ ἀκρητέστερον, —

Οἶνον μὲν ὡς τῇ πέψει συντελοῦντα δίδωσι, λεπτὸν δ᾿, ὡς μὴ μείνῃ κατὰ τὴν γαστέρα, παλαιὸν δὲ καὶ ἀκρατέστερον ἕνεκα τοῦ θερμαίνειν μᾶλλον· ἅπας γὰρ οἶνος θερμαίνει τὴν ἕξιν, μᾶλλον δ᾿ ὁ παλαιός.

IV 102 [II 19. II 496, 3 L.] Καὶ ἔλαιον δίδου, ὥστε ἡσυχίῃ
888 καὶ | ἡ κοιλίη ὑπίῃ, καὶ λέλυται.

Τῶν δριμέων πραϋντικὸν τὸ ἔλαιον καὶ τῆς ξηρότητος ἐπανορθωτικόν, ὑπάγει δὲ μετρίως τὴν κοιλίαν· ὧν ἁπάντων χρεία τῷ θεραπευομένῳ.

IV 103 [II 19. II 496, 4 L.] Σιτίων δὲ καὶ ποτῶν ἀπεχέσθω.

Οἷς ἔνδεια μὲν οὐδεμία κατὰ τὸ σῶμα, τούτοις οὐδὲ χρεία προσθέσεως, ⟨οἷς⟩ ἄπεπτα δέ τινα περιέχεται πέψεως δεόμενα, τούτοις ἡσυχίας μέν ἐστι χρεία, σιτίων δὲ οὔ, πρὶν πεφθῆναι μετρίως τὰ περιεχόμενα.

IV 104 [II 19. II 496, 5 L.] Ἢν δὲ μὴ ἀνῇ ὁ πόνος, ὄνου γάλα δίδου πίνειν, ὅπως καθαρθῇ.

Εἰ δὲ τὸ προειρημένον σου ποιοῦντος ὁ πόνος μὴ λύοιτο, πλείων ἐστὶν ἡ δριμύτης τοῦ λυποῦντος αἰτίου καὶ διὰ τοῦτο καθᾶραι προσήκει τὸ σῶμα. ὄνου δὲ χρῆται γάλακτι τῶν μὲν καθαιρόντων φαρμάκων ἁ-

3 ὁ ὕπνος] *cf. Gal. XVII B 191, 8. 262, 7 K.* 8. 9 ὁ παλαιός] *cf. Gal. XI 646, 10. 655, 9*

1 ἄδηλον ὂν B: δῆλον ὂν CRU 2 δὲ *om.* CRU σκοπουμένοις AM: σκοπουμένῳ *cett.* 3 τοῖς ἐξ] τοῖς R: τῆς CU ὁ ὕπνος ABM: *om. cett.* ὠφελιμώτατος ABM: ὠφελιμώτατον *cett.* ἐστιν *om.* AM 6 δ᾿ *om.* PV: *add.* P¹ 7 μείνῃ ABCM: μείνοι V: μένοι P: μένει R: μένειν U 10 δὲ *ante* δίδου *add.* BCMPV: *del.* P¹ 11 ἡ *om.* R 12 *post* δριμέων *add.* δὲ P¹ 13 κοιλίαν CMP¹U: κοιλίην BPV: *obscur.* A χρεία ABM: δεῖ *cett.* 15 καὶ ποτῶν *codd. praeter* P¹, *qui* τῶν ἄλλων *exhibet ex Hippocratis codice nescio quo depromptum* ἀπεχέσθω BPV: ἀπεχέσθωσαν CP¹R: ἀπέχεσθαι M: *obscur.* A 16 *post* οὐδεμία *add.* ἐστι CRV, ἃ B: *om. cett.* τούτοις AM: τούτων (*om.* οὐδὲ) B: *om. cett.* προθ. AMRV 17 οἷς *om. codd.*: *addidi* δὲ] γὰρ ABM τούτῳ PV ἡσυχίης CRU 19 ἀνίῃ ABM 20 ἕως P¹: ὅπως *cett.* 21 ποιοῦντός σου *colloc.* PV ὁ πόνος . . . λυποῦντος *om.* AM λύοιτο B: λύειτο C: λύῃ τὸ RU: λύοι PV πλεῖον BCRU 22 καθαίρειν B 23 χρῆται γ. AM: χρῆσθαι γ. προστάττει *cett.* φαρμάκων ἁπάντων AM: ἁπ. φ. *cett.*

πάντων ὄντι πραοτέρῳ καὶ ἀπρακτοτέρῳ, τῶν δ' ἄλλων γαλάκτων ὑγροτέρῳ τε καὶ ὑπακτικωτέρῳ.

IV 105 [II 19. II 496, 6 L.] Ἢν δὲ ὑγρὴ ἡ κοιλίη ᾖ καὶ χολὴ ὑποχωρέῃ καὶ στρόφοι | καὶ ἔμετοι καὶ δηγμοί, τούτοισι κρά- **889**
τιστον ἀτρεμίζειν, πίνειν δὲ μελίκρητον καὶ ἐξεμέειν.

Ἄδηλον, εἴτε περὶ τῆς ξηρᾶς χολέρας ἔτι καὶ νῦν ἐστιν ὁ λόγος αὐτῷ ἢ τούτων ἀκούειν χρὴ καθ' ἑαυτά· ὁποτέρως δ' ἂν ἔχῃ, φαίνεται χολὴ δριμεῖα δυσεκνιπτοτέρα περιέχεσθαι κατὰ τὴν γαστέρα· ταύτην πειρᾶται μετρίως ὑπάγειν τε ἅμα καὶ συμπέττειν. ὑπαχθήσεται μὲν οὖν μετρίως τῷ μελικράτῳ, πεφθήσεται δὲ τῇ ἡσυχίᾳ. πολλάκις δ' ἐπὶ τῶν τοιούτων διαθέσεων ἀγωνιστικῶς βοηθῶν ἀθρόως ἐκκαθαίρει τὴν κακοχυμίαν ἰσχυρῷ φαρμάκῳ προσεπισκεψάμενος τὴν δύναμιν καὶ τὴν ἕξιν τοῦ νοσοῦντος καὶ τὴν ὥραν καὶ τὴν ἡλικίαν καὶ τὴν κατάστασιν.

τὸ δ' ἐπὶ τέλει τῆς ῥήσεως εἰρημένον πίνειν δὲ μελίκρητον καὶ ἐξεμέειν ὡς βουλομένου τοῦ συγγραφέως ἐκκαθᾶραι τὴν ἄνω κοιλίαν εἴρηται. ἀμείνων δ' ἡ ἑτέρα γραφὴ ἡ μετὰ τοῦ μή· ῥυπτικὸν γὰρ ὂν τὸ μελίκρατον ἐπὶ τὴν κατὰ φύσιν | ὁδὸν προτρέπεται τὰ **890**
διεφθαρμένα χωρὶς τοῦ βλαβῆναι καὶ κινδυνεῦσαι τὸ στόμα τῆς κοιλίας κατὰ τοὺς ἐμέτους.

IV 106 [II 20. II 496, 10 L.] Ὑδρώπων δύο φύσιες, ὧν ὁ μὲν ὑποσαρκίδιος ἐγχειρέων γίνεσθαι ἄφυκτος, ὁ δὲ μετ' ἐμφυσημάτων πολλῆς εὐτυχίης δεόμενος, μάλιστα δὲ ταλαιπωρίης καὶ πυρίης καὶ ἐγκρατείης. ξηρὰ δὲ καὶ δριμέα ἐσθιέτω· οὕτω γὰρ ἂν οὐρητικώτατος εἴη καὶ ἰσχύοι μάλιστα. ἢν δὲ δύσπνοος γένηται καὶ ἡ ὥρη θερινὴ ἐοῦσα τύχῃ καὶ ἡ ἡλικίη ἀκμάζῃ

21 ὑποσαρκίδιος] *cf. Hipp. VI 144, 5 L. Ps.-Gal. XIV 746 sq. K.* ἄφυκτος] *cf. Gal. XIV 746* τοῦτον (*i. e.* ὑποσαρκίδιον) καὶ Ἱπποκράτης ἀνίατόν φησιν

1 πραϋτέρω PV τῶν δ' ACMRU: τοῦτο δὲ τῶν BPV 2 ὑγροτέρω τε καὶ ὑπακτικωτέρω AM: ὑγρότερόν τ' ἐστὶ καὶ ὑπακτικώτερον *cett.* 3 δὲ *om.* ABM ἡ *om.* BCRU ᾖ *om.* CRU 4 ὑπορέῃ M δηγμοί ACMPRV: δηγμοὶ καὶ πνιγμοὶ B: πνιγμοί P¹ 5 *ab* (ἀτρε)μίζειν *vocabulo rursus incip.* T μελίκρητον P¹: μελίκρατον *cett.* ἐξεμέειν T: μὴ ἐξ. *cett.* 6 εὔδηλον CRU εἴτε] εἶπε AM ξηρᾶς] ὑγρᾶς AM ἔτι *om.* CRU 7 αὐτῷ AB: αὐτῶν M: *om. cett.* ἢ] ἦν M τούτων] ταῦτα AM *post* φαίνεται *add.* δὴ BCRT 8 ταύτην AM: ταύτην δὲ *cett.* 9 πειρᾶται μετρ. ὑπ. AM: ὑπ. πειρᾶται μετρ. BCRTV τε ἅμα καὶ AM: ἅμα μὲν τῷ CR: ἅμα τῷ *cett.* *post* συμπέττειν *add.* τὰ περιεχόμενα κατ' αὐτήν BCP¹RST: τὰ περιεχόμενα *add.* V 10 τῷ μελικράτῳ πεφθήσεται δὲ *om.* PV: *add.* P¹ *in mrg.* *post* δὲ *add.* μετρίως ABCMRT: *om.* PV ἡσυχία AMP¹: ἡσυχίῃ *cett.* δ'] γὰρ PV: δὲ *corr.* P¹ 11 ἀγωνιστικῶς] ἰσχυρῶς AM *(gloss.)* ἀθρόαν PV 12 προεπισκ. B 14 μελίκρατον ACR: μελικράτω M 16 εἴρηται *om.* AM μή] μ̄ A 17. 18 τὰ δὲ δ. M 22 ὑπὸ ταλαιπωρίης P¹: ταλαιπωρεῖ A: ταλαιπωρίῃ B 23 καὶ πυρίῃ ἐγκρατείῃ ABM ἐσθιέτω] πινέτω M 24 ἰσχύῃ AMTV ἢν] εἰ PV δὲ καὶ M δύσπνους AMTV 25 γένηται ABCMRT: εἴη PV ἡ *ante* ὥρη *om.* CRU, *ante* ἡλικίη AT ὥρα AT ἐαρινὴ T: θερινὴ ἐαρινὴ CU

καὶ ῥώμη ᾖ, ἀπὸ τοῦ βραχίονος αἷμα ἀφαιρεῖν· εἶτα θερμοὺς ἄρτους ἐξ οἴνου μέλανος καὶ ἐλαίου ἀποβάπτων ἐcθιέτω καὶ ὡς ἐλάχιστα πίνων ὡς πλεῖστα πονείτω καὶ κρέα ὕεια σαρκώδεα ἐcθιέτω μετὰ ὄξους ἑφθά, ὅκως πρὸς τοὺς προσάντεις περιπάτους ἀντέχῃ. |

891 Τινὲς οὐχ ὑποσαρκίδιον, ἀλλ' ἐπισαρκίδιον γράφουσιν, οὐ μὴν ἀνὰ σάρκα τε καὶ κατὰ σάρκα γεγραμμένον εὗρόν που, καίτοι τῶν νεωτέρων οὕτως ὀνομαζόντων. εἰπόντος δ' αὐτοῦ δύο φύσεις εἶναι ὑδρώπων καὶ περὶ μὲν τοῦ δευτέρου τὰ ἐμφυσήματα γράψαντος, ἄλλο δ' οὐδὲν σύμπτωμα προσθέντος, ἐπὶ δὲ τοῦ προτέρου οὐδὲν παντάπασιν εἰπόντος, δῆλός ἐστιν, ὅτι κατά τι συγκέχυται καὶ σφάλλεται κατὰ τὴν τῶν ὑδέρων διαφοράν. ἔνιοι μὲν οὖν τῶν ἰατρῶν τέτταρας λέγουσιν εἶναι διαφορὰς τῶν ὑδέρων ὑπερβαίνοντες τὸ προσῆκον, ἀλλ' οὐ νῦν καιρὸς ἐλέγχειν αὐτούς· ὁ δὲ ταῦτα γράψας ἐλλείπει φανερῶς. ἔστι γὰρ τῶν ὑδέρων ὁ μέν τις ὑγροῦ λεπτοῦ κατὰ τὴν σύστασιν ἀθροίζων πλῆθος ἐν τῷ κάτω τοῦ θώρακος χωρίῳ παντί· τοῦτον παρακεντοῦντες ἐνίοτε τὸ ὑγρὸν ἐκκενοῦμεν· ὁ δέ τις οὐχ ὕδατος, ἀλλὰ πνεύματος ἔχει τὸ χωρίον τοῦτο μεστὸν καὶ σχεδὸν τὰ ἄνω πάντα διοιδισκόμενα· τοῦτον τυμπανίαν προσαγορεύουσιν· ὁ δέ τις φλέγματος ἔχει τὴν ὅλην ἕξιν μεστήν· τοῦτον ὑποσαρκίδιον ἔνιοι προσαγορεύουσιν.
892 ὥστ' ἐλλιπῶς εἶπε τῶν | ὑδέρων εἶναι δύο φύσεις. οὐ μὴν ὀρθῶς εἶπε τὸ ἐγχειρέων γίνεσθαι· ἀληθέστερον γὰρ ἂν εἶπεν οὕτω γράψας· ἀποκτείνει δ' εὐθὺς ὁ ὕδερος, ἐπὴν γένηται. γέγραπται δ' ἡ λέξις οὕτω, κακῶς γεγραμμένη παρὰ τοῦ πρῶτον γράψαντος.

τοῦ γε μὴν ἑτέρου τῶν ὑδρώπων, ὃν μετ' ἐμφυσημάτων φησὶ γίνεσθαι, θεραπείαν γράφει, τὸ μέν τι κοινὸν ἔχουσαν πάντων ὑδέρων, ὡς κατὰ τὴν ἀρχὴν ἔγραψε, ταλαιπωρίαν καὶ πυρίαν καὶ ἐγκράτειαν, συμβουλεύων ἐσθίειν θερμὰ καὶ ξηρά, τὸ δέ τι μόνου τοῦ ἀνὰ σάρκα, ὃν ὡς ἀθεράπευτον ἀπέλιπεν· οὗτος γὰρ μόνος ἀρχόμενος ἐνίοτε δεῖται φλεβοτομίας, ὅταν γ' ἐξ αἱμορροΐδος ἐπισχέσεως ἢ κατα-

7 ἀνὰ σάρκα] *cf. v. 29 et Ps.-Gal. XIX 424 K.* 15 ἔστι γὰρ τῶν ὑδέρων] *eadem fere leguntur ap. Gal. XVI 448* 19 τυμπανίαν] *cf. Gal. XVII B 669 sq. Cels. III 21* (τυμπανίτην) 30 ἐξ αἱμορροΐδος ἐπισχέσεως ἢ καταμηνίων] *cf. Gal. XVI 447. XI 166 sq.*

1 ἀφαιρεῖν AM: ἀφαιρέειν *cett.* 2 μέλανος *om.* AM 3 παβεῖτο *(sic)* M: πονεέτω *ab Aldo edd.* 4 προσάντεας *ex Aldo* (= P¹) *edd.* 5 περισπασμοὺς AM 6 οἵ τινες M δὲ οὐχ T φάσκουσιν CRU 7 τε *om.* CRU καίτοι καὶ PV 8 φύσεις M: φύσιας *cett.* 11 δῆλός AMV: δῆλόν *cett.* συγκέχυται (κατά τι *om.*) τε καὶ σφάλλεται *post* διαφορὰν *transp.* AM 12 ὡς ἔνιοι B 13 εἶναι λ. AM τὰς διαφορὰς CRU τῶν *om.* AM 16 τοῦτον ABCMRT: τοῦτο V: τοῦ *Aldus, Gal. l. l.*: ὃ *Chartier* 17 ἐκκενοῦντες AM: κενοῦμεν R ὁ δέ τις ABM: ἄλλος δ' *cett.* 20 ἔχει *post* ἕξιν *transp.* CTU: *om.* R 21 δύο εἶναι AM οὐ μὴν AM: οὐ μὴν οὐδ' *cett.; cf. p. 353, 6* 23 ἐπὴν] ἢν B 23. 24 λέξις αὐτῶ κακῶς οὕτω ABM 24 πρώτου PV: *corr.* P¹ 25 τοῦ *om.* B 26 τὸ μέν τι . . . ἔγραψε *(27) om.* B 27 ὡς κατὰ BCP¹R: ὁπόταν AM: ὁκόταν PV: ὁκόταν κατὰ T 28. 29 τοῦ ἄσαρκα ὃν ὡς AM 29 ἀπέλειπεν T

μηνίων ταῖς γυναιξὶν ἤ τινος ἄλλης πληθωρικῆς αἰτίας ἀρξάμενος συνίστηται. τὸν δὲ τυμπανίαν ἢ τὸν ἀσκίτην ὕδερον οὐδεὶς ἐτόλμησε διὰ φλεβοτομίας ἰάσασθαι· ἐπὶ δ' οὖν τοῦ δεομένου τῆς φλεβοτομίας ἡ ἐφεξῆς θεραπεία θερμαίνουσα καὶ ξηραίνουσα γίνοιτ' ἄν. ταῦτα μὲν οὖν γράψας τοῦ προσήκοντος ἐστοχάσθαι φαίνεται. |

οὐ μὴν ὀρθῶς γ' εἶπεν· ἢν δὲ δύσπνοος ᾖ ὁ κάμνων, φλε- 893 βοτομίας χρῄζει, μὴ διὰ πληθώραν ὄντως ἰσχυρὰν εἰς τὸν ὕδερον ἐμπίπτων, κινδυνευούσης δηλονότι σβεσθῆναι τῆς ἐμφύτου θερμασίας ὥσπερ τὸ πῦρ. ὡς γὰρ τὸ πῦρ κινδυνεύει σβεσθῆναι ἐπιβληθέντων αὐτῷ ξύλων ὑγρῶν πολλῶν, εἰ μή τις τοῦ πλήθους ὑφέλοιτο, οὕτω καὶ ἐπὶ τοῦ διὰ πλῆθος αἵματος σβεσθῆναι κινδυνεύοντος ἐμφύτου θερμοῦ μέγιστον ἴαμά ἐστιν ἡ φλεβοτομία, καθ' ἣν ἂν ὥραν ὁ κίνδυνος οὗτος καταλάβῃ. κακῶς οὖν πρόσκειται τῷ λόγῳ τὸ καὶ ἡ ὥρα θερινὴ ἐοῦσα τύχῃ. τοῦ μὲν γὰρ πλέον ἢ ἔλασσον ἀφελεῖν ἄλλα τινά, ὥσπερ καὶ ἡ ὥρα, σκοπός, αὐτοῦ δὲ τοῦ βοηθήματος ἡ τοῦ πάθους φύσις. ἔνιοι δ', ὥσπερ καὶ Διοσκουρίδης, οὐ θερινὴν ὥραν, ἀλλ' ἐαρινὴν ἔγραψαν, ὑποπτεύοντες τῆς μὲν θερινῆς τὴν διάλυσιν τῆς δυνάμεως, τῆς δὲ χειμερινῆς τὴν προσγενησομένην τῷ πάθει ψύξιν.

ἰδιωτικῶς δὲ καὶ ἀρχαίως πάνυ θερμοὺς ἄρτους ἐξ οἴνου μέλανος καὶ ἐλαίου δίδωσιν ἐσθίειν τῷ φλεβοτομηθέντι σκοπὸν μὲν ἔχων ἀληθῆ ῥωννύναι τὴν δύνα|μιν, ὅπως ἐξαρκέσῃ ταῖς κατὰ τὰ 894 γυμνάσια ταλαιπωρίαις, οὐχ εὑρὼν δὲ τὴν ὕλην ἀξίαν τοῦ σκοποῦ. μέλας γὰρ οἶνος πλεῖστον αἷμα γεννᾷ, τοσοῦτον δὲ ὡς περιττὸν καὶ μελαγχολικὸν γενέσθαι. ἐκείνου βέλτιον δ' ἐστὶ κιρρὸν οἶνον διδόναι, λεπτὸν μὲν τὴν σύστασιν, ὅπως καὶ τὴν οὔρησιν κινῇ, τὴν δ' ἡλικίαν μὴ νέον, ὥσπερ οὖν καὶ τὰ πολλὰ συμβαίνει· τῶν νέων γὰρ οἴνων σχεδὸν οὐδείς ἐστι κιρρός, ἀλλ' ἤτοι λευκὸς ἢ ἐρυθρὸς ἢ μέλας, παλαιούμενοι δὲ κιρροί τε γίνονται καὶ ξανθοί.

2 τὸν ἀσκίτην] *cf. Gal. X 987. XVII B 670 K.* 16 Διοσκουρίδης] *cf. Gal. XIX 83. XV 21. 110. XVI 2. XVII A 795* 23 αἷμα γεννᾷ] *cf. Gal. VI 744*

1 ἄλλης ABM: οὕτω *cett.* ἀρξ. συνίστηται *scripsi*: ἄρξεται συνίστασθαι AM: ἀρξάμενος συνίσταται *cett.* 3 ἰᾶσθαι B δ' οὖν ABCMRU: γοῦν V τῆς *om.* AM 4 ταῦτα . . . τοῦ *(5) om.* BCRTU 5 προσηκόντως οὖν BCRTU *post* φαίνεται *add.* καὶ (*om.* B) ὁ ταῦτα γράψας BCRTV: *om.* AM 6 γ' *om.* M δύσπνους BCRPTV 7 μὴ *om.* PV 8 κινδυνευούσης . . . τὸ πῦρ *om.* AMPV: *add.* P^1 *in mrg.* ὥσπερ] ὡς καὶ T 9 ὡς γὰρ τὸ πῦρ *om.* BT 10 καὶ πολλῶν AB εἰ μὴ . . . ὑφέλοιτο *om.* CRT 11 πλήθους B *post* αἵματος *add.* ψυχροτέρου PV: *om. cett.* κινδ. ψυχροῦ σβεσθῆναι ἐμφύτου AM 12 ἐστιν ἴαμα BT ἡ *om.* AM ἂν *om. edd.* ὥρην τοῦ ἔτους ὁ AM οὕτως TV 13 τὸ καὶ AM: καὶ τὸ B: τὸ *om. cett.* ἡ *om.* TV 14 τύχῃ ABM: *om. cett.* μὲν *om.* AM *post* ἄλλα *add.* τε ABMPV: *om.* RT *post* τινά *add.* εἴρητ' ἂν CRTV 15 *post* ὥρα *add.* εἴρηται ABM *post* φύσις *add.* σκοπός ἐστιν *Chartier* 16 δ' *om.* PV: *add.* P^1 ὁ Διοσκουρ. CR: Διοσκορ. B: Διοσκουρίδης *cett.* ὥραν *post* ἐαρινὴν *transp.* AM ἔγραψεν AMV 17 ὑποπτεύων AMPV δὲ *om.* M 19 πάνυ ἀρχαίως ABM 21 τὰ *om.* CRTU 22 γυμνάσιον R εὗρον PV 23 αἷμα πλεῖστον AM 23. 24 καὶ μελαγχολικὸν γενέσθαι *om. omnes praeter* P^1: *'ut superfluum et melancholicum faciat' interpr. lat.* 24 ἐκείνου ABCMRTV: ἐκείνῳ P 26 νέος CRU 27 σχεδὸν AM: *om. cett.* οὐδὲν AM ἐστι AM: ἔσται *cett.* ἤτοι] ἢ CRU

τό γε μὴν ὡς ἐλάχιστα πίνοντα πλεῖστα πονεῖν ὀρθότατα εἴρηται· ξηραίνει γὰρ ἡ τοιαύτη δίαιτα καὶ θερμαίνει. τὰ δ' ὕεια κρέα καθ' ὃν εἴρηται τρόπον ἐσθιόμενα ἀκμάζουσι καὶ ἰσχυροῖς οὐ κακῶς ἂν δοθείη· τῶν ἄλλων δ' οὐδεὶς ἂν δύναιτο πέψαι καλῶς αὐτά, κινδυνευούσης ἤδη σβεσθῆναι τῆς ἐμφύτου θερμασίας· ἄμεινον οὖν ὅσα καλῶς πέψουσι, διδόναι τοῖς οὕτως ἔχουσιν. |

895 **IV 107** [II 21. II 500, 5 L.] Ὁκόσοι κοιλίας τὰς κάτω θερμὰς ἔχουσι, καὶ δριμέα τὰ ὑποχωρήματα καὶ ἀνώμαλα διέρχεται ὑπὸ συντήξιος αὐτοῖς, ἢν μὲν δυνατοὶ ἔωσιν, ἐλλεβόρῳ ἀντισπάσαι· ἢν δὲ μή, ὁ χυλὸς τῶν σητανίων πυρῶν παχὺς ψυχρὸς καὶ τὸ φάκινον ἔτνος καὶ ἄρτοι ἐγκρυφίαι καὶ ἰχθύες πυρέσσοντι μὲν ἑφθοί, ἀπυρέτῳ δ' ἐόντι ὀπτοί, καὶ οἶνος μέλας ἀπυρέτῳ, εἰ δὲ μή, ὕδωρ ἀπὸ μεσπίλων ἢ μύρτων ἢ μήλων ἢ οὔων ἢ φοινικοβαλάνων ἢ οἰνάνθης ἀμπέλου.

Κυριώτερον ἂν εἰρήκει τὰ διαχωρήματα τούτοις ὑπὸ συγκαύσεως, οὐχ ὑπὸ συντήξεως διέρχεσθαι· σύντηξις μὲν γὰρ [ἐν αὐτῷ] γίνεται διὰ πυρετὸν κακοήθη τηκομένης τῆς πιμελῆς ἢ καὶ σαρκὸς τῆς ἁπαλῆς, σύγκαυσις δ' ἐν τῇ γαστρὶ τῶν ἐδηδεσμένων ὑπὸ θερμασίας δριμείας, δι' ἣν καὶ πυρέττειν συμβαίνει. τούτῳ οὖν ἐλλέβορον διδόναι κελεύει
896 λευκόν· ἐνεδείξατο γὰρ τοῦτο διὰ τοῦ | ἀντισπάσαι ῥήματος, ἐπειδὴ διὰ τῆς ἄνω γαστρὸς ⟨καθαίρει⟩. ἢν δὲ μὴ δύνηται δι' ἥντινοῦν αἰτίαν ἐλλέβορον λαβεῖν δριμύτητος ἐπικρατούσης ὁ ἄνθρωπος, ἐδέσματα κελεύει διδόναι καὶ πόματα στύφοντά τε καὶ ψύχοντα. προστίθησι δὲ τοῖς ἐδέσμασι καὶ τὰ ξηραίνειν δυνάμενα, καθάπερ τοὺς ἐγκρυφίας ἄρτους καὶ τοὺς ὀπτοὺς ἰχθῦς.

τούτων οὕτως εὐλόγως εἰρημένων ἐπισκεπτέον, τίνα λέγει τὴν κάτω κοιλίαν· ἐνίοτε μὲν γὰρ οἱ παλαιοὶ τὸν θώρακα τὴν ἄνω κοιλίαν ὀνομάζοντες τὸ μετὰ τὸ διάφραγμα πᾶν τῆς τροφῆς ἀγγεῖον

2 ὕεια κρέα] *cf. p. 347, 13* 16 σύντηξις κτλ.] *cf. Gal. XVI 289. I 183 sq.* 24. 25 ἐγκρυφίας ἄρτους] *cf. Gal. VI 489* 27 ἐνίοτε . . . κάτω κοιλίαν] *eadem leguntur ap. Gal. XVI 340* 27. 28 τὴν ἄνω κοιλίαν] *cf. Gal. XVIII A 141*

1 ἐλάχιστα BCRU: ἐλάχιστον AMTV πλεῖστα B: πλεῖστον *cett.* 2 γὰρ] δὲ C 4 ἄλλων δ' AM: δ' ἄ. *cett.* καλῶς] μᾶλλον CR 4. 5 κινδυνευούσης ἤδη σβ. τῆς ἐμφύτου θερμασίας AM: (κινδ. ἤδ. σβ. *om.*) τῆς ἐμφ. θ. B: ἤδη κινδυνεύων σβ. τὴν ἔμφυτον θερμασίαν *cett.* 6 ἔχουσιν οὕτως V 7 ὁκόσοισι RU ὁκόσοι . . . ἔχουσι *om.* BT 8 διέρχονται CRU 9 συντήξιος T: συντήξεως *cett.* αὐτοῖς CRTUV: αὐτοῖσιν ABM ἢν] εἰ PV *post* ἐλλεβόρῳ *add.* τῷ λευκῷ P[1]: *om. cett.* 10 ἢν] εἰ AM ὁ *om.* CRTU σητανίων ABM: σιτανείων *cett.* παχὺς ὢν καὶ CRU 13 εἰ] ἢν V 14 ἄνθης CRU ἀμπέλου P[1]: ἀμπέλων *cett.* 16 τήξεως CRU ἐν αὐτῷ] ἑαυτῷ AM: *inclusi* 17 τῆς ἁπαλῆς σαρκός AM 19 δι' ἣν *om.* T τοῦτον AM κελεύει διδόναι AM 20 ἀποσπάσαι AM 21 καθαίρει *addidi* ἢν] εἰ B δύνηται *scripsi*: δύναται B: δύναιτο *cett.* 22 λαβεῖν ABMTV: λαμβάνειν CRU 23 τε AM: *om. cett.* δὲ καὶ MV 24 καθάπερ] ὥσπερ AM 25 ἰχθύας AM 27 κάτω *scripsi coll. v. 7*: ἄνω *codd.* κοιλίην B ἐνίοτε . . . κοιλίαν *om.* T 28 ὀνομάσαντες *codd.*: ὀνομάζοντες *a Basil. edd.* τὸ δὲ AM

κάτω κοιλίαν προcαγορεύουcιν· ἐνίοτε δ' ἄνω κοιλίαν ὀνομάζοντεc εἰc ἣν καταπίνομεν τὰ cιτία, ποτὲ μὲν τὰ μετ' αὐτὴν ἅπαντα κοιλίαν καλοῦcι κάτω, ἐνίοτε δὲ μόνα τὰ παχέα τῶν ἐντέρων· εἰcὶ δ' οἳ τὸ κῶλον μόνον ὀνομάζουcι κάτω κοιλίαν. ἴcωc μὲν οὖν ἂν ἐζητήcαμεν, τί τῶν εἰρημένων μορίων ἢ τίνα πιθανώτερον νῦν ἀκοῦcαι, εἰ μέγα τι κερδαίνειν ἐμέλλομεν· ἐπεὶ δ' ἡ τῶν τοιούτων εὕρεcιc οὐδὲν μὲν ἡμᾶc διδάcκει πλέον ὧν | ἴcμεν τε καὶ κρίνομεν αὐτοὶ περὶ τοῦ τίνα **897**
μὲν ὀρθῶc εἴρηται, τίνα δ' οὔ, περιεργίαν δ' ἔχει μᾶλλον γνώcεωc ἤπερ ὠφέλειαν, ἄμεινον ἀπολιπεῖν αὐτὰ διὰ ταχέων καὶ μάλιcθ', ὅπου μηδὲ γνήcιόν ἐcτιν αὐτοῦ τὸ cύγγραμμα.

IV 108 [II 21. II 500, 15 L.] Ἢν δὲ πυρετὸc ἔχῃ καὶ cτρόφοι ἔωcι, γάλα ὄνειον θερμὸν ὀλίγον τὸ πρῶτον, ἔπειτα ἐκ προcαγωγῆc πλεῖον καὶ λίνου cπέρμα καὶ πύρινα ἄλφιτα καὶ τῶν Αἰγυπτίων κυάμων ἐξελὼν τὰ πικρά, καταλέcαc, ἐπιπάccων πινέτω ἢ ᾠὰ ἡμιπαγέα ἐcθιέτω ὀπτὰ καὶ cεμίδαλιν καὶ κέγχρον καὶ χόνδρον ἑφθὸν ἐν γάλακτι· ἑφθὰ ψυχρὰ ἐcθίειν· καὶ τὰ τούτοιc ὅμοια καὶ ποτὰ καὶ ἐδέcματα προcφερέcθω.

Οἱ μὲν πλεῖcτοι τῶν ἐξηγουμένων βέλτιον τοῖc προειρημένοιc cυντάττουcι ταῦτα, περὶ τῶν θερμὴν ἐχόντων τὴν κάτω κοιλίαν ἡγούμενοι καὶ νῦν ἔτι γίνεcθαι τὸν λόγον, | ὀλίγοι δέ τινεc ἀποχωρίcαντεc **898**
ἰδίᾳ ταῦτ' ἐξηγοῦνται. cκοπὸc δ' ἐcτὶν αὐτοῖc τὸ μέν τι καθᾶραι τῆc κακοχυμίαc, τὸ δ' ἐπικεράcαι, τὸ δ' ἐπιξηρᾶναι, τὸ δ' ἐμψῦξαι. τὸ μὲν οὖν γάλα τὸ ὄνειον καθαίρειν τε δύναται καὶ ἐπικεραννύναι, τὸ δὲ τοῦ λίνου cπέρμα ξηραίνειν τε καὶ ψύχειν· τὰ δ' ἐκ τῶν πυρῶν ἄλφιτα τὸ ἐπικεραcτικὸν ἔχει· καλῶc δ' αὐτοῖc ἀναμέμικται καὶ τὰ κρίθινα ξηραίνοντά τε καὶ ψύχοντα. οἱ δ' Αἰγύπτιοι κύαμοι μετρίωc ψῦξαι δύνανται· τὰ δ' ᾠὰ καὶ ἡ cεμίδαλιc καὶ ὁ χόνδροc παχύχυμα καὶ εὔχυμα καὶ ἐπικρατητικά· καὶ ξηραίνει δ' ἱκανῶc ὡc ἐν ἐδέ-

2. 3 κοιλίαν κάτω] *cf. Gal. III 333 K.* 13 λίνου cπέρμα] *cf. p. 313, 21* 14 Αἰγυπτίων κυάμων] *cf. Gal. VI 532*

2 *post* κοιλίαν *add.* μὲν οὖν *ab Aldo edd.* 3 οἳ *om.* C 4 τὴν κάτω BV: τὴν *om. cett.* μὲν οὖν *om.* AMV: μὲν *om.* BT ἂν] ἂν ἦν PV: ἂν οὕτωc AM 5 *ante* νῦν *add.* καὶ CRTV *post* ἀκοῦcαι *add.* ἠλπίζομεν BCT, ἐλπίζομεν RU: *om.* AMPV 7 περὶ . . . οὔ *(8) om.* B 8 περιεργαcίαν PV ἤπερ *om.* CRU 9 ὠφέλει CRU αὐτὰ ABM: *om. cett.* μηδὲν BCRU 10 ἐcτιν αὐτοῦ AM: αὐτοῦ ἐcτι *cett.* 11 *ante* ἔχῃ *add.* μὴ ABM: *om.* CPRTV *cum optimo Hipp. codice* ἔχοι ACT 13 πλείονοc C λινόcπερμον PV 14 καταλέcαc B: καὶ καταλέcαc AM: καταλεπίcαc PRT: καταλεπτίcαc CU 15 ᾠὰ μὴ πάγεα AM καὶ κέγχρον *ante* ψυχρὰ *transp.* AM 16 ἑφθὰ T: ἑφθῶ *cett.* 17 τούτοιc BCPRUV: τούτοιcιν AM: τούτων T 18 βέλτιον ἐξηγ. *colloc.* AM 19 τὴν κ. κοιλίαν AMT: τὴν κοιλίαν τὴν κ. CRU: τὴν κ. κοιλίην PV 20 ἀποχωρήcαντεc *codd.*: *corr. Chartier* 21 ἐν αὐτοῖc MT τοι BCPRU: *corr.* P^1 23 τε ABCMRT^1U: *om.* PTV 25 ἀναμέμνηται CR 26 μετρίωc *om.* PV 27 ἐμψύξαι AM: μεταψύξαι PV ἡ *om.* AM 28 καὶ εὔχυμα *om.* CRU ἔγχυμα M ἐπικρατικὰ BPTUV: *corr.* P^1

cμαcιν ὁ κέγχροc, ὥcπερ γε καὶ ψύχει. ταῦτα δὲ πάντα δίδωcι ψυχρὰ διὰ τὴν δριμύτητα καὶ θερμότητα τῶν τὸ πάθοc ἐργαζομένων χυμῶν.

IV 109 [II 22. II 502, 8 L.] Τῆc διαιτητικῆc ἐcτι μέγιcτον παρατηρεῖν καὶ παραφυλάccειν [ὥcπερ ἐν τοῖc ὀξέcι καὶ] ἐν τοῖcι μακροῖcιν ἀρρωcτήμαcι καὶ τὰc ἐπιτάcιαc τῶν πυρετῶν
899 καὶ τὰc | ἀνέcιαc, ὥcτε τοὺc καιροὺc διαπεφυλάχθαι, ὁκότε μὴ δεῖ τὰ cιτία προcενεγκεῖν, καὶ ἀcφαλέωc, ὁκότε δεῖ προcενεγκεῖν, εἰδέναι· ἔcτι δ' ὅταν πλεῖcτον ἀπέχωcι τῆc ἐπιτάcιοc.

Τῆc διαιτητικῆc τέχνηc μέγιcτον εἶναί φηcι τὸ τὸν κατὰ μέροc καιρὸν γνῶναι τῆc τροφῆc· αὐτὸc οὖν ἕνα cκοπόν φηcι τὸ πλεῖcτον ἀπέχειν τὸν καιρὸν ἐκεῖνον τῆc ἐπιτάcεωc· εἴη δ' ἂν ἐπίταcιν λέγων τὴν ἀρχὴν τοῦ παροξυcμοῦ. τοῦτο δ' οὐ μόνον ἐπὶ τῶν χρονιζόντων, ἀλλὰ κἀπὶ τῶν ὀξέων ἀληθὲc εἶναι δοκεῖ. διὰ τί οὖν προcέθηκεν ⟨ἐν⟩ τοῖc μακροῖc ἀρρωcτήμαcιν; ὅτι μᾶλλον ἐπὶ τούτων ἐναργὴc ὁ cκοπὸc ἢ τάχα μόνων. ἐπὶ γὰρ τῶν ὀξέων αὔταρκεc ἦν γνώριcμα καιροῦ τροφῆc καταβῆναι τὴν θέρμην εἰc τοὺc πόδαc, οὐ μὴν ἐπὶ τῶν χρονίων γε θρεπτέον οὕτωc, ἀλλὰ περιμένειν προcήκει τὰ βέλτιcτα τῆc ἀνέcεωc· κατὰ γὰρ τὰc ὀξείαc νόcουc ἀναμένειν οὐκ ἐγχωρεῖ φόβῳ τῆc μελλούcηc διὰ ταχέων ἐπιτάcεωc ἔcεcθαι.
900 ἔνιοι δὲ τὴν λέξιν γράφουcιν οὕτω· τῆc διαιτητι|κῆc ἐcτι μέγιcτον τὸ παρατηρεῖν καὶ παραφυλάccειν ὥcπερ ἐν τοῖc ὀξέcιν, οὕτω καὶ ἐν τοῖc χρονίοιc τὸ ἐπίcταcθαι, πηνίκα χρὴ τρέφειν. ἔνιοι δὲ τὴν τελευτὴν ταύτηc τῆc ῥήcεωc οὕτω γράφουcιν· ἔcτι δ' ὅταν πλεῖcτον ἀπέχωcι τῆc ἐπιτάcιοc εἰδέναι, ὡc πρὸc τοῖc ἄλλοιc οἷc ἐκέλευcεν ἡμᾶc ἐπιcκέψαcθαι περὶ τὸν ἄρρωcτον καὶ τοῦτο cυμβουλεύοντοc αὐτοῦ. φαίνεται δέ, εἰ αὐτό τιc ἐξετάζοι τοῦτο μὴ cυν-

1 ὁ κέγχροc] *cf. Gal. XII 16. XVII B 302 K.* 3 Τῆc . . . ἐπιτάcιοc *(8)*] *affert Ps.-Gal. XIX 217* 17 τὴν θέρμην εἰc τοὺc πόδαc] *cf. p. 162, 4. 305, 21 sqq.*

1 ὁ κέγχροc BC: ἡ κ. *cett.* πάντα δὲ ταῦτα AM 3 μέγεθόc ἐcτι CRU 4 παραφυλάccειν A: φυλ. *cett.* ὥcπερ . . . καὶ *a Littraeo deleta inclusi; ex commentario (cf. v. 22) in textum inserta sunt; cf. Littraei not.* τοῖc *codd.*: τοῖcι *edd.* 6 ἀνέcειc CPRUV διαπεφυλάχθαι AM: διαφυλάττειν *cett.* ὁπότε CRU 7 ἀcφαλῶc AM ὁκόταν *codd.*: ὁκότε *Chartier* δεῖ *Hipp. cod. A*: δέῃ *codd. Gal.* 8 ἔcτι (ἔτι PT) δ' ὅταν *codd.*: ἔτι δ' ὁκότε *Chartier* ἐπιτάcιοc CRTU: ἐπιτάcεωc *cett.* 10 τῆc *om.* PV τέχνηc] ἐcτι CRU τὸ *om.* ACM 11 τὸ ABM: *om. cett.* *post* πλεῖcτον *add.* τῆc τροφῆc C, τὴν τροφὴν BT 12 *post* ἐκεῖνον *add.* (οὗ T) ἐν ᾧ (τὴν τροφὴν *add.* PV) δεῖ (*om.* PV) διδόναι CPRTV: *om.* ABM 13 τὴν ἀρχὴν] τὸν καιρὸν M 14 κἀπὶ AM: καὶ ἐπὶ BCRU: καὶ *cett.* ἀληθὲc . . . ὀξέων *(16) om.* C 15 ἐν *addidi* 16 *post* τάχα *add.* καὶ BCPRTV: *om.* AM μόνων BPTV: μόνον AM: *om.* RU 17 καιροῦ] καὶ C καταβῆναι *scripsi*: καταβαίνειν P[1]: καταλαβεῖν *cett.* 18. 19 τὰ βέλτ. προcήκει *colloc.* CRU 19 τὰc *om.* M 21 μέγιcτον ἐcτὶ C 22 ὡc *ante* τὸ *add.* ABPTV: *del.* P[1] φυλάccειν AMV 23 ὁπηνίκα PTV 24 ἔcτι AB: ἔτι *cett.* 25 ἐπιτάcιωc A: ἐπιτάcεωc *cett.* 26 ἡμᾶc *om.* A 27 δέ] γὰρ ABM ἐξετάζοι AM: ἐξετάζει *cett.*

άπτων τῇ κατὰ μέροϲ εὑρέϲει τοῦ καιροῦ τῆϲ τροφῆϲ, ἄκαιρον τὸ περὶ τῆϲ ἀρχῆϲ παράγγελμα καὶ οὐδενὸϲ ἄξιον.

IV 110 [II 23. II 506, 1 L.] Εἰδέναι δὲ τοὺϲ κεφαλαλγικοὺϲ ἐκ γυμναϲίων ἢ δρόμων ἢ πορειῶν ἢ κυνηγεϲίων ἢ ἄλλου τινὸϲ πόνου ἀκαίρου ἢ ἐξ ἀφροδιϲίων τοὺϲ ἀχρόουϲ, τοὺϲ βραγχαλέουϲ, τοὺϲ ϲπληνώδεαϲ, τοὺϲ λειφαίμουϲ, τοὺϲ πνευματώδεαϲ καὶ ξηρὰ βήϲϲονταϲ καὶ διψώδεαϲ, τοὺϲ φυϲώδεαϲ, φλεβῶν ἀπολήψιαϲ, ἐντεταμένουϲ ὑποχόνδρια καὶ πλευρὰ καὶ μετάφρενον, τοὺϲ ἀποναρκωμένουϲ καὶ ἀμαυρὰ βλέ- **901**
ποντας | καὶ οἷϲ ἦχοι τῶν ὤτων ἐμπίπτουϲι καὶ τῆϲ οὐρήθρηϲ ἀκρατέωϲ διακειμένουϲ, τοὺϲ ἰκτεριώδεαϲ καὶ ὧν αἱ κοιλίαι ὠμὰ ἐκβάλλουϲιν, ἢ αἱμορραγέονταϲ ἐκ ῥινῶν ἢ καθ᾽ ἕδρην ϲφοδρῶϲ, ἢν ἐν ἐμφυϲήμαϲιν ἔωϲιν ἢ πόνοϲ αὐτοῖϲ ἐπιτρέχῃ ϲφοδρὸϲ καὶ μὴ ἐπικρατέωϲι, τῶν τοιῶνδε μηδένα φαρμακεύειν· κίνδυνόν τε γὰρ ἕξει καὶ οὐδὲν ὀνήϲειϲ τάϲ τε ἀπὸ τοῦ αὐτομάτου ἀπαλλάξιαϲ καὶ κρίϲιαϲ ἀφαιρήϲειϲ.

Ὅτι μὲν ἀτάκτωϲ καὶ τρόπον ὑπομνήματοϲ παραϲκευῆϲ ἅπαντα τὰ κατὰ τὸ βιβλίον τοῦτο γέγραπται, πρόδηλον οἶμαι παντί· πολλὰ δ᾽ οὖν, ὡϲ ἔφην, ἐν αὐτῷ καλῶϲ εἴρηται, δι᾽ ἃ καὶ τοῖϲ οὐκ ὀρθῶϲ εἰρημένοιϲ ἐπείϲθηϲαν ἔνιοι καὶ μᾶλλον, ὅϲοι ϲυνῄδεϲαν ἑαυτοῖϲ ὡϲ οὐκ ἔχουϲιν ἐπιϲτήμην κριτικὴν τῶν γεγραμμένων. τὰ δ᾽ οὖν ἐν τῇδε τῇ ῥήϲει λεγόμενα κατάλογον ἔχει τῶν ἀνεπιτηδείων φαρμακεύεϲθαι. τὸ φαρμακεύεϲθαι δὲ τῷ καθαίρεϲθαι ἐϲ ταυτὸν ϲυμβαίνει, ὥϲπερ γε καὶ τὸ φαρμακεύειν [ἐν] τῷ καθαί|ρειν. ἴδωμεν οὖν, τίναϲ ἀπ᾽ ἀρχῆϲ ἀπαγο- **902**
ρεύει καθαίρειν·

5 ἀχρόουϲ] *cf. Gal. X 638 K.* βραγχαλέουϲ] *cf. Hipp. Epid. I 1 (II 602 L.)* φωναὶ βραγχώδεεϲ *Gal. VI 421. XVII A 55* 6 τοὺϲ λειφαίμουϲ] *cf. Hipp. de morb. mulier. II 119. 125 (VIII 258. 268 L.)* 22 φαρμακεύεϲθαι] *cf. Gal. XVI 106*

2 ἀρχῆϲ ABM: τροφῆϲ *cett.; intellige* τὴν ἀρχὴν τοῦ παροξυϲμοῦ 4 τῶν γ. AM 6 τοὺϲ λειφ. . . . διψώδεαϲ *om.* T: *add.* T¹ *in mrg.* ἐφαίμουϲ AM τοὺϲ πνευματ. . . . διψ. *om.* PV: *add.* P¹ 7 διψῶνταϲ C 8 καὶ *ante* φλεβῶν *add. Aldus* 9 μετάφρενα PV τοὺϲ AM: καὶ τοὺϲ *cett.* ἀμυδρὰ CBR 10 οἷϲιν AM ὤτων BCPRTV: οὐάτων AMP¹ οὐρήθρηϲ AM: οὐρήθραϲ P¹T: οὐρήϲεωϲ CPRV 11 ἀκρατέωϲ AM: ἀκρατῶϲ B: ἀβλαβοῦϲ (ἀβλαβῶϲ P) ἀκρατῶϲ CPRTV τοὺϲ δὲ M ἰκτεριώδεαϲ C: ἰκτερώδεαϲ *cett.* 12 ἢ *(prius)* ABM: *om. cett.* ἕδρηϲ CRTU: ἕδραν B 13 ἢν *Hipp. cod. A*: ἢ *codd. Gal.* ἐν *om.* BCRTV ἔωϲιν BT: ἐόνταϲ AM: *om.* CRU ἢ πόνοϲ . . . ἐπικρατέωϲι *om.* T ἐπιτρέχει *codd.*: *correxi* 14 ἐπικραταίωϲι B: ἐπικρατέουϲι *cett.*: *correxi* τοιῶνδε AM: τοιούτων *cett.* 15 κίνδυνοι BCPTV γὰρ *om.* R ἕξει B: ἕξῃ AM: ὀξέεϲ CRT ὀνήϲηϲ M: ὀνίνηϲι BCRTV 16 ταυτομάτου ABM 17 ὑπομνήματοϲ ABMPV: ὑπομνήμαϲι CR: ὑπομνήϲεωϲ T 19 οὐκ ὀρθῶϲ εἰρ. AM: εἰρ. οὐκ ὀρθ. *cett.* 20 ὡϲ *ante* οὐκ *hab.* ABMV: *om.* CRT 22 κατὰ λόγον λεγόμενα CRU ἐπιτηδείων M 22. 23 τὸ φαρμακεύεϲθαι δὲ τὸ καθαίρεϲθαι AM: τὸ καθαίρεϲθαι δὲ τῷ φαρμακεύεϲθαι *cett.* 23 ἐϲ ταυτὸν ϲυμβαίνει AM: ϲυμβ. (ϲημαίνει T) ἐϲ (εἰϲ B) ταὐτὸν *cett.* γε *om.* AMU τὸ *codd.*: *om. ab Aldo edd.* 24 ἐν *del. Cornarius*

τοὺς κεφαλαλγικούς, φηςίν, ἐκ γυμναςίων ἢ ἄλλου τινὸς πόνου ἀκαίρου. ςυντόμως οὖν ἀκούςας τοὺς ἐξ ἀκαίρων πόνων κεφαλαλγικοὺς γενομένους μὴ κάθαιρε. ἄκαιροι δὲ πόνοι πάντες εἰςὶν οὓς ἡ παροῦςα κατ᾽ ἐκεῖνον τὸν χρόνον διάθεςις τοῦ ςώματος οὐ δύναται φέρειν. ἀναμνήςω δέ ςε νῦν εἰς πολλὰ χρηςίμου πράγματος, οὗ καὶ διὰ παντὸς ἀξιῶ μεμνῆςθαι· τοῦ ςώματος ἡμῶν ἐνίοτε νόςου παραςκευῆς μετέχοντος ἐγγὺς τοῦ ςυμπληρωθῆναι, τῶν ἔξωθέν τι προςιὸν ἐξήλεγξε τὴν διάθεςιν αὐτοῦ πυρετὸν ἀνάψαν ἢ κεφαλαλγίαν ἢ κατάρρουν ἢ βῆχα κινῆςαν ἤ τι τοιοῦτον ἄλλο· κἄπειτα ἐκ τούτου κατὰ τὸ ςυνεχὲς ἀςθενοῦςιν ἐπικινδύνως, οὐ τοῦ δρόμου τὴν νόςον γεννήςαντος ἢ ὅλως τῆς ἰςχυρᾶς κινήςεως, ὥςπερ οὐδὲ τῆς ἀκραςίας ἢ τῆς ψύξεως ἤ τινος ἄλλου τῶν τοιούτων· οὐδὲν γὰρ αὐτῶν ἱκανόν ἐςτι κατὰ τὴν ἑαυτοῦ φύςιν ἀςθένειαν ἐργάςαςθαι ςφοδράν, ἀλλ᾽ εἴτε πυρετὸς ὑπό τινος αὐτῶν γένοιτο, τῶν ἐφημέρων ὀνομαζομένων ὁ τοιοῦτός
903 ἐςτι πυρετός, εἴτ᾽ | ἄλλο τι ςύμπτωμα, ὀλιγοχρόνιον ἔςται καὶ τοῦτο. πολλάκις δ᾽, ὡς ἔφην, διὰ τὴν τοῦ ςώματος διάθεςιν ἕκαςτον τῶν τοιούτων οὐκ αἴτιον τοῦ νοςήματος, ἀλλὰ πρόφαςις γίνεται· κυρίως γὰρ ἄν τις μάλιςτα τὰς τοιαύτας αἰτίας ὀνομάζοι προφάςεις, οὐχ ἁπλῶς φανεράς, ὡς πολλάκις εἰώθαςι καλεῖν, ὅταν ὑπό τινος τῶν φανερῶν αἰτίων βλάβη γένηται ςαφὴς ἐν τῷ ςώματι· μηδεμιᾶς γὰρ ἑτέρας διαθέςεως νοςώδους ὑποκειμένης οὔτε νόςος ἀξιόλογος ἀκολουθήςει καὶ τῆς γενομένης ἐν τῷ ςώματι βλάβης τὸ ποιῆςαν αἴτιόν ἐςτιν. ἴςθι τοίνυν αὐτῷ τὸν ἐνεςτῶτα λόγον ἐπὶ τοῖς τοιούτοις αἰτίοις γινόμενον, ἃ μὴ κατὰ τὸν ἑαυτῶν λόγον βλάπτει τὸ ςῶμα· κεφάλαιον δ᾽ αὐτῶν εἰςιν ἓν μὲν καὶ πρῶτον οἱ πόνοι, πολυειδεῖς κατὰ μέρος ὄντες, δρόμοι καὶ πάλαι καὶ παγκράτια, ἀφροδίςια, τρίψις, ἔγκαυςις, ψύξις, ἀγρυπνία, θυμοί, λῦπαι, φόβοι. τῶν μὲν οὖν ἀφροδιςίων ἐμνημόνευςε, τὰ δ᾽ ἄλλα παρέλιπε, καίτοι τὴν αὐτὴν δύναμιν ἔχοντα· τὰ γάρ, ὡς εἴ-

5 ἀναμνήςω ... ὀλιγοχρόνιον *(15)*] *eadem leguntur ap. Gal. XVI 108 sqq. K.* 16 ἔφην] *v. 7 sq.* 28 ὡς εἴρηται] *p. 357, 4*

1 τῶν γυμν. AM 2 *post* ἀκούςας *add.* μέμνηςο ABCMR 3 γινομ. M: *om.* CRU δὲ CR: *om. cett.* πάντες AMT: πάντως *cett.* 5 δέ] μὲν οὖν CRU νυνὶ PT: *om.* AM 5. 6 οὗ καὶ ABCMT: καὶ *om.* RV 6 ἐνίοτε νόςου *codd.*: *om. ab Aldo edd.* 9 τι *om.* T 10 *post* ςυνεχὲς *add.* ἐπὶ τὴν παραςκευὴν τῆς νοςώδους διαθέςεως BCRTU: *om.* AMPV οὐ τοῦ ABCMT: τοῦ PV: οὔτε τοῦ P¹ 12 γὰρ *om.* T 13 ἐργάςαςθαι *codd.*: ἐργάζεςθαι *ab Aldo edd.* 14 τινος *om.* AM 15 πυρετός *om.* B 15. 16 καὶ τοῦτο. πολλάκις ABCMRU: πολλ. κ. τοῦτο PV: καὶ τοῦτο *om.* T 16 δ᾽] γε P¹ 18 ὀνομάζων PV: *corr.* P¹ 19 φανεράς· φανερὰς γὰρ πολλάκις κτἑ. B εἰώθαςι AM: εἰώθαςιν αὐτοὶ *cett.* 20 γὰρ *om.* CRTU 21 ὑποκειμένης νοςώδους AM: *post* ὑποκειμένης *add.* ἐν τῷ ςώματι B ἀκολουθήςει PV: ἀκολουθεῖ ABCMRU: ἀκολουθεῖν T καὶ *om.* CRU: εἶναι T 22 γενομένης ABCMRTU: γιν. PV ποιῆςον M *post* ποιῆςαν *add.* αὐτὴν PV: *om. cett.; cf. p. 339, 8* 23 αὐτῷ *om.* B γι(γ)νόμενον AM: γενόμενον BPTV: γενηςόμενον CRU 24 τὸν *om.* AM κεφάλαια A 25 εἰςιν AM: ἐςτιν *cett.* 26 τρίψις AMR: τρίψεις CP¹: τρίτον PTV 27 θυμὸς M 28 παρέλειπε PV αὐτὴν] τοιαύτην M ἔχοντα δύναμιν CRU

ρηται, τὸ πνεῦμα τα|ράττοντα καθάρσεως οὐ δεῖται διὰ τὸ μηδ᾽ ὑπὸ 904
κακοχυμίας γεγονέναι τὴν νόσον αὐτήν.

μεταβὰς δ᾽ ἀπὸ τούτων τῶν γνωρισμάτων αὐτὸς ἐδήλωσεν οὓς πρότερον εἶπεν. ἰδίως δὲ καλοῦσιν ἀχρόους τοὺς λειφαίμους, ἔτι τε δι᾽ ἄλλην διάθεσιν οὐ κατὰ φύσιν ἔχοντας τὸ σῶμα κακοχρόους ὀνομάζουσιν· οὗτοι τοίνυν οἱ ἄχροοι θερμαίνεσθαι δέονται διά τε γυμνασίων καὶ πόσεως οἴνου θερμοῦ τῇ δυνάμει καὶ σιτίων παραπλησίων. ἀλλὰ καὶ τοὺς βραγχαλέους φησί· καὶ γὰρ καὶ τούτων τὴν ὑγρότητα καὶ ψύξιν τοῦ κατασκήψαντος εἰς τὸν λάρυγγα ῥεύματος ἰᾶσθαι προσήκει τὴν κεφαλὴν ξηραίνοντας καὶ τὰ πεπονθότα μόρια διὰ τῶν τοπικῶν βοηθημάτων. ἀλλὰ καὶ τοὺς σπληνώδεάς φησιν οὐ δεῖσθαι καθάρσεως· τοῦτό μοι δοκεῖ μὴ λέγειν ὀρθῶς· δέονται γάρ, εἴπερ τινὲς ἄλλοι, καὶ οὗτοι καθαίρεσθαι μέλανα.

τούτοις ἐφεξῆς τῶν λειφαίμων μνημονεύει, τουτέστι τῶν ἐνδεὲς ἐχόντων αἷμα, κἂν μηδέπω σαφῶς ὦσιν ἄχροοι. μετ᾽ αὐτοὺς δ᾽ ἐμνημόνευσε τῶν πνευματωδῶν καὶ ξηρὰ βησσόντων καὶ διψωδῶν, ἀσαφῶς ἑρμηνεύσας, ὡς μὴ | δηλῶσαι, πότερον ἑκάστου κατὰ μόνας 905
ἀκουστέον ἐστὶν ἢ τῶν τριῶν ἅμα γενομένων. ἔστι δ᾽ οὐδὲ καθ᾽ ἓν ἕκαστον αὐτῶν λεγόμενον σαφές, ὡς καὶ πρόσθεν ἤδη που λέλεκται· πνευματώδεις γὰρ ὡς τὸ πολὺ μὲν ὀνομάζουσι τοὺς κατὰ τὴν εἰσπνοὴν ἀέρος δεομένους, ἔστι δ᾽ ὅτε καὶ τοὺς ἐμπνευματουμένους· ἀλλ᾽ ἑκάτερον αὐτῶν πολλὰς αἰτίας ἔχει, κἂν πάσας ἐπεξίω, μακρότερος ὁ λόγος ἔσται πρὸς τῷ καὶ φανῆναί τινας μὲν αὐτῶν φλεβοτομίας δεομένους, τινὰς δὲ καθάρσεως, τινὰς δ᾽ ἄλλου βοηθήματος. οὕτω δὲ καὶ οἱ ξηρὰ βήσσοντες οὐ κατὰ μίαν γίνονται διάθεσιν, οὐδ᾽ οἱ διψώδεις αὐτῶν, ὥστε οὐδ᾽, εἰ περὶ τῶν πυρεσσόντων διψωδῶν ὁ λόγος ἐστὶν αὐτῷ, ἐπίστασθαι νῦν ἡμᾶς ἢ περὶ τῶν ἀπυρέτων ἢ ἀμφοτέρων· κἂν γὰρ ἑνὸς αὐτῶν μνημονεύσω κατὰ τοὺς Ἀφορισμοὺς εἰρημένου, τὸ καθόλου διαβεβλήσεται· λέλεκται δ᾽ ἐν Ἀφορισμοῖς ὧδε· "ἀπυρέτῳ ἐόντι ἀποσιτίη καὶ καρδιωγμὸς καὶ σκοτόδινος καὶ στόμα ἐκπικρούμενον

4 ἀχρόους] *cf. Gal. XVI 657 K.* 8 βραγχαλέους . . . διψωδῶν *(16)] eadem leguntur ap. Gal. XVI 110* 19 λέλεκται] *p. 322, 5 sq.* 29 ἐν Ἀφορισμοῖς] *Hipp. Aphor. IV 17 (IV 506 L.)*

1 ταράσσοντα A ὑπὸ] ἐπὶ BV 2 κακοχύμων P: *corr.* P^1 αὐτήν ACMRTUV: ταύτην P^1: ἑαυτοῦ B 3 αὐτοὺς ABM οὓς μὲν PV: μὲν *del.* P^1 5 τὴν φύσιν PV τὸ σῶμα *om.* AM 7 πόσεως *codd.*: πόσεων *Chartier* 9 εἴς τε τὸν CPTU: τε *del.* P^1 ἰᾶσθαι ABCMRT: ἰάσασθαι PV προσῆκον B 10 ξηραίνοντος B: ξηραίνοντα CR 12 τοῦτο ⟨μὴν⟩ μοι *coni. Mewaldt* μοι] μὴ P: *corr.* P^1 μὴ] μηδὲ PV: *corr.* P^1 13 καθάρσεως P: καθαίρεσθαι P^1 16 βησσόντων] μασσόντων PV καὶ (*ante* διψωδῶν) M: *om. cett.* 17 πρότερον MPV: *corr.* P^1 18 ἓν *om.* ABM 19 που *om.* PV: γρ. πολὺς T *in mrg.* 20 ὡς *om.* AM τὸ πολὺ μὲν V: τὸ (*om.* BT) πολὺ μόνον BCRTU: *om.* AM 21 ἐμπνευματωμένους BMT 22 κἂν *scripsi*: καὶ T: καὶ εἰ *cett.* 23 τῶ καταφανῆναι PV: *corr.* P^1 25 δὲ *om.* AM 25. 26 οὐδ᾽ οἱ διψ. αὐτῶν *om.* ACMRTU 26 ὥστε *scripsi*: *om.* B: οὕτως δὲ *cett.* μηδὲ B εἰ *om.* B διψωδῶν . . . ἀπυρέτων *om.* CRU 27 αὐτῶ ἐστιν ABM: αὐτῷ *om.* T ἐπισκέψασθαι AM 28 καὶ γὰρ CPRUV: ἵνα γὰρ κἂν ἐξ B

906 ἄνω φαρ|μακείης δεῖcθαι cημαίνει”· ἐὰν δὲ ἐκπικρῶται τὸ cτόμα, διψώδεις εἰcίν. οὕτω δὲ καὶ οἱ φυcώδεις πρῶτον μὲν οἵτινες ὑπ᾽ αὐτοῦ λέγονται ἀγνοῶ, ⟨εἶτ᾽⟩ εἰ cὺν τῷ φλεβῶν ἀπολήψιας τοὺς γεγονότας φυcώδεις ἀκούομεν, ἐνίων ἀναγινωcκόντων καθ᾽ ἑαυτό· κἂν ⟨εἰ⟩ μεταβάλλειν εἶχον τῆς λέξεως ταύτης ἕκαcτον, ἠδυνάμην ἂν ἅπαντα ὅcα γινώcκειν χρήcιμόν ἐcτί cε διδάξαι μὴ πολλὰ πληρώcας βιβλία, καθάπερ καὶ περὶ τῶν ἑξῆς λεγομένων.

φηcὶ γὰρ ἐντεταμένους ὑποχόνδρια καὶ πλευρὰ καὶ μετάφρενον καὶ ἀμαυρὰ βλέποντας καὶ οἷς ἦχοι τῶν ὤτων εἰcὶ καὶ ὅcοι τῆς οὐρήθρας ἀκρατῶς διάκεινται· καθ᾽ ἕκαcτον γὰρ τούτων τῶν παθημάτων αἰτίαι τε καὶ διαθέcεις εἰcὶ πολλαὶ καὶ θεραπειῶν διαφερουcῶν δεόμεναι· αὐτῶν γοῦν ἔcθ᾽ ὅτε καὶ καθάρcεως δεηθήcονταί τινες τῆς διὰ χολαγωγοῦ φαρμάκου.

περὶ πάντων οὖν τούτων ἔτι τε τῶν ἐφεξῆς εἰρημένων οὐκ ἀποφάcεις ἀδιορίcτους, ἀλλὰ διοριcμούς τε καὶ cαφεῖς διδαcκαλίας τῇ τε μακρᾷ πείρᾳ κεκριμένας ἐν ταῖς ἡμετέραις ἔχεις πραγματείαις, ἃς ἀνα-
907 λεξάμενος ἱκανὸς ἔcῃ κρίνειν ἅπαντα τὰ | τούτῳ λεγόμενα μετὰ τοῦ μεμνῆcθαι τοῦ μέρους, ὃ γνήcιον ὁμολογεῖται καὶ παρ᾽ ἡμῶν διδαcκαλίας ἔχον ὠφελούcας· ἅπαντα γὰρ ἐν αὐτῷ γέγραπται cὺν ἀποδείξει τε καὶ cαφηνείᾳ καὶ διοριcμοῖς τοῖς προcήκουcι. τὰ δ᾽ οὕτως ἐcπαρμένα, καθάπερ ἡ νῦν προκειμένη ῥῆcις, οὐδὲν ὀνίνηcιν. ἐὰν μὲν γὰρ ἀκούων ᾖ τις ἁπλῶς ἑκάcτου τούτων ἄνευ τοῦ διορίcαcθαι, πολλὰ κακῶς πράξει κατὰ τὴν τέχνην· ἐὰν δ᾽ ἕκαcτον ὡς χρὴ διορίcηται, γνώcεται πρῶτον μὲν οὐδὲν ἐντεῦθεν εἰς τὴν εὕρεcιν αὐτῶν ὠφελούμενος, εἶτα πολλῶν βιβλίων δεόμενος εἰς τὴν περὶ τῶν προκειμένων cκέψιν. ἀλλὰ γὰρ οὐκ ἔcτι πεῖcαι τοὺς πολλοὺς τῶν ἀνθρώπων ἐπέρχεcθαι μὲν τὰ cαφῆ τῶν cυγγραμμάτων μόνα, καταλιπεῖν δὲ τοῖς γράψαcι τὰ μὴ τοιαῦτα· καὶ γὰρ δίκαιόν ἐcτιν, εἰ μηδεμίαν ἐκεῖνοι φροντίδα τοῦ γινώcκειν ἡμᾶς ἃ γεγράφαcιν ἐποιήcαντο, μηδ᾽ ἡμᾶς λιπαρῶς προcκεῖcθαι ζητοῦντάς τε καὶ καταμαντευομένους ὧν λέγουcιν. |

1 ἐκπικρῶται] *cf. Gal. VII 577 K.* 26 ἀλλὰ γὰρ κτἑ.] *cf. Gal. XVI 547*

1 cυμβαίνει M ἐκπικρῶται *scripsi*: ἐκπικροῦται *codd.* ἐκπικρῶται . . . οἵτινες *om.* B τε τὸ T 2 οἵτινες] εἵ τινες RTU 3 ὡς ἀγνοῶ βεβαίως B εἶτ᾽ *addidi* τῷ] τῶν BM 4 ἀκούομεν PV: ἀκούοιμεν T: ἀκούοιμι *cett.* εἰ *addidi* 5 εἶχον BPV: ἔχον CRU: ἔχῃ T: εἶ AM ἠδυν. *codd.*: ἐδ. *Chartier* 6 cε διδ. AMP[1]V: cοι δ. B: διδ. C μὴ *del. Cornarius* πληρώcας ABCRU: πληρῶν PTV: *obscur.* M 7 κἀπὶ AM: καὶ περὶ *cett.* 8 ἐντεταμένους ABCRTU: ἐκτ. PV 10 τῆς ABMPV: τὰς CRTU 12 ἔcθ᾽ ὅτε αὐτῶν γοῦν *colloc.* B καθάρcεων RTU 13 τῆς *om.* R χολαγωγῶν φαρμάκων CRU 15 διοριcμοὺς PV: διοριcμένας AT: διωριcμένας BCRU: *obscur.* M διδαcκαλίας *om.* AM 17 ἔcο PV: *corr.* P[1] ἅπαντα *om.* AM 18 ὁμολογεῖται ABMRU: ὡμολόγητο PV: ὡμολογεῖται *(sic)* CT 20 τοῖς *om.* R 21 προκειμένη CRU: ὑποκειμένη *cett.* *post* γὰρ *add.* νῦν PV: *om. cett.* 22 ἀκούων ᾖ ABMRTU: ἀκούῃ *cett.* 23 παρέξει M ἕκαcτος ACMRT 24 γνώcει BR ἐντεῦθεν *om.* B 25 περὶ *om.* AM 26 ἐπίcκεψιν AM γὰρ *om.* AM ἐπέρχεcθαι *post* φροντίδα *(29) transp.* B 27 γραμμάτων PV: cυγγρ. *cett.* μόνον RU 29 ἃ γεγράφαcιν] γράφειν CRTU ἐποιήcαντο *ante* τοῦ *transp.* ABM ἡμᾶς] ἂν μὲν PV: *corr.* P[1] *in mrg.*

IV 111 [II 24. II 508, 7 L.] Ἦν δὲ αἷμά τινι συμφέρῃ ἀφαι- **908**
ρέειν, στερεὴν ⟨πρότερον⟩ ποιέειν τὴν κοιλίην καὶ οὕτως ἀφαιρέειν καὶ λιμοκτονέειν καὶ οἶνον ἀφαιρέειν αὐτῷ· ἔπειτα διαίτῃ τῇ προσηκούσῃ τὰ ἐπίλοιπα αὐτῶν καὶ πυρίῃσιν ἐνίκμοισι θεράπευε.

Μὴ ῥεούσης τῆς κοιλίας ἀφελεῖν τοῦ αἵματος (ἐὰν γὰρ ἐπιμένῃ μετὰ τὴν ἀφαίρεσιν ἀπορρέουσα, καταλύει τὴν δύναμιν) τό τε λιμοκτονεῖν, ἐὰν ἀφέλῃς τοῦ αἵματος, οἴνου τε ἀπέχειν ὀρθῶς εἴρηται, καθάπερ καὶ τὸ τῇ διαίτῃ τῇ προσηκούσῃ χρῆσθαι. τὸ δὲ καὶ ἐνίκμοις πυρίαις θεραπεύειν, εἰ μὲν ἐπὶ πάντων λέγοιτο τῶν ἀφαιρουμένων αἷμα, ψεῦδός ἐστιν· εἰ δ᾽ ἐπί τινων, ἐχρῆν εἰπεῖν. |

IV 112 [II 24. II 510, 1 L.] Ἦν δέ σοι κατάπυκνος ἡ κοιλίη **909**
δοκῇ εἶναι, μαλθακῷ κλύσματι ὑπόκλυζε.

Οὐκ ἄξιον συγγράμματος τοῦτο· πρόδηλον γάρ ἐστιν ἅπασιν.

IV 113 [II 25. II 510, 3 L.] Ἦν δὲ φαρμακεῦσαι δόξῃ, ἐλλεβόρῳ ἀσφαλέως ἄνω κάθαιρε, κάτω δὲ μηδενὶ τῶν τοιούτων.

Ὡς προειρηκὼς τὸ πάθος, ἐφ᾽ οὗ κελεύει ταῦτα πράττεσθαι, τὸν λόγον ποιεῖται, καίτοι γ᾽ οὐδὲν προείρηκεν· ἢ οὖν ἀπόλωλέ τις ῥῆσις, ἐν ᾗ τὸ πάθος ἐδηλοῦτο, ἢ ἐπιλή|σμων ἦν ὁ ταῦτα γράψας καὶ τοι- **910**
οῦτος, οἷος ὁ νῦν ὀνομαζόμενος ὑπὸ τῶν πολλῶν μετέωρος.

IV 114 [II 25. II 510, 4 L.] Κράτιστον δὲ ἐς οὔρησιν καὶ ἐς ἱδρῶτας καὶ ἐς περιπάτους ἄγειν. καὶ τρίψει ἡσύχῳ χρέω, ἵνα μὴ πυκνώσῃς τὴν ἕξιν· ἢν δὲ κλινοπετὴς ᾖ, ἄλλοι τριβόντων αὐτόν.

Καὶ ταῦθ᾽ ὡς προειρηκὼς τὸ πάθος ἔγραψεν.

10 ἐνίκμοις πυρίαις] *cf. supra p. 165, 16 sqq.* 13 κλύσματι] *cf. Gal. X 577, 10 sqq. K.* 14 οὐκ ἄξιον συγγράμματος] *cf. p. 262, 24* 20 μετέωρος] *cf. Foesii Oeconomia Hippocr. p. 411 Francof. 1588; eodem fere sensu Augustus adverbio* μετεώρως *usus est (Suet. Cal. 4)*

1 ξυμφέρει AM 2 πρότερον *om. codd.*: *add. ex Hipp. Chartier* 3 λιμοκτενέειν PV αὐτῷ P^1: αὐτῶν *cett.*: αὐτοῦ *Reinhold* 4 διαίτῃ (διαίτης R) *codd.*: τῇ δ. *Chartier* τῆς προσηκούσης R: *om. Hipp. cod. A; cf. p. 314, 25* τὰ ἐπίλοιπα αὐτῶν AMV: *om. cett.*: αὐτὸν *corr. Reinhold* 5 θεραπεῦσαι PV: *corr.* V^1 6 κοιλίης V: κοιλίας *cett.* εἰ γὰρ ἐπιμένει AM 7 τὸ *om.* B 8 ἐὰν ABCMRTU: ὧν V: ὧν P: ἐὰν P^1, *sed del.* 10 τὸ *(repet.)* ἐνίκμοις πυρίαις AM: ταῖς π. ἐν. CRTU: τὸ π. αἰνίγμοις B: ταῖς π. ταῖς ἐν. PV 13 δοκεῖ BCRTU 15 δόξῃ P^1 *in mrg.*: δὴ B: δεῖ *cett.* 16 ἀσφαλῶς AM ἄνω κάθαιρε] ἀνακάθηρε V *et* P *ante corr.* κάθαρε B τοιῶνδε *Hipp.* 17 ὡς ὁ C 18 ποιεῖ CRTU γ᾽ BT: γε ACMRU: *om.* PV 19 ἐν ᾗ] ἐνὶ *ante corr.* P καὶ *om.* CRU ὁ τοιοῦτος BT 20 παλαιῶν PV: πολλῶν *cett.* 21 κράτιστον δὲ *om.* CRU 22 τρίψεις CR^1U: τρίψις R ἡσύχως CRU χρέω ABCMRT: χρέο PV 23 μὴ *om.* CRTU τριβόντων *codd.*: τριβέτωσαν P^1R^1 *in mrg.* 24 αὐτῶν RU 25 Καὶ . . . ἔγραψεν *om.* CRU *ante* ὡς *add.* οὕτως PV: *om.* ABMT

IV 115 [II 25. II 510, 7 L.] Καὶ ἢν μὲν ἐν τῷ θώρακι ὑπὲρ τῶν φρενῶν λυπέῃ τὸ πάθος αὐτόν, ἀνακαθίζειν ὡς πλειστάκις, καὶ ὡς ἥκιστα | προσκλινέσθωσαν, ἐς ὅ τι δυνατοί εἰσι, καὶ καθίζοντα ἀνατριβόντων πολὺν χρόνον πολλῷ θερμῷ· ἢν δὲ ἐν τῇ κάτω κοιλίῃ ὑπὸ φρένας ἴσχῃ τὰ ἀλγήματα, ἀνακεῖσθαι ξυμφέρει καὶ μηδεμίαν κίνησιν κινεῖσθαι. τῷ τοιῷδε σώματι μηδὲν προσφέρειν ἔξω τῆς ἀνατρίψεως.

911

Ἐκ ταύτης τῆς ῥήσεως τεκμήραιτ' ἄν τις αὐτά τε καὶ τὰ πρὸ τούτων ἅπαντα περὶ ἀλγημάτων γεγράφθαι, τὰ δ' ἐν ἀρχῇ τῆς ῥήσεως παραλελεῖφθαι ἁμαρτόντος τοῦ πρώτου βιβλιογράφου καὶ μετὰ ταῦτα μεινάσης τῆς ἁμαρτίας. ὥστ' οὐδ' ἐξετάσαι τὴν ἐν τοῖς εἰρημένοις ἀλήθειαν οἷόν τε, μή τινι κἀν τοῖς τοιούτοις ἐπὶ πλέον εἰκῇ κατατρίβεσθαι δόξωμεν.

IV 116 [II 25. II 512, 1 L.] Τὰ δ' ἐκ τῆς κάτω κοιλίης λυόμενα δι' οὔρων καὶ ἱδρώτων, ἢν ὀλίσθῃ μετρίως, ὑπὸ αὐτοματισμοῦ λύεται, τὰ σμικρά· | τὰ σφοδρὰ δὲ πονηρόν· οἱ τοιοίδε γὰρ ἢ ἀπόλλυνται ἢ ἄνευ ἄλλων κακῶν οὐ γίνονται ὑγιέες, ἀλλ' ἀποστηρίζει καὶ τὰ τοιουτότροπα.

912

Καὶ διὰ ταύτης τῆς ῥήσεως ἔνεστι τεκμαίρεσθαι περὶ θεραπείας ἀλγημάτων ἅπαντ' αὐτῷ τὰ προγεγραμμένα λελέχθαι.

IV 117 [II 26. II 512, 7 L.] Πόμα ὑδρωπιῶντι· κανθαρίδας τρεῖς, ἀφελὼν τὴν κεφαλὴν ἑκάστης καὶ πόδας καὶ πτερά, τρίψας ἐν τρισὶ κυάθοις ὕδατος τὰ σώματα· ὅταν δὲ πονῇ ὁ

21 κανθαρίδας] *cf. Gal. I 667, 6 K. et Diosc. II 61, 2*

1 καὶ ἢν BCPRTU: κἢν AM τῷ ρακι *(sic)* RU 2 αὐτῶν C ἀνακαθίζειν ABM: ἀνακαθίζεσθω PRTUV: ἀνακαθίζεσθαι C πολλάκις CPRTUV 3 καὶ ὡς . . . δυνατοί εἰσι *del. Kühlewein* ὡς *ante* ἥκιστα *om.* CPTU προσκλινέσθωσαν CPRUV: προσκατατεινέσθωσαν ABM ἐς] ὡς B: *om.* CRU ὅτι *codd.*: ὅτε *Chartier* δυνατός ἐστι *Cornarius* 4 ἀνατριβόντων ABMP¹: ἀνατρίβειν *cett.* *ante* πολὺν *add.* μὴν AM: μὴ B: μιν *Chartier* 5 ἐν *om.* CPRTUV ἐν . . . ξυμφέρει *om.* B ἴσχῃ AM: ἔχειν CRU: ἔχῃ *cett.* τὰ *om.* RU ἀνακεῖσθαι CPRTUV: ἀνακέεσθαι AMP¹ 6 κινεῖσθαι P *cum cett.*: κινέεσθαι *corr.* P¹ τοιῷδε *om.* AM 7 μηδὲν προσφέρειν B: μ. προσφέρεσθαι *Hipp.*: ξυμφέρει P¹: *om. cett.* ἀνατρίψεως] *desinit* C 8 τῆς *om.* AM τεκμήραιτ' AM: τεκμαίροιτ' PV: τεκμαίρετ' BT αὐτά τε AM: αὐτὰ BPRTUV: ταῦτα P¹ τὰ] ταῦτα *Cornarius* 9 δ' AM: οὖν *cett.* 10 παραλελεῖφθαι PV: παραλελεῖφθαι τι *(sic)* ῥῆσις B: παραλέλειπται *cett.* 11 ἐξετάσαι ABM: ἐξετάσειν PRTUV 12 κἀν ἐν ABMPV: ἐν RTU: *corr. Chartier* 13 δεί(η A)ξωμεν AM: δόξαι B: *om.* T 14 κοιλίας PV: *corr.* P¹ 15 ἵν' ὀλισθῆσαι PV: *corr.* P¹: ἵν' ὀλισθῇ BT 16 τὰ *(prius) om.* ABM μικρὰ PRTUV τὰ *(alt.) om.* AMPV: *add.* P¹ *cum cett.* σφόδρα AM 17 ἢ *(prius) om.* T ἄλλων κ. AM: κ. ἄλλων *cett.* 18 ἀποστήριζε M 19 ἔνεστι τεκμ. *om.* P: *add.* P¹ 19. 20 θερ. ἀλγ. AM: ἀλγ. θερ. *cett.* 20 αὐτῶν RTU τὰ πρῶτον γεγρ. PV *post* λελέχθαι *add.* καὶ τοῦτο RTU 21 πόμα] οκα RU 23 ὅταν ABMRU: ὁκόταν PV πονῇ BPRTV: πονέῃ AM

πιών, θερμῷ βρεχέσθω ὑπαλειφόμενος πρότερον· νῆστις δὲ πινέτω, ἐσθιέτω δὲ ἄρτους θερμοὺς ἐξ ἀλείφατος. |

Ταύτην τὴν ῥῆσιν τολμηρός τις ἀναγνοὺς ἰατρὸς ἀφελὼν τὰ προ- 913
ειρημένα μόρια τῶν κανθαρίδων ἔδωκεν ὑδρωπιῶντι· καὶ μετὰ μίαν ἡμέραν ἀπόστημά τι σχὼν ὁ ἄνθρωπος εἰς τὴν γαστροκνημίαν, εἶτα μετὰ τρεῖς ἄλλας τμηθεὶς ὑπ᾽ αὐτοῦ, πλείστου ῥυέντος ὕδατος, ἔδοξε τεθεραπεῦσθαι· προσεστάλη γὰρ ἐν τῷ παραυτίκα τὸ πλεῖστον τοῦ παρὰ φύσιν ὄγκου. ἀλλ᾽ ὅμως ἀπέθανεν οὐ μετὰ πολλὰς ἡμέρας. ἐπετίμησεν οὖν τις τῷ ἰατρῷ κακῶς φάσκων δεδόσθαι τὰ σώματα τῶν κανθαρίδων· ἐχρῆν γὰρ ἀφελόντα τὰ σώματα δοῦναι πιεῖν τὴν κεφαλὴν καὶ τοὺς πόδας καὶ τὰ πτερὰ καὶ τοῦτ᾽ εἶναι τὸ κατὰ τὸ βιβλίον εἰρημένον. οὐκ ὀκνήσας οὖν ὁ εὔτολμος ἰατρὸς ἐπ᾽ ἄλλου πάλιν ἔδωκεν οὕτως, εἶτ᾽ ἀποστήματος ὁμοίως κατὰ τὸν μηρὸν γενομένου καὶ τμηθέντος αὐτοῦ καὶ ῥυέντος ὁμοίως τοῦ ὑγροῦ οὐ μετὰ πολλὰς ἡμέρας ἀποθανεῖν συνέβη καὶ τοῦτον. ἔστι γε μὴν οὐρητικῷ φαρμάκῳ διὰ κανθαρίδων σκευαζομένῳ κεχρημένους τινὰς εὑρεῖν ἄνευ βλάβης τῶν πινόντων αὐτό. |

IV 118 [II 27—39. II 514,1 L.] Ἴσχαιμον· ὀπὸν συκῆς ἐν εἰρίῳ 914
προσθεῖναι ἔσω πρὸς τὴν φλέβα ἢ πυτίην συστρέψαντα βῦσαι εἰς τὸν μυκτῆρα ἢ χαλκίτιδος τῷ δακτύλῳ ἐπισπασάμενος πίεσον καὶ τοὺς χόνδρους ἔξωθεν προσπίεζε ἑκατέρωθεν καὶ τὴν κοιλίην λῦσον ὄνου γάλακτι ἑφθῷ καὶ τὴν κεφαλὴν ξυρῶν ψυκτικὰ πρόσφερε, ἢν ἐν ὥρῃ θερμῇ γίνηται.

σησαμοειδὲς ἄνω καθαίρει· ἡ πόσις ἡμιόλιον δραχμῆς [ὁ σταθμὸς] ἐν ὀξυμέλιτι τετριμμένον· συμμίσγεται δὲ καὶ τοῖ-

15 οὐρητικῷ φαρμάκῳ] *cf. Gal. XI 609, 11. XIV 248, 8 K.* 23 σησαμοειδὲς] *cf. Erotian. p. 120 Kl.* Διοκλῆς οὕτω φησὶ καλεῖσθαι τὸν ἐν Ἀντικύρᾳ ἐλλέβορον, ἕτεροι δὲ πόαν τινὰ ἑτέραν; *cf. etiam Gal. XII 120 sq.*

1 πίνων BPRTU ὑπαλειψάμενος *Hipp.* πρότερον B: καὶ πρ. U: δὲ πρ. *cett.* 2 ἐσθιέτω δὲ *om.* AM: καὶ ἐσθιέτω καὶ B θερμοὺς] λεπτοὺς AM 3 ταύτ. τ. ῥ. τολμ. τις (ἐστιν AM) ἀναγν. ἰατρὸς *colloc.* A¹BM: ταύτ. τ. ῥ. ἀναγν. τις ἰατρ. τολμ. RU: ταύτ. τις ἀγν. τ. ῥ. ἰατρ. τολμ. PTV 4 μόρια] μόνον B 5 ἀποστήματα T τι *om.* T ἔσχεν B 6 καὶ πλείστου B ῥέοντος AM 6. 7 ἔδοξέ τε θεραπεύεσθαι BMRTU 7 προσεστέλη P: *corr.* P¹ 9 φάσκειν B 10 ποιεῖν PV: *corr.* P¹ 11 καὶ τοῦτ᾽ . . . εἰρημένον PRV: *om. cett.* 12 πάλιν *om.* AM ἔδωκεν B: δέδωκεν *cett.* 13 ἀποστήματος B: ἀποσκήμματος *cett.* *post* ὁμοίως *add.* αὐτῷ AM, αὐτοῦ B 14 καὶ . . . ὑγροῦ *om.* P *appicto praetermissionis signo, non adscriptis verbis omissis* *post* ὑγροῦ *add.* παραχρῆμα RTU: *om. cett. cum Ald. et Basil.* οὐ ABM: *om. cett.* πολλὰς πάλιν ἡ. RTU 15 γε μὲν RU: μὴν τοῦτο B οὐρητικὸν φάρμακον T: οὐρητικῶν φαρμάκων RU 15. 16 διὰ κανθ. σκευαζ. *post* εὑρεῖν τινας *(sic) transp.* AM 16 κεχρ. τινὰς *om.* B εὑρεῖν A: *obscur.* M: *om. cett.* βλάβης *om.* A: *add.* A¹ αὐτό] *desinit* B 17 ἴσχαιμον *om.* PV: *add.* P¹ *in mrg.* 18 πιτύην ARTU συντρίψαντα RU βῦσαι AMPRTUV: ἐμβῦσαι P¹ 19 ἐπισπασάμενος APTV: προεπισπ. P¹: ἐπιστάμενος U: ἐπιστάλμενος R: *obscur.* M 21 τὴν *(prius) om.* ARTU λῦσαι *codd.*: λῦσον *Hipp.* ξηρῶν RU 22 στυπτικὰ AP¹RTUV: ῥυπτικὰ P: υπτικὰ M: ψυκτικὰ *Cornarius* ἐν ARTU: *om.* MPV 23 σησαμοειδὲς . . . θεράπευε *(p. 365, 29) add.* P¹ *in mrg.*: *om. cett.* 23. 24 ὁ σταθμὸς *inclusi*: σταθμὸν *coniec. Kühlewein* 24 τετριμμένος P¹: τετριμμένον *Cornarius*

σιν ἐλλεβόροισιν, καὶ ἧσσον πνίγει, τὸ τρίτον μέρος τῆς πόσιος.

τριχώσιος· ὑποθεὶς τὸ ῥάμμα τῇ βελόνῃ τῇ τὸ κύαρ ἐχούσῃ κατὰ τὸ ὀξὺ τῆς ἄνω τάσιος τοῦ βλεφάρου ἐς τὸ κάτω διακεντήσας δίες καὶ ἄλλο ὑποκάτω τούτου· ἀνατείνας δὲ τὰ ῥάμματα ῥάψον καὶ κατάδει, ἕως ἂν ἀποπέσῃ. κἢν μὲν ἱκανῶς ἔχῃ· εἰ δὲ μή, ἢν ἐλλείπῃ, ὀπίσω ποιέειν τὰ αὐτά.

καὶ τὰς αἱμορροΐδας τὸν αὐτὸν τρόπον διώσεις τῇ βελόνῃ
915 ὡς παχύτατον εἰρίου οἰσυπη|ροῦ ῥάμμα καὶ ὡς μέγιστον ἀποδήσεις· ἀσφαλεστέρη γὰρ γίνεται ἡ θεραπείη. εἶτα ἀποπιέσας τῷ σηπτῷ χρέω καὶ μὴ βρέχε, πρὶν ἀποπέσῃ, καὶ ἀεὶ μίαν καταλίμπανε· καὶ μετὰ ταῦτα ἀναλαβὼν ἐλλεβορίσαι. εἶτα γυμναζέσθω καὶ ἀφιδρούτω· γυμνασίου δὲ τρίψις, πάλη ἀπ᾽ ὀρθοῦ· δρόμου δὲ ἀπεχέσθω καὶ μέθης καὶ τῶν δριμέων ἔξω ὀριγάνου. ἐμεέτω δὲ ⟨δι᾽⟩ ἑπτὰ ἡμερέων ἢ τρὶς ἐν τῷ μηνί· οὕτω γὰρ ἂν ἔχοι ἄριστα τὸ σῶμα. οἶνον δὲ κιρρὸν αὐστηρὸν ὑδαρέα τε καὶ ὀλίγον πινέτω.

τοῖσι δὲ ἐμπύοισι σκίλλης καταταμὼν κυκλίσκους ἕψε ἐν ὕδατι καὶ ἀποζέσας εὖ μάλα ἀπόχεον καὶ ἐπιχέας ἄλλο ἕψε, ἕως ἂν ἁπτομένῳ δίεφθον καὶ μαλθακὸν φανῇ. εἶτα τρίψας λεῖον ξύμμισγε κύμινον πεφρυγμένον καὶ λευκὰ σήσαμα καὶ ἀμυγδάλας νέας, τρίψας ἐν μέλιτι ἐκλεικτὸν δίδου καὶ ἐπὶ τούτῳ γλυκύν· ῥοφήματα δέ, μήκωνος τῆς λευκῆς ὑποτρίψας ὁκόσον λεκίσκιον, ὕδατι διεὶς σητανίου πλύματι ἀλεύρου ἑψήσας, μέλι ἐπιχέας, χλιηρὸν ἐπιρροφέων, οὕτω διαγέτω τὴν
916 ἡμέρην· εἶτα ἐς τὰ ἀπο|βαίνοντα λογιζόμενος τὸ δεῖπνον δίδου.

δυσεντερίης· κυάμων καθαρῶν τεταρτημόριον καὶ ἐρυθροδάνου δυοκαίδεκα κάρφεα λεῖα ξυμμίξαντα καὶ ἑψήσαντα λιπαρὸν διδόναι ἐκλείχειν.

ὀφθαλμῶν· σποδὸς πεπλυμένη, λιπαρῷ πεφυρημένη, ὡς

3 τριχώσιος] τρίχωσις *idem quod* τριχίασις, *de qua cf. Ps.-Gal. XIX 437 sq. K.* κύαρ] *cf. Gal. lex. Hipp. s.v. (XIX 115). Erotian. p. 16 Kl.; v. etiam Foesii Oeconomia Hipp. p. 360* 11 τῷ σηπτῷ] *cf. Gal. XII 17* 18 σκίλλης] *cf. Gal. XII 125. XI 378.* 22 ἀμυγδάλας] *cf. Gal. XI 827 sq.* 24 σητανίου] *cf. Gal. lex. Hipp. s. v.* σιτανίῳ *et* σιτανώδει *(XIX 137)* 28 κυάμων] *cf. Gal. XII 49 K.* 31 σποδὸς πεπλυμένη] *cf. Gal. XII 704*

6 κατάδησον *Hipp. cod. A* ὑποπέσῃ P^1: ἀποπέσῃ *Hipp. cod. A* 7 τὸ αὐτὸ *Hipp. cod. A* 8 διώσας *Reinhold* 9 οἰσυπηροῦ *Hipp. codd.*: ἐς ὑπηροῦ P^1 ἀποδήσεις *Hipp. cod. A*: ἀποδήσας P^1 11 χρέω *Kühlewein*: χρέο P^1 13 πρὸ γυμνασίου *Cornarius* δὲ *Cornarius ex Hipp.*: τε P^1 πάλη *Hipp. cod. A*: πολλὴ P^1 14 ὀρθοῦ *Hipp.*: ὄρθρου P^1 15 δι᾽ *Cornarius ex Hipp.*: *om.* P^1 18 ἕψε ἐν *Hipp. cod. A*: ἑψεῖν P^1 19. 20 ἕψε, ἕως *Hipp.*: ἕψεε ὡς P^1 22 νέας P^1: λείας *Hipp. cod. A* 23 γλυκύν P^1: οἶνον γλ. *Aldus* 28 ἐρυθροδάνου *Cornarius*: ἐρυθροῦ δαύκου P^1 29 κάρφεα λεῖα *Hipp.*: καρφεάλια P^1 ἑψήσοντα P^1 30 λιπαρὸν *Hipp.*: λιπαρὰν P^1 ἐλλείχειν P^1: *corr. Chartier* 31 λιπαρῷ *Hipp. cod. A*: λιπαρῶς P^1

στέαρ μὴ ὑγρόν, λεῖον τρίψας, ὀμφακίῳ τῷ τῆς πικρῆς ὄμφακος ἀνυγρήνας, ἐν ἡλίῳ ἀναξηρήνας, ὑγραίνειν ὡς ἐνάλειπτον· ὁκόταν δὲ ξηρὸν γένηται, λείῳ τετριμμένῳ ξηρῷ ὑπάλειφε καὶ παράπασσε τοὺς κανθούς.

ὑγρόν· ἐβένου δραχμήν, χαλκοῦ κεκαυμένου ἐννέα ὀβολοὺς ἐπ᾽ ἀκόνης τρίβων, κρόκου τριώβολον· ταῦτα τρίψας λεῖα, παράχεε οἴνου γλυκέος κοτύλην Ἀττικήν, κἄπειτα ἐς τὸν ἥλιον θείς, κατακαλύψας, ὁκόταν συνεψηθῇ, τούτῳ χρέω.

πρὸς τὰς περιωδυνίας καὶ τὰ ῥεύματα· ἔστω χαλκίτιδος δραχμή, σταφυλῆς· ὁκόταν δυσὶν ἡμέρῃσι πεφθῇ, ἐκπιέσας, σμύρναν καὶ κρόκον τρίψας, ξυμμίξας τὸ γλεῦκος, ἕψησον ἐν τῷ ἡλίῳ καὶ τούτῳ ὑπάλειφε τοὺς περιωδυνέοντας· ἔστω δὲ ἐν χαλκῷ | ἀγγείῳ.

ὑπὸ ὑστερικῶν πνιγομένων γνῶσις· πιέσαι τοῖσι δυσὶ 917
δακτύλοισι, καὶ ἢν αἴσθηται, τὰ ὑστερικά ἐστιν, ἢν δὲ μή, σπασμώδεα.

τοῖσιν ὑδρωπιώδεσιν μηκωνίου λεκίσκιον Ἀττικὸν στρογγύλον πόσις.

λεπίδος μῆλαι τρεῖς τῷ πλάτει καὶ ἀλήτου σητανίου κόλλης, πάντα ταῦτα λεῖα τρίψας, κατάποτα ξυστρέψας, δίδου· κάτω ὕδωρ καθαίρει.

κοιλίην ἐκκοπροῖ· ἐς ἰσχάδας ὀποῦ τοῦ τιθυμάλλου ἀπόσταζε ὁκόσον ἑπτάκις ἐς ἑκάστην, καὶ παιδίοισιν, εἶτα ἐς καινὸν ἄγγος συνθεὶς ταμιεύεσθαι· δίδου πρὸ τῶν σιτίων.

καὶ τὸ μηκώνιον τρίβων, ὕδωρ ἐπιχέων ⟨καὶ⟩ διηθέων, ἄλευρον φυρῶν, ἴτριον ὀπτῶν, μέλι ἑφθὸν παραχέων, τοῖσιν ὑδρωπικοῖσι τρώγειν δίδου καὶ ἐπιπίνειν γλυκὺν ὑδαρέα ἢ μελίκρητον ὑδαρές, τὸ ἀπὸ τῶν κοπρίων· μηκώνιον ξυλλέγων ταμιεύου καὶ θεράπευε. |

14 ὑστερικῶν] *cf. Gal. XVII B 823 sqq. Foesii Oeconomia Hippocr. p. 647* 19 μῆλαι τῷ πλάτει] *cf. Gal. lex. Hipp.* μήλης τῷ πλάτει· τῷ κυαθίσκῳ τῆς ὀφθαλμικῆς μήλης *(XIX 122 K.)* 28 κοπρίων] *cf. Gal. lex. Hipp.* κοπρίων· μελικηρῶν· οἱ πλεῖστοι γράφουσι κηρίων, δηλοῖ δὲ τῶν ἀποπιεσμάτων τοῦ κηροῦ

1 στέαρ P^1: σταῖς *Hipp. cod. A* τῶ πικρῶ P^1: τῷ τῆς πικρῆς *ex Hipp. Chartier* 2 ἡλίω P^1: ἡλ. τε *ex Basileensi edd.* 3 ὑπάλειφε P^1 *cum optimo Hipp. codice*: ὑπάλειφε τοὺς ὀφθαλμοὺς *ex Aldina edd.* 5 ὑγρόν P^1: ὑγρῶν *Aldus* 6 ἐπ᾽ ἀκόνης τρίβων *post* δραχμὴν *transp. Ermerins* 8 χρέω *Hipp. cod. A*: χρέο P^1 9 καὶ τὰ ῥεύματα P^1: *om. ex Aldina edd.* 10 δυσὶν ἡμέρῃσι πεφθῇ *Hipp. cod. A*: δύο μέρεα λειφθῇ P^1 *et Hipp. vulg.* 12 ὑπάλειφε *Hipp.*: ἐπάλειφε P^1 15 τὰ] ταῦτα *Hipp. cod. A* 17 τοῖσιν ὑπνωτικοῖσιν *Hipp. cod. A* μηκώνιον P^1: μηκωνίου *Hipp. cod. A* λεκίσκινον P^1: *corr. Aldus* 19 ἀλέτου P^1: *corr. Cornarius*: ἀλεύρου *a Basil. edd.* 19. 20 κόλλης πάντα *Hipp. cod. A*: κολλήσαντα P^1 20 ξυστρέψας P^1: ποιήσας *Hipp. cod. A* 22 κοιλίην P^1: καὶ κοιλίην *Chartier* ἰσχάδας *Cornarius*: ἰσχάδα P^1: ἰσχάδια *Kühlewein* 23 ἕκαστον καὶ παιδίοισιν P^1 *cum Hipp. A*: ἑκάστην (*om.* καὶ παιδ.) *plurimi codd. Hipp.*: ἑκάστην τῷ εἰρημένῳ *Chartier* καινὸν *Hipp. plurimi codd.*: κενὸν P^1 24 δίδου P^1: δίδου τῷ εἰρημένῳ *Chartier* *post* σιτίων *add.* τοῖς ὑδρωπικοῖς τὸ μὲν κώνιον τρίβων, ὕδωρ ἐπιχέας, δίδου ἐσθίειν καὶ ἐπιπίνειν *Chartier* 25 μηκώνειον P^1 καὶ *ante* διηθέων *om.* P^1: *add. Chartier ex. Hipp.* 28 τὸ P^1: τὸ δὲ *ex Basileensi edd.* μηκώνιον P^1: μηκώνειον *Basil.*: ἢ μηκώνιον *Hipp. cod. A*

918 Φανερῶς ἐκ τῶν τοιούτων δηλοῦται τοῦτο τὸ βιβλίον ὑπόμνημα συμμίκτων εἶναι θεωρημάτων, ἀτάκτως τῆς μεταβάσεως ἀπ᾽ ἄλλων πρὸς ἄλλα γινομένης, ὥσπερ καὶ νῦν ἐπὶ τῆς ἐκ τῶν μυκτήρων αἱμορραγίας γέγραπται βοηθήματα, τὰ μὲν αὐτῷ τῷ αἱμορραγοῦντι μέρει προσφερόμενα, τὰ δὲ ἀντισπαστικά, καθάπερ ἡ γαστὴρ λυομένη, τὰ δὲ τῆς κεφαλῆς πυκνωτικὰ καὶ στυπτικά, καθάπερ τὰ ψύχοντα. τὰ δ᾽ ἐφεξῆς τούτων ἅπαντα φαρμάκων ἔχει γραφὰς καί τινα παραμεμιγμένα βοηθήματα.

περὶ πρώτου μὲν οὖν τὸν λόγον ποιεῖται τοῦ καλουμένου σησαμοειδοῦς, ἐφεξῆς δὲ τριχῶν ἐν τοῖς βλεφάροις χειρουργίαν ἔγραψεν, ἣν ὀνομάζουσιν ἀναβροχισμόν, καὶ μετὰ ταῦτα πάλιν ὁμοίως αἱμορροΐδων καὶ ⟨περὶ⟩ τῆς ἄλλης ἰάσεως, εἶτ᾽ ἐμπύων φάρμακά τε καὶ ῥοφήματα καὶ μετὰ ταῦτα σκευασίας φαρμάκων ὀφθαλμικῶν, εἶτα περὶ τῶν ὑστερικῶν γινομένων, εἶτα περὶ τοῦ μηκωνίου, ὅπερ χεῖ διεὶς σητανίου ἀλεύρου πλύματι, εἶθ᾽ ἑξῆς ὑδραγωγὸν φάρμακον, εἶτ᾽ ἐκκοπρωτικόν, εἶθ᾽ ὑδερικοῖς τι δίδωσι διὰ μηκωνίου καὶ |
919 ἰτρίων. ἔστιν οὖν τῶν εἰρημένων τὰ μὲν πλεῖστα σαφῆ, παρέγκειται δέ τινα καὶ ἀσαφῆ, περὶ ὧν ἐφεξῆς ποιήσομαι τὸν λόγον * * *

5 ἀντισπαστικά] *cf. Gal. X 317 K.* 11 ἀναβροχισμόν] *cf. Paul. Aeg. VI 13. Ps.-Gal. XIV 784, 2; etiam ap. Gal. XVIII B 679* ἀναβροχισμοῦ τριχῶν *pro* διαβροχισμοῦ *restituendum est* 13 φαρμάκων ὀφθαλμικῶν] *cf. Gal. XII 697 sqq.* 16 ἐκκοπρωτικόν] *cf. Gal. XI 822, 4* 17 ἰτρίων] *cf. Gal. VI 492*

2 ἄλλου AMR 3 τῶν *om.* RTU 4 αὐτῷ] ἐν ἑαυτῷ RU τῷ αἱμορραγοῦντι μέρει AM: τῷ μ. τῷ αἱμ. PTUV 5 καθάπερ . . . στυπτικά *om.* RTU 8 βοηθήματα PTV: νοσήματα AMRU 9 τοῦ *hab. omnes praeter* P σησαμοειδοῦς *Cornarius*: σησάμου AM: σισάμου TU *et* P¹ *in mrg.*: *om.* PV 11 ἀναβροχισμὸν AMT: ἀναβρογχ. RTUV αἱμορροΐδων] *sc.* χειρουργίαν 12 περὶ *addidi*: μετὰ *add. Cornarius* 14 *post* εἶτα *add.* καὶ PV μηκωνίου AMP¹R: μήκωνος PV, *item v. 16* 14. 15 ὅπερ χεῖ διεὶς σητανείου ἀλεύρου πλύματι AM: ὅπερ ἐγχεῖται εἰς σιτανίου (τιτανίου R) ἀλεύρου πλάσματι RU: *om.* PTV; *cf. p. 364, 24* 15 εἶτ᾽ ἐφεξῆς R 16 ἐκπρωκτικὸν R ὑδερικοῖς AM: ἑδρικοῖς RTU: ἑδρικοῖς ὑδερικοῖς PV τι AM: τε PRTUV: *del. Cornarius* τὸ διὰ *Cornarius* 17 *post* οὖν *add.* ἐφεξῆς, *sed del.* R: *hab. etiam* P¹ *in mrg.*: *om. cett.* 18 ποιήσεται PV *finem operis deesse statui*

Subscribunt: τέλος τοῦ τετάρτου λόγου A: τέλος σὺν θεῷ τῆς παρούσης πηξίδος (*leg.* πυξ.) M: τέλος σὺν θεῷ ἁγίῳ (ἁγ. *om.* R) τὸ (τοῦ R) περὶ διαίτης ὀξέων νοσημάτων ἱπποκράτους (ἱππ. *om.* R) RU

GALENI

DE DIAETA HIPPOCRATIS IN MORBIS ACVTIS

EDIDIT

IOANNES WESTENBERGER

CONSPECTVS CODICVM

Codices Galeniani:

L = *Laurentianus gr. 74, 3; s. XIII. f. 141ᵛ—149ᵛ*
M = *Marcianus gr. App. class. V 4; s. XV. f. 223ʳ—227ᵛ*

Codices Hippocratici:

ϑ = Vindobonensis gr. med. 4; s. X.
M = Venetus gr. 269; s. XI.
V = Vaticanus gr. 276; s. XII.
A = Parisinus gr. 2253; s. XI.

Numeri in marginibus pinguius adscripti Kuehnianae editionis (vol. XIX 182—221, Lips. 1830) paginas indicant. Hippocrateorum librorum volumina paginaeque sunt editionis Littraeanae (= L; Œuvres complètes d'Hippocrate, Paris. 1839—1861) et Kuehleweinianae (= Kw; Hippocratis opera, Lips. I 1895. II 1902).

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΗΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ΔΙΑΙΤΗΣ ΕΠΙ ΤΩΝ ΟΞΕΩΝ ΝΟΣΗΜΑΤΩΝ

1. * * * ἠρεμίαν δὲ καὶ παρηγορίαν ἐνδείκνυται καὶ τὸ πείθειν XIX 182 μᾶλλον ἢ βιάζεσθαι πάντων ἀπεχόμενον τῶν κινητικῶν βοηθημάτων. "ὅταν δὲ καταιγίζωσιν αἱ νοῦσοι, ἡσυχάζειν καὶ τὸν κάμνοντα καὶ τὸν ἰητρόν, ὥς μή τι ἐξεργάσωνται." τοῦτ᾽ αὐτὸ καὶ περὶ τῶν μερικωτέρων ἐθέσπισε παροξυσμῶν εἰπών· "τοῖσιν ἐν τῇσι περιό|δοισι παροξυνο- 183 μένοισι μὴ δοῦναι μηδὲν μηδ᾽ ἀναγκάζειν," ὅπερ ἔστι μηδ᾽ ἀναγκαστικῷ μηδενὶ χρῆσθαι (οὔτε γὰρ προσθετικὸν οὔτε βίαιον οὐδὲν ἐν τοῖς παροξυσμοῖς ἀξιοῖ παραλαμβάνεσθαι)· τάχα δὲ καὶ ὅταν φῇ· "τὰ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως μὴ κινέειν μηδὲ νεωτεροποιεῖν, μήτε φαρμακίῃσι μήτ᾽ ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλ᾽ ἐᾶν." ἱκανὸν ἔστω ⟨τὸ⟩ τοῦ παροξυσμοῦ κακόν, μὴ συνελθέτω δὲ τούτῳ καὶ τὸ ἀπὸ τῆς ⟨ἀπειρίας τοῦ⟩ τεχνίτου. ἀλλὰ περὶ μὲν τῶν ἐνδείξεων καὶ ὕστερον διασκεψόμεθα.

2. Ἴδωμεν δὲ ἔπειτα τὰς διαφορὰς καὶ τὰς τοιαύτας τῶν καιρῶν. φαμέν, ὡς ἄρα τῶν νοσημάτων τὰ μὲν ὀξεῖς ἔχει φύσει τοὺς

